3229

ΕΙΣ ΑΠΑΣΑΝ ΤΗΝ ΛΟΓΙΚΗΝ

ΤΟΥ

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Υπομνήματα καὶ Ζητήματα ὑπὸ τοῦ

Σοφωτάτου

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

ΘΕΟΦΙΛΟΥ

ΤΟΥ

ΚΟΡΥΔΑΛΕΩΣ,

Ἐκτεθέντα, νυῦν δὲ πρῶτον τύποις ἐκδοθέντα, καὶ μεθ' ὅσης οἷόν τε ἦν τῆς ἀκριβείας διορθωθέντα, παρὰ Κυρίου,

ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΓΚΕΛΛΑΡΙΟΥ.



ΕΝΕΤΙΗΣΙ. ᾳψκθ'.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI, E PRIVILEGGIO.

BIBLIOΘΗΚΗ ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ 10049

23 ΙΟΥΝ. 1958

ζήθεσιν συνοδικὴν ἢν ὅλην συμφορίσασθαι βεβαιωθῆναι,
ἐν δοθῆναι βαρὺ δὲ λογισθῆναι, ἢ σοφωθῆναι παρὰ δικῆς.—

Ὅσα ἀναγκαῖα πινάθαι, δοιαῦθα ἀθῆς φῶσι. ἢ ἢ λόγῳ χρωζόντα,
ἀγαθὸν δ' ἄλλῳ ἄλλο, ἢ ἑκάστῳ ἢ δοιαῦθα αὐτὰ δηλοῦσι. ἢ μὲ ἢν ἐνε-
σαν διασῴζειν, ἢ ἢν μὴ ἔσαν βεβαιοῦσθαι αὐτὰ δικαίως βαν τὸ πα-
ραχρῆμα, ἢς δὲ αὐτὰ δηλοῦσι, ἢν μὲν βεβαίως σώζεσθαι, φυσικὴ δωρε-
ὰν, ἀλλὰ ἢ διασῴζειν, ἀγωνιστέον ἐστ, ἢ ἢν ἀεὶ δὲ λόγῳ βεβαιοῦσθαι ἀνάγκη
ἐστὶ ῥᾴστη. ἢν δὲ πῶς ἔχειν (δίκαιον ἢ ἄλλων ἄλλως ζῆν, ἀ μόνον αὐτάρκες
ἐστὶν ἄνθρ, ἀλλὰ σωφρονικῶς ἀναστρέφεσθαι ἀ μετρίως ἐπιτάττον ἡμᾶς τὸ
βέλτιστον, ἀλλὰ ἢ κρατεῖ ἕξεσι βαίων ἢ δικαίως.) φύσει μὲν ἔστι
χρὴ ταὐτόματα, λόγος δὲ βεβαιοῦσθαι ἢ ἀναγκαῖος, μᾶλλον ἢ ἀνα-
γκαῖος μόνος. Διὸ μᾶλιστα βεβαίως δηλοῦσθαι πίθοιεν ἂν ἄνθρ, μό-
νως ὀρθῶς ἐκλογιζόμενοι, ἢ σφῶν ὁρμῶν ὀρεγομένων ὀρθῆς, ἅπερ ἀ βε-
βαίως ἐστὶ μόνως χαρίζεσθαι, ἀφορμὰς δηλοῦ. ὧν μὲν γὰρ ἢν θεωρίαν, ἢ
βεβαίως δὲ ἀγαθὸν ὁμοιότης, ἢ τὸ ἡδὺ βεβαιοῦσθαι ἐμφρόνως. ἢ δὲ δὴ ἀ-
γαθὸν φαυλαίνη, ἢ δὸ μὲ ἀγαθὸν ἐν ἀγαθῷ χώρᾳ διώκειν. δηλῆ ὁ λόγος
ἀναπλήρων αὐτὰ δὸ ἡμῖν, ὄργανον ἐστὶν ἀναγκαίως διαπρεπέστατον, ὅτ
ἢν ἄλλως ἀγαθὸν ἢ ἀγαθῶς βεβαιοῦσθαι, ἢ δεῖσθαι ἔξεως ἢ ἀβεβαίωτον μέ-
θοδος, βεβαίως ἀναφέρειν, ὡς βεβαίως ἀναπεφυκέναι δηλοῖ, βᾶτα ἢ δηλ
λοῦσι βεβαιοῦσθαι μεμῆσθαι ἢ διαπονῆσαι. ἀμέλει δοκεῖ Πλάτων ἡμῖν ὡς
θέσει ἐλλογιμὰ βεβαιοῦσθαι, ἀ μόνον λογικὴ πᾶσ ἐστὶν, ἀλλὰ ἢ λό-
γου ἀφορίζομένης ἢ διορίζομένης, ὥστε βεβαίων ἄλλων δὲν ἀριστικὸν λόγον
ὡς ἐν ἐρωτᾷ ἢ θέλει:—

ΠΙΝΑΞ

Τῶν ἐν τῇ παρούσῃ βίβλῳ περιεχομένων.

Προοίμιον εἰς ἅπασαν τὴν λογικὴν πραγματείαν. Φύλ. 1
Προσδιορισμὸς τῶν λεχθησομένων, καὶ ζητήματα τῆς ὅλης λογικῆς πραγματείας. 3
Περὶ τῶν τεττάρων ζητουμένων, δηλαδὴ εἰ ἔστι, τί ἔστι, ὁποῖόν ἐστι, διατὶ τοιοῦτόν ἐστι. 4
Περὶ ὁμωνυμίας Ὅρου, καὶ περὶ Ὁρισμοῦ δι' οὗ τὸ τί ἐστι τῶν ὄντων θηρόμεθα. 5
Διάφορα σημαινόμενα τοῦ Ὅρου. 6
Ἀνάπτυξις τοῦ ὁρισμοῦ, καὶ ποσαχῶς λέγεται. 6
Πόθεν τὴν κλῆσιν ἡ Ὑπογραφὴ ἔλαχε. 9
Περὶ χρήσεως τούτων, ἥτοι Ὑπογραφῆς, καὶ ὑπογραφικοῦ ὁρισμοῦ. 10
Περὶ ἀρετῆς Ὁρισμοῦ. 10
Περὶ διαιρέσεως. 12
Διαφορὰ Διαιρέσεως, Ἐπιδιαιρέσεως, καὶ Ὑποδιαιρέσεως. 14
Περὶ τῆς ὑγιοῦς Διαιρέσεως. 16
Περὶ διαφορᾶς Πείρας, Ἐμπειρίας, Τέχνης, καὶ Ἐπιστήμης, ἐν ᾧ καὶ περὶ τῶν δυνάμεων ψυχῆς. 17
Περὶ γένους τῆς Λογικῆς, καὶ εἰ ἔστιν ἕξις ἐπίκτητος, ἢ οὔ. 25
Δόξα Πλάτωνος περὶ τῆς αὐτῆς, ὅτι δηλαδὴ ἐστὶν ἔμφυτος τῇ ἀνθρωπίνῃ φύσει. 25
Ἐμπέδωσις τοῦ προβληθέντος. 26
Διμερὲς περὶ διαιρέσεως τῶν ἕξεων. 27
Διορισμὸς προβλήματος. ὅτι δηλαδὴ ἡ Λογικὴ, καὶ πᾶσα Ἐπιστήμη καὶ Τέχνη, ἕξεις εἰσὶν ἐπίκτητοι. 29

Ἐμπέδωσις τοῦ αὐτοῦ. 29
Ἀπαίτησις πρὸς τοὺς πλατωνικοὺς λόγους. 30
Δευτέρα θέσις τοῦ Γένους τῆς Λογικῆς. ὅτι δηλαδὴ αὐτὴ τῆς φυσικῆς δυνάμεως ἐκλαμβανομένη, ἢ τῆς ἐφέσεως εἰς ἀπόκτησιν τῆς Λογικῆς, ἔμφυτός ἐστι τῇ ἀνθρωπίνῃ φύσει. 30
Περὶ τοῦ προσεχοῦς γένους τῆς Λογικῆς, καὶ τῆς ὕλης αὐτῆς. 31
Ἰδιώματα τοῦ ὑπεκειμένου. 35
Ἰδιώματα τοῦ τεχνητοῦ Ὑποκειμένου, ἤτοι τῆς Ὕλης. 36
Διαφορὰ Ὑποκειμένου ἐπιστητοῦ, καὶ ὕλης τεχνητῆς. 37
Περὶ Διαφορᾶς τέλους τῆς Ἐπιστήμης, καὶ Τέχνης. 39
Περὶ Διαφορᾶς τοῦ τεχνητοῦ τέλους, τῆς τεχνητῆς ὕλης. 40
Ἔκθεσις τῶν ἀλλοδίων δογμάτων περὶ τῆς κατὰ λογικὴν ὕλης. 40
Ὅτι ἡ Ἀπόδειξις ὑποκείμενον τῆς Λογικῆς. 41
Δευτέρα δεῖξις περὶ τῆς αὐτῆς Ἀποδείξεως, ὅτι ἐστὶν ὑποκείμενον τῆς Λογικῆς. 41
Δόξα δευτέρα περὶ τοῦ ὑποκειμένου τῆς Λογικῆς, ὅτι ἐστὶ δηλαδὴ τὸ Ἐπιχείρημα, ἤτοι ὁ πιστικὸς λόγος. 42
Τρίτη δόξα περὶ τοῦ αὐτοῦ ὑποκειμένου, ὅτι ἐστὶν ὁ Συλλογισμὸς δηλαδή. 42
Ἀνασκευὴ τῶν ἀνωτέρω δοξῶν. 42
Ἀναζοπὴ τῆς δευτέρας δείξεως. 44
Τετάρτη δόξα. ὅτι τὸ κατ' ἐπίνοιαν ὄν, ἐστὶν ὕλη τῆς Λογικῆς. 44
Ποσαχῶς τὸ ἀποτέλεσμα τῆς φιλῆς ἐπινοίας, τὸ λεγόμενον κατ' ἐπίνοιαν ὄν. 45
Ὅτι αἱ δεύτεραι χέσεις ὑποκείμενον εἰσὶ τῆς Λογικῆς πραγματείας. 47
Ἀνασκευὴ τῆς αὐτῆς δόξης. 48
Δεῖξις τοῦ δευτέρου τῶν ἐκτεθέντων. ὅτι δηλαδὴ τὸ κατ' ἐπίνοιαν ὂν οὐδεὶ πρὸς τινὰ λογικὴν συντελεῖ μέθοδον. 50
Δεῖξις τοῦ πρώτου, ὅτι δηλαδὴ τὸ κατ' ἐπίνοιαν εἶναι, οὐκ ἀπὸ τῆς ἐπινοίας τὸ εἶναι ὡς οἱ νεώτεροι λέγουσιν ἔχει, ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων φύσεως. 51
Ἀπάντησις πρὸς τὰ ἐπιχειρήματα τῆς ἀνωτέρω δόξης, ἤτοι τοῦ κατ' ἐπίνοιαν ὄντος. 54
Ἔκθεσις τῆς ἀληθείας. ὅτι δηλαδὴ ὕλη τῆς Λογικῆς κοινότερον μέν εἰσιν αἱ τῶν ὄντων διὰ τῶν νοημάτων σημαντικαὶ φωναὶ, ἰδιαίτερον

τερον δὲ καὶ ἀληθέστερον τὰ παθήματα τῆς διανοητικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς, καὶ τὰ ἕξης. 54
Συνόψις τῆς ἐκτεθείσης λέξεως τοῦ Φιλοσόφου περὶ τῆς Ὕλης τῆς Λογικῆς. 55
Τίς προηγουμένως Ὕλη τῆς Λογικῆς. 56
Δεῖξις ὅτι τὰ νοήματα τῆς Ψυχῆς εἰσὶν ὑποκείμενον κυρίως τῆς Λογικῆς, καὶ οὐχ αἱ φωναί. 57
Διαφωνίαι παλαιῶν περὶ τῆς Ὕλης τῆς Λογικῆς. 58
Λύσις τῆς αὐτῆς δόξης. 58
Θέσις τῆς ἀληθείας περὶ τῆς Ὕλης τῆς Λογικῆς. 59
Περὶ Τέλους, καὶ ποῖόν ἐστι τὸ τῆς λογικῆς τέλος. 59
Θέσις τῆς δόξης τῆς νεωτέρων τῆς τατόντων τὴν λογικὴν μέθοδον ἐν ἐπιστήμαις. 61
Λόγοι τῆς ἑτεροδοξούντων. 61
Διορισμὸς τοῦ ἀληθοῦς. ὅτι δηλαδὴ ἡ λογικὴ μέθοδος ἕξις ἐστὶ ποιητικὴ, ἤτοι Τέχνη, καὶ οὐχὶ Ἐπιστήμη θεωρητική. 63
Ἀπάντησις πρὸς τὰ ἐπιχειρήματα τῆς ἑτεροδοξούντων. 65
Ὁρισμὸς τῆς λογικῆς μεθόδου. 67
Περὶ τῆς κατὰ νεωτέρους διαιρέσεως τῆς Λογικῆς εἰς χρωμένην, καὶ διδάσκουσαν. 67
Διορισμὸς τοῦ προβλήματος. ὅτι δηλαδὴ παράλογος καὶ γελοία ἐς τὸ παντελὲς ἡ τῆς λογικῆς διαίρεσις εἰς Ἐπιστήμην καὶ Τέχνην. 70
Ἐπιχειρήματα τῆς λεγόντων τὴν λογικὴν μέθοδον μέρος τῆς Φιλοσοφίας. 72
Λύσις τῆς αὐτῆς ἐπιχειρημάτων. 73
Κοινωνία καὶ διαφορὰ, Γραμματικῆς, Ῥητορικῆς, καὶ Λογικῆς. 75
Περὶ διρέσεως τῆς Λογικῆς. 76
Διαίρεσις τῆς λογικῆς πραγματείας, καὶ τῆς ταύτης μερῶν ἀπαρίθμησις. 77

ΕΙΣ ΤΗΝ ΠΟΡΦΥΡΙΟΥ ΕΙΣΑΓΩΓΗΝ.

Σχολαστικαὶ σημειώσεις εἰς τὴν τοῦ Πορφυρίου εἰσαγωγήν. 81
Περὶ τοῦ Συγγραφέως. 81
Περὶ τῆς ἐπιγραφῆς, ὕλης τοῦ συγγράμματος, χρησίμου, καὶ διαιρέσεως αὐτοῦ. 82
Περὶ τοῦ πρώτου τῆς ἐν τῇ προοιμίῳ. ὅπως δηλαδὴ χρὴ ἐννοεῖν τὸ αἰαγ-

ἀναγκαῖον. 83
Περὶ τοῦ δευτέρου μέρους τῆς ἐν τῷ προοιμίῳ, καὶ ξ΄ίπου. 84
Περὶ τοῦ τετάρτου. 85
Ποσαχῶς τὰ δηλούμενα τῆς καθόλου φωνῆς. 86
Εἰ ὑφέστηκεν ἐν τῇ φύσει τῶν ὄντων τὰ καθόλου, ἤτοι τὰ γένη καὶ τὰ εἴδη, ἢ ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται. 87
Λόγοι τῶν ἑτεροδοξούντων, ἤτοι τῶν βουλομένων τὰ καθόλου ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖσθαι, καὶ ἐπίλυσις τῶν αὐτῶν. 87
Τίς ὁ ξ΄όπος τῆς ὑπάρξεως τοῦ καθόλου, καὶ τίς ὁ ὑποτυπικὸς αὐτοῦ ξ΄όπος. 88
Ἔνθεσις τοῦ πλατωνικοῦ δόγματος, ὅτι δηλαδὴ τὰ καθόλου πρὸ τῶν πολλῶν. 89
Ἔνθεσις τῆς δόξης τῶν τιθεμένων τὸ καθόλου κατ' ἐπίνοιαν μόνον ὑφεστηκέναι. 90
Ἀνασκευὴ τῆς αὐτῆς δόξης. 91
Περὶ τῶν ἰδιωμάτων τῶν πέντε Φωνῶν. 94
Περὶ τάξεως τῶν αὐτῶν. 95
Περὶ Γένους. 97
Ὑποτυπαὶ τοῦ λογικοῦ Γένους. 98
Περὶ Εἴδους. 102
Σημαινόμενα τοῦ αὐτοῦ. 103
Ἔνθεσις τῶν ἐν τῷ δευτέρῳ μέρει, ἤτοι ὑποτυπὴ τοῦ Εἴδους. 104
Ἀπορία, περὶ τῆς παρὰ Πορφυρίῳ δηλαδὴ ὑποτυπῆς τοῦ Γένους καὶ Εἴδους. 104
Λύσις τῆς αὐτῆς. 105
Ἀπορία ἑτέρα, ὅτι δηλαδὴ ἡ ὑποτυπὴ ἐπὶ τοῦ Εἴδους οὐκ ἔξει χώραν, καὶ λύσις τῆς αὐτῆς. 107
Σκόψις τοῦ ξ΄ίπου μέρους. 108
Σκόψις τῶν ἐν τῷ τετάρτῳ. 109
Σκόψις τῶν ἐν τῷ πέμπτῳ. τί ὄξι δηλαδὴ ἄτομον. 111
Περὶ Διαφορᾶς. 114
Σκόψις τῶν ἐν τῷ πρώτῳ μέρει, ἤτοι ἔνθεσις τῶν σημαινομένων τῆς Διαφορᾶς. 114
Σκόψις τοῦ δευτέρου μέρους, ἤτοι περὶ τῶν ἰδιοτήτων διαφορᾶς αἷς τῶν κατὰ συμβεβηκὸς διαφορῶν διακρίνεται. 115

Ἑτέ-

Ἑτέρα συνόψις τῆς ἐν τῷ δευτέρῳ μέρει, ἤτοι περὶ τῆς ἰδιαίτατα Διαφορᾶς. 118
Συνόψις τῆς ἐν τῷ ξ΄ τόπῳ. 120
Περὶ Ἰδίου. 122
Διαίρεσις τοῦ περὶ Ἰδίου κεφαλαίου. 123
Περὶ τῆς ἐν τῷ πρώτῳ μέρει, ἤτοι περὶ τῆς τεσσάρων σημαινομένων τοῦ Ἰδίου. 123
Περὶ τῆς ἐν τῷ δευτέρῳ μέρει. 124
Διαίρεσις τοῦ Ἰδίου κατὰ τὸν Φιλόσοφον ἐν τοῖς Τοπικοῖς βιβλ. ά. κεφ. δ΄. 124
Περὶ Συμβεβηκότος. 125
Δεύτερον μέρος. ὅτι διχῶς δηλαδὴ τὸ Συμβεβηκὸς, χωριστὸν καὶ ἀχώριστον. 126
Τρίτον μέρος. πῶς δηλαδὴ εἴρηται ὅτι καὶ ἀχώριστον τὸ Συμβεβηκὸς, εἴγε ὑποχράφων αὐτὸ, εἴρηκεν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. 126
Τέταρτον μέρος. ἤτοι δύο ὑποχραφαὶ τοῦ Συμβεβηκότος. 127
Ἀπορία περὶ τῆς τῶ Συμβεβηκότος ὑποχραφῶν, καὶ λύσις τῆς αὐτῆς. 127
Ἀπορία ἑτέρα περὶ τῆς δ΄. Ὑποχραφῆς τοῦ αὐτοῦ. 128
Λύσις τῆς αὐτῆς. 129
Ἀπορία ἑτέρα, περὶ τῆς ὑποχραφῆς τοῦ Συμβεβηκότος τῆς δι' ἀποφάσεως, καὶ λύσις. 129
Ἀπορίαι ἑτέραι, καὶ λύσις. 130

ΕΙΣ ΤΑΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΣ.

Ὑπόμνημα εἰς τὰς Ἀριστοτέλους κατηγορίας. 133
Διαίρεσις τῆς ἀριστοτελικῶν Συγγραμμάτων. 134
Προλεγόμενα εἰς τὰς δέκα τοῦ Ἀριστοτέλους κατηγορίας. 135
Τίνα τρόπον ἡ Λογικὴ τῆς Μεταφυσικῆς διαφέρει, ἀμφοῖν περὶ πράγματα γινομένων. 135
Τὸ αἴτιον τῆς ἐπιγραφῆς. δηλαδὴ τίνος χάριν ἐπιγέγραπται περὶ Κατηγοριῶν. 136
Περὶ τοῦ χρησίμου τοῦ βιβλίου, καὶ ὅτι γνήσιον τοῦ Ἀριστοτέλους, καὶ περὶ τῆς τάξεως τοῦ αὐτοῦ, καὶ διαιρέσεως. 137
Περὶ διαιρέσεως τῆς σημαντικῶν φωνῶν. 138
Τί ἐστιν Ἀναλογία κυρίως, καὶ Ἀνάλογα. 141

Περὶ

Περὶ Ὁμωνύμων. 144
Ἀνάπτυξις ἑκάστης τῶν ἐν τῷ ὁρισμῷ τῷ Ὁμωνύμων φωνῶν. 146
Τί τὸ ὁριζόμενον ἐν ἑκάστῳ τῶν Συωνύμων, Ὁμωνύμων, & Παρωνύμων κατὰ τὰς νεωτέρους, ὅτι δηλαδὴ ἐστὶ τὸ κατ' ἐπίνοιαν ὄν. 148
Ἀναζοπὴ τῆς ἐκτεθείσης δόξης. 149
Λύσις τῶν ἐπιχειρημάτων τῆς αὐτῆς δόξης. 150
Ἀπορία. ἤτοι τίνα ζόπον ἐπὶ τοῦ ἀποδοθέντος ὁρισμοῦ τῶν Ὁμωνύμων ἐννοεῖται εἶναι τὸ ὄνομα, καὶ ἀπάντησις. 151
Ἀπάντησις δευτέρα. 151
Ἀπάντησις ζίτη. 152
Περὶ Συωνύμων. 153
Ἀπορία. ὅτι δηλαδὴ τὰ ἑρμηνέα περὶ Συωνύμων, καὶ τοῖς παρωνύμοις ὁμοίως προσήκει. 154
Ἑτέρα ἀπορία, ὅτι ὁ συγκύπτων ἄνθρωπος οὐ δυνάται συωνύμως εἶναι τοῖς πολλοῖς. 154
Λύσις τῆς αὐτῆς. 155
Ὅρος τῶν Παρωνύμων. 155
Περὶ διαιρέσεως τῶν Ὄντων. 157
Ἑτέρα διαίρεσις τῶν Ὄντων. 158
Πρῶτος κανών. πάντα δηλαδὴ τὰ ἐπαναβεβηκότα κατὰ τῶν ὑποβεβηκότων κατηγορεῖσθαι. 161
Δεύτερος κανών. ὅτι δηλαδὴ ὅσα τῷ γένει πάντη ἀλλήλων κεχώρισται, τούτων καὶ αἱ διαφοραὶ ἀλλήλων παντὴ κεχωρισμέναι εἰσί. 162
Τρίτος κανών. ὅτι δηλαδὴ οὐδὲν κωλύει τῶν ὑπαλλήλων Γενῶν τὰς αὐτὰς εἶναι διαφοράς. 163
Περὶ τοῦ Ἀριθμοῦ τῶν τοῦ ὄντος Γενῶν. 166
Περὶ Οὐσίας. 169
Πρῶτον μέρος τῶ κεφαλαίου, ὅπερ περιέχει τὰς διαιρέσεις τῆς Οὐσίας, εἰς πρώτην δηλαδὴ καὶ δευτέραν. 170
Πότερον ὑπὸ τὴν κατηγορίαν τῆς Οὐσίας περιέχονται καὶ αἱ ἄυλοι Οὐσίαι, ἢ μή; 172
Ἀπορία. διατὶ δηλαδὴ μὴ εἶπεν ὁ Φιλόσοφος ὅτι τὰ Γένη καὶ τὰ Εἴδη ἁπλῶς δεύτεραι Οὐσίαι λέγονται; καὶ λύσις. 175
Ἀπορία δευτέρα. ὅτι ὁ ἀποδοθεὶς δηλαδὴ τῷ Φιλοσόφῳ δι' ἀποφάσεως ὁρισμὸς περὶ τῆς πρώτης Οὐσίας, οὐχ ὑγιῶς ἀποδέδοται. 175

Ἀπάν-

Ἀπάντησις. 175
Ἀπορία τελτη. ὅτι δηλαδὴ ἔπεται τῷ ὑποχειμένῳ τῆς πρώτης Οὐσίας ἐπὶ πλέον εἶναι τοῦ ὁρισθέντος, ὅπερ ἄτοπον. καὶ λύσις. 176
Ἀπορία τετάρτη. ὅτι δηλαδὴ οὐχ ὑγιῶς εἴρηται τῷ πρώτῳ Οὐσίαν μὴ ἐν ὑποκειμένῳ εἶναι, μήτε καθ' ὑποκειμένου λέγεσθαι. 176
Ἀπάντησις. 177
Ἀπορία πέμπτη. ὅτι ὁ ἀποδοθεὶς δηλαδὴ λόγος τῆς Οὐσίας, ἐπὶ πλέον ἐστὶν ἐκείνης, εἴγε καὶ ἄλλοις παρὰ ταῦτα προσήκει. 177
Λύσις. 178
Ἀπορίαι περὶ τῷ ὑποχειμένῳ τῆς δευτέρας Οὐσίας. ὅτι δηλαδὴ οὐχ ὑγιῶς διὰ τοῦ Γένους καὶ Εἴδους ὑποχρέουται. Ϲ ἀπάντησις. 178
Ἀπορία δευτέρα. ὅτι δηλαδὴ τὰ Γένη, καὶ τὰ Εἴδη τῆς πρώτης Οὐσίας πρῶται Οὐσίαι εἰσίν. οὐχ ὑγιῶς ἄρα λέγεται τῷ Φιλοσόφῳ δευτέρας εἶναι οὐσίας, καὶ λύσις. 179
Ἀπορία ξίτη. ὅτι δηλαδὴ πρότεραι Οὐσίαι τὰ Γένη καὶ τὰ εἴδη. 179
Λύσις. 180
Ἀπορία τετάρτη. ὅτι δηλαδὴ αἱ δεύτεραι Οὐσίαι πρότερον ὑφίσασθαι δοκοῦσι τοῖς συμβεβηκόσιν, ἢ αἱ καθ' ἕκαστα, διὸ καὶ πρότεραι. 180
Λύσις. 181
Τρίτον μέρος τοῦ κεφαλαίου. ἤτοι παραβολὴ τῷ δευτέρων Οὐσιῶν καὶ Συμβεβηκότων ταῖς πρώταις. σύγκρισις τῷ Γενῶν, καὶ Εἰδῶν πρὸς ἄλληλα κατὰ βάθος, καὶ οὐ κατὰ πλάτος. παραβολὴ τῷ πρώτων καὶ δευτέρων Οὐσιῶν κατὰ πλάτος. καὶ ὅτι μόνα τὰ Εἴδη καὶ τὰ Γένη τῆς πρώτης Οὐσίας εἰσὶ δεύτεραι Οὐσίαι. 181
Πότερον αἱ καθ' ἕκαστα Οὐσίαι μᾶλλον Οὐσίαι εἰσὶ, καὶ αἱ δεύτεραι Οὐσίαι ἐπιδέχονται τὸ μᾶλλον, καὶ τὸ ἧττον ὡς ὁ Ἀριστοτέλης παρέδωκεν, ἢ οὔ; 184
Ἀπάντησις κατὰ τῷ γνώμιμον τῷ νεωτέρων. 185
Ἀναζοπὴ τῆς ἐκτεθείσης δόξης. 185
Λύσεις τῷ ἐκτεθειμένων ἀντιθέσεων. 186
Περὶ τῷ παρεπομένων τῇ Οὐσίᾳ, ἐν ᾧ περὶ τοῦ πρώτου παρεπομένου τῆς οὐσίας, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι δηλαδή. 187
Ἀπορία. ὅτι δηλαδὴ ἀποκλείειν δοκεῖ πᾶς Διαφορὰς τὸν Φιλόσοφον πασῶν τῷ κατηγορειῶν. 187
Λύσις πρώτη. 188

Ἀναίρεσις τῆς αὐτῆς ὑπολύσεως, καὶ θέσις ἑτέρας. 188
Ἀναίρεσις τῆς αὐτῆς ἐπιλύσεως, καὶ θέσεως. 189
Ἀπάντησις πρὸς τὴν ἀντίθεσιν τοῦ Ἀμμωνίου περὶ τῆς τοῦ Ὄντος διαιρέσεως. 190
Δεύτερον παρεπόμενον τῆς Οὐσίας. τὸ συνωνύμως δηλαδὴ κατηγορεῖσθαι κατὰ τῶν ὑποτεταγμένων. 190
Τρίτον παρεπόμενον τῆς αὐτῆς. ὅτι δηλαδὴ πᾶσα δοκεῖ Οὐσία τόδέτι σημαίνειν. 191
Τέταρτον παρεπόμενον τῆς Οὐσίας. τὸ μηδὲν δηλαδὴ ἐναντίον αὐταῖς εἶναι. 192
Τίνα ξόπον ἐννοεῖν μηδὲν ἐναντίον εἶναι τῇ Οὐσίᾳ. 193
Δόξα τῶν νεωτέρων, τῶν τὴν ἐναντίωσιν τιθεμένων δηλαδὴ ἐν ταῖς ποιότησι. 193
Ἀντίθεσις πρὸς τὴν αὐτὴν δόξαν. 194
Ὅτι ἡ τῶν νεωτέρων δόξα ἀντίκειται τῇ διδασκαλίᾳ τοῦ Φιλοσόφου. 198
Δήλωσις τῆς ἀληθείας. 200
Ἀπάντησις. 201
Πέμπτον παρεπόμενον τῆς Οὐσίας. ἤτοι τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον, καὶ τὸ ἧττον. 204
Ἀπορία, ὅτι τοῦ μηδενὰ ξόπον ἐγκειτέον εἶναι ἐπὶ τῶν Οὐσιῶν τὸ μᾶλλον, καὶ τὸ ἧττον. 205
Ἔκθεσις τῆς ἀληθείας. 205
Ἀπάντησις πρὸς τοὺς ἐκτιθεμένους τῶν ἀντιδοξούντων λόγους. 206
Ἕκτον καὶ ἕβδομον ἴδιον τῆς Οὐσίας. τὸ μίαν δηλαδὴ καὶ τὴν αὐτὴν Οὐσίαν δεκτικὴν τῶν ἐναντίων γίνεσθαι παρὰ μέρος, ὃ καὶ ἰδιάζοντον. 208
Περὶ Ποσοῦ. 210
Διαίρεσις τοῦ περὶ Ποσοῦ κεφαλαίου. 210
Τί ἐστι κοινότερον Ποσότης, εἴπουν Ποσόν. 211
Ἔκθεσις τῆς πρώτης διαιρέσεως τοῦ Ποσοῦ, εἰς συνεχὲς δηλαδὴ καὶ διωρισμένον. 211
Διαίρεσις τοῦ συνεχοῦς Ποσοῦ. ὅτι δηλαδὴ πέντε τὰ εἴδη αὐτοῦ. Γραμμή, Ἐπιφάνεια, Σῶμα, Τόπος, καὶ Χρόνος. 212
Δευτέρα διαίρεσις τοῦ Ποσοῦ, εἰς τὰ συνεχῆ ὅτα δηλαδὴ ἐκ μερῶν ἐχόντων θέσιν πρὸς ἄλληλα, ἢ μή. 214

Ἀπο-

Ἀπορία. ὅτι αἱ Γραμμαὶ καὶ τὰ Ἐπίπεδα δηλαδὴ, οὐ δοκοῦσιν εἶναι ἐντελῆ εἴδη ἐν τῷ γένει τοῦ Ποσοῦ. 215
Δεύτερα ἀπορία. ὅτι αἱ Γραμμαὶ δηλαδὴ καὶ τὰ Ἐπίπεδα οὐκ ἂν γένοιντο εἴδη καθ' αὑτὰ ἐν τῷ γένει τοῦ Ποσοῦ, ἀλλὰ μέρη μόνον. 215
Ἀπορία ζ΄ίτη. ὅτι δηλαδὴ αἱ Γραμμαὶ καὶ αἱ Ἐπιφάνειαι οὐκ εἰσιν εἴδη Ποσοῦ, τοῦ σώματος αὐτιδιαστελλόμενα. 216
Διορισμὸς τοῦ ζητουμένου. ὅτι δηλαδὴ Γραμμὴ καὶ Ἐπιφάνεια, ἐν τῇ ἑξῆς, εἴδη εἰσὶ κεχωρισμένα ἀλλήλων ὑπὸ τὸ αὐτὸ γένος τοῦ Ποσοῦ. 216
Ἀπάντησις πρὸς τὰς ἐκτεθείσας ἐν ἀρχῇ αὐτιθέσεις. 217
Ἔνθεσις τῶν παρεπομένων τῇ Ποσότητι. ὅτι δηλαδὴ τῷ Ποσῷ οὐδὲν ἐναντίον, ὅπερ ἐστὶ πρῶτον παρεπόμενον. 219
Δεύτερα αὐτίθεσις. ὅτι τῷ Ποσῷ δηλαδὴ δοκεῖ ἐναντίον εἶναι; καὶ ἀπάντησις. 220
Τρίτη αὐτίθεσις πρὸς τὸ αὐτὸ παρεπόμενον, καὶ ἀπάντησις. 222
Δεύτερον παρεπόμενον τῷ Ποσῷ. τὸ μὴ ἐπιδέχεσθαι δηλαδὴ τὸ μᾶλλον καὶ ἧττον. 222
Γ΄ίδιον ζ΄ίτον τοῦ Ποσοῦ. τὸ ἴσον δηλαδὴ καὶ ἄνισον λέγεσθαι. 223
Ἀπορία, εἰ τὰ παρεπόμενα δηλαδὴ τοῖς Συμβεβηκόσι, κεχώρισται ὡς πράγματα διάφορα τῶν Συμβεβηκότων οἷς παρέπονται, ἢ οὔ. καὶ ἀπάντησις. 224
Περὶ τῶν Πρός τι. περὶ τάξεως τοῦ κεφαλαίου. 226
Διαίρεσις τοῦ κεφαλαίου εἰς τέτταρα. 228
Πρῶτον παρεπόμενον τῶν Πρός τι. ὅτι δηλαδὴ ὑπάρχει αὐτοῖς ἐναντιότης. 232
Ἀπορία. ὅτι δηλαδὴ τὰ ἐναντία εἰσὶν ἀπόλυτα καὶ ἄχετα, πῶς οὖν δυνατόν ἐστι ἐν τοῖς Πρός τι ἐναντίωσιν εἶναι; καὶ λύσις. 232
Δεύτερον παρεπόμενον τῆς Πρός τι. ὅτι δηλαδὴ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον. 233
Ἀπορία. πότερον τὸ ἐκτεθὲν παρεπόμενον προσήκει τοῖς σχετικοῖς καθ' αὑτὰ, ἢ τῷ λόγῳ τῆς κατηγορίας ἐφ' ἧς παραφύονται; καὶ λύσις. 233
Τρίτον παρεπόμενον. ὅτι δηλαδὴ πάντα τὰ Πρός τι πρὸς ἀντιστρέφοντα λέγεται. 235

Τέταρτον παρεπόμενον. ὅτι δηλαδὴ ἅμα τῇ φύσει εἰσί. 238
Ἀπορία. ὅτι τὸ ἅμα τῇ φύσει εἶναι, ἔστε πᾶσιν, ἔστε μόνοις δοκεῖ προσήκειν τοῖς Πρός τι. 239
Ἀπάντησις. 239
Ἀπορία ἑτέρα. 241
Τρίτον μέρος τοῦ Κεφαλαίου, ἐν ᾧ ἀπορία. ὅτι ἄποπος ἡ κατὰ τὴν γνώμην τῆς παλαιῶν ἀποδοθεῖσα ὑπογραφὴ τῆς Πρός τι. 242
Ὅτι εἰς ἐπίλυσιν τῆς προτεθείσης ἀπορίας, ἀποδοτέον εἶναι ὑπογραφὴν ἑτέραν τῆς Πρός τι. 243
Τέταρτον μέρος τοῦ κεφαλαίου, ἐν ᾧ ὁ Φιλόσοφος παραδίδωσιν ἑτέραν ὑπογραφὴν τῆς Πρός τι. 244
Πέμπτον παρεπόμενον τῆς Πρός τι. ὅτι τῶν σχετικῶν εἴτις εἰδῇ θάτερον ὡρισμένως, καὶ θάτερον ὡρισμένως εἴσεται. 245
Ζητήματα περὶ τῶν Πρός τι. 247
Ἀντικειμένη δόξα, ἡ τὴν σχέσιν ἔξωθεν ἐπιγίνεσθαι τοῖς πράγμασι λέγουσα. 249
Ἔνστασις, τῶν λεγόντων δηλαδὴ μὴ ἀναφύεσθαι τὴν σχέσιν ἐν τῷ ὑποκειμένῳ κατὰ τὸ, ἐν, ἀλλὰ κατὰ τὸ, πρός. 251
Ἀπάντησις πρὸς τὴν αὐτὴν ἔνστασιν. 251
Διορισμὸς τοῦ ζητουμένου. ὅτι δηλαδὴ ἡ σχέσις πράγματί ἐστιν ἐν τοῖς οὖσι, καὶ οὐκ ἔργον τῆς ἡμετέρας ἐπινοίας. 251
Λύσις τῶν αὐτικειμένων λόγων. 254
Διαίρεσις κοινοτέρα τῆς σχέσεως εἰς τὴν κατὰ τὸ εἶναι, καὶ τὸ λέγεσθαι, καὶ διαβατικήν. 255
Ἀναίρεσις τῆς ἐκτεθείσης διαιρέσεως τῶν Πρός τι. 256
Ἀναίρεσις τοῦ τρίτου μέρους τῆς διαιρέσεως, τῶν διαβατικῶν δηλαδὴ σχετικῶν. 257
Διορισμὸς τοῦ ζητουμένου. ὅτι δηλαδὴ τὰ σχετικὰ διχῶς διανέμεται, εἰς τὰ κατὰ τὸ λέγεσθαι, καὶ εἰς τὰ κατὰ τὸ εἶναι. 257
Ὁποῖα εἰσὶ τὰ σχετικὰ κατὰ τὸ εἶναι, καὶ ὅπως τῶν κατὰ τὸ λέγεσθαι σχετικῶν διαφέρουσι. 258
Ἑτέρα διαίρεσις τῶν Πρός τι κατὰ τὸν Φιλόσοφον, ἥτοι ἀριθμοῦ, ἐνεργείας, καὶ μέξου. 259
Πόθεν λῆπτέα ἡ κατ' εἶδος τῶν Πρός τι διαίρεσις. 261
Ὅπως ὁ αὐτὸς ἰὼς ὅρος γίνεται τῆς ἀπὸ τοῦ παθητικοῦ σχέσεως, καὶ τῆς

τῆς ἀπὸ τῆς μιξεως. 261
Πότερον ἀπὸ τῆς βάσεως καὶ τοῦ ὑποκειμένου ἡ ἕξις τὸ εὖ εἶναι τῷ ἀριθμῷ ἔχει, ἢ ἀπὸ τοῦ ὅρου; 262
Περὶ Ποιοῦ, καὶ Ποιότητος. 264
Περὶ διαθέσεως, ἥτις πρῶτον γένος Ποιότητος. καὶ ὅτι διαφέρει ἕξις καὶ διάθεσις. 267
Περὶ τοῦ δευτέρου γένους τῆς Ποιότητος, ὅπερ ἐστὶ δυνάμεις φυσικὴ καὶ ἀδυναμία. 269
Περὶ τοῦ τρίτου γένους τῆς αὐτῆς ὅπερ ἐστὶ παθητικὴ ποιότης δηλαδὴ καὶ πάθος. 271
Ἀπορία. διατὶ δηλαδὴ καὶ τὰ χρώματα μὴ παθητικαὶ ποιότητες ἤκουσαν. 273
Ἀπάντησις. 273
Ἀπάντησις προσφυεστέρα. 273
Τέταρτον γένος ποιότητος. σχῆμα δηλαδὴ, καὶ ἡ περὶ ἕκαστον ὑπάρχουσα μορφή. 275
Ὅτι τὸ μανὸν, καὶ πυκνὸν, ξανὸ καὶ λεῖον, οὐκ εἰσὶ Ποιότητες. 276
Ἀπορία. τίνι λόγῳ δηλαδὴ τὸ σχῆμα ἐπὶ τοῦ Ποιότητα ἀναφαίρεται, εἴγε τὸ τρίγωνον ἢ τετράγωνον ἐν τῷ γένει τῆς Ποσότητος τάττονται; καὶ ἀπάντησις. 277
Ἀπορία. τίνι λόγῳ δηλαδὴ τὸ σχῆμα τῆς μορφῆς διαλύοχε. Καὶ ἀπάντησις. 278
Ζήτησις. πότερον τὰ ἐκτεθέντα τέτταρα τῆς ποιότητος εἴδη, ἀμιγῆ τυγχάνουσιν ἀλλήλων καὶ ἀσύγχυτα, ἢ οὔ; καὶ διορισμὸς τοῦ ζητουμένου. 279
Ἔνθεσις περὶ τῶν παρεπομένων τῇ Ποιότητι, καὶ πρῶτον περὶ ἐναντιώσεως. 282
Δεύτερον παρεπόμενον. ὅτι δηλαδὴ δέχεται ἐπίτασιν καὶ ἄνεσιν. 282
Τρίτον παρεπόμενον. ὅτι δηλαδὴ ὅμοιον καὶ ἀνόμοιον ἐπὶ τῆς ποιότητος λέγεται. 283
Περὶ τῶν ἐξ λοιπῶν Γενῶν. 285
Περὶ τάξεως τούτων. 284
Περὶ τοῦ Ποιεῖν καὶ Πάσχειν. 284
Διαίρεσις τοῦ Ποιεῖν. 284
Παρεπόμενα τοῦ Ποιεῖν. ἐναντίωσιν δηλαδὴ ἔχειν, καὶ τὸ μᾶλλον καὶ ἧττον

ἧττον ὑπὸδέχεσθαι. 285
Περὶ τοῦ Πάσχειν. 285
Διαίρεσις τοῦ Πάσχειν. 286
Παρεπόμενα τοῦ πάσχειν, δύο δηλαδὴ καὶ τὰ αὐτὰ ὡς τοῦ Ποιεῖν. 286
Περὶ τοῦ Κεῖσθαι. 286
Διαίρεσις τοῦ Κεῖσθαι. 287
Περὶ τῆς Ποῦ κατηγορίας. 287
Περὶ διαιρέσεως τοῦ Ποῦ. 288
Παρεπόμενα τοῦ Ποῦ. 288
Περὶ τοῦ Ποτέ. 289
Περὶ τοῦ Ἔχειν. 289

ΠΕΡΙ ΤΩΝ ΜΕΤΑ ΤΑΣ ΚΑΤΗΓΟΡΙΑΣ.

ΠΕρὶ τῆς ἀντικειμένων, ὑπογραφὴ τῆς αὐτῆς, καὶ ἀνάπτυξις τῆς αὐτῆς. 292
Διαίρεσις τῆς ἀντικειμένων. 293
Περὶ Προτέρου. 294
Περὶ τοῦ Ἅμα. 295
Περὶ Κινήσεως. 296
Ἀντίθεσις τῆς Κινήσεως. 296
Περὶ τοῦ Ἔχειν, ἤτοι σημασιῶν τοῦ αὐτοῦ. 297

ΤΟ ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ.

ΕΙς τὸ περὶ Ἑρμηνείας τοῦ Ἀριστοτέλους ὑπομνήματα. 299
Ἀπορία, τῆς τοῦ Λογικοῦ δηλαδὴ μέθοδον περὶ τὸ κατ' ἐπίνοιαν ὂν καταγίνεσθαι οἰομένων, καὶ ἀπάντησις. 302
Περὶ Ὀνόματος. 306
Περὶ Ῥήματος. 308
Ἀπορίαι περὶ τὰ εἰρημένα τῷ Ὀνόματι, καὶ τῷ Ῥήματι. 310
Περὶ τοῦ δευτέρου μέρους τῆς ὑπογραφῆς τοῦ Ὀνόματος, ὅπερ ἐστὶ τὸ ἄπτωτον χρόνου. 313
Περὶ ἀορίστου Ὀνόματος. 313
Περὶ τῆς τοῦ Ὀνόματος πτώσεων. 315
Ἀπορίαι περὶ τοῦ ὑπογραφοῦ τοῦ Ῥήματος. 317
Ὅπως γίνεται τὸ Ῥῆμα ἀόριστον. 317
Περὶ τῆς πτώσεων τοῦ Ῥήματος. 318
Περὶ τοῦ μέρους τῆς ὑπογραφῆς τοῦ Ῥήματος τοῦ λέγοντος, τὸ προσ-

σημ-

σημαῖνον χρόνον. 319
Ἀπορίαι διάφοροι καὶ ἀπαντήσεις. 319 320 321
Περὶ Μετοχῶν. 322
Διαίρεσις πρώτη τῆς Ὀνομάτων. 324
Διαίρεσις δευτέρα τῆς Ὀνομάτων. 324
Περὶ Κατηγοριῶν. 325
Ἑτέραι διαιρέσεις τῆς Ὀνομάτων κατὰ τοὺς νεωτέρους. 326
Ἑτέρα διαίρεσις. 326
Περὶ τῆς κατὰ συμπλοκὴν Ἑρμηνείας, ἤτοι περὶ Λόγου. 328
Διαίρεσις τοῦ Λόγου. 329
Περὶ Ἀποφάνσεως, ἤτοι ἀποφαντικοῦ Λόγου. 329
Ἑτέρα διαίρεσις τοῦ ἀποφαντικοῦ Λόγου. 330
Περὶ Ἀντιφάσεως. 330
Περὶ τῆς λοιπῶν Ἀντιθέσεων τῆς ἐν ταῖς προτάσεσι. 331
Διαφορὰ Ἀντιθέσεων ἀπὸ τοῦ ὑποκειμένου. 331
Διαφορὰ Ἀντιθέσεων ἀπὸ τῆς σχέσεως τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον. 334
Διαφορὰ τῆς Ἀντιθέσεων ἀπὸ τοῦ Χρόνου. 335
Διαφορὰ τῆς Ἀποφάνσεων ἀπὸ τῆς λεκτικῆς συνηθείας. 335
Ὅπως ἔχουσιν ἐφ' ἑκάστης Ἀντιθέσεως αἱ ἀντικείμεναι Ἀποφάνσεις πρὸς τὸ σωαληθεύειν, ἢ συμψεύδεσθαι. 336
Πότερον ἐν τοῖς μέλλουσιν ἐνδεχομένοις, θατέρα τῆς μερικῶν προτάσεων, ὡρισμένως ἀληθεύει, ἢ ψεύδεται, ἢ ἀναγκαίως μὲν, ἀορίστως δέ; 337
Θέσις. δοκεῖ γοῦν ἡμῖν ὅτι θάτερον μόριον τῆς ἀντιθέσεως ἀναγκαίως μὲν ἀληθεύει, ἢ ψεύδεται, ἀλλ' ἀορίστως, ἵνα μὴ τὰ ἐνδεχόμενα ἐκ μέσου γένηται. 339
Περὶ τῆς ἐκ ζήτου προσκατηγορουμένου ἀποφάνσεων. 341
Κανὼν καθ' ὃν δεῖ πάσας τὰς ἐκτεθείσας Ἀποφάνσεις, ἰσοδυναμούσας ἀλλήλαις ποιῆσαι. 351
Περὶ τῆς μετὰ ζόπου Ἀποφάνσεων. 352
Διαφορὰ ζόπων πρὸς τοὺς προσδιορισμούς. 453

ΠΕΡΙ ΠΡΟΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ.

Εἰς τὰ πρότερα Ἀναλυτικὰ προθεωρία. 362
Ὅπως διαιρεῖται τὰ πρότερα Ἀναλυτικὰ τῆς ὑστέρων κατὰ τὸ θεωρού-

ρούμενον φραγμα. 363
Διαίρεσις τῆς Προτέρων. 365
Τί ἐστι Πρότασις, καὶ ὁσαχῶς διαιρεῖται. 366
Διαίρεσις Προτάσεως. 367
Περὶ Ὅρου. 368
Διαίρεσις τῆς Ὅρων. 368
Περὶ ἀντιστροφῆς τῆς Προτάσεων. 369
Ἀντιστροφὴ τῆς Προτάσεων τοῦ ἐνδεχομένου. 371
Θεοφράστου καὶ Εὐδήμου ἀπορίαι, καὶ ἀπαντήσεις πρὸς αὐτάς. 373
Περὶ Συλλογισμοῦ. 375
Περὶ συλλογιστικῶν Σχημάτων. 379
Τίς ὁ μέσος Ὅρος, καὶ τί τὸ μεῖζον ἄκρον καὶ ἔλαττον. 379
Πόσα Σχήματα, καὶ ὅθεν ἡ διαφορὰ τούτων καὶ τάξις. 381
Τίνα εἰσὶ τὰ κοινῶς παρεπόμενα τοῖς ξ ἰσὶ Σχήμασι. 383
Ἴδια τοῦ πρώτου Σχήματος. 383
Ἴδια τῶ δευτέρου Σχήματος. 383
Ἴδια τοῦ ξ ίτου Σχήματος. 383
Τοῦ ξ ίτου Σχήματος συλλογιστικαὶ συζυγίαι. 385
Λέξεις συμβολικαὶ φερόμεναι παρὰ τῷ Φιλοσόφῳ. 388
Περὶ τῆς Φωνῶν, δι' ὧν αἱ συζυγίαι δηλοῦνται τῆς συλλογισμῶν ἐφ' ἑκάστου χήματος. 389
Παραδείγματα τοῦ πρώτου Σχήματος τῆς παραλλήλων συζυγιῶν. 391
Παραδείγματα τῶν παραλλήλων συζυγιῶν ἐπὶ τοῦ δευτέρου χήματος. 392
Συζυγίαι παράλληλοι τοῦ ξ ίτου χήματος. 393
Συζυγίαι ἀπαράλληλοι ἐπὶ τοῦ αὐτοῦ χήματος. 393
Παρατήρησις περὶ τὰ τῶν συλλογισμῶν χήματα. 394
Περὶ τῆς Ἀναγωγῆς τῶν συλλογισμῶν τοῦ δευτέρου καὶ ξ ίτου χήματος ἐπὶ τοὺς τέτταρας ξ όπους τῶ πρώτου χήματος παραλλήλως συμπεραίνοντας. 394
Περὶ τῆς εἰς ἀδύνατον Ἀπαγωγῆς. 395
Ποσαχῶς ἡ εἰς ἀδύνατον Ἀπαγωγή. 397
Ὅπως πάντες οἱ συλλογισμοὶ τελειοῦνται διὰ τῶν δύο καθόλου τῶν ἐν τῷ πρώτῳ χήματι. 398

ΤΜΗ-

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Περὶ διρέσεως Προτάσεων, ἤτοι τοῦ μέσου ὅρου. 400
Διαίρεσις τοῦ δευτέρου τμήματος. 401
Μέθοδος τῆς διρέσεως ἢ κανόνες. 402
Ἴδια ἑφ' ἑκάστου σχήματος. 403
Σαφήνεια τῆς εἰρημένων ἐν παραδείγμασι. 404
Ὅτι οὐκ ἔστιν ἑτέρα μέθοδος προτάσεων διρετικὴ παρὰ τὴν ἐκτεθεῖσαν. 411

ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

Ὅτι ἡ Διαίρεσις ὑπερ μετέχει τῆς συλλογιστικῆς δυνάμεως ἐπὶ τὴν ἐκτεθεῖσαν μέθοδον ἀναφέρεται. 412

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Περὶ ὑποθετικῶν Συλλογισμῶν. 414
Διαίρεσις τοῦ ὑποθετικοῦ Συλλογισμοῦ, καὶ περὶ τῆς δι' ὅλου ὑποθετικῶν. 416
Περὶ Μικτῆς. 417
Περὶ τῆς κατὰ Συνέχειαν. 417
Περὶ τῆς κατὰ Διάζευξιν. 418
Περὶ τῆς εἰς ἀδύνατον Ἀπαγωγῆς. 419
Τίνα ἕκαστον ὑπὸ τὰ συλλογιστικὰ τεῖα σχήματα οἱ ὑποθετικοὶ ἀνάγονται συλλογισμοί. 420

ΠΕΡΙ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΩΝ ΠΡΟΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ.

Περὶ τῆς κύκλω καὶ διαλλήλου Δείξεως. 423
Τμῆμα δεύτερον. 428
Τμῆμα τεῖτον. 429
Περὶ Ἀπαγωγῆς. 429
Περὶ Παραδείγματος. 431
Περὶ Ἐνθυμήματος. 433

ΕΙΣ ΤΑ ΥΣΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ.

Τί τὸ περὶ οὗ ὁ λόγος ἐπὶ τῆς παρούσης πραγματείας. 435
Περὶ τῆς ἐπιγραφῆς τῆς βιβλίων. 436
Περὶ τῆς τάξεως ἣν κέχρηται ὁ Φιλόσοφος ἐπὶ τῆς προκειμένης πραγματείας. 437
Περὶ Διαιρέσεως τῆς πραγματείας. 437

Διαίρεσις τοῦ πρώτου βιβλίου. 438
Περὶ τῆς ζητουμένων, ἢ γινωσκομένων περὶ ἑκάστου. 439
Περὶ τῆς προγινωσκομένων τῆς ἀποδείξεως. 440
Ὁ ξόπος καθ' ὃν αἱ ἀρχαὶ προγινώσκονται. 440
Ὁ ξόπος τῆς προγνώσεως τοῦ Πάθους. 441
Τίνι ξόπῳ προγνώστεον ἐστὶ τὸ διδόμενον, ἤτοι τὸ ὑποκείμενον τοῦ προβλήματος. 441
Ἀνάπτυξις τοῦ ὁρισμοῦ τῆς Ἐπιστήμης. 444
Τί ὄστιν Ἀπόδειξις. 445
Περὶ Προτάσεων, ὅτι δεῖ ἀληθεῖς εἶναι. 447
Ὅτι πρώτας καὶ ἀμέσους δεῖ εἶναι. 447
Ὅτι αἰτίαι εἰσὶ τοῦ συναγομένου. 448
Ὅτι γνωριμώτεραι. 448
Τί ὄστιν Ἀξίωμα. 449
Τί ὄστι Θέσις. 450
Τί ὄστιν Ὑπόθεσις. 450
Τί ὄστιν Ὁρισμός. 451
Τρεῖς ξόποι τῆς ἀναγκαιότητος τῆς ἀποδεικτικῶν ἀρχῶν. κατὰ παντὸς, καθ' αὐτὸ, καὶ καθόλου. 454
Τέτταρες ξόποι τοῦ καθ' αὐτό. 455
Τίσι κοινωνοῦσιν, ἢ διαφέρουσιν αἱ ἀρχαὶ, καὶ τὸ συμπέρασμα. 463
Ὁρισμὸς καὶ διαίρεσις τῆς ἀρχῶν. 464
Περὶ τῆς προγνωστέων. 464
Τίνι ξόπῳ θεωροῦνται ἑφ' ἑκάστης Ἐπιστήμης τὰ ἐκτεθέντα. 466
Περὶ τῆς αὐθυ συμπλοκῆς Ἀρχῶν. 466
Περὶ τῆς κατὰ συμπλοκὴν Ἀρχῶν. 467
Ἀπορία περὶ τὰς ὑποθέσεις. ὅτι δηλαδὴ πολλάκις ἐπὶ τῆς Ἐπιστημῶν ψευδεῖς ὑποθέσεις γίνονται. 469
Περὶ τῆς τοῦ Ὅτι ἀποδείξεως. 471
Τίσι διαφέρει ἡ ἀπόδειξις τοῦ Διότι, τῆς ἀποδείξεως τοῦ Ὅτι. 472
Περὶ τῆς ὑπαλληλίας τῆς Ἐπιστημῶν. 473
Διαίρεσις τῆς Ἕξεων κατὰ τὸν Φιλόσοφον, καὶ τῆς μερῶν ἑκάστης ἀνάπτυξις. 475
Περὶ τοῦ Νοός. 476
Περὶ Σοφίας. 476

Περὶ

Περὶ Ἐπιστήμης. 477
Περὶ Φρονήσεως. 477
Περὶ Τέχνης. 478
Τίς αὖ εἴη ἀκριβεστέρα Ἐπιστήμη, ἢ προτέρα. 478
Περὶ Δόξης. 479
Περὶ Πίστεως. 480
Περὶ Ἀγχινοίας. 480

ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΩΝ ΥΣΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ.

Περὶ Ὁρισμοῦ, τί ἐστι, καὶ ὁσαχῶς συμβαίνει γίγνεσθαι. 483
Περὶ τοῦ γινομένου αἰτίου μέσου ἐν ταῖς ἀποδείξεσι. 485
Τίνα ξόπον θηρεύεσθαι πεφύκασιν οἱ ὁρισμοὶ τῆς οὐσίας τῶν ὄντων. 486
Ἔκθεσις σύντομος περὶ σοφιστικῶν ἐλέγχων. 487
Σκοπὸς τῆς γνώσεως τῆς σοφιστικῶν λόγων. 488
Τί τὸ τέλος τῆς Σοφιστῶν ἐν τῷ παραλογίζεσθαι. 488
Τί ἐστι Παραλογισμὸς κατὰ σοφιστὰς, καὶ ποσαχῶς συμβαίνει γίγνεσθαι. 489
Περὶ Ὁμωνυμίας. 489
Περὶ Ἀμφιβολίας. 490
Περὶ τῆς κατὰ συνθέσιν Παραλογισμῶν. 492
Περὶ Διαιρέσεως. 492
Περὶ Προσῳδίας. 493
Περὶ τοῦ παρὰ τὸ σχῆμα τῆς λέξεως Παραλογισμοῦ. 493
Περὶ τῆς ἐκτὸς τῆς λέξεως Παραλογισμῶν. 494
Περὶ τοῦ κατάτι, καὶ ἁπλῶς Παραλογισμοῦ. 495
Περὶ τοῦ παρὰ τὴν ἄγνοιαν Ἐλέγχου. 496
Περὶ τοῦ Παραλογισμοῦ τὸ ζητούμενον ὡς ὁμολογούμενον λαμβάνειν. 497
Περὶ τοῦ παρὰ τὸ ἑπόμενον τοῦ ἐλέγχου. 497
Περὶ τοῦ τὸ μὴ αἴτιον ὡς αἴτιον λαμβάνοντος Παραλογισμοῦ. 497
Περὶ τοῦ τὰ πολλὰ ἐρωτήματα ἓν ποιεῖν Παραλογισμοῦ. 498

ΤΕΛΟΣ.

NOI REFORMATORI

Dello Studio di Padoa.

HAvendo veduto per la Fede di Reviſione, & Approbatione del P. F. Tomaſo Maria Genari Inquiſitore, nel Libro intitolato, ſopra la Logica d'Ariſtotile ſcritto in lingua Greca, non v'eſſer cos'alcuna contro la Santa Fede Cattolica, & parimente per Atteſtato del Segretario Noſtro; niente contro Prencipi, & buoni coſtumi, concedemo Licenza à Nicolò Glichì Stampatore, che poſſi eſſer ſtampato, oſſervando gl'ordini in materia di Stampe, & preſentando le ſolite copie alle Publiche Librarie di Venetia, & di Padoa.

Dat. 9. Febraro 1727.

(*Gio: Franceſco Moroſini Kav. Ref.*

(*Alviſe Piſani K. Proc. Ref.*

(*Z. Pietro Paſqualigo Ref.*

Agoſtino Gadaldini Seg.



ΠΡΟΟΙΜΙΟΝ

Εἰς ἅπασαν τὴν Λογικὴν Πραγματείαν.

Οὐ μόνον καλῶς, ἀλλὰ καὶ λίαν ὀρθῶς τοῖς ἐρωτῶσιν, ὁ πάλαι Σωκράτης περὶ δυνάμεως ἀπεκρίνατο λόγου, εἰπὼν οὑτωσί. ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων, ἐν δὲ τῷ ζῆν εὐδαιμόνως λόγος πλούτου. καί τοι καλὸς μὲν ὁ χρυσὸς τῇ ὄψει, ἀλλ' ἐν καιρῷ καταδρομῆς οὐχ ἧττον τῆς πολεμίων, ἢ τῆς κυρίων λέγεται. σίδηρος δὲ τῇ στερρότητι πρὸς πάντα ἀντέχων, ὑπὲρ πάντων προτείνεται, καὶ φύλαξ ἀεὶ τοῦ χρυσίου καθίσταται. ταύτῃ τοι καὶ λόγος πλούτου παραπολὺ διενήνοχε. πολλάκις γὰρ πλούσιος περὶ λόγους ἀγύμναστος, ἐρήμῳ ἐάλω, καὶ στερηθεὶς τοῦ πλούτου, τῳαλλῶς ἐφάνη τούτῳ τεθαρρηκώς. λόγος δὲ τεχνικὸς ἀπὸ διανοίας ἀσκημένης προελυληθὼς τομώτερος ἐφάνη μαχαίρας, καὶ ὀξύτερος ἀκωκῆς, ἐχθροὺς μὲν ἀνιάσας, φίλους δὲ τέρψας, καὶ τὸν λέγοντα δὴ οὐ μόνον παρά γε φίλους, ἀλλὰ κἂν τοῖς ἐχθροῖς οὐ τοῦ τυχόντος ἀξιώσας ἐπαίνου. οὐδὲ γὰρ καὶ πολέμιος θαυμάζειν ἀνδρὸς ἀρετὴν. τοίνυν ἐπεὶ καὶ ὑμεῖς ὦ Φοιτηταί, εὐδαιμόνως ζῆν ἐγνωκότες, καὶ τὸν λόγον παραπολὺ τοῦ πλούτου προκρίναντες, καὶ δὴ ἱκανῶς γυμνασθέντες περὶ κυκλοπαίδειαν (ὅση περὶ τοὺς κανονισμοὺς τῶν μερῶν τοῦ λόγου, καὶ συνθέσιν τῶν κατ' εἴδος ῥημάτων στρέφεται) καὶ πράξει ἐνδελεχεῖ τῇ κατ' αὐτὴν ἐνδιδόντες, λόγων καταβολὰς ὑμῖν αὐτοῖς ἐνεθήκατε. Διὸ καιρὸς ἤδη ἐφ' ἑτέραν δέδοκται μεταβῆναι παιδείαν, ἥτις τὰς τε καταβολὰς εἰς φῶς προάξει, καὶ τὸν λόγον ὡς μάχαιραν ἐν βαφῇ δυμεθόδως τομώσει, ἵν' ὅπως ἐγκρατεῖς λόγων μεθοδικῶν γενόμενοι, διά τε θεωρίας καὶ δυνάμεως λογικῆς, προσφυῶς συλλογίζησθε περὶ ἑκάστου, καὶ πρὸς τοὺς ἀντιλέγοντας τῇ ἀληθείᾳ ὑπομόνως ἀντιλέγητε. καὶ δὴ πρὸ τῆς ἄλλων ὑπομνημῶν Φιλοσοφίαν ὑμᾶς ὑποθουμένους ὁρῶν, καὶ τῆς

ταύτης ὀργίων προθυμώτατα γλιχομένους, οὐχ ἥττον ἐπαινῶ τὸ προθυμον, ἢ μακαρίζω τὸ φιλομαθές. Θεὸς αὖτικρυς τοῦτο ὑμῖν ἀποκαλύψας, καὶ ἐπὶ τοῦτο προβέψας, ἐν τοιούτοις καιροῖς δηλαδὴ, ἐν οἷς ἡ μόνον Φιφία ἐξ ἀνῶν ἐλήλαται, ἀλλὰ καὶ οἱ ὀπωσοῦν ταύτης ἐχόμενοι, μυρίοις δεινοῖς ὁσημέραι παλαίουσι· νέοις ὑμῖν ἤδη οὖσιν, ξυφὴ μὲν καὶ ἡ ἄλλη ἁπάλη ἅπασα περιφρονεῖται, Φιλοσοφία δὲ, καὶ ὁ ὑπὲρ αὐτῆς πόνος ἀντιποιοῦνται προθύμως, εἰδόσιν ὅτι ἡ Φιφία ὥσπερ πλάσης ἀγαθὸς, καλὸν τῇ ψυχῇ περιτίθησι χῆμα, ὡς ἔφη τις τῶν ἐπὶ Φιλοσοφίᾳ δόξαν ἐχόντων. Φιλοσοφία φημὶ, ἥτις μόνη τὸν ἄνον Θὸν ἀπεργάσαι δυνάμιν εἴληχε. δι' ἧς αὖοι τὰς ἀπάντους ὁρμὰς ἀνασέλλουσι, Ϲ τὰς ὀρέξεις ἐν τάξει κοσμοῦσι, τῇ τε ἀλόγων παθῶν ἀλόγως κατακρατοῦσι, καὶ πρὸς ἀζωΐαν τοῦ λοιποῦ ἑαυτοὺς ἐπιῤῥυθμίζουσι. τῷ ὄντι γὰρ πράγματος ἐφίεσθε θειοτάτου, καὶ ἐν τῷ μετὰ σώματος βίῳ ἀναγκαιοτάτου, οἷον οὐδ' ἧκεν ἕτερον, οὐδ' ἥξει πώποτ' ἐν αὐοῖς. Ἀλλ' ἐπειδὴ ὥσπερ ἐπὶ παντὸς πράγματος ἐσί τις μέθοδος διάτινων προγυμνασμάτων, καὶ καπωρθωμάτων, εἰσάγουσα δι' χερῶς ἐπὶ τοῦτο τοὺς περὶ αὐτὸ πονοῦντας, οὕτω κἀνταῦθα ἐστὶν ἡ Λογικὴ Μέθοδος, εἰσάγουσα τὰς πρωτοπείρους διὰ τῆς ταύτῃ κατορθουμένων ὀργάνων, εἰς τὰ ἀνάκτορα τῆς Φιλοσοφίας ὁμαρῶς. οὕτως ἀναγκαία, οὕτως ἐπωφελὴς, ὥστε τῷ ἴσῳ μέῤῥῳ τιὼ Φιλοσοφίαν μεῤῥεῖσθαι τοῖς μυουμένοις, καθόσον ἔλαχεν ἕκασος τούτων ὁμοιρῆσαι τῆς τοιαύτης μεθόδου. ἀμέλει ταύτῃ ἐπάναγκες πρὸ Φιλοσοφίας ὑμᾶς διδαχθῆναι, καὶ ὅση δύναμις περὶ ταύτῃ ἀσχοληθῆναι. ἵνα διὰ τῆς ταύτης κανόνων, ὄργανα κατασκευάσαντες, οἷς ἐν Φιλοσοφίᾳ χρώμενοι πρὸς διάγνωσιν ἀληθείας, καὶ ψεύδους, ἐπὶ Φιλοσοφίαν μεταβήσεσθε. Ἡμεῖς δὲ σὺν θεῷ τὸν θειότατον ἡμῶν Καθηγητὴν πρόσατλι τοῦ λόγου ποιήσαντες, τῇ τούτου περὶ Λογικῆς Ἑρμηνεία τὰ πλεῖστα χρησάμενοι, ἐξ ὧντε ἐγγράφως παρελάβομεν, ἐξ ὧν τε καὶ ἀπηκόοτες τῇ μνήμῃ συμπεριφέρομεν, ὑμῖν αὐτοῖς ἐν ταῖς κατὰ λογικὴν ἀπαιδίας βοηθήσομεν, σωτηρίᾳ τε χρησάμενοι, καὶ ἀκαιρεότητι δογμάτων ἐν πᾶσιν. ἐξ ὧν ἕπεται ἥτε τῆς μνήμης ὁμάρεια, καὶ ἡ τῆς ἀληθείας ἐπίδυξις. ὧν καὶ ὑμᾶς ἐγκρατεῖς γενέσθαι, οὐ παντάπασιν ἐλπίδος ἀποπεπτώκαμεν.

Προσδιορισμὸς τῆς λεχθησομένων, καὶ ζητήματα τῆς ὅλης Λογικῆς Πραγματείας.

Τῶν ζητουμένων περὶ ἑκάστου τῆς ὑπὸ τὴν πρώτην ἐπέχει τάξιν τὸ εἰδέναι τὸ τί σημαίνει τοὔνομα τὸ προτεθέντος εἰς ἔρευναν, ἐφεξῆς δὲ ζητητέον, εἰ ἐν τοῖς οὖσιν ὑφέστηκε τὸ δηλούμενον ὑπὸ τοῦ τοιοῦδε ὀνόματος, ἢ τῇ ἐπινοίᾳ διαπλάττεται μόνῃ, ὡς τραγέλαφος, σκίνδαψος, καὶ τὰ τοιαῦτα. καὶ μετὰ τοῦτο ὁποίας ἂν εἴη φύσεως, καὶ διατί ἐξεταστέον. ἃ δὴ διὰ τῆς τετάρων ἐκείνων πολυθρυλλήτων ζητημάτων ἐξελέγχεται. ἀμέλειται καὶ ἡμῖν τοῖς περὶ Λογικῆς, ἢ Διαλεκτικῆς τὴν πραγματείαν, εἰς ἐξέτασιν προθεμένοις, ἀναγκαῖον πρὸ πάντων ἔδοξε τὴν σημασίαν τοῦ τῆς Λογικῆς ὀνόματος ἀπαντῆσαι, προσεχῶς δὲ τὰ τέτταρα ἐκεῖνα ζητῆσαί τε καὶ ἐξετάσαι περὶ αὐτῆς. Τὸ τῆς Λογικῆς τοιγαροῦν ὄνομα, ἀπὸ τοῦ λόγος παραγόμενον, τοιαύτην ἔχειν σημαίνει, ἥτις ἡμᾶς συλλογίζεσθαι μετὰ λόγου διδάσκει, τουτέστι μετὰ συλλογισμοῦ ὅπερ ἡμονικῶς τὰ προβαλλόμενα εἰς ζήτησιν διακρίνειν. ὁμοίως καὶ διαλεκτικὴ ἀπὸ τοῦ διαλέγομαι παραγομένη, τὸ ἀμείβεσθαι, καὶ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν τοὺς λόγους ποιεῖσθαι δηλοῖ πρὸς τοὺς ἀντιλέγοντας. οἱ Πλατωνικοὶ μέντοι τὸ τοιοῦτον ὄνομα, ἀντὶ τῆς ἁπλῶς Φιλοσοφίας λαμβάνουσιν. ἥτις τῇ Ἀριστοτέλει μετὰ τὰ φυσικὰ προσηγόρευται. οἱ Περιπατητικοὶ δὲ, οὐ πᾶσαν τὴν λογικὴν ἕξιν τῷ τοιούτῳ ὀνόματι προσαγορεύειν φιλοῦσιν, ἀλλὰ μόνον ἐκεῖνο τὸ μέρος (τὴν Τοπικὴν δηλαδὴ), ὃ περὶ παντὸς τοῦ προτεθέντος, πιθανῶς διδάσκει ἀμείβεσθαι, καὶ λόγον πιθανὸν παραδιδόναι. ὅθεν καὶ ἀναπόδεικτος τῷ Φιλοσόφῳ εἴρηται ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις, καὶ πολλάκις τῇ Ῥητορικῇ Τέχνῃ καταχρῆσθαι. ἤδη τὴν σημασίαν τὸ ὀνόματος τῆς λογικῆς ἔχουσι, τὰ τέτταρα ἐκεῖνα ζητεῖν ἔξεσι περὶ αὐτῆς, ὧν ἁπλᾶ μὲν δύο, εἰ ἔστι δηλαδὴ, καὶ τί ἔστι. δύο δὲ συνθετα, ὅτι ἔστι τοιοῦτον, καὶ διότι ἐστί. τοιγαροῦν ἐπὶ τὰ παρόντος, τὸ εἰ ὅλως ὑφέστηκεν ἡ Λογικὴ Πραγματεία πολυπραγμονεῖν, περιττόν. καί τοι καὶ τοῦτο πολλῆς ἀκαίρου φιλοτιμίας ὑπόθεσις γίνεται. τῆς γὰρ ἕξεων ἑκάστη ταῖς κατ' αὐτὴν ἐνεργείαις τὴν ἰδίαν τεκμήρεται ὕπαρξιν. ὅτι δὲ εἰσὶν οἱ κατὰ λογικὴν ἐνεργοῦντες, ἀναμφισβήτητον. τί δ' ἔστιν ἡ Λογικὴ, ἃ μόνον τοῖς πάλαι, ἀλλὰ καὶ τοῖς νῦν Φιλοσοφοῦσι διαφέρονται. ζητητέον ἄρα πρὸ τῆς ἄλλων τουτί. τοῦτο δὲ τὸ ζητεῖν τί ἐστι, τὸν ὁρισμὸν τοῦ πράγματος ἐστὶν ἀπαιτεῖν. ῥητέον οὖν πρότερον περὶ ὁρισμοῦ, ποσαχῶς τε ὁ ὅρος εἴωθεν


θεμιστοῖ

ἐκλαμβάνεσθαι, καὶ πόθεν τὴν σημασίαν εἴληχε, καὶ τίσι διαφέρει ὁρισμὸς ὅρου. ἀλλὰ πρὸ τούτων τὴν αἰτίαν, δι' ἣν τὰ τέτταρα ταῦτα ζητεῖται δοκεῖ χρήσιμον εἰπεῖν.

Σημείωσις περὶ τῆς τεττάρων ζητουμένων.

Ἐπὶ πότερα ταῦτα ζητεῖται τὰ τέτταρα. τῆς γὰρ πραγμάτων, τὰ μέν ἐστιν ὑπάρκτα, ὡς ἀγγέλαφος, ἱπποκένταυρος, καὶ τὰ λοιπὰ, ὅσα δηλαδὴ ἡ ἡμετέρα διάνοια ἀναπλάττει. τὰ δὲ ὕπαρξιν ἔχει. καὶ τούτων αὖθις τῆς ὕπαρξιν ἐχόντων, τὰ μὲν ἀμφιβαλλομένως ἔχει τὴν ὕπαρξιν, ὡς ἡ ἄστρος σφαῖρα, ὡς ἀντίποδες, καὶ τὰ παραπλήσια. ταῦτα γὰρ ἀμφιβάλλονται εἴτε εἰσὶ, εἴτε οὔ. τὰ δέ ἐστιν ὁμολογούμενα, ὥσπερ ἵππος, ἢ βοῦς. καὶ ἐπὶ μὲν τῆς ὕπαρξιν ἐχόντων, ἀμφιβαλλομένως δὲ, ζητοῦμεν τὸ τί ἐστιν. ἄτοπον γὰρ ὄντως καὶ ἀμαθὲς μήπω μαθόντας εἰ ἔν ὑπάρξει τόδε ἐστὶν, ἐρεύνᾶν περὶ αὐτοῦ τί αὖ εἴη. ἐπὶ δὲ τῆς ὁμολογουμένως ἐχόντων τὴν ὕπαρξιν, ζητοῦμεν τὸ τί ἐστι. τὸ δὲ τί ἐστιν, ἢ δι' ὀνόματος ἐνφέρεται, ἢ δι' ὁρισμοῦ. δι' ὀνόματος μὲν, ὅταν βλέποντές τι λέγωμεν, τί ἐστι; καὶ ἀκούομεν ὅτι ἐστὶν ἵππος, ἢ βοῦς, ἢ ἕτερόν τι. δι' ὁρισμοῦ δὲ, ὅταν λέγωμεν, ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἐπεὶ δὲ τὰ πράγματα οὐ μόνον κοινωνοῦσι κατὰ τὸ γένος, ἀλλὰ καὶ διαφέρουσι, φέρε εἰπεῖν τῆς ζώων, καθ' ὃ τὰ μὲν εἰσὶ λογικὰ, τὰ δὲ ἄλογα, καὶ διὰ τοῦτο ζητοῦμεν ἐποῖόν τί ἐστιν; ἵνα γνῶμεν τὰς διαφορὰς τούτων. καὶ γὰρ αἱ διαφοραὶ τῶν ὅρων σωναφέρονται. Εἰδέναι δὲ δεῖ ὅτι ἡνίκα τὸ τί ἐστι δι' ὀνόματος ἀποδίδοται, τότε δεῖ ζητεῖν ὁποῖόν τί ἐστιν, ἡνίκα δὲ δι' ὅρου, τότε ἐ ζητητέον τὸ, ὁποῖόν τί ἐστι, ἀλλὰ τὸ, διατί ἐστιν. ἐπεὶ δὲ πάντα πρός τι τέλος ὁρῶσι, καὶ οὐδὲν μάτην, οὔτε θεὸς, οὔτε φύσις, οὔτε ἡ τέχνη ἐπινάσασα, τούτου χάριν ζητοῦμεν, διατί ἐστιν. οἷον, διατί ἐστὶ κλίνη; διὰ τὴν τῶν ἀνθρώπων ἀνάπαυσιν. καὶ διατί ἐστιν ἄνθρωπος; διὰ τὸ κοσμεῖσθαι τόδε τὸ πᾶν. καὶ γὰρ τὸ πᾶν οὐκ ἂν ἀτελὲς τοῦ ἀνθρωπείου μὴ παραχθείσης εἴδους.

Τῶν



Περὶ ὁμωνυμίας ὅρου, καὶ περὶ Ὁρισμοῦ δι' οὗ τὸ τί ἐστι τῶν ὄντων θηρώμεθα.

Ὅρος λέγεται μὲν καὶ τὸ ὁροθέσιον, λέγεται δὲ καὶ πᾶσα ἀρχὴ καὶ τέλος ἑκάστου πράγματος, διὰ τὸ κατὰ ταῦτα ὁρίζεσθαι τὸ περιεχόμενον πρᾶγμα. πᾶν γὰρ τὸ περιεχόμενον καὶ πεπερασμένον, ὁρισμένον καλεῖται, καθ' ὃ πεπέρασται. κατὰ τοῦτο δὴ τὸ σημαινόμενον καὶ ὁ Φιλόσοφος ὅρον ἐκάλεσεν, εἰς ὃν ἀναλύεται ἡ πρότασις. οἷον ἐπὶ τῆς προτάσεως, τὶς ἄνος περιπατεῖ. ὅροι μὲν τῆς προτάσεως ταύτης, τὸ ἄνος, καὶ τὸ περιπατεῖ, ἀναλύεται δὲ εἰς ταῦτα, ὡς εἰς τελευταῖα πέρατα. ὥσπερ γὰρ ἀρχαὶ ταῦτα τῆς ἐν προτάσει συνθέσεως, οὕτω καὶ τέλη τυγχάνει τῆς ἀναλύσεως. ἔτι τε μὴν ὅρος λέγεται, καὶ φάσις ῥητορικὴ, καὶ κεφάλαιον τῆς φάσεως ὁμωνύμως, καὶ δογμάτων περίληψις, καὶ πᾶς λόγος κεφαλαιώδης

δης καὶ συντετμημένος, ὅρος καλεῖται. τάττεται δὲ ὅρος καὶ τὸ ὁρίζειν, ἐπὶ ἀσφαλείας καὶ βεβαιότητος. καὶ παρὰ ταῦτα ὅρος λέγεται καὶ ὁ ὁρισμὸς, δι' οὗ τὴν φύσιν ἑκάστου τῶν ὄντων θηρώμεθα. διαφέρει δὲ ὁρισμὸς, ὅρου, ὡς εἶδος γένους. τάττεται γὰρ ὁ ὁρισμὸς ὑπὸ τὸν ὅρον, ὡς τὰ εἴδη ὑπὸ τὸ οἰκεῖον γένος. διὸ καὶ μειζότερος τοῦ ὅρου τυγχάνει, καθολικωτέρου ὄντος. ἔτι τε μὴν διαφέρει καὶ τοῦ ὀνόματος. καθόσον τὸ μὲν ὄνομα προφέρεται διὰ μιᾶς λέξεως, καὶ σημαίνει πράγματος οὐσίαν σκιωδῶς, ὁ δὲ ὁρισμὸς, φανερῶς τε, & διακεκριμένως, καὶ διὰ πλειόνων λέξεων. ὃν καὶ ἀποδιδόασιν οὕτως. Ὁρισμός ἐστι λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὁριστοῦ, ἤτοι τοῦ ὑποκειμένου.

Διάφορα σημαινόμενα τοῦ Ὅρου.

Ὅρος λέγεται καὶ τὸ ὁροθέσιον, καὶ πᾶσα ἀρχὴ καὶ τέλος τοῦ πράγματος. καὶ ὅρος εἰς ὃν ἀναλύεται ἑκάστη πρότασις, & σάσις ῥητορικὴ, καὶ κεφάλαιον τῇ φάσει ὁμωνυμοῦν, καὶ δογμάτων περίληψις. Καὶ πᾶς λόγος κεφαλαιώδης καὶ συντετμημένος ὅρος καλεῖται. λέγεται ὅρος καὶ ἐπὶ ἀσφαλείας & βεβαιότητος, καὶ ὁρισμός. τὸ μὲν οὖν, λόγος, ἐνταῦθα ὡς γένος εἴληπται. τὸ δὲ σύντομος, καὶ τὸ δηλωτικὸς τῆς φύσεως τοῦ ὁριστοῦ, συστατικῶν διαφορῶν ἀποπληροῦσι τόπον.

Ἀνάπτυξις τοῦ ὁρισμοῦ, καὶ ποσαχῶς λέγεται ὁ Ὁρισμός.

Λόγος τοίνυν εἴρηται ὁ Ὁρισμὸς πρὸς ἀντιδιαστολὴν τῶν ὀνόματος. ὅτι τὸ μὲν ὄνομα εἰ καὶ ὁπωσοῦν ὑποδηλοῖ φύσιν πράγματος ὡς εἴρηται, ἀλλ' οὖν ἐκ μιᾶς συλλαβῆς λέξεως. ὁ δὲ λόγος ἐκ δύο τουλάχιστον. σύντομος δὲ διότε τοὺς μακροὺς λόγους; καὶ τοὺς διεξοδικῶς περὶ φύσεως πραγμάτων διαλαμβάνοντας. ἐπειδὴ δὲ εἰσί τινες λόγοι σύντομοι, οἵ τινες ὁρισμοὶ οὐκ εἰσὶ, φύσιν πραγμάτων μὴ δηλοῦντες, οἷά εἰσι τὰ γνωμικὰ ἀποφθέγματα, ὡς τὸ, χρόνος σοφώτερος πάντων, καὶ μηδὲν ἄγαν, καὶ τὰ ὅμοια. διὰ τοῦτο προσετέθη τὸ, δηλωτικὸς τῆς φύσεως τοῦ ὁριστοῦ. δηλοῖ δὲ ἐνδέχεται τὰ πράγματα μάλιστα ἐνίοτε. ἡ ἐτυμολογία, ἥτις & Ἐτυμολογικὸς ὁρισμὸς καλεῖται. ἡ ὑπογραφὴ, ἥτις ἐνίοτε καὶ ὑπογραφικὸς ὁρισμὸς λέγεται. (διαφέρει δὲ ὑπογραφὴ τοῦ ὑπογραφικοῦ ὡς εἰρήσεται κατωτέρω, εἰ καὶ ἐνίοτε ἀνθ' ἑνὸς λαμβάνονται.) ἢ τῷ καλουμένῳ κυρίως

ὁρι-


ὁρισμῷ. ἀλλ' ἡ μὲν ἐτυμολογία τῇ φύσιν μᾶλλον ἁπτύσει τοῦ ὀνόματος, ἢ τοῦ διὰ ὀνόματος δηλουμένου πράγματος, οἷα ἐστὶν ἡ πυθαγόρειος ἐκείνη περὶ Φιλοσοφίας. ὁ γὰρ Πυθαγόρας τῇ Φιλοσοφίαν ὠρίζετο φιλίαν εἶναι τῆς σοφίας, πρῶτος τῷ παρὰ τοῖς παλαιοτέροις ὀφθὰς ἁμαρτήματι. ἐπειδὴ γὰρ ἐκεῖνοι σοφὸν ὠνόμαζον, τὸν ἰδίᾳ τινοῦν μεταχόμενον τέχνης, μεθίεσι τῇ προσηγορίαν ταύτῃ ἐπὶ τὸν Θεὸν, ὡς μόνον ἐκεῖνον καλεῖσθαι σοφὸν κυρίως τὸν τῇ σοφίαντε, & τῇ γνῶσιν τῇ ἀϊδίων ἔχοντα. τὰς δὲ περί τι τῇ φυσικῶν ἀχολυμένας, φιλοσόφους ὠνόμαζον, οἱωνεὶ φιλοῦντας τὸν σοφὸν Θεὸν. & τῇ γνῶσιν τότων, φιλοσοφίαν ἐκάλει, τουτέστι φιλίαν σοφίας.

Ὑπογραφικὸς δέ ἐστιν ὁρισμὸς, ὁ ἐκ γένους, ἢ τινὸς γένους χώραν ἔχοντος, καὶ ἰδίων οὐσιωδῶν, ἢ καὶ σωδρομῆς διαφόρων συμβεβηκότων τὸ προτεθὲν ὑπογράφων. ὡς εἴτις φαίη τὸν ἄνθρωπον εἶναι ζῶον δίπουν, ὀρθοπερίπατητικὸν, πλατυόνυχον, χερσὶ χρώμενον. γένος μὲν ὄντος τοῦ ζώου, τῇ δὲ λοιπῶν τῇ ἐν τῇ ὑπογραφῇ συμβεβηκότων ὄντων ἐν ἀνθρώπῳ. Κυρίως δὲ ὁρισμός ἐστιν ὁ ἐκ τῇ ἐνόντων τῷ πράγματι οὐσιωδῶς δηλῶν τοῦτο. ἔστι δὲ διττὸς, ἢ γὰρ φυσικὸς λέγεται, ὡς ἐξ ὕλης καὶ εἴδους συγκείμενος. οἷον, ἄνθρωπος ἐστὶ σῶμα ὀργανικὸν, λογικῇ ψυχῇ εἰδοποιημένον. ἢ ἐκ γένους καὶ συσατικῆς διαφορᾶς λαμβάνεται, ὃς καὶ μεταφυσικὸς λέγεται, καὶ λογικός. οἷον, ἄνος ἐστὶ ζῶον λογικόν. γένος ὄντος τοῦ ζώου, διαφορᾶς δὲ συσατικῆς τοῦ λογικοῦ, ὅς τις τοῖς λογικιζομένοις θεωρεῖται. Ἔτι λαμβάνονται οἱ ὁρισμοὶ, ἢ ἐξ ὑποκειμένου τοῦ ὁριζομένου, ἢ ἐκ τοῦ τέλους, ἢ καὶ ἐξ ἀμφοῖν. ὑποκείμενον μὲν οὖν ἐστι περὶ ὃ τὸ ὁρισὸν καταγίνεται. τέλος δὲ οὗ ἕνεκά ἐστι, & ὃ βούλεται κοσμεῖν. ἐκ τοῦ ὑποκειμένε μὲν, οἷόν . ἡ ἰατρικὴ ἐστι τέχνη περὶ τὰ ἀνθρώπινα σώματα καταγινομένη. ὑπόκειται γὰρ ταύτῃ τὰ ἀνθρώπεια σώματα. ἀπὸ δὲ τοῦ τέλους ὅπως. ἰατρικὴ ἐστιν ὑγείας περιποιητική. ἔργον γὰρ ταύτης ἢ παρῦσαν φυλάξαι, ἢ ἀπῦσαν ἀνακαλέσασθαι. ἐξ ἀμφοῖν δὲ, ὡς εἴτις εἴπῃ. ἰατρικὴ ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα, περιποιητικὴ ὑγείας. καὶ περὶ μὲν ὁρισμῶν, ἄλις ἔσω τό γε νυῦν ἔχον. λῷ δὲ δίδῶ θεὸς, ἐν τῷ περὶ ἀποδείξεως εἰρήσεται διεξοδικώτερον. νυῦν δὲ κἀκεῖνο δέον μνημονῆναι. ὅτι ἐν τοῖς τοιούτοις ἅπασιν ὁρισμοῖς, τοῖς εἴτε ἐκ τοῦ ὑποκειμένου, εἴτε καὶ ἐκ τοῦ τέλους, εἴτε καὶ ἐξ ἀμφοῖν, τὰ γένεσιν ἀναλογοῦντα, καὶ διαφορᾶις συσατικαῖς, θεωρεῖται ὡς ἐπὶ τοῖς προσεχῶς εἰρημένοις. ἡ τέχνη μὲν ὡς γένος ἐστὶν, ὡς διαφοραὶ δὲ συσατικαὶ τὰ ἐν τῷ ὁρισμῷ ἐπίλοιπα. ἔχον δὲ τῇ κλῆσιν οἱ ὁρισμοὶ ἐκ μεταφορᾶς τῇ τῆς γῆς ὁ-

ροθε-

ροθεσίων. ὡς γὰρ δι' ἐκείνων χωρίζονται τὰ χωρία ἀπ' ἀλλήλων, ἕτω καὶ διὰ τῶν ὁρισμῶν τὰ πράγματα διακρίνεται. καλεῖται δὲ ὁ ὁρισμὸς καὶ ὅρος, τῷ γενικῷ ὀνόματι. διάτε τὸ περιορίζειν ἢ περικλύειν, καὶ ὅπω διαχωρίζειν ἀπ' ἀλλήλων τὰ ὁριστά, διὰ τὸ δύρατα καὶ δυσιώπτα, καὶ σαφῆ ποιεῖν τὰ πράγματα. δηλοῦσι μὲν γὰρ ὡς ἔφημεν αἰωτέρω καὶ τὰ ὀνόματα φύσιν πραγμάτων, (διὸ καί τινες ὅρους σωεσαλμένους ταῦτα κεκλήκασιν,) ἀλλὰ σκοτεινῶς τε καὶ ἀσαφῶς καὶ ἀδιακρίτως, οἱ δὲ ὅροι καθαρῶς καὶ σαφῶς, καὶ διακεκριμένως, διὰ τὸ χρᾶσθαι διαφοραῖς, καὶ ταύταις οὐσιώδεσι, τουτέστι δυναμέναις ὑσίας, ἢ φύσεις πραγμάτων, ἀπ' ἀλλήλων διαχωρίζειν. κἀκεῖνο δέον εἰδέναι, ὅτι καὶ τὸ ἴδιον ἐν τοῖς ὁρισμοῖς τε καὶ ταῖς ὑπογραφαῖς, λόγον ἔχει διαφορᾶς, οὐσιώδους μὲν τὸ καθαρῶς οὐσιῶδες. ὅ καὶ διαφορὰν μονοειδῆ καλοῦσιν, ὡς μὴ κατὰ πλειόνων εἰδῶν λεγόμενον. οἷόν ἐστιν ἐν τῷ ἀνῷ τὸ, νοῦ, καὶ ἐπιστήμης δεκτικόν. ἐπουσιώδους δὲ διαφορᾶς λόγον ἔχει τὸ λοιπὸν ἴδιον, οἷον ἐν ἀνῷ τὸ γελαστικόν, ἐν ἵππῳ τὸ χρεμετιστικόν, ἐν κυνὶ τὸ ὑλακτικόν. ὅπερ κἂν ἐπουσιῶδες ᾖ, πλὴν ἀλλὰ συμβεβηκότος παντὸς προτιμότερον, ὅσῳ καὶ εἶδος ὅλον χαρακτρίζειν δύναται πλέον, ἢ ἅπαν συμβεβηκός.

χρεῖαν



Πόθεν τὴν κλῆσιν ἡ Ὑπογραφὴ ἔλαχεν.

ΙΣτέον ὅτι ἡ Ὑπογραφὴ τῆς κλήσεως ταύτης ἔτυχε διὰ τὸ ἐοικέναι σκιαγραφίᾳ. τελείᾳ μὲν γραφῇ ὁ ὅρος ἔοικε, διὰ τὸ δηλοῦν ἀκριβῶς αὐτὴν τὴν φύσιν τοῦ πράγματος, ἡ δὲ Ὑπογραφὴ σκιαγραφίαν μιμεῖταί τινα. προχειροζομένη γὰρ τὰ περὶ τὴν φύσιν τοῦ πράγματος, δίδωσιν ἐκ τούτων σκιαγραφικῶς εἰκάζειν τὸ προτεθέν. ὁ δὲ ὑπογραφικὸς ὁρισμὸς οὔτε σκιαγραφίᾳ οὔτε ἐντελογραφίᾳ, ἀλλὰ μεσότητί τινί. τῇ μὲν γὰρ ἐντελογραφίᾳ, ἤτοι τῷ κυρίως ὁρισμῷ προσεγγίζει, κατὰ τὰς ἐνούσας αὐτῷ ~~τελειότητας~~ οὐσιώδεις διαφοράς. τῇ δὲ σκιαγραφίᾳ τουτέστι τῇ Ὑπογραφῇ διὰ τὰς ἐπουσιώδεις, ἐξ ὧν ὁμοῦ πάντων σωρεύεται. διὰ τοῦτο γὰρ καὶ ὑπογραφικὸς ὁρισμὸς λέγεται, ὅτι κατά τι μὲν κοινωνεῖ τῷ ὁρισμῷ, κατά τι δὲ τῇ Ὑπογραφῇ.

Περὶ χρήσεως τούτων.

Χρώμεθα δὲ τῇ Ὑπογραφῇ, ὅταν ἐκ ἔχει τὸ πρᾶγμα, ἢ γένος ἀνώτερον ἀφ' οὗ ὁρισθείη, ἢ διαφορὰς οὐσιώδεις. τῷ δὲ ὑπογραφικῷ ὁρισμῷ, ὅταν ἔχει μὲν τὸ πρᾶγμα οὐσιώδεις διαφορὰς, οὐ μὴν ἀρκούσας εἰς τὸ ἀνελλιπῶς παραστῆσαι αὐτό. ὡς ἐπὶ τοῦ ὅρου τοῦ ἵππου. λέγομεν γὰρ ἵππος ἐστὶ ζῶον ἄλογον. καὶ τὸ μὲν ἄλογον οὐσιώδης διαφορά ἐστιν. ἀλλ' ἐπειδὴ τῷ ἄλλων ζώων τὸν ἵππον χωρῖσαι οὐ δυνάται, ἄλογον γὰρ καὶ ὁ κύων, καὶ ὁ βοῦς, προσιθέαμεν καὶ τὸ ἴδιον, ὅπερ ἐστὶ τὸ χρεμετιστικόν. τινὲς δὲ διὰ σαφήνειαν πλείονα, καὶ τὸ τετράπουν, ὅπερ ἐστὶν ἀχώριστον συμβεβηκὸς, οὕτω λέγοντες. ἵππος ἐστὶ ζῶον ἄλογον τετράπουν χρεμετιστικόν. Οὐ πάντοτε δὲ ὁ Ὑπογραφικὸς ὁρισμὸς πᾶσι χρᾶται τοῖς οὐσιώδεσι, μεθ' ἃ τοῖς ἐπουσιώδεσιν, ἀλλὰ καὶ μιᾷ μόνῃ ἀρκούμενος οὐσιώδει διαφορᾷ, τὸ λοιπὸν ἐξ ἐπουσιωδῶν συμπληροῖ. διαφορῶν δὲ οὐσιωδῶν οὐσῶν ἀρκουσῶν εἰς τὸν ὁρισμὸν, τὸ παραλαμβάνειν ἐπουσιώδεις, ἀτεχνίας ἐστίν. ὡσαύτως, καὶ τὸ δι' ὑπογραφῆς δεικνύειν, τὸ πεφυκὸς δεικνύσθαι δι' ὁρισμῶν. πλὴν ἑαυτὸς πρὸς ἀτελεῖς τὸν λόγον ποιούμενος, οὐ δυνάται τὸ πρᾶγμα σαφῶς αὐτοῖς ἐκ τῶν οὐσιωδῶν καὶ μόνων παραστῆσαι διαφορῶν, τότε καὶ διαφορὰς ἐπουσιώδεις, διὰ τὰς πρὸς οὓς ὁ λόγος, εἰς διασάφησιν πλείονα παραλήψεται.

Περὶ ἀρετῆς Ὁρισμοῦ.

Ἀρετὴ δὲ Ὁρισμοῦ, τὸ ἀντιστρέφειν πρὸς τὸ ὁριστόν. οἷον ὡς ἐν παραδείγματι, τὸν ἄνθρωπον ὁρίζοντες λέγομεν. ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν νῷ καὶ ἐπιστήμης δεκτικόν. καὶ ζῶον μὲν λέγοντες, χωρίζομεν αὐτὸν ἀπὸ τῆς ἀψύχων, καὶ τῆς φυτῆς, καὶ τῆς ζωοφύτων. ἐπεὶ δὲ τὸ ζῶον γένος ἐστὶ τῆς λογικῶν ζώντε καὶ ἀλόγων, διὰ τοῦτο προστιθέαμεν τὸ λογικὸν, διϊστῶντες τὸν ἄνθρωπον τῆς ἀλόγων ζώων. ἐπειδὴ δὲ καὶ οἱ Ἄγγελοι ζῶα λογικὰ λέγονται, πρὸς δὲ τούτοις καὶ τὰ ἀῤῥαῖα σώματα κατὰ τοὺς Φιλοσόφους, διὰ τοῦτο προσιθέαμεν καὶ τὸ θνητὸν, ἀπὸ τῆς εἰρημένων τὸν ἄνθρωπον διασείλοντες. ἀλλὰ καὶ Νύμφας τινὰς Μακραίωνας εἶναι μυθολογοῦσι, ζῶα λογικὰ καὶ μακρόβια, ὅμως μέν τοι θνητὰ, ἐκ φύσεως ἀλλ' οὐκ ἐκ μαθήσεως γινώσκοντα τοὺς τεχνικούς τε λόγους καὶ τοὺς ἐπιστημονικούς. τοίνυν οὖν ἀφιστῶντες τὸν ἄνθρωπον προσιθέαμεν τῷ ὅρῳ αὐτοῦ,

καὶ

καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἔστιν οὖν οὗτος ὁ Ὅρος ἐκ γένους μὲν τοῦ ζώου, ἐκ δὲ συσατικῶν διαφορῶν τοῦτε λογικῆ, καὶ τοῦ θνητοῦ, ϛ τοῦ νῷ καὶ ἐπιστήμης δεκτικοῦ, μονοειδοῦς ἰδίᾳ ὄντος ἀνθρώπου. τοῦτο δὲ ἔοικε συσατικὴ διαφορᾷ, διὰ τὸ ἀσιωδῶς προσεῖναι αὐτῷ. τοιαῦτα γὰρ εἰσι τὰ ἀσιώδη ἴδια, ἅ καὶ διαφορὰς μονοειδεῖς ὡς ἔφημεν ἀνωτέρω, σωήθες τοῖς Σχολασικοῖς καλονομάζειν. ἀντισρέφει τοίνυν ὁ δηλωθεὶς Ὁρισμὸς πρὸς τὸ ὁρισόν. καὶ γὰρ ἔστι ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπισήμης δεκτικόν, καὶ ἔστι ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπισήμης δεκτικόν, τοῦτο ἄνθρωπος. ἀρετὴ μὲν οὖν Ὁρισμοῦ ὡς εἴρηται, τὸ ἀντισρέφειν πρὸς τὸ ὁρισόν. κακία ἄρα τὸ μὴ ἀντισρέφειν. γίνεται δὲ τὸ μὴ ἀντισρέφειν, ἢ διὰ προσθήκην λέξεων, ἢ δι' ἀφαίρεσιν. καὶ ἡ μὲν προσθήκη ἔλλειψιν τῆς πραγμάτων ἐργάζεται, ἡ δ' ἀφαίρεσις πλεονασμόν. καὶ οὕτως ἀμφοτέρωθεν ἔκτε τοῦ πλεονασμοῦ ϛ τῆς ἐλλείψεως, ἀτελὴς ὁ ὅρος γίνεται. εἰ γὰρ ἐπὶ τοῦ κατὰ τὸν ἄνθρωπον ὁρισμοῦ πλεονάσας τις ταῖς λέξεσιν ἐρεῖ. ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπισήμης δεκτικὸν γραμματικόν, ἔλλειψιν τῆς πραγμάτων ἐποίησεν. οὐ πάντας γὰρ ἀνθρώπους τῷ ὅρῳ συμπεριέλαβε, ἀλλὰ μόνον τοὺς γραμματικούς. καὶ γάρ ἔστι μὲν ζῶον λογικὸν θνητὸν νοῦ ϛ ἐπισήμης δεκτικὸν γραμματικόν, τοῦτο ϛ ἄνος. ὐ μὴν δὲ καὶ ἀντισρέφει. οὐδὲ γὰρ ἔστι ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπισήμης δεκτικὸν γραμματικόν. εἰ δὲ πάλιν ἐλλείψας ταῖς λέξεσιν εἴποι τις, ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν, ἐπλεόνασε κατὰ τὸν ἑλληνικὸν ὕθλον τοῖς πράγμασι, ϛ ἃς φασι Νύμφας μακραίωνας τοῖς ἀνθρώποις συμπεριέλαβε. καὶ ἔστι μὲν ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν, οὐκ ἔστι δὲ ζῶον λογικὸν θνητὸν, τοῦτο ϛ ἄνθρωπος. ζῶα γὰρ λογικὰ θνητὰ καὶ αἱ μακραίωνες Νύμφαι.

Ἰσέον δὲ ὅτι ἐκείνη ἡ προσθήκη τῷ τῷ Ὅρῳ κωλύει ἀντισροφεῖν, ἡ προσιθεῖσα αὐτῷ ἃ μὴ θεωρεῖνται ἐν πᾶσι τοῖς ὁρισοῖς τοῖς ὑπὸ τὸ αὐτὸ εἶδος. οἷον τὸ γραμματικὸν, τὸ φιλόσοφον, καὶ τὰ τοιαῦτα. ἅτινα σύτισι καὶ οὐκ ἐν πᾶσι τοῖς ὑπὸ τὸ ὁριζόμενον εἶδος τυγχάνει. ἐπέποιγε, καὶ τῆς ἰδίων καὶ τῆς ἐν πᾶσι τοῖς ὑπὸ τὸ αὐτὸ εἶδος θεωρεμένων συμβεβικότων ἡ προσθήκη, τῷ ἀντισροφεῖν οὐ κωλύει, περιττολογίαν δὲ μόνῳ ἐμποιεῖ, κἀντεῦθεν τῷ σωτομίαν τοῦ ὅρου περιαιρεῖ. καὶ γὰρ ἔστις τῷ τοῦ αὐτοῦ ὅρῳ τὸ γελασικὸν προσθήσει, καὶ τὸ ὀρθοπεριπατητικὸν, οὐ παραβλάψει τῷ ἀντισροφεῖν. εἴ τι γὰρ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπισήμης δεκτικὸν γελασικὸν ὀρθοπεριπατητικὸν, τοῦτο ἄνθρωπος. ϛ ἔστι ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπισήμης δεκτικὸν γελασικὸν ὀρθοπεριπατητικόν. παραλαβά-

νονται γὰρ ὡς ἔφημεν, τὰ ἴδια καὶ τὰ ἀχώριστα συμβεβηκότα εἰς τοὺς ὑποτυφικοὺς ὁρισμούς, δι' ἃ καὶ ὑποτυφικοὶ κέκληνται.

Περὶ Διαιρέσεως.

Ἐπειδὴ καὶ ἡ Διαίρεσις δοκεῖ τῶν ἀναγκαιοτάτων, φέρε ὡς ἐν βραχεῖ ὀλίγ' ἅπτα καὶ περὶ αὐτῆς διαλαβεῖν. ἔστι μὲν οὖν Διαίρεσις διανομὴ τοῦ ἔχοντος μέρη, εἰς αὐτὰ ταῦτα. ταύτης δὲ ἡ μέν ἐστι καθ' αὑτὸ, ἡ δὲ κατὰ συμβεβηκός. ἀλλ' ἵνα σαφέστερος ὁ λόγος περὶ διαιρέσεως γένηται, ῥητέον ὡς ἀπ' ἀρχῆς. πᾶν πρᾶγμα ἢ διαιρετόν ἐστιν, ἢ ἀδιαίρετον. καὶ περὶ μὲν ἀδιαιρέτου οὐδεὶς λόγος ἐπὶ τοῦ παρόντος. ἐπὶ δὲ τῶν διαιρουμένων, διχῶς ἡ διαίρεσις θεωρεῖται, ἢ καθ' αὑτὸ, ἢ κατὰ συμβεβηκός. καὶ περὶ μὲν τῆς κατὰ συμβεβηκὸς διαιρέσεως ἐν τοῖς ἑξῆς. τῆς δὲ καθ' αὑτὸ τέσσαρα γένη φαίνεται, ὧν πρῶτον ἐστὶ τὸ τοῦ γένους εἰς εἴδη, δεύτερον τὸ τοῦ ὅλου εἰς μέρη, καὶ τρίτον τὸ τῆς φωνῆς εἰς τὰ διάφορα σημαινόμενα. ἐξ ὧν τὰ μὲν τοῦ γένους εἰς εἴδη, καὶ τοῦ ὅλου εἰς μέρη, ὡς πράγματα διαιρεῖται, τὸ δὲ τῆς φωνῆς εἰς τὰ οἰκεῖα σημαινόμενα, οὐχ ὡς πράγματα, ἀλλ' ὡς φωνὴ κατάτινων λεγομένη, καθ' ὃ καὶ ἀντιδιαστέλλεται τῇ ἀνωτέρω δύο γενῶν. διαιρεῖται τοίνυν τὸ γένος εἰς εἴδη, ὡς ὅταν εἴπωμεν, τοῦ ζώου τὸ μέν ἐστι χερσαῖον, τὰ δὲ ὕυδρον, τὸ δὲ πτηνόν. ἢ τοῦ φυτοῦ τὰ μὲν ἀειθαλῆ, τὰ δὲ φυλλοβόλα, ἢ δὲ κρυπτόφυλλα. τὸ δὲ ὅλον διαιρεῖται, ἢ εἰς μέρη οὐσιώδη, ἢ εἰς μέρη ποσοτικά. τουτέστιν ἢ οὐσιωδῶς, ἢ κατὰ ποσότητα. οὐσιωδῶς μὲν ὡς ὅταν εἴπωμεν, τοῦ ἀνθρώπου τὸ μέν ἐστι σῶμα, τὸ δὲ ψυχή. ἢ τὸ μέν ἐστι ζῷον, τὸ δὲ λογικόν. ἃ καὶ μέρη γίνεται ἐν τῇ ὁρισικῇ αὐτῶν λόγῳ. κατὰ ποσότητα δὲ διαιρεῖται διχῶς, ἃ καὶ ποσοτικὰ μέρη λέγουσι, ὥσπερ τὰ οὐσιωδῶς διαιρούμενα οὐσιώδη, ἢ εἰς μέρη ὁμοιομερῆ, ἅπερ κοινωνοῦσι τοῦτε ὀνόματος καὶ τοῦ λόγου, τῷτε ὅλῳ καὶ ἀλλήλοις. οἷον τοῦ ὕδατος πᾶν μέρος ἐστὶν ὕδωρ, καὶ τῆς σαρκὸς πᾶν μέρος ἐστὶ σὰρξ, καὶ τοῦ ἐν ἀμφορεῖ οἴνου διαιρουμένου εἰς κοτύλας, πάντα τὰ μέρη τούτου τὰ ἐν ταῖς κοτύλαις οἶνός ἐστιν. ὧν ἕκαστον τοῦ αὐτοῦ δήπου ὀνόματος τετύχηκε, καὶ τοῦ ὁρισμοῦ τῷ τε ὅλῳ οἴνῳ καὶ τοῖς μέρεσι τοῖς ἐν ταῖς κοτύλαις. ἢ διαιρεῖται τὸ ὅλον εἰς μέρη ἀνομοιομερῆ, ὡς ἐπὶ τῶν ὀργανικῶν σωμάτων φαίνεται. οἷον τοῦ ἀνθρωπείου σώματος τὸ μέν ἐστι χεὶρ, τὸ δὲ ποῦς, τὸ δὲ κεφαλὴ, καὶ τὰ τοιαῦτα. ὧν ἕκαστον οὔτε τοῦ ὀνόματος, οὔτε τοῦ λόγου μετέχει τῷ σώματι, ἢ ἀλλήλοις. καὶ αὕτη μέν ἐστιν ἡ τῶν πραγμάτων διαίρεσις. ἡ δὲ φωνὴ ὡς εἴρηται διαιρεῖται εἰς διάφορα σημαινόμενα,

ἧς

ἢς ξιττὼ διαίρεσιν ἐπὶ τῶ παρόντος εὔλογον ἐκλαβεῖν. εἰ γὰρ ἢ πλείονα ταύτης τὰ σημαινόμενα, ἀλλ' οὐδ' ἐνταῦθα ἀποχρήσει ξία ταύτα διεξελθεῖν. ἤ γὰρ εἰς τὰ ὁμωνύμως σημαινόμενα διαιρεῖται, ὧν ἐνὸς ἢ τῶ αὐτῶ ὄντος ὀνόματος, διάφοροι εἰσιν αἱ τῶν οὐσίαι. οἷον ἡ κύων φωνὴ λέγεται ἔπι τε τῶ χερσαίου κυνὸς, ἢ τῶ θαλαττίου, ἢ τῶ ἀστρώου, ὅμως αἱ οὐσίαι τῶν εἰσὶ διάφοροι. ἕτερα γὰρ οὐσία κυνὸς χερσαίου, ἢ ἕτερα ἀστρώου, ἢ ἕτερα θαλαττίου.

Δεύτερον διαιρεῖται εἰς τὰ συνωνύμως λεγόμενα, ὧν κοινόν ἐστι τό, τε ὄνομα, ἢ ἡ ὐσία. οἷον ζῶον ὅ,τε βῶς, ἢ ὁ ἄνθρωπος. ἑκάτερος γὰρ τούτων ζῶον, ἢ τὸν τῶ ζώου λόγον ἑκάτεροι ὑποδέχονται. ἢ τρίτον διαιρεῖται εἰς τὰ παρωνύμως λεγόμενα. ἅτινα κατὰ μετοχὴν, τῆς τε φωνῆς ἢ τῶ εἴδους ἀφ' ἓ παρωνόμασαι λέγεται. οἷον ὁ γραμματικὸς ἀπὸ τῆς γραμματικῆς. περὶ ὧν διεξοδικώτερον εἰρήσεται ἐν τῷ περὶ ~~ὁρισμῶν κεφαλαίῳ~~, νυῦ δὲ τοσαῦτα ἀρκεῖ περὶ τούτων. ἡ δὲ κατὰ συμβεβηκὸς διαίρεσις, ἢ ἀπὸ οὐσίας εἰς συμβεβηκότα γίνεται, ἢ τὸ ἀνάπαλιν ἀπὸ συμβεβηκότων εἰς οὐσίας. ἢ ἀπὸ συμβεβηκότων εἰς συμβεβηκότα. ἢ ἀπὸ μὲν οὐσίας εἰς συμβεβηκότα ἡ διαίρεσις γίνεται, ὡς ὅταν εἴπωμεν. τῶ σώματος τὸ μὲν ἐστι λευκὸν, τὸ δὲ μέλαν. ἀπὸ δὲ συμβεβηκότων εἰς οὐσίας, ἤτοι εἰς ὑποκείμενα, ὡς ὅταν εἴπωμεν. τῶ λευκῶ τὸ μὲν ἐστι χιών, τὸ δὲ κύκνος, ἢ ψιμμύθιον. ἀπὸ δὲ συμβεβηκότων εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν. τῶ χρώματος τὸ μὲν ἐστι λευκὸν, τὸ δὲ μέλαν. ἀλλ' ἐκεῖνο εἰδέναι δεῖον, ὅτι μόναι αἱ καθ' αὐτὸ διαιρέσεις κυρίως ἂν διαιρέσεις ῥηθεῖεν. αἱ δὲ κατὰ συμβεβηκὸς καταχρηστικῶς λεγέσθωσαν. τὸ γὰρ λέγειν ὅτι τῶ σώματος τὸ μὲν ἐστι λευκὸν, τὸ δὲ μέλαν, οὐκ ἔστι διαίρεσις ἀπ' οὐσίας εἰς συμβεβηκότα, ἀλλὰ μᾶλλον ἀπὸ οὐσίας εἰς οὐσίας ἐχούσας συμβεβηκότα. εἰς σώματα γὰρ μέλανα καὶ λευκὰ ἐγένετο ἡ διαίρεσις, ἅπερ εἰσὶν οὐσίαι. ἀλλ' οὐδὲ τὸ συμβεβηκὸς εἰς οὐσίας διαιρεθῆναι δυνατόν. ὅτι τὸ διαιρούμενον πρᾶγμα φιλεῖ διαιρεῖσθαι εἰς ὅμοια, οὐ μὴν εἰς ἀνόμοια. ἀνόμοιον δὲ οὐσία συμβεβηκότι. οὔτε μὴν ἀπὸ συμβεβηκότων εἰς συμβεβηκότα διαίρεσις γενέσθαι ἐνδέχεται. ἡ γὰρ τοιαύτη διαίρεσις, ἢ ἀπὸ γένους εἰς εἴδη γίνεται, ὡς ὅταν εἰς λευκὸν καὶ μέλαν διαιρεῖται τὸ χρῶμα. γένος γάρ ἐστι τὸ χρῶμα τῶ λευκοῦ καὶ τῶ μέλανος, ἢ ἀπὸ οὐσίας εἰς οὐσίας γίνεται. τὸ γὰρ λέγειν ὅτι τῶν λευκῶν τὰ μὲν εἰσι θερμὰ, τὰ δὲ ψυχρὰ, οὐδὲν ἄλλο ἐστὶν, ἢ ὅτι τῶν σωμάτων τῶν ὑποδεδεγμένων λευκότητα, τὰ μὲν ἔχει θερμότητα, τὰ δὲ ψυχρότητα. ἓν δὲ αὐτὴ καθ' ἑαυτὴν ἡ λευκότης, ἥτις ἐστὶ συμβεβηκὸς, οὔτε θερμή ἐστιν, οὔτε ψυχρά. ἐπεὶ οὐκ ἔστι τὶ συμβεβη-

κὸς

λεθῶν καὶ ἡμῶν

κὸς ἕτερφ συμβεβηκότι πρὸς ὕπαρξιν ὑποκείμενον, ἀλλὰ μόνη ἡ οὐσία πᾶσι τοῖς συμβεβηκόσιν ὑποκειται. ὥστε οὐκ εἰσὶν αἱ κατὰ συμβεβηκὸς διαιρέσεις, κυρίως διαιρέσεις, ἀλλὰ καταχρηστικῶς.

Τινὲς δὲ προστιθέασι τοῖς εἰρημένοις εἴδεσι τῆς κατὰ συμβεβηκὸς διαιρέσεως, καὶ τὴν ἀφ' ἑνὸς, ἢ πρὸς ἓν διαίρεσιν. ἀλλ' αὕτη ἀπαρίθμησις μᾶλλον ἂν εἴη μᾶλλον, ἢ διαίρεσις. ἀόριστα γὰρ τὰ ὑπὸ τοιαύτην διαίρεσιν, καὶ ἀριθμῷ ἀπερίληπτα. δύναται γάρ τις εἰπεῖν ὡς ἀφ' ἑνὸς, τῆς ἰατρικῆς, ἰατρικὸν βιβλίον, καὶ ἰατρικὸν ἐργαλεῖον, καὶ ἰατρικὸν σκεῦος, καὶ ἰατρικὸν ἔμπλαστρον, καὶ ἄλλα μυρία. ὡσαύτως καὶ ἀπὸ τοῦ πρὸς ἕν, τῆς ὑγείας δηλονότι, ὑγιεινὸν οἶνον, ὑγιεινὴν δίαιταν, καὶ ὑγιεινὸν ἀέρα, καὶ ἄλλα τοιαῦτα.

Προσέτι λέγουσιν, ὅτι καὶ ἡ διαίρεσις τῶν εἰδικωτάτων εἰς τὰ ὑφ' αὑτὰ ἄτομα, εἰς τὴν κατὰ συμβεβηκὸς διαίρεσιν ἀνάγεται. φέρ' εἰπεῖν, τὸ ἀνθρώπειον εἶδος, ὅπερ εἶδος εἰδικώτατον λέγεται, διὰ τὸ μὴ εἰστέμνεσθαι εἰς ἕτερα ὑφ' αὑτῷ εἴδη, ἀλλ' εἰς ἄτομα. οἷά ἐστι σωκράτης, πλάτων, καὶ οἱ λοιποὶ κατὰ μέρος ἄνθρωποι. ἀλλὰ καὶ αὕτη, ὥσπερ καὶ ἡ ἀφ' ἑνὸς, ἢ πρὸς ἕν, ἀπαρίθμησις ἂν ῥηθείη μᾶλλον, ἢ διαίρεσις. τὸ γὰρ διαιρούμενον εἰς ὡρισμένα καὶ ἀριθμῷ περιλαμβανόμενα διαιρεῖται. τὰ δὲ ἄτομα εἰσὶν ἄπειρα καὶ ἀριθμῷ ἀπερίληπτα, ὥστε οὔτε διαιρέσει καθυποβληθῆναι δύναται.

Διαφορὰ Διαιρέσεως, Ἐπιδιαιρέσεως, καὶ Ὑποδιαιρέσεως.

Ἰστέον δὲ ὅτι Διαίρεσις, Ἐπιδιαίρεσις, & Ὑποδιαίρεσις, κατὰ τοῦτο διαφέρουσιν ἀλλήλων, καθ' ὅτι ἡ μὲν διαίρεσις πρώτως τέμνει τὸ πρᾶγμα. διὸ & κατὰ πρώτην ἐπιβολὴν τομῆς τοῦ πράγματος λέγεται, πρὸς ἀντιδιαστολὴν τῆς κατὰ δευτέραν ἐπιβολὴν γινομένων, τῆς ἐπιδιαιρέσεως φημὶ, καὶ ὑποδιαιρέσεως. Ἐπιδιαίρεσις δέ ἐστιν ἡ κατὰ δευτέραν ἐπιβολὴν τομή, & Ὑποδιαίρεσις ἡ τοῦ διαιρεθέντος ἤδη πράγματος τοῦ μέρους τομή. ἔστω ἐπὶ παραδείγματος φανερὸν τὸ λεγόμενον. κατὰ πρώτην τοίνυν ἐπιβολὴν διαίρεσις γίνεται, ὡς ὅταν εἴπωμεν, ὁ ἄνθρωπος διαιρεῖται εἰς ἄρσεν καὶ θῆλυ, τοῦτο διαίρεσις. καὶ πάλιν ὁ ἄνθρωπος διαιρεῖται εἰς ψυχὴν καὶ σῶμα, τοῦτο ἐπιδιαίρεσις. ἧτις τότε μόνον ὠφέλει γίνεσθαι, ὅτε ἐφ' ἑκάστῳ τῶν τμημάτων τῆς πρώτης διαιρέσεως τὰ τῆς ἐπιδιαιρέσεως τμήματα θεωροῦνται. καὶ γὰρ ἐν τῷ ἄρρενι & τῷ θήλει θεωρεῖται ψυχὴ,

καὶ

ἐν σχοίνῳ ιε ῥάβδι·

„ ἡ οἰκία μοῦ ἐν Ἐφέσῳ, ἡ ἐπὶ τοῦ λιμένος.
ἐν οἰκίᾳ δ' οὐκ ἔστι δοῦλος, ἡ ἐπὶ τοῦ λιμένος. ἐν μὲν
ἡ Ἐφέσῳ ἀναπλάττομαι τὰ γραφόμενα ἐν ἡσυχίᾳ, δοκῶ
σοφίζεσθαι καὶ πλάττειν φρόνοις, ὡς ἐπ' ἐκείνου τοῦ
ἔργου πανηγυρίσαι. ἐν δὲ τῷ λιμένι καθεὶς ἔστιν
ἐπιτήδειον ἐκεῖ πράγμασιν, ὡς ἐπ' ἐκείνου τοῦ ῥητοῦ
τοῦ θεωροῦ ἐκεῖ πανηγυρίσαι.

καὶ σῶμα. ὅταν δὲ εἴπωμεν ὅτι ἡ οὐσία διαιρεῖται εἰς σῶμα, καὶ ἀσώματον, εἴπωμεν δὲ πάλιν ὅτι τὸ σῶμα διαιρεῖται εἰς ἔμψυχον καὶ ἄψυχον, τότε ὑποδιαίρεσιν ἐποιήσαμεν. λέγονται δὲ τὰ ἐκ τῶ αὐτῶ γένους τμήματα, εἴδη ἀντιδιαιρούμενα, ὡς ἀντίθεσίν τινα πρὸς ἄλληλα ἔχοντα, καὶ ἔσιν ἐκ τῶ αὐτῶ καὶ ἑνὸς γένους. οἷον τὸ σῶμα καὶ τὸ ἀσώματον ἐκ τῆς οὐσίας διαιρεθέντα, καὶ μετέχοντα τῆς οὐσίας ἐπίσης, ἀντίκεινται θάτερον θατέρῳ κατὰ τὰς οὐσιώδεις διαφοράς. τὸ μὲν γὰρ σῶμα ἐσὶ ξιχῆ διαστατὸν, ἤτοι ξῆς διαστάσεις ἔχον, μῆκος, πλάτος, & βάθος. τὸ δὲ ἀσώματον οὐδεμιᾷ διαστάσει ὑπόκειται, ἀλλ' ἔσιν ἁπλοῦν καὶ ἀμέριστον. καὶ ἐπὶ τῶ ἄλλων ὁμοίως. οἷον, τὸ ἔμψυχον διαιρούμενον εἰς τὸ αἰσθητικὸν καὶ ἀναίσθητον ἀντίκειται θάτερον θατέρῳ.

Προσέτι λέγοιντ' ἂν ἀντιδιαιρέμματα, τυχὸν τῆς αὐτὶ προθέσεως, αὐτὶ τῶ ἴσως λαμβανομένης, ὡς τὸ ἀντίθεον ἰσόθεον. ἴσως γὰρ μετέχουσι καὶ ὁμοτίμως τούτων, οἷον τῶ γένους τὰ διαιρούμενα ἐκ τῶ αὐτῶ καὶ ἑνὸς γένους, ὡς ἄν εἴποι τὶς ἰσοδιαιρέμματα, καὶ θάτερον ἀντὶ θατέρου κατὰ τὸ ἰσοδιαίρετον λογιζόμενα. καὶ γὰρ ἐν τοῖς τοιούτοις ἀντιδιαιρουμένοις εἴδεσιν οὐκ ἔσι τὸ μᾶλλον καὶ ἧττον μετέχειν τοῦ γένους ἐξ οὗ διήρηνται. οὔτε γὰρ τὸ σῶμα τυγχάνει οὐσία μᾶλλον τῶ ἀσωμάτου, οὔτε τὸ ἀσώματον μᾶλλον οὐσία τῶ σώματος. καὶ ἐπὶ τῶ ἄλλων ὡσαύτως.

Κἀκεῖνο δέον εἰδέναι, ὅτι ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐχ ὑπάρχει τὸ φύσει πρότερον. κατὰ πάντας γὰρ τοὺς τρόπους τῶ διαιρέσεων, ἄπεσιν ἐκ τῶ τμημάτων τὸ, τε μᾶλλον, καὶ ἧττον, καὶ τὸ φύσει πρότερον, πλὴν τῶ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἀλλ' ἵνα γνῶτε τί τὸ φύσει πρότερον, προσληπτέον καὶ τάδε. φύσει πρότερον λέγεται τὸ συναναιρουῦ καὶ μὴ συναναιρούμενον, καὶ συνεισφερόμενον καὶ μὴ συνεισφέρον. ἔσω ὡς ἐν παραδείγματι, τὸ ζῶον ἐσὶ πρότερον τῶ ἀνθρώπου φύσει. διότι ἀναιρούμενον συναναιρεῖ τὸν ἄνθρωπον. τῶ ζώου γὰρ ἀναιρεθέντος, ἀνάγκη πάντα τὰ ὑφ' αὐτὸ εἴδη τὰ μετέχοντα τότε συναναιρεθῆναι. πῶς γὰρ εἴη ἄνθρωπος, ἢ βῦς, γὰρ ἂν ᾖ ζώου μὴ ὄντος; καὶ πάλιν συνεισφερόμενον οὐ συνεισφέρει. ἐπειδὴ συνεισφέρεται μὲν τῷ ἀνῷ, οὐ συνεισφέρει δὲ τὸν ἄνον. ἀνοῦ γὰρ ἐν κόσμῳ ὄντος ἐξ ἀνάγκης καὶ ζῷον ἔπεται εἶναι. ζῶον γὰρ ἄνος. ζώου δὲ ὄντος, οὐκ ἤδη καὶ ἄνον ἔπεται εἶναι, ἀλλ' ἵππος τυχὸν, ἢ βοῦς, ἢ κύων ἔσαι, ἢ ἄλλότι τοιοῦτον εἶδος, ἐν οἷς τὸ ζῶον θεωρεῖται. ἔσιν οὖν φύσει πρότερον τὸ εἴδους τὸ γένος, καὶ τὸ εἶδος τῶ ἀτόμων. οἷον, τὸ ζῶον φύσει πρότερον τοῦ ἀνέου εἴδους, & τὸ ἀνέον εἶδος φύσει πρότερον τῶ ἀτόμων, οἷον πέξου, παύλου, καὶ τῶ λοιπῶν. ἐν δὲ τοῖς εἴδεσι τοῖς ἀντιδιαιρουμένοις, ἢ τοῖς ἀτόμοις τοῖς ὑπὸ τὰ εἴδη, τὸ φύσει πρότερον οὐ θεωρεῖται. οὐ γὰρ τὸ λογικὸν

γὰρ ἂν ᾖ

γικὸν φύσει πρότερον τῆ ἀλόγου, ἐπεὶ οὔτε συναναιρεῖ, οὔτε συνεισφέρεται. μήτε ὁ πέζος φύσει πρότερος τοῦ παύλου; ἀλλ' οὐ δὲ ζῶον μᾶλλον ὑπάρχει τὸ λογικὸν, τὸ δὲ ἄλογον ἧττον, οὐδὲ ὁ πέζος μᾶλλον ἄνθρωπος, ἢ ἧττον ὁ παῦλος. τοῦτο δὲ ἐν τοῖς ἀφ' ἑνὸς ἢ πρὸς ἕν θεωρεῖται. φάρμακον γὰρ ἄλλου φαρμάκου ὑγιεινότερον, ἡ ἰατρικὴ ἐργασία, ἄλλης ἰατρικῆς ἐργασίας ἐστὶν ἰατρικωτέρα.

Τὰ διαιρέμενα.

- Γένος εἰς εἴδη, ὡς τῶ ζώε τὸ μέν ἐστι χερσαῖον, τὸ δὲ ἔνυδρον.
- Ὅλε εἰς μέρη
  - Ἢ οὐσιωδῶς. ὡς τῶ ἀνε τὸ μὲν σῶμα, τὸ δὲ ψυχή.
  - Ἢ καθ' αὑτό. τὸ καθ' αὑτὸ τειχῶς.
  - Ἢ κατὰ ποσότητα.
- Ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα.
  - Ἢ εἰς τὰ ὁμωνύμως. ὡς κύων φωνὴ ἥτε τῶ χερσαίε, θαλαττίε, ἢ ἀερώε.
  - Ἢ εἰς τὰ συνωνύμως. ὡς ζῶον, ὅ, τε βῶς, ἢ ἄνῶς.
  - Ἢ εἰς τὰ παρωνύμως. ὡς γραμματικὸς ἀπὸ τῆς γραμματικῆς.
- Ἢ κατὰ συμβεβηκός.

Περὶ τῆς ὑγιοῦς Διαιρέσεως.

Ἔχομεν οὖν διαγινώσκειν τὴν ὑγιῶς ἔχουσαν διαίρεσιν, πλείοσι μὲν ἢ ἄλλοις μάλισα δὲ τέτταρσι τούτοις. πρῶτον τὸ τὰ μέρη τῆς διαιρέσεως

σεως

σεως ἀντικείμενα εἶναι, ὡς θάτερον μὴ περιέχεσθαι ἐν θατέρῳ. οἷον, διαιρεθέντος τοῦ ζώου εἰς λογικὸν καὶ ἄλογον, ἅπερ ἀντιδιαιρούμενα εἴδη λέγεται, μήτε τὸ λογικὸν ἐν τῷ ἀλόγῳ περικλύεσθαι, μήτε τὸ ἄλογον ἐν τῷ λογικῷ, ἀλλὰ διακεκριμένως ἔχειν καθὸ τοιαῦτα. Δεύτερον τῷ τὰ μέρη πάντα ἐνέρμενα ὑφίστασθαι τῷ ὅλῳ, ὥστε μήτε περιττεύειν ἐκείνα, μήτ' ἐλλείπειν. οἷον, τὸ ἄλογον ζῶον, καὶ τὸ λογικόν; ὑφίστασθαι τῷ ἁπλῶς ζώῳ. Τέλος τῷ τὴν διαίρεσιν πᾶσαν εἰς δύο μέρη τὰ πρῶτα ἀντικείμενα ἀνάγεσθαι. οἷον, πάντα τὰ ἀναίσθητα σώματα ὑπὸ τὸ ἀναίσθητον σῶμα, καὶ πάντα τὰ αἰσθητικὰ ὑπὸ τὸ αἰσθητικόν. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν γενῶν. καὶ Τέταρτον, τῷ εἰς μέρη διαιρεῖσθαι προσεχέστερα τὸ πρῶτον. ὡς ὅταν εἴπωμεν, ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον, οὐ μὴν εἰς ἔμψυχον, καὶ ἄψυχον. προσεχέστερα γὰρ τῇ οὐσίᾳ τὸ σῶμα καὶ τὸ ἀσώματον, ἢ τὸ ἔμψυχον, καὶ τὸ ἄψυχον.

Τέσσαρσι τρόποις διαγινώσκομεν τὴν ὑγιῶς ἔχουσαν διαίρεσιν.

α'. Τῷ τὰ μέρη τῆς διαιρέσεως ἀντικείμενα εἶναι.

β'. Τῷ τὰ μέρη πάντα ὑφίστασθαι τῷ ὅλῳ.

γ'. Τῷ εἰς τὰ δύο πρῶτα μέρη ἀντικείμενα ἀνάγεσθαι.

δ'. Εἰς τὰ προσεχέστερα μέρη διαιρεῖσθαι τὸ α'.

Περὶ διαφορᾶς Πείρας, Ἐμπειρίας, Τέχνης, καὶ Ἐπιστήμης. ἐν ᾧ καὶ περὶ τῶν δυνάμεων τῆς ψυχῆς.

Ἀκόλουθον ἂν ἄρα διαλαβοῦσι περὶτε ὅρου, καὶ διαφορᾶς ὅρων, προσέτι περὶ διαιρέσεως, καὶ τῶν ταύτης διαφορῶν, ὡς καὶ ταύτης ἀναγκαίας ἕξεως, θεωρῆσαι περί τε τοῦ γένους & τῆς διαφορᾶς τῆς λογικῆς μεθόδου, περὶ ἧς τὸ σκοπούμενον, ἵνα ἐκ τούτων τὸν ὁρισμὸν ταύτης στηρίσωμεν. ἀλλ' ἐπειδὴ διαφόρως οἱ πάλαι καὶ νῦν φιλοσοφοῦντες περὶ ταύτης δοξάζουσιν, οἱ μὲν ἐπιστήμην, οἱ δὲ τέχνην ταύτην λέγοντες εἶναι, οἱ δὲ ἐκ φύσεως ταύτην προερχομένην, καὶ οἱονεὶ, φυσικήτις ἕξις διὰ νύξεως,

ἀλλ' ὐκ ἐκ μαθήσεως προσποιεζομένη κατὰ τὰς Πλατωνικοὺς, ἔδοξε δέον ὡς σὺν διὰ βραχέων, ὀλίγ' ἅττα διαλαβεῖν περὶ Τέχνης καὶ Ἐπισήμης. ἀλλ' ἵνα μᾶλλον ὁ λόγος ἐμεθόδως προάγηται, πρὸ τούτων περὶ Πείρας καὶ Ἐμπειρίας ὄλογον διαλαβεῖν, ὅπως ἑκάστης τούτων τὰ ἰδιάζοντα διαγνῶντες, ὀχερέτερον τῆς λογικῆς μεθόδου τὸ προσεχὲς γένος διαγινώσκειν ἔξωμεν. ἔστω δὲ ὁ λόγος ὡς ἀπὸ τοιαύτης διαιρέσεως.

Ἡ γνῶσις ἢ ἄνευ λόγου ἐστὶν, ἢ μετὰ λόγου; καὶ ἡ μερικὴ ὄζιν, ἢ καθόλου. ἡ μὲν οὖν ἄνευ λόγε γνῶσις, εἰ μερικὴ εἴη ποιεῖ τὴν Πεῖραν, καὶ ἔστιν ἡ Πεῖρα σύνος πράγματος ἄλογος γνῶσις. οἷον, ὅταν τὶς σὺν μόνον γινώσκει βοήθημα, καὶ τούτῳ χρώτω; τὴν αἰτίαν ἀγνοῶν καθ' ἣν ὠφελεῖ τὸ τοιοῦτον βοήθημα. ἡ δὲ ἄνευ λόγε γνῶσις ἡ καθόλου ποιεῖ τὴν Ἐμπειρίαν, καὶ ἔστιν ἡ Ἐμπειρία ἄλογος γνῶσις τῶν καθόλου, ὥσπερ ἐπὶ τῶν ἐμπειρικῶν Ἰατρῶν ὁρῶμεν. οὗτοι γὰρ πολλὰ μὲν γινώσκουσι βοηθήματα, τὴν δὲ αἰτίαν τῆς βοηθείας αὐτῶν οὐ γινώσκουσι. Ἐμπειρία τοίνυν ἐστὶ μνήμη καὶ τήρησις ἄλογος τῶν πολλάκις καὶ ὡσαύτως ὀφθέντων. ὁ γὰρ ἐμπειρικὸς Ἰατρὸς ἐν μνήμῃ κατέχων καὶ τηρῶν τὰ πολλάκις καὶ ὡσαύτως ὀφθέντα ἰάματα, κέχρηται τούτοις, τὴν αἰτίαν τῆς ἰάσεως ἀγνοῶν.

Ἡ δὲ μετὰ λόγε μερικὴ γνῶσις, Τέχνης, ἢ Ἐπισήμης μέρος ποιεῖ. Τέχνης μὲν, εἰ τὸ ὑποκείμενον ἐστὶ ῥεπτὸν, ὡς ἐπὶ τῆς Τεκτονικῆς. Τέχνη γὰρ ἅπτα, καὶ μερική. ὅτι περὶ μόνα τὰ ξύλα καταγίνεται, ῥεπτὰ ὄντα, καὶ φθαρτά. Ἐπισήμης δὲ μέρος ποιεῖ, εἰ τὸ ὑποκείμενον ὑπάρχει ἄῤῥεπτον. ὡς ἐπὶ τῆς Ἀστρονομίας, ἥτις μερικὴ ὖσα (περὶ γὰρ μόνα τὰ οὐράνια σώματα καταγίνεται) καὶ μερικὰ ὑποκείμενα ἔχουσα, ἄῤῥεπτα ταῦτα καὶ ἀδιάφθαρτα ἔχει. ἡ δὲ καθόλου μετὰ λόγε γνῶσις, Τέχνην τελείαν, ἢ τελείαν Ἐπισήμην. Τέχνην μὲν εἰ τὰ ὑποκείμενα ῥεπτὰ τε καὶ ἀλλοιωτὰ ἔχει. εἰ δὲ ἄῤῥεπτα καὶ ἀναλοίωτα ἔχει, Ἐπισήμην ποιεῖ. ἡ γὰρ Τέχνη καὶ Ἐπισήμη κατὰ τὰ ὑποκείμενα διαφέρουσιν. ἔστι μὲν ὖν ἡ Τέχνη γνῶσις τῶν καθόλε μετὰ λόγε, ῥεπτὰ τὰ ὑποκείμενα ἔχουσα. ἢ καὶ ὅπως. Τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, πρός τι τέλος ἄχρηστον τῶν ἐν τῷ βίῳ. σύστημα μὲν οὖν ἐκ καταλήψεων εἴρηται, ἐστὶν ἄθροισμα ἐξ ἐφαρμόσεων πρὸς αἰτιδιασολὴν τῆς Πείρας, ὑπαρχούσης γνώσεως μερικῆς. ἐγγεγυμνασμένων δὲ, ἤτοι δεδοκιμασμένων, διὰ τὴν Ἐμπειρίαν, ἀδόκιμον οὖσαν βιβλίῳ. τὸ δὲ πρός τι τέλος ἄχρηστον τῶν ἐν τῷ βίῳ πρόσκειται, διὰ τὰς ματαιοτεχνίας καὶ κακοτεχνίας. ἡ γὰρ ματαιοτεχνία οὔτε ὠφελεῖ τι, οὔτε βλάβην εἰσφέρει τῷ βίῳ, ἀλλὰ μόνον ἀσχολίαν καὶ διατριβὴν ἄχρηστον. ὡς ἡ τῶν κύβων, καὶ τῶν ζαρίων, καὶ ἄλλων παρομοίων. ἡ δὲ γε κακοτεχ-

κοτεχνία πρὸς τὸ μηδὲν ὠφελεῖν καὶ βλάπτειν τὸν βίον. ὡς ἡ γοητικὴ καὶ αἱ τοιαῦται. ὁριστέον καὶ οὕτως. Τέχνη ἐστὶν ἕξις ὁδῷ βαδίζουσα, μετὰ φαντασίας. πρόσκειται δὲ, τὸ μετὰ φαντασίας, διὰ τὴν φύσιν. ἕξις γάρ ὅτι καὶ ἡ φύσις ὡς ἔχουσα τὸ εἶναι ἐν οἷς ἐστιν. ~~διὸν διὰ τὸ τὴν ἕξιν ἀπὸ~~ τοῦ ἔχω λέγεσθαι ἐν ᾧ ζῶ, ἐν φυτῷ, καὶ τοῖς λοιποῖς. βαδίζει δὲ καὶ αὐτὴ ὁδῷ, τουτέστι κατὰ τάξιν προέρχεται, καὶ πάντα κατὰ λόγον ποιεῖ, ἀλλ' οὐ μετὰ φαντασίας ὥσπερ ἡ Τέχνη. ὁ γὰρ φαντάζεται ἐν ἑαυτῷ ὁ βούλεται κατασκευάσαι. ἄλογος γάρ ἐστιν. ὁ δὲ τεχνίτης, κεχρημένος τῷ λόγῳ νῦν καὶ τί βούλεται ποιῆσαι, πρότερον διατυποῖ τὸ τοιοῦτον ἐν ἑαυτῷ, καὶ εἶθ' οὕτως ἀποτελεῖ.

Ἐπιστήμη δέ ἐστιν ἡ τοῦ καθόλου ἄπταιστος γνῶσις, καὶ ἀμεταπίπτος, ἄ-ξεπτα καὶ ἀΐδια τὰ ὑποκείμενα ἔχουσα. ἀπταίστως γὰρ γινώσκει τὰ γινωσκόμενα, διὰ τὸ αὐτοῦ ἀρθυσόντε καὶ ἀναλλοίωτον. οὐ γὰρ ἐξεπάζει τὰς ἰδιότητας τοῦ ἐπὶ μέρους πράσεως, ὥσπερ ἡ Ἰατρικὴ, ἀλλὰ περὶ τοῦ καθόλου Ἀνθρώπου, καὶ τοῦ καθόλου Ἵππου, καὶ τοῦ ὁμοίων διαλαμβάνει, ἄτινα ἀεὶ ὡσαύτως ἔχουσιν.

Ἡ δὲ Τέχνη περὶ τὰ ῥᾴδια καὶ τὰ μὴ ἀεὶ ὡσαύτως ἔχοντα καταγίνεται. τὰ γὰρ ὑποκείμενα παύτης ὡς ἔφημεν, φθορᾷ ὑποκεινται καὶ ἀλλοιώσει, ὡς τῇ Ἰατρικῇ τὰ ἀνθρώπεια σώματα. ὅθεν τοῦ Ἰατροῦ δόντος καθάρσιον ἐν καιρῷ δέοντι, διὰ τὸ αἰφνιδίως ξαπλῶσαι τὸ πνικαῦτα κατάσημα, οἷον τοῦ σώματος, κἀντεῦθεν ἀλλοιωθὲν τὸ ὑποκείμενον, βλάβη τῷ καθαρσίῳ αὐτ' ὠφελείας ἐπηκολούθησεν. ὥστε ἡ ἀποτυχία τῆς ἰάσεως, οὐ διὰ τὸν λόγον τῆς τέχνης, ἀλλὰ διὰ τὸ ξεπτὸν τοῦ ὑποκειμένου γέγονε. τοῦτο δὲ τὸ ἄσατον τῶν ὑποκειμένων, καὶ ἐπὶ πασῶν θεωρεῖται τεχνῶν.

Διὸ ἡ Ἐπιστήμη τὰ ὑποκείμενα ἄξεπτα καὶ σάσιμα ἔχουσα; τοιαύτης καὶ τῆς ὀνομασίας τετύχηκεν. εἴρηται δὲ Ἐπιστήμη, διὰ τὸ ἐπὶ σάσιν καὶ ὅρον τοῦ πραγμάτων ἄγειν ἡμᾶς, ἀπάγουσα ἀποτε τῆς ἀορισίας, καὶ μεταβολῆς τοῦ μερικῶν. ἀόρισα γὰρ τὰ μερικὰ, διὰ τὸ μεταβάλλεσθαι. ἔργον δὲ Ἐπιστήμης ἡ θεωρία τοῦ καθόλου, τὰ δὲ καθόλα εἰσὶν ἀμεταπτωτα, καὶ ἀεὶ ὡσαύτως ἔχοντα, καθὸ τῆς τέχνης αὐτιδιαιρέλεται.

Ἐπεὶ δὲ τοιγαροῦν ἡ λογικὴ ἕξις ἐπὶ τὰς ψυχικὰς δυνάμεις ἀναφέρεται, ὥσπερ καὶ αἱ λοιπαὶ τοῦ Τεχνῶν καὶ Ἐπιστημῶν, ἔδοξεν οὐκ ἄπο σκοποῦ, ὀλίγ' ἅπτα, καὶ περὶ ψυχικῶν δυνάμεων διεξελθεῖν, ἵνα καὶ τὴν διαίρεσιν τούτων καὶ τὴν διαφορὰν (ἐφ' ὅσον ἐπὶ τὰ παρόντος δόμεθα τούτων) γνῶμεν πρὸ τοῦ ἄλλων. τοίνυν τοῦ ψυχικῶν δυνάμεων αἱ μὲν φυτικαὶ, αἱ δὲ ζωτικαὶ ἢ ὀρεκτικαὶ, αἱ δὲ γνωσικαί εἰσι καὶ διανοητικαί. καὶ φυτικαὶ μέν εἰσιν,

ἥτε θρεπτικὴ, καὶ αὐξητικὴ, καὶ γονιμικὴ, ὡς ἐπὶ τῆς φυτῆς θεωρεῖται. ταῦτα γὰρ ξεφόμενα αὔξει, & αὐξόμενα γονὰς καρπούς, κλάδους, καὶ τὰ τοιαῦτα. ζωτικαὶ δὲ πάλιν καὶ ὀρεκτικαὶ, ἡ βούλησις, ἡ προαίρεσις, ὁ θυμὸς, καὶ ἡ ἐπιθυμία, ὡς ἐπὶ τῆς ζώων θεωρεῖται. ἀλλ' αὗται μὲν οὐ πᾶσαι θεωροῦνται ἐπὶ τῆς ἀλόγων ζώων, ἀλλ' εἰσί τινες αἳ καὶ λόγου μετέχουσι. (ὅσαι γὰρ τῆς δυνάμεων ἐπὶ τῆς ἀλόγων θεωροῦνται, αὗται ἐπὶ τῆς λογικῶν τελεώτεραι ἐκλαμβάνονται) ὅθεν ἡ μὲν βούλησις δυνάμις ἐστὶ λογικὴ, καὶ ξόπον τινὰ ἴδιος τῆς ἀνθρώπου εἴδει. ἄλογοι δὲ δυνάμεις, ἡ ἐπιθυμία, καὶ ὁ θυμός. ἧς δ' αὖ προαίρεσις κατ' ἀμφότερα θεωρεῖται.

Ἔστι τοίνυν ἡ βούλησις αὐτὴ καθ' αὑτὴν τῆς λογικῆς ψυχῆς, καὶ πρὸς μόνον τὸ ἀγαθὸν ὀρέγεται. εἰ δ' ἐνίοτε βούλεται καὶ τὸ κακὸν, ἀλλὰ τοῦτο οὐχ ᾗ κακὸν, ἀλλ' ὡς σωτῆριον τοῦτο βούλεται. ἡ δὲ προαίρεσις ἐστὶ συμπεπλεγμένη τῇ ἀλογίᾳ. διὸ καὶ ποτὲ μὲν πρὸς τὸ λόγῳ, ποτὲ δὲ πρὸς τῆς ἀλογίας γίνεται, καὶ αἱρεῖται πρὸ τοῦδε τόδε, διὸ καὶ προαίρεσις λέγεται. γνωσικαὶ δὲ δυνάμεις τῆς ψυχῆς εἰσι, Νοῦς, Διάνοια, Δόξα, Φαντασία, καὶ Αἴσθησις. καὶ τούτων πάλιν, Νοῦς καὶ Διάνοια εἰσὶ λογικαὶ. Φαντασία δὲ καὶ Αἴσθησις, ἄλογοι. ἡ δὲ Δόξα θεωρεῖται κατ' ἄμφω. γίνεται γὰρ αὕτη καὶ μετὰ λόγου, & ἄνευ λόγου. καὶ ἄνευ λόγου μὲν γίνεται, ὅταν χωρὶς αἰτίας δοξάζῃ τὰ πράγματα. οἷον, δοξάζει τις τὸν ἄνθρωπον εἶναι γελαστικὸν; οὐκ ἀπό τινος αἰτίας εἰς τοῦτο ἐλθών. καὶ αὕτη λέγεται ἄλογος δόξα. μετὰ λόγου δὲ, ὅταν ἐξ αἰτίας ἀλόγου εἰς τοῦτο προάγηται. ὡς ὅταν εἴποι τις. πᾶν λογικὸν γελαστικὸν, ὁ ἄνθρωπος λογικὸς, ἆρα ὁ ἄνθρωπος γελαστικός. καὶ αὕτη ἐστὶν ἡ μετὰ λόγου γινομένη δόξα, ἥτις συμπέρασμά ἐστι τῆς προτάσεων. Αἴσθησις δὲ ἐστιν ἡ μερικὴ γνῶσις τοῦ παρόντος. ἡ δὴ Αἴσθησις τοῦ παρόντος μόνον ἀντιλαμβάνεται. οἷον, ἡ ὅρασις ὅπερ ὁρᾷ, τότε μόνον ἀντιλαμβάνεται. ὁμοίως & αἱ λοιπαὶ τῆς αἰσθήσεων.

Φαντασία δέ ἐστιν ἡ τοῦ ὄντος μερικὴ γνῶσις. ὡς ὅταν εἴδῃ τις τὸν ἥλιον, ἢ ἄλλο τι, εἶτα φαντάζεται αὐτὸν τοιοῦτον ἢ τοιοῦτον ὄντα. ὅπερ & ἀναπόλησις λέγεται. ταύτην δὲ τὴν φαντασίαν ὁ Ἀριστοτέλης νοῦν ὠνόμασε παθητικόν. νοῦν μὲν, ὡς ἔχουσαν ἔνδον τὸ γνωστὸν ἐν ἑαυτῇ. διαφέρει δὲ τῆς αἰσθήσεως. ὅτι ἅπερ ἡ αἴσθησις γινώσκει κείμενα ἔξω, δεομένη τῆς παρουσίας ἐκείνων πρὸς τὸ ἐνεργῆσαι περὶ αὐτὰ, τούτων τοὺς τύπους ἡ φαντασία ἀπομαξαμένη διὰ τῆς αἰσθήσεων, ἔχει ἐν ἑαυτῇ, καὶ δύναται προβάλλειν, μηδαμῶς τῆς ἔξω δεομένη κειμένων. διὸ καὶν τοῖς ὕπνοις ἐνεργῇ, τῆς αἰσθήσεων ἀνενεργήτων οὐσῶν.

Παθη-

Παθητικὸν δὲ ταύτῃ εἴρηκε, διότι μετὰ μεσισμοῦ γινώσκει τὰ πράγματα, καὶ μετὰ διασάσεως, ἐκ τῆς αἰσθητῆς ἀρχομένην καὶ σωισαμένη, καὶ πολλάκις τῇ χρονίῳ ἀπουσίᾳ τῆς αἰσθητῆς διαλυομένη. Ἐπεὶ δ' οὖν οὐδὲν τῆς ἐνταῦθα πραγμάτων νοῆσαι ἔχομεν ἄνευ φαντασίας. αὕτη γὰρ οὐκ ἀπαθής ἐστι, (διαλύσει δὲ ὑποκειται καὶ φθορᾷ ὡς εἴρηται.) διὰ τοῦτο τῆς φαντασίας φθειρομένης, πάσχομεν τῷ λήθῃ τῆς ἐγνωσμένων. Ἐπειδὴ δὲ τῷ νόησιν τῇ φαντασίᾳ ἔχομεν συμπεπλεγμένῳ, τὰ νοήματα, παθήματα τῆς ψυχῆς λέγονται. οὐχ ὅτι ἡ λογικὴ ψυχὴ πάσχει, ⸗ διὰ τοῦτο τὰ ἐξ ἐκείνης ἐρχόμενα παθήματα ἤκουσεν, ἀλλ' ὅτι χωρὶς τῶ παθητικοῦ νοῦ, τῆς φαντασίας δηλαδὴ, ἐδεν πέφυκε τῆς ἐν τῷ κόσμῳ νοεῖν.

Διάνοια δέ ἐστι, γνωστικὴ τῆς καθόλε μετὰ λόγε δυνάμις, ἐκ ἀθρόως τὸ γνωστὸν καταλαμβάνουσα, καὶ ὁμοῦ, ἀλλὰ διάτινος μεσιτδύσης μεθόδε. αὕτη δὲ ἡ Διάνοια λέγεται ⸗ δυνάμει νῦς, διὰ τὸ σωεπαίρεσθαι καὶ σωανάγεσθαι τῆς ἐνεργείᾳ νῷ. πρὸς ἅπερ γὰρ ὁ ἐνεργείᾳ νοῦς ἀμέσως ⸗ δι' ἁπλῶν ἐπιβολῶν νοεῖ, πρὸς ταῦτα ἡ διάνοια, ἤτοι δυνάμει νῦς διὰ συλλογισμῶν ἀνάγεται. Ἡ διάνοια τοίνυν, τυτέστιν ὁ δυνάμει λεγόμενος νοῦς, ἀεὶ πρὸς τὸ δέον σῶνεργεῖ, ⸗ ταῖς ὀρεκτικαῖς δυνάμεσι τῆς ψυχῆς βοηθεῖ, ⸗ ἀλόγους οὔσας αὐτὰς πρὸς τὸ λελογισμένον ποδηγετεῖ. σωεπαιρομένη δὲ τῷ ἐνεργείᾳ νῷ, καὶ ἀναγομένη πρὸς τὴν γνῶσιν τῆς ὄντων, ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον πρόεισιν, ἤγουν ἐκ τοῦ δυνάμει πρὸς τὸ ἐνεργείᾳ. διὸ καὶ ἡ τοιαύτη ἐνέργεια, ἤτοι ἡ νόησις, λέγεται πάθος, πρὸς ἀντιδιαστολὴν τῆς ἐνεργείας τοῦ νοῦ, αὐτοτελοῦς καλουμένου, ⸗ ἐνεργείᾳ νοῦ ὄντος. ὡς τῇ οὐσίᾳ σωύδρομον τὴν ἐνέργειαν ἔχοντος, ἀμιγῆτε τοῦ δυνάμει, καὶ διατοῦτο παντελῶς ἀπαθῆ.


Διαφέρει δὲ ἡ Διάνοια τῆς μετὰ λόγε Δόξης. ὅτι ἡ μετὰ λόγε Δόξα συμπέρασμά ἐστι τῆς προτάσεων, ὡς ἐλέγετο ἀνωτέρω. ἡ δὲ Διάνοια λαμβάνουσα τὰς προτάσεις ὁμολογουμένας κατασκευάζει τὸ ζητούμενον. λαβοῦσα γὰρ ὁμολογουμένως ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ δὲ αὐτοκίνητον ἀεικίνητον, καὶ τὸ ἀεικίνητον ἀθάνατον, κατεσκεύασεν ἐντεῦθεν, ὅτι καὶ ἡ ψυχὴ ἀθάνατος. καὶ οὕτως ἐκ τῆς τοιᾶς δὲ κατασκευῆς, ἡ μετὰ λόγου δόξα συμπεραίνει, ὅτι ἡ ψυχὴ ὑπάρχει ἀθάνατος. ὅπερ ἡ Διάνοια διὰ προτάσεων προκατεσκεύασεν. ὁ δὲ νοῦς ἀκρεφὴς ὑπάρχων καὶ ἀμιγὴς παθημάτων γηΐνων, καὶ ὡς ἂν εἴπῃ τὶς νοῦς κεκαθαρμένος ἀσκήσει, καὶ δι' ἀρετῆς ὁμοιωσμένος Θῷ, οὐχ ὅπως, ἀλλ' ἁπλῇ προσβολῇ, τυτέστιν δυθέως, ἀχρόνως, κρεῖττον ἢ κατὰ ἀπόδειξιν, πάντα τὰ ὑποπίπτοντα αὐτῷ γινώσκει, τὰ νοητὰ δηλαδή. οὕτω τοιγαροῦν τούτων ἐχόντων, δέον ἐστὶν εἰ-

δέναι,

δέναι, ὅτι ἐκ μὲν τῆς αἰσθήσεως ἐγείρεται ἡ πεῖρα. καὶ γὰρ ἄυτη μερικὴ ἐστι γνῶσις, καὶ ἄλογος. ἡδὲ ἐμπειρία προέρχεται, ἔκτε τῆς ἀλόγου δόξης, καὶ ἐκ τῆς αἰσθήσεως, καὶ τῆς φαντασίας ὁμοῦ. καὶ ὅταν μὲν ἐκ τῆς αἰσθήσεως ἐγείρεται καὶ τῆς φαντασίας, λέγεται αὐτοψία. καὶ γὰρ αὐτόπτης γενόμενος τῷ βοηθημάτων ὁ ἐμπειρικὸς Ἰαζὸς, καὶ βασανίσας αὐτὰ διὰ τῆς αἰσθήσεως, ἢ τὰς ἐνεργείας αὐτῷ ἐν ἑαυτῷ, διὰ τῆς φαντασίας σωσαγαγών, χρᾶται κατὰ καιροὺς ἐνὶ ἑκάστῳ πρὸς τὰς ἰάσεις. ὅταν δὲ ἐκ τῆς ἀλόγου δόξης ἡ ἐμπειρία ὁρμᾷ, τότε λέγεται ἱστορία. ὡς ὅταν τὶς δοξάζει τὰς φύσεις τῷ βοηθημάτων τούτων τοιαύτας εἶναι, μὴ δοκιμάσας αὐτὸς, ἀλλ' ἀπ' ἄλλων ἀκηκοὼς, καὶ οὕτω δοξάζων.


Ἡ δὲ Τέχνη ἐγείρεται ἐκ τῆς δόξης τῆς μετὰ λόγου ἢ τῆς διανοίας. καὶ γὰρ καὶ ἄυτη ὁμοίως ταύταις τὰ καθόλου μετὰ λόγου γινώσκει.

Ἡ δὲ Ἐπιστήμη γεννᾶται ἔκτε τῆς διανοίας ἢ τῦ νοῦ. ἢ τὰς μὲν δεομένας ἀποδείξεων ἀρχὰς ἐκ τῆς διανοίας λαμβάνει. οἷον, ὅτι τὸ ἀσώματον ἀδιαίρετον, καὶ ἡ γραμμὴ ἐπ' ἄπειρον διαιρετὴ, ἢ τὰ τοιαῦτα. τὰς δὲ ὁμολογουμένας ἀρχὰς ἢ ἀνενδείκτους ἀποδείξεων, λαμβάνει ἐκ τῦ νῦ. οἷον, ὅτι ὁ θεὸς ἀγαθὸς. ὅτι πάντα ποιήματα τῦ θεοῦ, ἢ τὰ τοιαῦτα. διαφέρει τοίνυν ἡ Τέχνη τῆς Ἐπιστήμης, ὃ μόνον ὅτι ἡ μὲν περὶ τὰ μεταβαλλόμενα, ἡ δὲ περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα κατάγνεται, ἀλλὰ ἢ ὅτι ἡ μὲν Τέχνη ἔκτε τῆς μετὰ λόγυ δόξης, ἢ τῆς διανοίας προέρχεται. ἡ δὲ Ἐπιστήμη ἐκ τοῦ νοῦ Ⓒ τῆς διανοίας; ἀρχῶν μόνον δεομένη. καὶ εἰ μὲν ὁμολογουμένας, ταύτας παρὰ τοῦ ἐνεργείᾳ λαμβάνει νοὸς, εἰδὲ ἀποδείξεων δεομένας ταύτας, μετὰ τίνι μετὰ λόγου δόξαν, ἤτοι μετὰ τὸ συμπέρασμα, παρὰ τοῦ δυνάμει, ἤτοι τῆς διανοίας λαμβάνει, τῆς μετὰ λόγου μὴ δεομένη δόξης.



Ἡ γνῶσις.
- Ἡ ἄνευ λόγου.
  - Ἡ Μερικὴ, ἐξ ποιᾶ τῶν Πείρα.
  - Ἡ καθόλου, ἐξ ποιᾶ τῶν Ἐμπειρία.
- Ἡ μετὰ λόγου.
  - Ἡ μερικὴ.
    - Καὶ ποιᾶ Τέχνης μέρος.
    - Ἡ Ἐπιστήμης μέρος.
  - Ἡ καθόλου.
    - Ἡ ἕξις τὰ ἔσχατα ἔχουσα τὰ ἀποκείμενα, ἢ ποιᾶ Τέχνη τελεία.
    - Ἡ ἀξία, ἐξ ποιᾶ Ἐπιστήμη.

Τῶν



Στέον ὅτι τῆς ἐπινοίας διχῶς ἐκλαμβανομένης, ἡ μέν ἐστιν οἷον ἐπένοιά τις ἢ ἐπανθύμησις, φύσιν ἔχουσα τὰ συγκείμενα ἐκ φύσεως διαχωρίζειν, καὶ κατ' ἰδίαν σύστασιν ἑκάτερον ἐπινοεῖν. οἷον ψυχὴ ἢ σῶμα, ἅπερ εἰσὶν ἅμα δεδημιουργημένα, καὶ ἐξ ἀμφοτέρων ἄνθρωπος γέγονεν ἓν, ἀλλ' ἡ ἐπίνοια αὐτὴ δύναται διαιρεῖσθαι τὸν ἄνθρωπον εἰς τὴν ψυχὴν, καὶ τὸ σῶμα, ἢ πρὸ τῆς ἀπ' ἀλλήλων διακρίσεως καὶ χωρισμοῦ τὴν ψυχὴν κεχωρισμένην ἐπινοῆσαι τοῦ σώματος, καὶ τὸ σῶμα κεχωρισμένον ἐπινοῆσαι τῆς ψυχῆς. ~~καὶ τὸ εἶναι~~ τὴν μὲν ψυχὴν: οὐσίαν ἀθάνατον, καὶ ζωῆς αἰτίαν τὸ σώματι. τὸ δὲ σῶμα φύσις θνητὴ οὐκ ἀφ' ἑαυτοῦ τὸ ζῆν ἔχον, ἢ ὅσα ἄλλα ἔνεισιν ἑκατέροις. πάλιν τὸ σῶμα, ἢ τὸ χρῶμα ὁμοῦ πεφύκασιν εἶναι, ἢ ἀδύνατον τὸ σῶμα τοῦ χρώματος χωρισθῆναι, ἢ αὖ τὸ χρῶμα τοῦ ὑποκειμένου σώματος ἄμοιρον εἶναι. ἀλλ' ἡ ἐπίνοια ταῦτα ἀπ' ἀλλήλων διίστησιν, ἢ τὸ μὲν κεχρωσμένον φύσει σῶμα; ἐν ἑαυτῇ ἐσημένον τοῦ χρώματος σωίστησιν. ὁμοίως ἢ τὸ χρῶμα διηρημένον τοῦ σώμα-

: ἀθάνατον ζωὴν

σώματος. καὶ αὕτη μὲν ἐστιν ἡ πρώτως καὶ κυρίως λεγομένη ἐπίνοια. ἡ δὲ λοιπὴ, ψιλὴ ἐπίνοια κατονομάζεται. τὰ γὰρ μὴ ἔχοντα ὑποστασιν, ὡς ὑποστατα λογίζεται, καὶ τὰ μὴ ὄντα, ὡς ὄντα, ἥτις διανοίας ὑπάρχει ἀνάπλασμα, ἄνθρωπον σωισῶσα πτερωτὸν, καὶ πλοῖον ἀέριον, καὶ ἕτερα παραπλήσια. καὶ ἐκ τῶν ὅλων δὲ μέρη τινὰ λαμβάνουσα, καὶ μετ' ἀλλήλων συντιθεῖσα, ὑφιστᾷ τὰ παντελῶς ἀύπαρκτα. τοιοῦτόν ἐστιν ὁ κένταυρος, ἵππος ἀνθρωπος. ὅπερ τῶν ὄντων οὐδέν ἐστιν, ἀλλὰ μόνον ψιλὸν ὄνομα. διαφέρει δὲ τῆς φαντασίας ἡ ψιλὴ ἐπίνοια, ὅτι ἡ μὲν φαντασία τῶν ὑποστάτων ἐστὶν ἀναπόλησις. ὡς ὅταν τὶς τὸ ὁραθὲν ἀναπολῇ καὶ φαντάζηται. ἡ δὲ ψιλὴ ἐπίνοια ἐστὶ διατύπωσις τῶν ἀυποστάτων, καὶ μηδαμῶς ὄντων, μόνῳ τῷ ἐνθυμήσιν ἔχουσα γένεσιν, ὥσπερ καὶ τῷ λήθῳ τελείαν φθοράν. καὶ ταῦτα μὲν περὶ τούτων χρειωδῶν ὄντων τοῖς μετέπειτα μαθησομένοις. νῦν δὲ ἐχόμενον ἂν εἴη ἐρευνῆσαι περὶ τοῦ γένους τῆς λογικῆς μεθόδου, τοῦτε πόρρω καὶ προσεχοῦς, προσέτι περὶ τοῦ τέλους αὐτῆς, καὶ τῆς διαφορᾶς, ἵν' ἐκ τούτων τὸ τί ἐστι ταύτης θηρεύσωμεν.

Περὶ τοῦ γένους τῆς Λογικῆς, καὶ εἰ ἐστὶν ἕξις ἐπίκτητος, ἢ οὔ.

Τὸ ζητούμενον τοῖς περιπατητικῶς φιλοσοφοῦσι, τῷ ὄντι παράδοξον κείνεται, τῷ Λογικῷ δηλαδὴ ἔμφυτον εἶναι τῇ ἀνθρωπείᾳ ψυχῇ, καὶ μὴ ἐπίκτητον ἕξιν. Ἔμπης παρὰ Πλάτωνι, καὶ τοῖς προσβάλουσι τὰ ἐκείνου δόγματα ἀπαρασάλευτα, οὐ μόνον εὔλογον, ἀλλὰ καὶ ἀναγκαῖον, τὸ τοιοῦτον φαίνεται δόγμα. τῷ λογικῷ δηλαδὴ μέθοδον, ὥσπερ καὶ τὰς λοιπὰς ἕξεις, φύσει ἐνυπάρχειν ταῖς ἀΐδιαις ψυχαῖς, καὶ μὴ προσποιεῖσθαι ταύτας μαθήσει καὶ ἐπισμῷ. διάπερ τοῦτο ὁ Φιλόσοφος δέον ἔκρινε, μνήμῃ περὶ τούτου ποιήσασθαι, ὅτε πολλοῖς ἄλλοις, καὶ ἐν ἀρχῇ τοῦ πρώτου τῶν ὑστέρων ἀναλυτικῶν.

Δόξα Πλάτωνος.

Δέδοκται τοιγάρτοι τῷ Πλάτωνι πάσας τὰς ἐπιστήμας, καὶ ἁπλῶς εἰπεῖν πάσας τὰς ἕξεις ἐμφύτους εἶναι τῇ ἀΐδιῃ φύσει, καὶ παρέπεσθαι ταύτῃ, ὥσπερ καὶ τὰ εἰδητικὰ συμβεβηκότα παρέπεται τῷ εἴδει, οὗπερ εἰσὶν ἴδια, τῷ δὲ ἡμετέραν ψυχὴν ἐπιστήμονα πάντων εἶναι πρὸ τοῦ εἰσελθεῖν τῷ σώματι. μετὰ δὲ τὸ εἰσελθεῖν, διὰ τὴν συμφθορὰν τὴν πρὸς

αὐτὸ, λήθω ἀμπέχεσθαι ὧν ἐτύγχανον εἰδυῖα πρότερον. Ϛ διὰ τοῦτο μὴ δυνάσθαι κατ' ἐπιστήμην ἐνεργεῖν. προσέτι καὶ τοῦ μὴ γίνεσθαι πάντας ἀνθρώπους ὁμοίως μαθήσει καὶ διδασκαλίᾳ ἐπιστήμονας, τὸ αἴτιον ἐπὶ τὸ σῶμα ἀνῆγον, μᾶλλον, καὶ ἧττον ἐμποδοῦν, κατὰ τὸν διάφορον κρᾶσιν, δι' ὧν κρᾶσιν καὶ ἡ λήθη οὐχ ὁμοίως τοῖς πᾶσιν ἐπιγίγνεται.

Ἐπομένως τοίνυν ἔφασκε τὸν διδάσκοντα ἐν τῷ διδάσκειν, μηδὲν ἄλλο ποιεῖν, ἢ ἀφαιρεῖν τὰ ἐμποδοῦντα, καί τινα ζόπον διεγείρειν τὸν μνήμιον, ἐφ' ᾧ προαγάγῃ ἐς φῶς τὰς κεκρυμμένας, καὶ λανθανούσας ἐν τῇ ψυχῇ ἕξεις. ὅθεν καὶ τὸ πολυθρύλλητον ἐκεῖνο σωζῆτο ἀξίωμα, τὸ λέγον, τὰς μαθήσεις οὐδὲν ἄλλο, ἢ ἀναμνήσεις εἶναι.

Ἐμπέδωσις τοῦ προβλήθεντος.

Συμβάλλεται μὲν εἰς ἐμπέδωσιν τῶ τοιούτου δόγματος. Πρῶτον μὲν τὸ ἀξιωματικὸν, καὶ παρὰ πᾶσιν ἐπίσημον τοῦ τοιούτου ἀνδρὸς, καὶ ἐπὶ Φιλοσοφίαν οὕτως ἐς ἄκρον διαπρέψαντος. Δεύτερον δὲ συμπείθει τὰυτὸ καὶ ὁ λόγος ἐκ τῆς ἐκείνου ὁρμώμενος ὑποθέσεων. ἐτίθετο γὰρ ἐκεῖνος τὴν ψυχὴν ὑπάρχειν ἀθάνατον. διὸ καὶ προϋπάρχειν τῆς σωμάτων εὔλογον ἔκρινε, διὰ τὸ κοινῶς λεγόμενον ἀξίωμα, πᾶν τὸ γεννητὸν καὶ φθαρτὸν εἶναι, ὁμοίως καὶ τὸ ἄφθαρτον εἶναι ἀγένητον. Προσέτι ἄτοπον παντελῶς καὶ ἀνάξιον ᾤετο τὴν ἀθάνατον καὶ ἄϋλον φύσιν τῆς θνητῆς καὶ ὑλικῆς σώματι συγγενάδαι. Διὸ τὴν ψυχὴν προϋπάρχειν τὲ σώματος ἀπεφαίνετο. προϋπαρχούσης δὲ ἀνάγκη καί τινα εἶναι αὐτῆς ἐνέργειαν πρὸ τὲ εἰσδῦναι τῆς σώματι. ψυχῆς δὲ νοερᾶς καὶ ἀΰλου τίς ἂν ἄλλη οἰκεία ἐνέργεια γένοιτ' ἂν, πλὴν τὲ νοεῖν; τοῦτο δὲ τί ἂν ἄλλο εἴη, ἢ θεωρία τῆς ὄντων, καὶ τῆς ὐσίας ἐκείνων καταλήψις. Ἐτίθετο δὲ ἀκολούθως ὁ Πλάτων, τὰ νοητὰ εἴδη φύσει ἐνυπάρχειν τῇ αὐτῇ ψυχῇ, δι' ὧν ἐκείνη εἰς θεωρίαν τῆς ὄντων προήρχετο, μηδαμῶς δεομένη τῆς ἀπὸ τῆς αἰσθήσεων εἰδολοποιΐας. τούτων δὲ οὕτως ἐχόντων, προδήλως σωζέται τὰς Ἐπιστήμας προϋπάρχειν ἐμφύτως τῇ ἀνθρωπίνῃ ψυχῇ, καὶ ταύτῃ ἀνεπιστήμονα γίνεσθαι παρὰ τὸ σῶμα, τουτέστι διὰ τὰ ἐμποδοῦντα σωματικὰ κωλύματα, καὶ μὴ ἐῶντα ταύτῃ κατὰ τὴν οἰκείαν αὐτῆς φύσιν ἐνεργεῖν.

Δημό-

Λημμάτιον περὶ Διαιρέσεως τῆς Ἕξεων.

Ἵνα δὲ δηλοτέρον πρός τε τὴν ἀντίῤῥησιν τοῦ τοιούτου δόγματος, καὶ πρὸς ἐμπέδωσιν τοῦ κατὰ Περιπατητικοὺς φρονήματος χωρῶμεν, ἐπάναγκες εἶναι δοκεῖ περὶ διαιρέσεως ἕξεων διαλαβεῖν. Ἡ Ἕξις τοιγαροῦν πρόδηλόν ἐστιν ὅτι ἀπὸ τοῦ ἔχω λέγεται ῥήματος. ἔστι δὲ αὕτη τῆς ὁμωνύμως λεγομένων, καὶ ταύτην οἱ νεώτεροι πολυχρόως διαιροῦσι. τὰς μὲν γάρ φασι τῆς ἕξεων θεοπνεύστους εἶναι. τοιαύτας δὲ οὐ μόνον τὰς ὑφ' φύσιν ἐννοοῦσιν, ἃς καὶ θεολογικὰς ἀρετὰς καὶ χαρίσματα λέγειν εἰώθασιν, ἀλλὰ καὶ τὰς φυσικὰς ἕξεις ἔστιν ὅτε θεοπνεύστους καλοῦσιν, ὡς καὶ αὐτὰς ἐνδεχόμενον εἶναι κατ' ἐπίπνοιαν θείαν ἐγγίνεσθαι. παρὰ ταύτας δέ φασιν ἕξεις καὶ τὰς αἰσθητικὰς δυνάμεις, καὶ ἐπὶ τῶν σωμάτων ὁμοίως ἕξεις εἰώθασι λέγειν ποιάς τινας διαθέσεις δυσαποβλήτους κατὰ ψυχρότητα ἢ θερμότητα, δύχυμίαν, ἢ κακοχυμίαν. καὶ οὗτοι μὲν οὕτως. ἔστι δὲ διαιρῆσαι ταύτας, καὶ καθ' ἕτερον τρόπον. ὁσαχῶς γὰρ τὸ ἔχω παρὰ τοῖς λογικοδομένοις λαμβάνεται, τοσαυταχῶς καὶ τὰς ἐκ τούτου παραγομένας ἕξεις λαβεῖν ἐνδέχεται. τὸ ἔχω τοίνυν ἀφ' οὗ ἡ ἕξις, λαμβάνεται ἐπὶ τοῦ παρόντος μάλιστα τριχῶς. ἢ γὰρ ὡς ὁμώνυμος φωνὴ λαμβάνεται, καὶ ἀδιαφόρως ἔχειν ὁ ἄνθρωπος τί λέγεται, ἢ ἄλλοτι τῆς ὄντων. οἷον, ἐπὶ ἀνθρώπε τὸ ἔχειν χεῖρας, γυναῖκα, οἰκίαν, μέγεθος, πατέρα, ὑγὸν, καὶ τὰ ὅμοια. ὅπερ ἐπειδὴ εἰς διαφόρους κατηγορίας ἀνάγεται, μετὰ τὰς κατηγορίας τοῦ Φιλοσόφου ἐτέθη.

Δεύτερον καθὸ λέγομεν τὸν ἄνθρωπον ἔχειν τι περὶ τὸ σῶμα. οἷον, ἱμάτια, ὑποδήματα, καὶ τὰ τούτοις παραπλήσια. ὅπερ οἰκείαν κατηγορίαν σωίσησι, ὡς σημαντικὸν τοῦ περίκειμαι. οὐ δὲ ἀνάγεται εἰς διαφόρους κατηγορίας. διὸ τὴν ἑκάτην κατηγορίαν ἀποπληροῖ ἐν τοῖς τοῦ ὄντος γένεσι. καὶ Τρίτον τὸ ἔχω λαμβάνεται ὡς σημαντικὸν τοῦ διάκειμαι, ἀφ' οὗ καὶ ἕξις κυριώτερον λέγεται. ἔστι δὲ ἡ τοιαύτη ἕξις εἶδος τι ποιότητος, διατιθέμενον τὸν ἔχοντα ταύτην δὴ, ἢ ἕτερως, καθ' ἑαυτὸν ἢ πρὸς ἕτερον. καὶ αὕτη ἐστὶν ἡ κυρίως λεγομένη ἐπίκτητος ἕξις. ἥτις ἐπὶ τὰς ψυχικὰς δυνάμεις ἀναφέρεται, ἔστι δ' ὅτε καὶ ἐπὶ τὰς σωματικάς. ὡς ὅταν ἐνυπάρχει τῷ ἀνθρώπῳ δυεξία, ἢ καχεξία. ἐπὶ τῆς ψυχῆς δὲ ἐκλαμβανομένη, ἔχως ἐνδέχεται νοηθῆναι. ἢ γὰρ ἔστι χρομένη θεόθεν, ὡς ἡ καθ' ἡμᾶς ἱερὰ θεολογία πρεσβύει, ὡς ἐπὶ τοῦ Σαμουὴλ προφήτου ἐκ βρέφους, καὶ ἐπὶ τοῦ Σολομῶντος σοφισθέντος θεόθεν, ἀλλ' ἐκ

ἐκ μαθήσεως, καὶ τῷ ὁμοίων. ἢ ἐστὶν ἐναρμονία ὑπ' αὐτῆς τῆς φύσεως, ὡς αἱ ψυχικαὶ δυνάμεις. αἵτινες ἕξεις ὀνομάζονται, διὰ τὸ ἔχειν ταύτας τὸν ἄνθρωπον. ὥσπερ καὶ αὐτὴ ἡ φύσις ἕξις λέγεται, διὰ τὸ καὶ ταύτην ἔχειν τὸν ἄνθρωπον. καὶ Τρίτον ἕξις λέγεται πᾶν τὸ ἐθισμῷ καὶ λόγῳ τοῖς ἀνθρώποις προσίζεσθαι πεφυκός. οἷον καὶ δίελοι τὶς μάλιστα ἕωμερῶς. εἴς τε τὰς θεωρητικὰς δηλαδὴ, πρακτικάς τε, καὶ ποιητικάς· καὶ θεωρητικαὶ μέν εἰσιν αἱ ἐπιστημονικαί. πρακτικαὶ δὲ αἱ ἠθικαὶ λεγόμεναι. καὶ ποιητικαὶ πᾶσαι αἱ τέχναι. ἀλλὰ τούτων αἱ μὲν πρακτικαί, καὶ ἠθικαὶ λεγόμεναι, ἐπὶ τὰς ὀρεκτικὰς δυνάμεις τῆς ψυχῆς ἀναφέρονται.

Διαιροῦνται δὲ αὗται διχῶς, ἢ γὰρ διασώζουσι τὸ διωρισμένον μέσον ὑπὸ τῆς φρονήσεως, παντοίας ὑπερβολῆς καὶ ἐλλείψεως ἐκτὸς οὖσαι, καὶ εἰσὶν ἀρεταί. ἢ ἐκπίπτουσι τοῦ τοιούτου μέσου, κατάτε ὑπερβολὴν καὶ ἔλλειψιν, καὶ κακίαι καὶ πάθη κατονομάζονται. αἱ δὲ θεωρητικαὶ αἵ καὶ ἐπιστημονικαὶ λεγόμεναι, ἐπὶ τὰς γνωστικάς τε καὶ διανοητικὰς δυνάμεις ἀνάγονται τῆς ψυχῆς, ἐφ' ἃς καὶ αἱ ποιητικαὶ, καθ' ὅσον καὶ ἔνται, ὡς εἴρηται ἀνωτέρω ὑπό τε τῆς διανοίας καὶ τῆς μετὰ λόγου δόξης προέρχονται. ταύτας δὲ τὰς διανοητικὰς ἕξεις, ἅπερ ἐπὶ τὰς γνωστικὰς δυνάμεις ἀνάγονται ὡς ἔφημεν, διαιροῦσί τινες ὅτι. τὰς μὲν πάντων ἀεὶ ἀληθευτικὰς ὀνομάζοντες, τὰς δὲ μὴ ἀεὶ ἀληθευτικάς. καὶ ἀληθευτικαὶ μὲν ἀεὶ εἰσὶν ὅσαι δι' ἐναργῶν σημείων ἢ ἄλλως πῶς, διά τινος μέρους γνωριμωτέρου καὶ πιστοτέρου ἐπίβολοι γίνονται, ὡς ἐπὶ τῆς ἐπιστημῶν. αἱ δὲ μὴ ἀεὶ ἀληθευτικαὶ, ὅσαι ἐπὶ τινὶ δόξαν, ἢ φαντασίαν ἀνάγονται, αἵτινες ἐνδέχεται, ἄλλ' αὐτ' ἄλλων δοξάζουσι καὶ φαντάζονται. ὡς ὅτε τὶς δοξάζει τι περίττινος. καὶ εἰ μὲν ὃ δοξάζει οὕτως ἔχει ὡς δέδοκται, ἀληθευτικὴ τινικαῦτα ἡ ἕξις τοῦ δοξάζοντος λέγεται. εἰδὲ οὐχ οὕτως ἔχει, ψεύδεται ὁ δοξάζων, καὶ οὐκ ἀληθεύει ἡ τούτου δόξα. τῷ δ' ἀεὶ ἀληθευτικῶν πέντε τὰ γένη ἀπαριθμεῖται τῷ Φιλόσοφῳ, ἐν τῷ Ε' κτῳ τῆς Ἠθικῶν. Νοῦς, Σοφία, Φρόνησις, Ἐπιστήμη, καὶ Τέχνη.

Ἡ Λογικὴ τοιγαροῦν ὡς μὲν ἐπίκτητος ἐπὶ τὰς ἐπικτήτους ἕξεις ἀνάγεται. ὡς δὲ διανοητικὴ, ἐπὶ τὰς διανοητικὰς δυνάμεις. ὡς δ' ἀεὶ ἀληθευτικὴ ἐπὶ τὰς ἀληθευτικὰς τούτων. ὑπὸ ποίαν δὲ τούτων καὶ τίνι λόγῳ, ῥηθήσεται ἐφ' ἑξῆς ἐν τῷ οἰκείῳ τόπῳ, ὅτε καὶ τὴν δόξαν τῶν λεγόντων ταύτην Ἐπιστήμην εἶναι ἀναῤῥέψωμεν. νυῦ δὲ τούτων ὕπω λεκτέον προλεκτέον, ὅτι ἡ ἐπὶ τοῦ προβλήματος τῆς ἕξεως φωνὴ, τὴν ἐθισμῷ καὶ λόγῳ ποιζομένην ἕξιν βούλεται σημαίνειν, οὐ μὴν τὴν φυσικὴν δυνάμεν,

μίω, ἢ τὴν μετὰ λόγου ἕφεσιν πρὸς τὴν ἕξιν. φαίνεται γὰρ ἡ τῆς λογικῆς φωνὴ, οὐχ ἁπλῶς λαμβανομένη. χρῶνται γὰρ ταύτῃ οὐ μόνον ἐπὶ τῆς Λογικῆς ἕξεως, ἀλλὰ καὶ ἐπὶ τῆς φυσικῆς διαιρέσεως, καθ' ἣν λέγεται ζῶον λογικὸν ὁ ἄνθρωπος, καὶ ἐπὶ τῆς ἐφέσεως τῆς ἕξεως ταύτης, καθ' ἣν ἐφίεταί τις κατὰ λόγον ζῆν, ἀλλὰ καὶ ἐπὶ τῆς ἕξεως μόνον λαμβανομένη, ἐνδέχεται ἐννοεῖν καὶ τὴν γραμματικήν τε καὶ ῥητορικήν. λογικαὶ δὲ ἕξεις καὶ αὗται ὡς περὶ λόγους καταγινόμεναι. ἀπεσαλμένον δ' ἐννοοῦντες τὸ πρόσριμα, οἷαν τὴν λέξιν τῆς Λογικῆς ἕξεως, τὴν συλλογιστικὴν μέθοδον φιλοῦμεν σημαίνειν, ἧς ἐστὶ παραδίδοναι ὄργανα διακριτικὰ ψεύδους καὶ ἀληθείας. καὶ αὖτη κυριώτερον λέγεται λογικὴ ἕξις. περὶ ἧς ἐπὶ τοῦ προκειμένου ὁ λόγος. ᾗ καὶ διαλεκτικὴν οἱ πλεῖστοι τῶν νεωτέρων ἀποκαλοῦσι. καί τοι διαλεκτικὴν ὁ Φιλόσοφος οἶδε μόνην τὴν τοπικὴν πραγματείαν, ὡς εἴρηται ἐν τῷ περὶ ἀναπτύξεως τῶν ὀνόματος ταύτης. καὶ δὴ διοριστέον τὸ προτεθὲν πρόβλημα.

Διορισμὸς ὃς ἐστὶ πρώτη θέσις τοῦ προτεθέντος προβλήματος.

Ἡ Λογικὴ ἕξις οἷα δὴ πᾶσα Ἐπιστήμη καὶ Τέχνη, ἅπερ ἐθισμῷ καὶ λόγῳ πορίζονται ἕξεις εἰσὶν ἐπίκτητοι, καὶ οὐκ ἐκ φύσεως ἐνυπάρχουσι τῇ ἡμετέρᾳ ψυχῇ.

Ἐμπέδωσις τούτου.

Δείκνυται τὸ προτεθέν. Πρῶτον μὲν ἀπὸ τοῦ Φιλοσόφου παρ' ᾧ ἐστὶν ἀναντίῤῥητον δόγμα, τὰ τῶν ὄντων εἴδη μὴ προϋπάρχειν τῶν σωμάτων ὧν εἰσὶν εἴδη. πρὸς ἄλληλα γὰρ εἶναι βούλεται τό, τε εἶδος, καὶ οὗ ἐστὶν εἶδος, ἡ μορφὴ δηλονότι καὶ ἡ ὕλη. τοῦτ' αὐτὸ καὶ ὁ λόγος δείκνυσι μετὰ τῆς πείρας. ὅσα γὰρ ἔμφυτά εἰσι φύσει τινὶ καὶ παρεπόμενα ταύτῃ ὡς ἴδια, προηγουμένως ἐφαρμόττει τῷ εἴδει, ὡς ἐκείνου παρεπόμενα, διὰ δὲ τὸ εἶδος, καὶ τοῖς ὑπὸ τὸ εἶδος ἀτόμοις ἐφαρμόττειν. φέρε εἰπεῖν ὡς ἐπὶ τῆς φύσεως τῆς ἀνίνης τὸ γελαστικόν. ὅπερ προηγουμένως ἐφαρμόττει τῷ καθόλου ἀνθρώπῳ εἴδει, διὰ τούτου δὲ, καὶ πᾶσι τοῖς ὑπὸ τὸ τοιοῦτον εἶδος καθ' ἕκαστα καὶ ἀτόμοις. αἱ δὲ κατὰ λογικὴν, ἢ γραμματικὴν φέρε εἰπεῖν ἕξεις, οὐκ ἐφαρμόττουσι τῷ ἀνθρώπῳ, ἢ ἀνθρώπῳ, ὅπερ ἐστὶν εἶδος. εἰ γὰρ ἐφήρμοττον αὗται τῷ ἀνθρώπῳ, ἦσαν ἀναγκαίως πάντες ἄνθρωποι γραμματικοὶ, καὶ λογικοὶ,

ὥσπερ

ὥσπερ καὶ γελαστικοί. ἡ δὲ λέγουσα πρότασις, ἄνθρωπος ἐστὶ λογικὸς, ἢ γραμματικὸς, οὐδενός ἐστι ζώου καθ' αὑτὸ, οἷον τῷ ἀστιωδῶς λεγομένων, ἀλλὰ κατὰ συμβεβηκὸς μόνον, καὶ ἐπίτινων. οὐκ ἔστιν ἄρα ἡ Λογικὴ ἢ ἡ Γραμματικὴ ἔμφυτος τῷ ἀνθρώπῳ. Δεύτερον ὅσα ἂν ἐστὶν ἔμφυτα φύσει τινί, ὁμοίως καὶ ἐπίσης ἐφαρμόττει πᾶσι τοῖς ὑπὸ τὴν φύσιν ἐκείνην ἀτόμοις. ἀλλ' ἡ Λογικὴ ὥσπερ καὶ αἱ λοιπαὶ ἕξεις, οὐ πᾶσιν ὁμοίως ἐφαρμόττει τοῖς κατὰ μέρος ἀνθρώποις, οὐκ ἄρα ἐστὶν ἔμφυτος τῇ ἀνθρωπίνῃ φύσει.

Ἀπάντησις πρὸς τοὺς Πλατωνικοὺς λόγους.

Τοιοῦτον ὄντος ἐχόντων, ἐπιδεκτέον τὸ παρὰ Πλάτωνι λεγόμενον. ὃς φησι τὴν ψυχὴν ἀναγκαίως εἶναι τοῦ σώματος προϋπάρχουσαν, ὡς ἄτοπον εἶναι ταύτην τῇ ὑλικῷ καὶ ῥύσει σώματι συγγενᾶσθαι, καὶ οὕτω σωναιρεθήσεται ἀπολούθως πάντα τὰ ἐκείνῳ λεγόμενα. τὸ δὲ τὴν ψυχὴν ἀθάνατον εἶναι, διὸ καὶ τὴν προϋπάρξιν ἐτίθετο, ἔστι καὶ ἄλλως τὸ τοιοῦτον δόγμα συστῆσαι, καὶ μάλιστα ὡς τὰ ἱερὰ τίθησι λόγια, ἢ καὶ ὡς οἱ πλείους τῶν περιπατητικῶς φιλοσοφούντων, καὶ τῶν ἄλλων Φιλοσόφων. τανῦν περὶ τὰ τοιοῦτον πολυπραγμονεῖν δόγματος, ὅτι δηλαδὴ ἡ ψυχὴ ὑπάρχει ἀθάνατος, καὶ ὅτι διὰ τὸ εἶναι ἀθάνατον, προϋπάρξεως δεῖται, ἢ ἄ, ἃ μόνον ἐπὶ τῆς προκειμένης πραγματείας ἐστὶν ἀνοίκειον, ἀλλὰ καὶ βαθυτέρας ἐστὶ θεωρίας δεόμενον, καὶ ἀκροατῶν τελειοτέρων ἢ καθ' ὑμᾶς. εἰρήσεται δὲ, ἂν δίδῳ ὁ θεὸς, ἐν τῷ οἰκείῳ καὶ καταλλήλῳ τόπῳ. νυνὶ δὲ κἀκεῖνα ὑποθετέον, ὅπερ δυμεθόδως καὶ σωτόμως τὸ πλατωνικὸν ἀναῤῥέψει δόγμα.

Δευτέρα θέσις.

Ἡ Λογικὴ ἀντὶ τῆς φυσικῆς δυνάμεως ἐκλαμβανομένη, ἢ τῆς ἕξεως τῆς εἰς ἀπόκτησιν τῆς Λογικῆς, ἔμφυτος ἐστὶ τῇ αὐτῇ φύσει.

Τῆς θέσεως ταύτης τὸ πρῶτον μέρος ἐστὶν ἀναντίῤῥητον. ὅτι ἡ φυσικὴ δύναμις ἐστὶν ἔμφυτος τῇ αὐτῇ φύσει. οὐδεὶς γὰρ ἀμφισβήτησέ ποτε τὸν λογικὸν δύναμιν μὴ ἐνυπάρχειν ἔμφυτον τῷ ἀνθρώπῳ. πῶς γάρ; ὅπουγε καὶ συστατικὴ διαφορά ἐστὶ τοῦ αὐτοῦ, καὶ ἐν τῷ ὁρισμῷ παραλαμβάνεται. ὁμοίως καὶ τὸ δεύτερον μέρος τῆς θέσεως οὐκ ἀμφιβάλλεται παρὰ τῆς ὁπωσοῦν μετεχούσι γνώσεως, τοῦτο δὲ δῆλον, ὅτι πάντες αὐτοὶ καθ' ὁρμὴν φυσικὴν φέρονται εἰς ἀπόκτησιν τῆς λογικῆς, καὶ τῶν ἄλλων ἐπιστημῶν.

Δείκ-

προ-

μὴ ἔμφυτον εἶναι τῇ ἀΐνῃ φύσει, ἐχόμενον ἂν εἴη ἐκ περὶ τοῦ προσεχὲς αὐτῆς γένους εἰλικρινῶς διωρίσασθαι. οἱ γὰρ ὅρισμοὶ τῶν πραγμάτων ἐκ τῶν

Αἱ χεὶρ τοῦ ἐχίνου μεταφορά.

Ἢ ὡς ὁμω

Ἢ ὡς σημ

Ἢ ὡς σημα

κειμαι, ο

λέγεται

Αἱ διὰ τῆς φωνῆς σημάνσεις.

- Ἢ ὡς ὁμώνυμος φωνὴ, ὃν τρόπον μετὰ τὰς κατηγορίας τοῦτο ἐκτίθεται ὁ Φιλόσοφος.
- Ἢ ὡς σημαντικὸν τοῦ πεποιῆσθαι, ἓν τρόπον τῶν ἐχόντων κατηγορίαν ὑποπίπτει ἐν τοῖς γένεσιν.
- Ἢ ὡς σημαντικὸν τοῦ διάκειμαι, ἀφ' οὗ κυριώτερον λέγεται ἕξις.
  - Ἢ κεκμηκὸς θεότητα ὡς τὰ κατάγματα.
  - Ἢ ἐκ φύσεως, ὡς ἁπλῶς πᾶσαι αἱ φυσικαὶ δυνάμεις καὶ τὰ σώματα.
  - Ἢ ἐθισμῷ καὶ λόγῳ προσιζόμενα.
    - Αἱ μὲν πρακτικαὶ αἱ ἠθικαί.
      - Ὅσαι τὸ διωρισμένον μέσον φυλάττουσιν ὑπὸ φρονήσεως εἰσὶν ἀρεταί.
      - Ὅσαι τῶν τοιούτων μέσων ἐκπίπτουσι διὰ ὑπερβολὴν καὶ ἔλλειψιν εἰσὶ κακίαι.
      - Αὗται καὶ τὰς ὀρεκτικὰς δυνάμεις ἀναφέρονται.
    - Αἱ δὲ ποιητικαὶ αἱ τέχναι.
    - Αἱ δὲ θεωρητικαὶ αἱ ἐπιστῆμαι.
    - Αὗται καὶ τὰς γνωστικὰς δυνάμεις τῆς ψυχῆς ἀναφέρεται. ὧν
      - Αἱ μὲν ἀληθευτικαὶ οὐκ ἀεί.
      - Αἱ δὲ ἀληθευτικαὶ ἀεί.
        - Νοῦς,
        - Σοφία,
        - Φρόνησις,
        - Ἐπιστήμη,
        - Καὶ τέχνη.

μετέχουσι γνώσεως, τοῦτο δ' ἐστὶν, ὅτι πάντες αὐτοὶ καθ' ὁρμὴν φυσικὴν φέρονται εἰς ἀπόκτησιν τῆς λογικῆς, καὶ τῶν ἄλλων ἐπιστημῶν.

Δείκ-

Δείκνυται δὲ τοῦτο, Πρῶτον μὲν ἀπὸ τῆ Φιλόσοφου, ὃς ἐν ἀρχῇ τῆ πρώτου τῆ μεταφυσικῶν, οἷα τι κοινὸν ἀξίωμα τοῦτο φαίνεται παρειλημφὼς φροιμιαζόμενος, ὅτι πάντες ἄνθρωποι τοῦ εἰδέναι φύσει ὀρέγονται.

Δεύτερον ὥσπερ φύσει ἔνεστι τῷ ἀνθρώπῳ κατὰ λόγον ζῆν, οὕτως ἔνεστι φύσει καὶ τὸ κατὰ λόγον ἐννοεῖν. ἀλλὰ μὴν χρῆσθαι λογικῇ, ἢ καὶ ταῖς ἄλλαις ἐπιστήμαις, κατὰ λόγον ἐστὶν ἐννοεῖν, ἄρα ὥσπερ ὁρμῇ φυσικῇ φέρεται ἄνθρωπος πρὸς τὸ κατὰ λόγον ζῆν, οὕτως ὁρμῇ φυσικῇ ἐνεχθήσεται καὶ πρὸς τὸ κατὰ λόγον ἐννοεῖν, καὶ ἀκολούθως πρὸς κτῆσιν τῆς Λογικῆς καὶ τῶν ἄλλων Ἐπιστημῶν, δι' ὧν ἐστὶ τὸ κατὰ λόγον ἐννοεῖν, ὁρμῇ φυσικῇ ἐνεχθήσεται.

Τρίτον, ἕκαστον τῶν ὄντων φύσει φέρεται ἐπὶ τὴν οἰκείαν τελειότητα, ἡ δὲ Λογικὴ καὶ ἁπλῶς πᾶσα Τέχνη καὶ Ἐπιστήμη τελειότητες εἰσὶ τοῦ ἀνθρώπου. διὰ μὲν γὰρ τῶν Ἐπιστημῶν, τελειοῦται ἡ ἄνθρωπος, διὰ δὲ τῶν Τεχνῶν ἢ σῶμα καὶ ζῷον, πρόδηλες καὶ ἡ ἄνθρωπος, διὰ τὸ ἐκ συνίας τῶν Τεχνῶν πρὸς τὸ κατὰ λόγον ζῆν ξυμβάλλεσθαι. ἄρα πρὸς αὐτὰς φύσει ὁ ἄνθρωπος φέρεται, ὡς πρὸς οἰκείαν τελειότητα.

Τὸ παρὰ Πλάτωνι τοιγαροῦν λεγόμενον, οὕτως ἐνδέχεται διαιρεθῆναι τῷ πρὸς τοῦτο ἀντιφερομένῳ. εἰ μὲν γὰρ τὴν Λογικὴν, ἀντὶ τῆς λογικῆς δυνάμεως ἐκλαμβάνῃ, ἔμφυτός ἐστι τῇ ἀνίνῃ φύσει ἀναντιῤῥήτως. εἰ δὲ τὴν ἐπίκτητον ἕξιν ἐννοεῖ, ψεῦδος λαμβάνει, καὶ ἀκαταλήπτως συλλογίζεται. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν Τεχνῶντε καὶ Ἐπιστημῶν. εἰ μὲν τὴν πρὸς ταύτας ἕφεσιν ἐννοῇ, ἔμφυτός ἐστιν αὐτῇ τῇ ἀνίνῃ φύσει, εἰδὲ τὴν κτῆσιν τούτων, οὐκ ἀληθεύει. πῶς γὰρ ἂν εἶησαν αἱ Τέχναι καὶ Ἐπιστῆμαι ἔμφυτοι, αἵπερ εἰσὶ τελειότητες τοῦ ἀνθρώπου; ἡ δὲ τελειότης ὑστέρα ἐστὶ τοῦ τελειουμένου. πᾶν γὰρ τὸ τελειούμενον μετὰ τὴν ἄφεξιν τὴν ἐν τῷ πρὸς ἓν ὅρῳ λαμβάνει τὴν οἰκείαν τελειότητα. ἄρα αἱ Τέχναι καὶ Ἐπιστῆμαι, οὐκ εἰσὶν ἔμφυτοι, ἀλλ' ἐπίκτητοι ἐθισμῷ καὶ λόγῳ ποιεζόμεναι. εἶχε δ' ἄντις καὶ πλείοσι χρήσασθαι πρὸς τὴν τοῦ τοιούτου δόγματος ἀντίῤῥησιν, ἀλλ' οἶμαι καὶ ταῦτα ἱκανά εἰσι δυσωπῆσαι τὸν μὴ παντάπεσιν ἀμοιροῦντα νοός.

Περὶ τοῦ προσεχοῦς Γένους τῆς Λογικῆς, καὶ τῆς ὕλης αὐτῆς.

ΤΟῦτον τὸν ῥηθέντα διορισάμενος μέχει τοῦδε τὴν λογικὴν δηλαδὴ μέθοδον ὑπὸ τὴν ἐπίκτητον ἕξιν ἀναγεσθαι, ὡς εἰς γένος ἀνώτερον, καὶ μὴ ἔμφυτον εἶναι τῇ ἀνίνῃ φύσει, ἐχόμενον ἂν εἴη καὶ περὶ τοῦ προσεχοῦς αὐτῆς γένους εἰλικρινῶς διωρίσασθαι. οἱ γὰρ ὁρισμοὶ τῶν πραγμάτων ἐκ τῶν προ-

προσεχῶν γενῶν ἀποδίδονται. εἰ γὰρ καὶ ἀνωτέρω ἐν τῇ τῆς ἕξεων διαιρέσει ὑπὸ τὰς ἀεὶ ἀληθευτικὰς, καὶ διὰ τοῦτο ὑπὸ τὰς διανοητικὰς ἕξεις ὑπάγεσθαι εἴρηται, ἀλλὰ τῆς ἀεὶ ἀληθευτικῶν εἰς πέντε εἴδη διαιρεθεισῶν, καὶ διωρισαι ὑπὸ ποῖον τόπων ὑπάγεται ὡς εἰς προσεχῶς γένος, παμβουλὴ ἐν τοῖς ἔπειτα. δέον τοιγαροῦν πανταχοῦ δυμεθόδως καὶ περὶ τούτου διωρίσασθαι, ἐφεξῆς δὲ καὶ περὶ τῆς διαφορᾶς τῆς προκειμένης ἕξεως προσληπτέον, ἵνα τὸν ὁρισμὸν ταύτης ὁλόκληρον ἀποδῶμεν. διοριστέον δὲ ὧδε.

Τῆς ἐπικτήτου Ἕξεως ἰσχῶς τεμνομένης, ὡς εἴρηται, εἰς θεωρητικὴν, πρακτικὴν, καὶ ποιητικὴν, ἀναγκαῖον τὴν λογικὴν μέθοδον ὑπὸ μίαν τούτων ὡς εἰς γένος οἰκεῖον ὑπάγεσθαι. τοῦτο δὲ διαγνῶναι χαλεπὸν, τοῖς μὴ τὴν ἔννοιαν προλαβοῦσι τῆς ὕλης, περὶ ἣν καταγίνεται. αἱ γὰρ ἰδιότητες τῆς Ἕξεων ἀπὸ τῆς εἰδικῶν διαφορῶν τοῦ ὑποκειμένου ἑκάστης διακρίνονται. φέρε εἰπεῖν αἱ ἰδιότητες τῆς τεχνικῆς Ἕξεως διακρίνονται τῆς ἰδιοτήτων τῆς θεωρητικῆς καὶ πρακτικῆς ἕξεως διὰ τὸ ἀποδίδειν τὸν τεχνίτην περὶ τὸ ὑποκείμενον αὐτῷ γένος εἰσαγαγεῖν κρῖμα τοιοῦτον, ἢ τοιοῦτον διὰ τῆς κανόνων τῆς Τέχνης. τοῦτο δὲ διὰ τὸ μὴ ζητεῖν θεωρῆσαι τὴν φύσιν τοῦ ὑποκειμένου γένους αὐτῷ (ὅπερ ἐστὶν εἰδητικὴ διαφορὰ τὸ ὑποκείμενον τῆς θεωρητικῆς ἕξεως) ἀλλὰ περιθεῖναι αὐτοῦτο διὰ τῆς τέχνης κρῖμα, εἰδητικὴ διαφορὰ τοῦ τεχνητοῦ ὑποκειμένου λέγεται, ἀφ' οὗ καὶ ἡ ἰδιότης τῆς τεχνητῆς ἕξεως ἐκλαμβάνεται. τρόπος γὰρ εἰδιάζων τῇ τεχνητῇ ἕξει, ἐστὶ τὸ μὴ θεωρεῖν τὴν φύσιν τοῦ ὑποκειμένου γένους αὐτῇ, ἀλλ' ἢ ἐφ' ὅσον δεκτικόν ἐστι τῆς διὰ τῆς Τέχνης ἐργασίας, ὥσπερ καὶ τρόπος ἰδιάζων τῇ θεωρητικῇ ἕξει τὴν φύσιν τὸ ὑποκειμένου γένους αὐτῇ θεωρῆσαι. διὸ αἱ ἰδιότητες τῆς ἕξεων ἀπὸ τῆς ἰδιοτήτων τῆς ὑποκειμένων λαμβάνονται. ὁ γὰρ διάφορος τρόπος τὴν διαφορὰν τῆς ἕξεων ἀπεργάζεται. δέον ἄρα πρὸ τῆς ἄλλων περὶ τῆς ὕλης διασκέψασθαι, περὶ ἣν αὐτὴ καταγίνεται, ἵνα καὶ τὸ προσεχὲς αὐτῆς γένος γνῶμεν, καὶ τὴν διαφορὰν αὐτῆς προσλάβωμεν, καὶ οὕτω τὸν ὁρισμὸν αὐτῆς ἀποδῶμεν· τοῖς λόγοις διεξοδικώτερον, ἢ τοῖς γνώμαις συγκεχυμένοι, ὡς τὰ πολλὰ τῆς νυνὶ φιλοσοφούντων οἱ πλεῖστοι φαίνονται. ἀλλ' ἐπὶ τοῦ παρόντος ἐργωδέστατον εἶναί τι δοκεῖ καὶ αὐτοὺς συμφώνους ἐρεῖν ἑαυτοῖς. ἡμεῖς μὲν οὖν ὡς οἷόντε πειρασόμεθα σωτομώτερον ἅμα καὶ διεινέστερον τὰς δοκιμωτέρας τούτων ἐκθέσθαι δόξας, καὶ εἰς ἐπίδειξιν μᾶλλον συμβαλλομένας τοῦ ἀληθοῦς. ἵνα δὲ μὴ συμβαίη δυσχερέστερον ἕπεσθαι τοῖς λεγομένοις, ἀγνοούντων ἡμῶν τὴν διαφορὰν ὕλης ὑποκειμένης τε καὶ ἀντικειμένης, ἅπερ οἱ νεώτεροι συγχέοντες κακουργοῦσι, φέρε καὶ περὶ τούτων ὡς ἐν βραχεῖ τοπικῶν τινα γνῶσιν προϋποθῶμεν ὑμῖν.

Τε-

Τέα τοιγαροῦν ταῦτα, Ἀντικείμενον, Ὑποκείμενον, καὶ Ὕλη φιλοῦσιν ἐνίοτε αὐτὶ τῆ αὐτῆ λαμβάνεσθαι παρὰ τοῖς νεωτέροις. ἀλλὰ τὸ μὲν Ἀντικείμενον ταῖς τῆς ψυχῆς δυνάμεσι ταῖς ἐνεργούσαις διὰ τῶν σωματικῶν αἰσθήσεων (αἳ καὶ σύνδυο αἰσθήσεις λέγονται) ἰδιαζόντως ἀποκεκλήρωται παρὰ τῶν Φιλοσόφων. οἷον ἐστὶ, φέρε εἰπεῖν, τὸ κεχρωματισμένον τῆς Ὄψεως ἀντικείμενον, καὶ ὁ ψόφος τῆς Ἀκοῆς, καὶ τὸ γλυκὺ, ἢ πικρὸν, καὶ τὰ τοιαῦτα τῆς Γεύσεως.

Τῷ δὲ Ὑποκειμένῳ πολύσημός ἐστιν ἡ φωνὴ πλατύτερον ἐκλαβανομένη. καὶ γὰρ πολλαχῶς οἱ Φιλόσοφοι ἐκλαμβάνειν εἰώθασι, μάλιστα δὲ τέτταρσι τούτοις διαιρεθῆναι ἐνδέχεται. ἢ γὰρ καθ' ὑποκειταί τινι λαμβάνεται, ὅπερ κατ' αὐτοῦ κατηγορεῖται, καὶ λέγεται Ὑποκείμενον κατηγορήματος, καὶ ὑποκείμενον καθ' ὃ. ὡς ἐν ταῖς προτάσεσι τὸ ἔλαττον ἄκρον, ὑποκείμενόν ἐστι τοῦ μείζονος.

Ἢ αὐτὶ βάσεως οἱασοῦν ἐκλαμβάνεται, ἐφ' ἧς ἕτερόντι ἐπερείδεται. ὃ καὶ ὑποκείμενον ἐν ᾧ λέγεται. ὡς ἡ βάσις ὑποβέβηκε τῷ τοίχῳ, καὶ τὸ θεμέλιον τῇ οἰκίᾳ. ἢ ὑποκείμενον ἐξ οὗ λέγεται, ὡς ὁ χαλκὸς ὑποκείμενόν ἐστι τῆς μορφῆς τοῦ ἀνδριάντος, ἐξ οὗ ὁ ἀνδριὰς γίνεται.

Ἢ Ὑποκείμενον λέγεται ἐκεῖνο περὶ ὅ τις ἕξις καταγίνεται, ἢ θεωροῦσα τοῦτο, καὶ τὴν τούτου οὐσίαν ἀκριβῶς διηγνῶναι σπουδάζουσα, ἢ περὶ αὐτὴν ποιοῦσα τὴν ἐνέργειαν, καὶ τοιόνδε χῆμα εἰς αὐτὸ ἐγχαράξαι σκοπὸν ἔχουσα. καὶ εἰ μὲν τὴν φύσιν αὐτοῦ διηγνῶναι σπουδάζει, λέγεται ὑποκείμενον θεωρητικόν. εἰ δὲ χῆμα περιθεῖναι σκοπὸν ἔχει, λέγεται τεχνητόν.

Τελευταῖον δὲ Ὑποκείμενον λέγεται ὡς ἐν ταῖς κατηγορίαις, καθ' οὗ τὰ ἄλλα κατηγορεῖται, ἢ κατ' οὐσίαν, ἢ κατὰ συμβεβηκός. ὥσπερ ἡ πρώτη οὐσία ὑποκείμενόν ἐστι, τῶν μὲν δευτέρων οὐσιῶν εἰς κατηγορίαν, ἥτις δὲ καθ' αὐτὸ κατηγορία λέγεται, τῶν δὲ συμβεβηκότων εἰς ὕπαρξιν, ἥτις καὶ κατὰ συμβεβηκὸς κατηγορία. οἷον ὁ Πέτρος, ἥτις πρώτη οὐσία λέγεται, ὑπόκειται ταῖς δευτέραις οὐσίαις, ἅπερ εἰσὶ τὸ γένος καὶ τὸ εἶδος, ἥτοι τὸ ζῶον ἢ ὁ ἄνθρωπος, καθ' οὗ αὗται κατηγορούνται ὡς οὐσιώδη ἐκείνου μέρη, ἐξ ὧν ἡ οὐσία τοῦ Πέτρου καθέστηκεν. ἀλλὰ τὸν πρῶτον τρόπον τῷ ὑποκειμένῳ, καὶ τὸν τελευταῖον, ἔστις αὐτὸ σύνοιδε λείψοιτο, οὐκ ἂν διαμάρτοι, (καὶ γὰρ ἐν ταῖς προτάσεσι τὸ μεῖζον ἄκρον, οὐσιωδῶς κατὰ τὸ ἐλάττονος λέγεται.) εἰ μήπου τις μόνον τὴν διαφορὰν τοῦ συλλογιστικοῦ χήματος, ἀλλὰ μὴ καὶ τὴν ὕλην σκοπεῖν. ἤν μὲν οὖν φίλον ἐστί τισι ταῦτα αὐτὸς λαμβάνειν, τὰ τέσσαρα σημαινόμενα τῷ ὑποκειμένῳ ἀναφαίνεται, εἰδὲ μὴ,

μὴ, ἀριθμήθωσαι πεντε. ἡ ὕλη δὲ χετικῶς λέγεται πρὸς τὸ εἶδος. διὸ καὶ προσηκόντως ἐπὶ τῶν Τεχνῶν μόνον λαμβάνεται, εἰς ἣν ὁ Τεχνίτης εἰσαγαγεῖν σπουδάζει τὸ κατὰ τὴν Τέχνην εἶδος. οἷον εἰσὶ φέρε εἰπεῖν τὰ ξύλα τῆς Τέκτονι, καὶ ὁ χαλκὸς τῆς Ἀνδριαντοποιῷ.

Τὸ Ὑποκείμενον διαιρεῖται εἰς.

- Ὑποκείμενον κατηγορήματος, ἃ καθ' οὗ λέγεται. ὡς ἐν ταῖς προτάσεσι τὸ ἔλαττον ὑποκείμενον ἐστὶ τοῦ μείζονος.
- Καὶ ὑποκείμενον ἐν ᾧ, οἷον τὶ βάσεως οἱασοῦν ἐκλαμβανόμενον. ὡς ἡ βάσις ὑποβέβηκε τῇ σύλῃ, ἢ τὸ θεμέλιον τῇ οἰκίᾳ.
- Καὶ Ὑποκείμενον ὃ ἕ. ὡς ὁ χαλκὸς ὑποκείμενον ἐστὶ τῆς μορφῆς τὸ ἀνδριάντος.
- Καὶ Ὑποκείμενον περὶ ὅ τι ἕξις καταγίνεται.
- Προσέτι ὑποκείμενον ἐστὶν ὡς ἐν ταῖς κατηγορίαις, καθ' οὗ τὰ ἄλλα κατηγορεῖται, ἢ κατ' οὐσίαν, ἢ κατὰ συμβεβηκός.

Ὁ πρῶτος καὶ ἔσχατος ὅρος τὸ ὑποκείμενον τοῖς βουλομένοις ἀεὶ ἑνὸς λαμβάνεται.

ΙΣτέον ὅτι τοῦ ὑποκειμένου τὰ μὲν καθ' ἕκαστα μέρη καὶ εἴδη, μερικὰ ὑποκείμενα λέγεται, τὸ δὲ κατ' ἐξοχὴν εἶδος ἐξαίρετον ὑποκείμενον. φέρε εἰπεῖν, ὡς ἐν τῇ Φυσικῇ πάντα μὲν τὰ φύσιν ἔχοντα ὁμοῦ λαμβανόμενα ἐσὶν ὑποκείμενον καθόλου. ἕκαστον δὲ τούτων ὡς μετέχον οἱασοῦν κινήσεως, ὑποκείμενον μερικὸν λέγεται. τὸ δὲ ἀΐδιον καὶ τὸ ὑπὸ παντοίαν ὑπιβολὴν, (παντοίας γὰρ μεταβολῆς ὑπάρχει δεκτικὸς ὁ ἄνθρωπος) ἐστὶν ἐξαίρετα ὑποκείμενα. ἀΐδιον μὲν ὡς ὁ Οὐρανὸς, τῇ ὑπὸ γένεσιν δὲ, φέρε εἰπεῖν ὁ ἄνθρωπος. ἐξαίρετα δὲ λέγονται ταῦτα διὰ τὸ εἶναι ὁ μὲν ἀρχὴ τῆς καθόλου κινήσεως, ὁ δὲ ὡς πλειόνων, μᾶλλον δὲ ἁπασῶν μετέχων τῆς κινήσεων. ὁμοίως καὶ ἐν τῇ Ἀστρονομίᾳ πάντες κοινῶς οἱ ἀστέρες πλάνητες, ἢ ἀπλανεῖς, καὶ τὰ λοιπὰ, εἰσὶν ὑποκείμενον καθόλου. ἰδίως δὲ οἱ πλάνητες, ἢ οἱ ἀπλανεῖς μερικά εἰσιν ὑποκείμενα. ἐξαίρετον δὲ ὑποκείμενον ἐσὶν οἱ ἐν τῷ Ζωδιακῷ γεγραμμένοι ἀστέρες.

Ἰδιώ-

Ἰδιώματα τοῦ ἐπιστητοῦ Ὑποκειμένου.

Τὰ ἰδιώματα τῶ ἐπιστῆ Ὑποκειμένῳ τυγχάνουσι πολλὰ καὶ διάφορα, τὰ δὲ μᾶλλον ἀναγκαῖα ταῦτα εἰσί. Πρῶτον δεῖν γινώσκεσθαι τὸ ἐπιστητὸν ὑποκείμενον, ὅτι ἐστὶ, δηλαδὴ προϋποτίθεσθαι ὕπαρξιν ἔχειν τοιαύτῳ, ἢ τινι τὰ λεγόμενα κατ' αὐτῆς πάθη, καθ' αὐτὸ ἐφαρμόττειν. ὡς ἐπὶ τῆς Γεωμετρίας ὑπόκειται ἡ συνεχὴς ποσότης. ἥτις προγινώσκεται ὅτι τοιαύτῳ ἔχει φύσιν, ἐν ᾗ τοῦτο τὸ πάθος ἐφαρμόττειν δύναται, συσῆναι δηλαδὴ ξίγωνον ἰσόπλευρον τῇ δοθείσῃ πεπερασμένῃ εὐθείᾳ. ὅπερ ἐστὶ πάθημα ἢ ἰδίωμα καθ' αὐτὸ τῇ συνεχῇ συνεχὲς γραμμῇ. ἢ ὡς ἐν τῇ Φυσικῇ ὑπόκειται τὸ φύσιν ἔχον σῶμα, καθ' οὗ διάφορα πάθη ἐφαρμόττουσιν. ὡς ἡ κάσις καὶ ἡ κίνησις, ἡ μεταβολὴ, ἡ τὰ τοιαῦτα. ἅπερ ἐστὶ παθήματα τῷ φύσιν ἔχοντι ἐπακολουθοῦντα.

Δεύτερον. ὅτι ἀνάγκη ὑποκεῖσθαι τὸ τοιοῦτον ὑποκείμενον πᾶσι τοῖς ἐν ἐκείνῃ τῇ Ἐπιστήμῃ πραγματευομένοις πάθεσί τε καὶ ἀρχαῖς, ὡς ἔχει τὸ προτεθὲν τῆς ποσότητος παράδειγμα πρὸς Γεωμετρίαν. ἥτις ὑπόκειται τοῖς τε ὅροις καὶ τοῖς ἀξιώμασι, ναὶ μὴν καὶ τοῖς αἰτήμασι πᾶσι τῆς Γεωμετρίας, καὶ τοῖς θεωρήμασι, ἡ προβλήμασιν αὐτῆς. ἢ καὶ ὡς ἐπὶ τῆς Φυσικῆς, ὑπόκειται τὸ φύσιν ἔχον πᾶσι τοῖς κατ' αὐτὸ λεγομένοις, ἀρχαῖς μὲν ὡς τῷ ὕλῃ, ἡ τὸ εἶδος. πάθεσι δὲ ὡς κίνησιν, ἡ κάσιν, ἡ τὰ ὅμοια.

Τέτον ἰδίωμά ἐστι, πάθη ἔχειν φύσει αὐτῷ συνυπάρχοντα, ἡ ἀρχὰς δι' ὧν τὰ λεγόμενα πάθη κατ' αὐτοῦ ἀποδείκνυνται, ὡς ἐπὶ τῆς συνεχοῦς ποσότητος. ἥτις φυσικὸν ἰδίωμα τοῦτο ἔχηκε, δύνασθαι δηλαδὴ ξίγωνον ἰσόπλευρον συστῆναι ἐπ' αὐτῇ. ἔχει τε μὲν ἡ ἀρχὰ τῶν λέγουσαν. πᾶσαι αἱ γραμμαὶ αἱ ἀπὸ τοῦ κέντρου εἰς τὴν περιφέρειαν ἐκφερόμεναι, ἴσαι εἰσί. δι' ἧς ἀρχῆς δείκνυται τὸ εἰρημένον ἰδίωμα τῆς ποσότητος κατ' αὐτῆς.

Πρὸς τέτοις δὲ πέφυκε τῷ ἐπιστητῷ ὑποκειμένῳ, τὸ εἰδοποιεῖν τὰς Ἐπιστήμας, ἃ καθό ἐστιν, ἀλλὰ καθὸ θεωρεῖται. οἷον, ἡ ποσότης διακείνει ἡ αὐτοδιασκέλλει τὰς Μαθηματικὰς Ἐπιστήμας ἀπὸ τῶν ἄλλων, ἃ καθό ἐστι, τουτέστιν οὐ καθὸ συνυπάρχει φυσικῶς τῇ ὕλῃ, ἀλλὰ καθὸ ὑπ' αὐτῶν θεωρεῖται. δηλαδὴ καθὸ ἀπὸ τῆς ὕλης τῷ λόγῳ χωρίζεται οὕτως, ἢ ἐκείνως.

Πρῶτον γινώσκεσθαι ὅτι ἐστὶ τοιαῦτα προϋποτίθεσθαι τοιαύτην ὕπαρξιν ἔχον. ἢ τινι τὰ λεγόμενα κατ' αὐτῆς πάθη, καθ' αὐτὸ ἁρμόττει. ὡς ὅτι τῆς συνεχοῦς ποσότητος, τὸ συνεῖναι ἐπ' αὐτῆς τείχωνα, σκαλινά, ἢ ὁρθογώνια, ἅπερ εἰσὶ πάθη τῆς συνεχοῦς ποσότητος.

Γ'διώματα τῦ ὑπηκτῦ ὑποκειμένυ.

Ἀνάγκη ὑποκεῖσθαι τὸ ὑποκείμενον πᾶσι τοῖς ἐν ἐκείνῃ τῇ ὑπηκτῇ θεωρουμένοις πάθεσι ἢ ἀρχαῖς.

Πάθη ἔχειν φύσει αὐτῆ ἐνυπάρχοντα, ἢ ἀρχὰς, δι' ὧν τὰ λεγόμενα πάθη κατ' αὐτῆς κατηγορεῖσθαι. ὡς τὸ φυσικὸν σῶμα, ὅπερ ἔχει πάθη, τουτέστι κίνησιν, ἢ στάσιν. ἢ ἀρχὰς, ὑλὴν ἢ εἶδος, δι' ὧν τὰ τοιαῦτα ἀποδείκνυται. προσέτι τὸ εἰδοποιεῖν τὰς ὑπηκτὰς, ἃ καθ' ἑαυτὰ ἐστὶν, ἀλλὰ καθ' ὑποκειμένου θεωρεῖται. οἷον τὸ φυσικὸν, ἃ καθ' ὁ ὄν, ἀλλὰ καθὸ φύσιν ἔχον.

Γ'διώματα τοῦ τεχνητοῦ Γ'ποκειμένου, ἤτοι τῆς Γ'λης.

Τὸ δὲ τῆς Τέχνης ὑποκείμενον ὑπόκειται μὲν ἢ αὐτὸ ὑφεστηκέναι τοιοῦτον εἶναι, οἷον ὑπὸ τοῦ Τεχνίτου ζητεῖται. τοιαύτην δηλαδὴ ἐπιτηδειότητα ἔχειν, ἥτις δύναιτ' ἂν τὸ ὑπὸ τοῦ Τεχνίτου σχαζόμενον τέλος ἐκεῖνο περιθεῖναι. οἷον ὁ χαλκὸς ἐν τῇ Ἀνδριαντοποιητικῇ ζητεῖται εἶναι τοιοῦτος, δηλαδὴ ἐπιτηδείως ἔχειν πρὸς τὸ δεχθῆναι τὸ τῦ Ἀνδριάντος χῆμα. ἢ ἀναγκαῖον δὲ προγινώσκεσθαι ποίας ἂν εἴη φύσεως, εἰ μὴ κατὰ συμβεβηκὸς, ἐφ' ὅσῳ δηλαδὴ γνωσθείη εἰ ἐπιτηδείως ἔχοι πρὸς ὑποδοχὴν τοῦ διὰ τῆς Τέχνης εἴδους.

Προσέτι τὸ ἐν ταῖς Τέχναις ὑποκείμενον, ἐχ ὑπόκειται πᾶσι τοῖς ὑπὸ τῆς Τέχνης σχαζομένοις χήμασιν. οἷον, τὸ ξύλον ἐχ ὑπόκειται τῇ Ναυπηγικῇ καθ' αὐτὸ μόνον, ἀλλὰ ἢ ἥλοι ἢ πίσσα προσλαμβάνεται ἐπὶ τῇ κατασκευῇ τῆς Νηὸς, ὅπερ ἐπὶ τῦ ἐπιστητοῦ ὑποκειμένου οὐ γίνεται.

Τρίτον. ἡ ἐν ταῖς Τέχναις εἰδοποίησις, οὐκ ἀπὸ τοῦ ὑποκειμένου, ἀλλὰ ἀπὸ τοῦ τέλους λαμβάνεται. πολλαχῆ δὲ Τέχναι δύνανται τὸ αὐτὸ ὑποκείμενον ἔχειν, ἢ ὃ ποιεῖ ἐν τοῖς Ἐπιστήμαις ὁ ζόφος τῆς θεωρίας, ταυτὸ τῦτο ἐν ταῖς Τέχναις τὸ τέλος. τῷ δὲ τέλει αἱ Τέχναι πρὸς ἀλλήλας διαιροῦνται, ὡς τῷ ζόφῳ τῆς θεωρίας αἱ Ἐπιστήμαι.

Γ'διώ-

Ζητεῖται εἶναι τοιοῦτον, δηλαδὴ ὑπηδειότητα ἔχων πρὸς τὸ ὑποδεχθῆναι τὸ διὰ τῆς Τέχνης χῆμα. προγινώσκεται δὲ οὐκ ἀναγκαίως, ἀλλ' ἢ κατὰ συμβεβηκός.

Ιδιώματα τῶν τεχνητῶν ὑποκειμένου.

Οὐχ ὑποκεῖται πᾶσι τοῖς ὑπὸ τῆς τέχνης σχαζομένοις χήμασι, ἀλλὰ καὶ ἕτερα προσλαμβάνον.

Ἡ ἐν ταῖς τέχναις εἰδοποίησις, οὐκ ἀπὸ τοῦ ὑποκειμένου, ἀλλ' ἀπὸ τοῦ τέλους λαμβάνεται.

Προσέτι οὐκ ἀναγκαῖον ἔχειν πάθη, ἐξ ἀρχῆς, δι' ὧν τὰ πάθη κατ' αὐτοῦ ἀποδείκνυται.

Διαφορὰ Ὑποκειμένου Ἐπιστητοῦ, καὶ Ὕλης Τεχνητῆς.

Ἐκ δὴ τούτων πάντων ἡ διαφορὰ τοῦ τεχνητοῦ, καὶ ἐπιστητοῦ ὑποκειμένου πᾶσι καταδηλος γίνεται. τὸ γὰρ ἐπιστητὸν ὑποκείμενον ἐξ ἀνάγκης πρὸ τοῦ τέλους, ὡς ἔφημεν, προγινώσκεται οἱασοῦν φύσεως. τὸ δὲ τεχνητὸν οὐκ ἐξ ἀνάγκης, εἰ μὴ κατὰ συμβεβηκός. καὶ τὸ μὲν πᾶσι τοῖς τῆς Ἐπιστήμης λόγοις ὑποκειται, τὸ δὲ οὐ πάσαις ταῖς τῆς Τέχνης ποιήσεσι. προσέτι ἐν ταῖς Ἐπιστήμαις πρὸ τοῦ τέλους τὸ ὑποκείμενον ἐστὶ τὸ προγινωσκόμενον. Ἐπὶ δὲ τῶν Τεχνῶν πρὸ τῆς Ὕλης τὸ τέλος. διὸ τὸ τέλος ἐφ' ὅτε ὑποκείμενον καλεῖται ἐπὶ τῶν Τεχνῶν, οὗ ὅσον πρόκειται ἐν τῇ διανοίᾳ τοῦ Τεχνίτου πρὸ τῆς ἐργασίας. διὰ γὰρ τὸ τέλος ἡ ἐργασία γίνεται. μεταφορικῶς μέν τοι λέγεται, καὶ οὐ κυρίως.

Πρὸς τούτοις τὸ τῆς Ἐπιστήμης ὑποκείμενον ἀΐδιον εἶναι ὀφείλει καὶ ἀδιάπτωτον, ὅπερ γε τὸ τεχνητὸν μεταβλητόν τε καὶ γενητὸν πέφυκεν ὑπὸ τοῦ Τεχνίτου. καὶ γὰρ ὁ ποιητὴς ἀρχὴ τῆς γενέσεως τούτου.

Ἔτι, τὸ μὲν πάσας τὰς Ἐπιστήμας ποιεῖ διαφέρειν πρὸς ἀλλήλας τῷ τρόπῳ καθ' ὃν θεωρεῖται, τὸ δὲ εἶδος τοιοῦτον ἐργάζεται, εἰ μὴ ἀπὸ τοῦ τέλους.

Τούτοις τοιγαροῦν ἅπασι καὶ τοῖς τοιούτοις τούτων ἡ διαφορὰ πρόδηλος

λος γίνεται. εἰδέ τις ταῦτα πάντα εἰς ἕξεις τινας ξόπους ἀνάξειεν, ἵνα μᾶλλον ἐμνημόνευτα ἦεν, οὐ παρὰ χορδὴν ὁ λόγος.

Πρῶτος τοιγαροῦν ἔστω. ὅτι ἐπὶ τῆς θεωρητικῶν ἕξεων τὸ ἐπιστητὸν ὑποκείμενον προτίθεται μόνον εἰς γνῶσιν, ὅθεν καὶ γένος ἐπιστητὸν λέγεται. ἐπὶ δὲ τῆς ποιητικῶν ἕξεων καὶ Τεχνῶν, ἡ ὕλη οὐκ εἰς γνῶσιν ὑποτίθεται, ἀλλ' εἰς ἐργασίαν, ὅθεν καὶ γένος Τεχνητὸν λέγεται. διὸ τὸ ἐπιστητὸν ὑποκείμενον ἀΐδιον εἶναι ὀφείλει, ὡς μηδαμῶς ὑπὸ τὸ ἐπιστήμονος μεταβάλλεσθαι, μενον, ἀλλὰ μόνον τῆς τούτου οὐσίας καὶ φύσεως γνωσθείσης, τέλος ἡ θεωρία λαμβάνει. τὸ δὲ Τεχνητὸν διαφόρως μεταβάλλεται ὑπὸ τῆς Τέχνης, καὶ παντοίους σχηματισμοὺς ἐπιδέχεται.

Δεύτερος. ὅτι κατὰ τὸ ὑποκείμενον τῆς Ἐπιστήμης ἀποδείκνυται τὰ ἐνόντα αὐτῷ ἴδια πάθη διὰ τῶν οἰκείων ἀρχῶν. κατὰ δὲ τῆς τεχνητῆς ὕλης οὐκ ἀποδείκνυσιν ὁ Τεχνίτης τὰ πάθη τῆς αὐτῆς ὕλης διὰ τῶν οἰκείων αὐτῇ ἀρχῶν, ἀλλ' εἰσάγει εἰς αὐτὴν τὸ τεχνητὸν εἶδος διὰ τῶν παραγγελμάτων, καὶ κανόνων τῆς Τέχνης.

Τρίτος, ὅτι τὰ θεωρούμενα πράγματα ὑπὸ τῆς Ἐπιστήμης, συγκεφαλαιοῦται εἰς ἑνὸς γένους ἐπιστητοῦ συμπλήρωσιν, καὶ τῶν ἄλλων αὐτιδιαστέλλεται κατὰ τὸν ἰδιάζοντα ξόπον τῆς θεωρίας, ᾧ κέχρηται ἡ Ἐπιστήμη. ἐπὶ δὲ τῶν Τεχνῶν τὰ ὑποκείμενα πράγματα, ἀπὸ τοῦ τέλους ἔχει καὶ τὴν σύνθεσιν καὶ τὴν διάκρισιν, ἀπὸ τῶν λοιπῶν Τεχνῶν.

Κἀκεῖνο δέον εἰδέναι, ὅτι ἑκάστης Ἐπιστήμης, ἢ Τέχνης τὸ ὑποκείμενον διττόν ἐστι. περὶ ὃ, καὶ ἐν ᾧ. περὶ ὃ μὲν, φέρ' εἰπεῖν, ὡς ἐπὶ τῆς Φυσικῆς τὸ φυσικὸν σῶμα, περὶ ὃ τὴν σπουδὴν προβάλλεται διὰ τὴν γνῶσιν. καὶ ἐπὶ τῆς Γραμματικῆς, τὰ ὁκτὼ μέρη τοῦ λόγου. ἐν ᾧ δὲ, ἡ ψυχὴ τοῦ Ἐπιστήμονος, ἢ τοῦ Τεχνίτου. ἐν ᾗ ψυχῇ πᾶσαι αἱ Τέχναι, καὶ Ἐπιστῆμαι ἐνοικοῦσι.

Τελοὶ

Τεσσὶ τύποις διαφέρει τὸ ἐπιστητὸν ὑποκείμενον τῆς τεχνητοῦ.

Πρῶτον. ὅτι τὸ ἐπιστητὸν ὑποκείμενον ὑποτίθεται μόνον εἰς γνῶσιν, τὸ δὲ τεχνητὸν οὐκ εἰς γνῶσιν ἀλλ' εἰς ἐνέργειαν. ὅθεν ἐστὶ τὰ μὲν γένος ἐπιστητὸν, τὰ δὲ γένος τεχνητὸν λέγεται.

Δεύτερον. ὅτι κατὰ τὸ ἐπιστητὸν ὑποκείμενον ἀποδείκνυται τὰ πάθη διὰ τῆς οἰκείων ἀρχῶν. ἐπὶ δὲ τῆς ὕλης οὐκ ἀποδείκνυται τὰ πάθη κατ' αὐτῆς, ἀλλ' εἰσάγει εἰς αὐτὴν ὁ τεχνίτης τὸ τεχνητὸν εἶδος διὰ τῆς κινήσεων αὐτῆς.

Τρίτον. ὅτι τὰ θεωρούμενα πράγματα ὑπὸ τῆς ἐπιστήμης συγκεφαλαιῶται εἰς ἓν ἐπιστητὸν γένος κατὰ τὸν ἰδιάζοντα τρόπον τῆς θεωρίας, τὰ δὲ θεωρούμενα ὑπὸ τῆς τέχνης ἐπὶ τὸ τέλειος ἔχει ἐστὶν ἢ διάκεισι.

Περὶ διαφορᾶς Τέλους τῆς Ἐπιστήμης, καὶ Τέχνης.

ΤΕλος δὲ ἐπὶ μὲν τῆς Θεωρητικῶν ἕξεων (ἤτοι τῆς Ἐπιστημῶν) ἐστὶν ἡ γνῶσις τῆς ἀληθείας περὶ τὸ οἰκεῖον ἐπιστητὸν, ἤτοι ἡ γνῶσις τῆς ζητουμένων περὶ τὸ ὑποκείμενον. ἐπὶ δὲ τῆς Ποιητικῶν, δηλαδὴ τῆς Τεχνῶν, τέλος ἐστὶν ἀποτέλεσμά τι, ἐνίοτε μὲν ἐπ' αὐτῆς τῆς ποιήσεως μόνον θεωρούμενον; ὡς ἐπὶ τῆς Ὀρχηστικῆς, ἢ τῆς Αὐλητικῆς, καὶ τῆς ὁμοίων· ἐνίοτε δὲ καὶ μετὰ τὴν ποίησιν ἐπὶ τῆς τοιούτων Τεχνῶν τὸ ἀποτέλεσμα, οὐ προέρχεται ἀπὸ τὸ λόγου τῆς Τέχνης, ἀλλὰ ἀπὸ τῆς τῆ ὑποκειμένου συστάσεως. ὡς τὰ πολλὰ δὲ καὶ διαμένον μετὰ τὴν ποίησιν, ὡς ἐπὶ τῆς Σκυτοτομικῆς, φέρε εἰπεῖν, ἢ ἐμβάς, καὶ ἐπὶ τῆς Ναυπηγικῆς τὸ Πλοῖον.

Προσέτι διαφέρουσιν. ὅτι τὸ τέλος τῆς Ἐπιστημῶν ὅπερ ἐστὶν ἡ γνῶσις, εἰ καὶ μὴ ἐν τῇ γνώσει τοῦ ἀνθρώπου τυγχάνει, ἀλλ' οὖν τὰ ἐπιστητὰ καθ' ἑαυτὰ τοιαῦτα τυγχάνουσιν, οἷα ἔμελλον ἐν τῇ τοῦ ἐπιστήμονος γνώσει ἐνεῖναι. τὸ δὲ τέλος τῆς Τεχνῶν, οὐχ ὅπως ἔχει· ἃ γὰρ ἐνυπάρχει τῇ ὑποκειμένῃ ὕλῃ, εἰ μὴ ἡ ἐργασία πελεία περὶ ἐκείνῳ γένοιτο.

Δια-

Διαφορὰ τέλους Τέχνης καὶ Ἐπιστήμης.

- Ἐπὶ μὲν τῆς Ἐπιστημῶν τέλος ἐστὶν ἡ γνῶσις τῆς ἀληθείας περὶ τὸ αἰτίατον ὑπόκειται.
- Ἐπὶ δὲ τῆς Τεχνῶν τέλος ἐστὶν ἀποτέλεσμάτι.
  - Ἢ ἐναπομένον ὡς ἐπὶ τῆς Ναυπηγικῆς, καὶ τῆς ὁμοίων.
  - Ἢ μὴ ἐναπομένον ὡς ἐπὶ τῆς Αὐλητικῆς, καὶ τῆς ὁμοίων.

Περὶ διαφορᾶς τοῦ τεχνητοῦ Τέλους τῆς τεχνητῆς Ὕλης.

Διαφέρει δὲ καὶ τὸ Τέλος τῆς Τέχνης τῆς κατ' αὐτὴν Ὕλης, ὅτι ἡ μὲν Ὕλη ὑποτίθεται ὑσα πρὸ τῆς κατὰ τὴν Τέχνην ἐνεργείας, τὸ δὲ Τέλος οὐχ ὑπάρχει πρὸ τῆς τοῦ Τεχνίτου ἐνεργείας, ἀλλ' ἐπὶ μόνης τῆς τούτου διανοίας. Ἔτι παρασκευαθείσης τῆς Ὕλης, ἄρχεται ἡ ἐργασία τοῦ Τεχνίτου; προειλημμένου δὲ τοῦ τέλους, παύεται πᾶσα ἡ ἀπὸ τῆς Τέχνης ἐνέργεια. ὁμοίως ταῦτα ἔχουσι καὶ ἐπὶ τῆς θεωρητικῶν ἕξεων.

Διαφορὰ Τεχνητοῦ τέλους τῆς κατ' αὐτὴν ὕλης.

- Πρῶτον. ὅτι ἡ μὲν ὕλη προϋπάρχει τῆς ἐργασίας, τὸ δὲ τέλος οὐ προϋπάρχει.
- Δεύτερον παρασκευαθείσης τῆς ὕλης, ἄρχεται ἡ ἐργασία τοῦ τεχνίτου, προειλημμένου δὲ τοῦ τέλους, παύεται καὶ ἡ ἐργασία.

Ἔκθεσις τῶν ἀλλοκότων δογμάτων, περὶ τῆς κατὰ Λογικὴν Ὕλης.

Τούτων οὕτω προληφθέντων, ἐκθετέον λοιπὸν καὶ τὰς διαφόρους περὶ τῆς κατὰ Λογικὴν Ὕλης δόξας. ἵνα τούτων αἱρεθεισῶν λαμπροτέρα

ρα ἡ θέσις τῆς ἀληθείας γένηται. ζητεῖς οὖν αὐταὶ δόξαι ἀνδρῶν ἐπὶ φιλοσοφίᾳ μέγιστον ὄνομα παρὰ τοῖς νεωτέροις εἰληφότων ὑπ' ἀλλήλων περιέχόμεναι, καὶ τῷ αὐτῷ ἐχόμεναι λόγων καὶ βεβαιώσεων ἐπὶ τοῦ παρόντος προβάλλονται. ὧν ἡ μὲν Τοὐπιχείρημα ἁπλῶς, ἡ δὲ τὸν Συλλογισμὸν, καὶ ζήτει παρὰ ταύτας, ἥτις φησὶ τῷ Ἀποδείξιν ὑποκείμενον ὑποτίθεσθαι τῇ Λογικῇ Μεθόδῳ.

Ὅτι ἡ Ἀπόδειξις ὑποκείμενον τῆς Λογικῆς.

Ἵνα δὲ μὴ παραλογῶμεν τοὺς λόγους συγχέοντες, ἀπὸ τῆς ζήτης ἀρξώμεθα, ἐφ' ἧς ἐστὶ καὶ τοὺς λόγους, οἷον τὰς βεβαιώσεις τῶν ἄλλων συμπεριλαβεῖν.

Δυσὶ τοιγαροῦν ἅπτηται μάλιστα κέχρηται λόγοις εἰς βεβαίωσιν ἑαυτῆς. πρῶτον. ὅτι τὸ τέλος ἑκάστης τῶν Ἐπιστημῶν, ἢ Τεχνῶν ἐστὶν ὑποκείμενον τῆς αὐτῆς. ἡ Ἀπόδειξις ἐστὶ τέλος τῆς Λογικῆς, ἄρα καὶ ὑποκείμενον αὐτῆς. ὅτι δὲ ὄντι τέλος τῆς Λογικῆς ἡ ἀπόδειξις, προδήλον. τέλος γὰρ τῆς Λογικῆς ἡ διάκρισις ἀληθείας καὶ ψεύδους, δι' ἧς Ἐπιστήμης ἀπόκτησις. ἀλλὰ τοῦτο πρώτως καὶ κυρίως, δὸς εἰπεῖν καὶ μόνως, κατορθοῦται διὰ τῆς Ἀποδείξεως. ἡ ἀπόδειξις ἄρα τέλος τῆς Λογικῆς. Δείκνυται δὲ καὶ ἡ μείζων λόγῳ τοιῷδε.

Ἐκεῖνο ἐστὶν ὑποκείμενον Ἐπιστήμης, οὗ τινος εἰς ἀπόκτησιν τῆς γνώσεως ἡ Ἐπιστήμη ἐκ φύσεως φέρεται. ἀλλὰ τὸ τέλος ἐστὶν οὗτινος εἰς ἀπόκτησιν πᾶσα Ἐπιστήμη ἀναφέρει τὰς οἰκείας ἐνεργείας, ἄρα τὸ τέλος ἐστὶ τὸ ὑποκείμενον.

Δευτέρα δεῖξις.

Ὑποκείμενον Ἐπιστήμης ἐστὶ τὸ περιεκτικὸν πάντων περὶ ὧν ἡ Ἐπιστήμη. τοιοῦτόν ὄντι ἡ ἀπόδειξις ἐπὶ τῆς Λογικῆς. ἡ ἀπόδειξις ἄρα ἐστὶν ὑποκείμενον τῆς Λογικῆς. δείκνυται ἡ ἐλάττων. τῆς γὰρ Λογικῆς ἐστὶ πᾶσα τὰ μέρη, Διαιρετικὴ, Ὁριστικὴ, καὶ Ἀναλυτικὴ Μέθοδος. αὗται δὲ περιέχονται ὑπὸ τῆς Ἀποδείξεως, καὶ εἰς αὐτὴν ἀναφέρονται. ἄρα ἡ ἀπόδειξις πάντων ἐστὶ περιεκτικὴ περὶ ὧν ἡ Λογική. δείκνυται ἡ ἐλάττων, ὅτι γὰρ ἡ Ἀναλυτικὴ Μέθοδος πᾶσα ἐπὶ τὴν ἀπόδειξιν ἀναφέρεται, μάρτυς ἐστὶν ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν Προτέρων Ἀναλυτικῶν, ἡ δὲ Διαιρετικὴ, καὶ Ὁριστικὴ εἴτε τὰς Κατηγορίας συμβάλλεται, καὶ τὴν τῶν ὁρισμῶν ἀπό-

δοσιν, ἀλλ' ἄμφω ταῦτα ὑπὸ τὴν ἀπόδειξιν. ὁ γὰρ ὁρισμὸς ἢ μέσον ἐστὶ τῆς ἀποδείξεως, ἢ σῶμα γίνεται αὐτῆς, ἢ ἐστὶν αὐτὴ ἡ ἀπόδειξις, σχήματι μόνῳ τοῦ λόγου διαφέρουσα. πάντα ἄρα περὶ ὧν ἡ Λογικὴ, περιέχεται ὑπὸ τῆς ἀποδείξεως.

Δευτέρα Δόξα.

Ἕτεροι δὲ τοῖς αὐτοῖς τούτοις λόγοις ἀξιοῦσι τὸ ὁπιχείρημα, ἤτοι τὸν πιστικὸν λόγον ἁπλῶς ὑποκείμενον εἶναι τῆς Λογικῆς. περιέχεται γὰρ ὑπ' αὐτοῦ καὶ αὐτὴ ἡ Ἀπόδειξις. καὶ προσέτι ὁ καθόλου Συλλογισμὸς, καὶ ἡ Ἐπαγωγὴ, Ἐνθύμημάτε, καὶ Παράδειγμα.

Τέτη Δόξα.

Καὶ ἄυθις ἕτεροι ταῖς αὐταῖς δείξεσι τὸν Συλλογισμὸν ἁπλῶς βάλονται ὑποκείμενον τῆς Λογικῆς τίθεσθαι. ὅτι περιεκτικός ὄξι παίντων, καί τοι μὴ Ἐπαγωγῆς καὶ Παραδείγματος. ἀλλὰ ταῦτα φασὶν ἄχρησα εἶναι εἰς τὴν τῶ ἀληθοῦς διάγνωσιν, ὡς μὴ ἀναγκαίως συνάγοντα, ὅτι μὴ εἰς Συλλογισμὸν ἀναγόμενα.

Ἀνασκευὴ τῆς ἀνωτέρω.

Τοιούτοις λόγοις ἐπειρῶντο δεῖξαι τὰς προτεθείσας Δόξας ἀληθεύειν. καί πως καὶ αἱ ἔξῆς αὗται ἃς ἐξεθέμεθα Δόξας τοῖς ὁμοίοις λόγοις καὶ δείξεσιν ἐμπεδοῦσθαι πειρώμεναι φαίνονται. διὸ καὶ ταῖς αὐταῖς ἐπιλύσεσι δικαίως ἀναιρεθήσονται. αὗται τοιγαροῦν φαίνονται ἁμαρτάνουσαι μάλιστα περὶ ξία ἰδιαμαλιστα φαινονθ' ἁμαρτάνουσι.

Πρῶτον, συγχέουσαι τὸ τέλος τῆς Ἐπιστήμης τῷ ὑποκειμένῳ τῆς αὐτῆς, μὴ διακρίνουσαι τέλος Ἐπιστήμης, καὶ ὑποκείμενον Ἐπιστήμης, ἀλλ' αὐθενός ταῦτα λαμβάνουσαι.

Δεύτερον. ὅτι οὐ διακρίνουσιν ὕλλω Τεχνητῷ τῷ κατ' Ἐπιστήμην ὑποκειμένου, Γένος ἐπιστητὸν πολυπραγμονοῦσαι, εἶδος τεχνητὸν Γένος ἔδει ὑποθέσθαι.

Καὶ ξίτον, τὸ συνθετὸν αὐτὶ τῶ καθόλου λαμβάνουσι, μὴ διαξέλουσαι τὴν κατὰ πλάτος περιοχὴν τῆς κατὰ βάθος. νύκτα γὰρ φασιν ὑποκείμενον εἶναι τῆς Ἐπιστήμης ἐκεῖνο οὗ εἰς ἀπόκτησιν ἀπάδει πᾶσα ἡ ἐπιστημονικὴ

νικὴ ἐνέργεια, πρῶτον μὲν οὐ κατὰ σκοπὸν βάλλουσιν, ὑποκείμενον Ἐπιστήμης ζητοῦντες ἐπὶ τῆς Λογικῆς Τέχνης. εἶτα καὶ ψεῦδος λαμβάνουσιν. οὐ γὰρ εἰς ἀπόκτησιν τοῦ ὑποκειμένου ἡ Ἐπιστήμη σπουδάζει, ἀλλ' εἰς ἀπόκτησιν τῆς περὶ ἐκεῖνο ἀληθείας. ἥτις ἐστὶ τέλος τῆς Ἐπιστήμης, οὐχ ὑποκείμενον.

Δεύτερος δὲ ἐν οἷς λαμβάνουσιν ὑποκείμενον εἶναι Ἐπιστήμης τὸ περιεκτικὸν πάντων περὶ ὧν ἡ Ἐπιστήμη πραγματεύεται, εἰ μὲν ὡς γένος ἐννοοῦσι τῷ περιοχῷ, ἤτοι ὡς καθόλου, ἀληθὲς τὸ λεγόμενον. ἀλλ' οὔτε ὁ πιστικὸς λόγος, εἴτ' οὖν τὸ ἐπιχείρημα οὕτω περιεκτικός ἐστι τῆς κατὰ Λογικὴν (οὐ γὰρ αἱ προτάσεις εἰσὶ λόγοι πιστικοὶ, ἀλλ' οἱ ὁρισμοὶ καὶ τὰ ἔροι) οὔτε ὁ Συλλογισμός, ἀλλὰ καὶ πολλῷ ἧττον περιεκτικώτερος τῆς κατὰ Λογικὴν, καὶ ἀμφοῖν ἧττον ἔτι ἡ Ἀπόδειξις. εἰ δὲ τῷ κατὰ βάθος ἐννοοῦσι περιοχὴν, ἀπροσδιόριστα παντελῶς φθέγγονται. οὐ γὰρ τοιαύτη βούλεται εἶναι ἡ τοῦ ὑποκειμένου περιοχὴ, ἀλλὰ καθόλου. τὰ γὰρ ὑποκείμενα τῆς Ἐπιστήμων κατὰ πλάτος λαμβάνονται, ἀλλ' οὐ κατὰ βάθος.

Ἰσέον, ὅτι ὅσα αἱ θεωροῦνται ὑπό τινι περιεκτικῷ καθόλε, ταῦτα κατὰ πλάτος λέγονται θεωρεῖσθαι, οἷς τὰ εἴδη ὑπὸ τοῖς γένεσι, καὶ τὰ ἄτομα ὑπὸ τοῖς εἴδεσιν. ὅσα δὲ θεωρεῖται ὑπό τινι σωματέπῳ, ταῦτα κατὰ βάθος λέγονται θεωρεῖσθαι. ὡς ἡ Ὕλη καὶ τὸ Εἶδος ἐν τοῖς σωματέποις, καὶ τὸ Εἶδος καὶ ἡ Διαφορὰ ἐν ταῖς εἰδοποιημέναις οὐσίαις.

Τούτων οὕτω τοιγαροῦν προληφθέντων, ἕπεσι ἀπαντητέον πρὸς τὸ πρῶτον τῆς ἐπιχειρημάτων, ἕπερ ἡ μείζων τοιάδε ἐστίν. τὸ τέλος ἑκάστης τῆς Ἐπιστημῶν ἐστὶν ὑποκείμενον τῆς αὐτῆς. ταύτῃ παντελῶς ἀποφάσκομεν ὡς ψευδῆ προφανῶς. τὸ γὰρ ὑποκείμενον πάντη τοῦ τέλους διέστηκεν, ἐπί τε Τεχνῶν, καὶ Ἐπιστημῶν. τὸ μὲν γὰρ προϋποτίθεται πρότε τῆς θεωρίας, καὶ πρὸ τῆς ἐργασίας, τὸ δὲ τέλος μετὰ τὴν θεωρίαν, καὶ τὴν ἐργασίαν ἐπιγίνεται, ὡς ἀνωτέρω ἐλέγετο. ἡ ἐλάττων δὲ καί τοι ἀληθὴς οὖσα, οὐδὲν πρὸς τὸν λόγον τῆς τοιαύτης δόξης συμβάλλεται. οὐδεμία γὰρ σωτάφεια φαίνεται ἀμφοτέραις. καὶ οὕτω τὸ συμπέρασμα ἀναιρεῖται, τῆς μείζονος μὴ ἀποδειχθείσης. εἰδὲ καὶ τὴν μείζονα διϊσχυρίζονται δεῖξαι ἀληθοῦσαν, δείξει τοιάδε λέγοντες, ἐκεῖνο ἐστὶν ὑποκείμενον Ἐπιστήμης οὗτινος εἰς ἀπόκτησιν τῆς γνώσεως ἡ Ἐπιστήμη ἐκ φύσεως φέρεται, ταύτῃ μὲν ὡς ἀληθὴ ἀποδεκτέαν. τὴν δὲ ἐλάττονα τὴν λέγουσαν, τὸ τέλος ἐστὶν οὗτινος εἰς ἀπόκτησιν πᾶσα Ἐπιστήμη ἀναφέρει τὰς οἰκείας ἐνεργείας, αὐτὴν μὲν καθ' αὐτὴν ἀποδεκτέον. ἀληθὲς γάρ ἐστιν ὅτι πᾶσα Ἐπιστήμη διὰ

τὸ τέλος ποιεῖ τὴν ἀποδεῖξιν. ἀναφερομένην δὲ πρὸς τὴν μείζονα, ὡς ψευδῆ ἀποφάσκομεν. ἔδει γὰρ εἰπεῖν τὸ τοιόνδε ἐστὶν ἐπὶ τῆς τοιᾶσδε Ἐπιστήμης, οὕτινος εἰς κτῆσιν τῆς γνώσεως ἡ Ἐπιστήμη ἐκ φύσεως φέρεται, ἆρα τὸ τοιόνδε ἐστὶν ὑποκείμενον ἐπὶ τῆς τοιᾶς δὲ Ἐπιστήμης. ἀλλ' αὕτη ἡ δεῖξις ἐπὶ μὲν τῆς μείζονος τὸ ὑποκείμενον ἢ τὴν κτῆσιν τῆς γνώσεως τούτου διῃρημένως ἔλαβεν, ἐπὶ δὲ τῆς ἐλάττονος τὴν γνῶσιν τοῦ ὑποκειμένου, ὅπερ ἐστὶ τὸ τέλος, ἀντὶ τοῦ τοιοῦδε ὑποκειμένου ἔλαβε, ἢ οὕτω ψευδῆ συνεπέρανε. οὐ γὰρ Ἐπιστήμη διὰ τὴν γνῶσιν τοῦ τέλους ποιεῖται τὴν οἰκείαν ἐνέργειαν. αὕτη γὰρ ἡ γνῶσις ἐστὶ τὸ τέλος, ἀλλὰ διὰ τὴν γνῶσιν τοῦ ὑποκειμένου, ὅπερ ἐστὶ τὸ τέλος. αὕτη δὲ ἡ δεῖξις τὸ τέλος ἀντὶ τοῦ ὑποκειμένου ἔλαβε. πρὸς τούτοις ἔδει πολυπραγμονεῖν ὕλην Τέχνης, οὐχ ὑποκείμενον Ἐπιστήμης. οὐ γὰρ ὀξὺ βάλλειν κατὰ σκοπὸν ἐπὶ τὴν Τεχνῶν παραδείγματα λαμβάνειν Ἐπιστημῶν. Τέχνη γὰρ ἡ Λογική.

Ἀναζοπὴ τῆς δευτέρας δείξεως.

Τῆς δευτέρας δείξεως ἡ μείζων ἡ λέγουσα, ὅτι ὑποκείμενον Ἐπιστήμης ἐστὶ τὸ περιεκτικὸν πάντων περὶ ὧν ἡ Ἐπιστήμη, διαιρετέα ἐστίν. εἰ μὲν γὰρ τὸ περιεκτικὸν καὶ πλάτος ἐννοεῖται, ἀληθὴς ὀξύν, εἰ δὲ κατὰ βάθος ὡς ἐπὶ τῆς σωφρονούσης, ψευδὴς φανερῶς. δῆλον δὲ ὅτι κατὰ βάθος τοῦτον ἐννοοῦσιν, ἐκ τῆς ἐλάττονος τῆς λεγούσης, τοιαύτη ἐστὶν ἡ Ἀπόδειξις, τουτέστι περιεκτικὴ πάντων τῶν κατὰ Λογικήν. ~~ἀλλ' ἡ~~ Ἀπόδειξις οὐκ ἔστι περιεκτικὴ τῶν Προτάσεων, ἢ Ὅρων ὡς καθόλου, ἀλλ' ὡς σωρευτικός. διὸ ψευδὲς συμπεραίνει, καὶ οὐδὲν συλλογίζεται. αὐταῖς ταύταις ταῖς λύσεσι χρηστέον καὶ ἐπὶ τὰ λοιπὰ τῶν δογμάτων, ἢ οὕτως ἀναιρεθήσονται πάντα.

Τετάρτη Δόξα. ὅτι τὸ κατ' ἐπίνοιαν Ὂν ἐστὶν ὕλη τῆς Λογικῆς.

Εἴρηται ἡμῖν ἐν τοῖς ἔμπροσθεν ὅτι ἡ ἐπίνοια διχῶς διαιρεῖται. ἡ μὲν γάρ ἐστιν οἷον ἐπινοιάτις, καὶ ἐπανθύμησις, ἡ τὰ σωρευτικὰ διϊοῦσα, καὶ ἑκάτερον καθ' ἑαυτὸ θεωροῦσα. ἡ δὲ ἑτέρα φιλήτις ἐπίνοια μόνον καὶ τῆς διανοίας ἀνάπλασμα. ἥτις φύσιν εἴληχε τὰ πάντη διεσπασμένα συντιθέναι, καὶ ἔκτινων μερῶν ὅλον ποιεῖσθαι. οἱ νεώτεροι τοιγαροῦν τοὺ-

ταύτῃ πολυχιδῶς κατεκερματίσαντο, καὶ πλείονα τὰ εἴδη ταύτης ὑπενοήκασι. καὶ δὴ τὸ ἀποτέλεσμα ταύτης ὅπερ κατ' ἐπίνοιαν Ὄν λέγεται, ὑποκείμενον τῆς Λογικῆς εἶναι ἔφασαν. ταύτης τῆς Δόξης ὡς μᾶλλον ἀλόγου κεινομένης, οἱ πλεῖστοι τῶν νεωτέρων ἀνέχονται, διὸ καὶ πολυθρύλλητος μᾶλλον τῶν ἄλλων εἶναι φαίνεται, ὅτι δηλαδὴ τὸ κατ' ἐπίνοιαν Ὄν, ὑποκείμενον ἐστὶ τῆς Λογικῆς Μεθόδου. ἔστι δὲ τοῦτο τὸ κατ' ἐπίνοιαν Ὄν ὡς κοινῇ πᾶσι δοκεῖ, τὸ ἐν τοῖς οὖσι μὲν οὐχ ὑφιστάμενον, τὸ δὲ εἶναι ἔχον ἐφ' ὅσον ἐπινοεῖται. πεπαυμένης δὲ τῆς ἐπινοίας, παύεται καὶ τὸ κατ' αὐτὴν Ὄν.

Ποσαχῶς τὸ ἀποτέλεσμα τῆς φιλῆς Ἐπινοίας, τὸ λεγόμενον κατ' Ἐπίνοιαν Ὄν.

Τεσσαχῶς τοιγαροῦν διαιρούμενον ὑποτίθεται παρὰ τοῖς γλαφυροτέροις αὐτῶν τοῦτο τὸ κατ' ἐπίνοιαν σωτιθέμενον Ὄν. καὶ βούλονται μὲν αὐ εἶδος εἶναι τούτου, τῶν ἐχόντων μὲν αἴτιον προσεχὲς ἐν τοῖς οὖσιν, ἐκτὸς δὲ ἐκείνων καθ' ὧν τὰ ὀνόματα κατηγορεῖται. ὃν τρόπον φέρε εἰπεῖν ὁ κίων λέγεται δεξιὸς, ὅτι ἐπὶ τὰ δεξιὰ μέρη ἵσταται τῆ Σωκράτους, οὐκ ἔχων καθ' ἑαυτὸν δεξιὸν ἢ ἀριστερόν. οὐ γὰρ ὡς ζῶον, ἀλλὰ κατ' ἐπίνοιαν μόνον φασὶν ἡμετέραν λέγεσθαι δεξιόν. καὶ τοῦτο ἐστὶν αὖ εἶδος τοῦ κατ' ἐπίνοιαν Ὄντος.

Δεύτερον δὲ εἶδος τούτου τίθενται τῶν ἐχόντων μὲν τὸ αἴτιον τῆς ἐπωνυμίας ἐν τοῖς πράγμασι, καθ' ὧν καὶ τὰ ὀνόματα κατηγορεῖται, ὄντων δὲ καθ' αὑτὰ οὐδὲν ἄλλο ἢ ἀποφάσεις τῶν προσηκόντων εἶναι τοῖς πράγμασιν. οἷαί εἰσιν αἱ στερήσεις πᾶσαι, τυφλότης δηλαδὴ, ἀνισότης, λίθη, σκότος, καὶ τὰ τοιαῦτα.

Τρίτον εἶδος φασὶ τοῦ κατ' ἐπίνοιαν Ὄντος, ὅσα ἁπλῶς εἰσὶν ἀποφάσεις ἄνευ αἰτίου τινὸς ἐν τοῖς πράγμασι καθ' ὧν τὰ ὀνόματα λέγεται. ὃν τρόπον φαμὲν ἀναιδῆ λίθον, σίδηρον μὴ ὁρῶντα, ξύλον μὴ βαδίζον, καὶ τὰ τοιαῦτα. τούτοις συναριθμεῖται καὶ ὅσα πέφυκε σωτίθεσθαι ὡς ἐκτινῶν μερῶν ὅλα, ὡς Τραγέλαφος, Σκίνδαψος, καὶ τὰ τοιαῦτα.

Τέταρτον καὶ τελευταῖον εἶδος τίθενται τοῦ κατ' ἐπίνοιαν Ὄντος, ὧν ἐστὶ μὲν αἰτιόντι ἐν τοῖς οὖσιν, οὐ προσεχὲς δέ. οἷα φασὶν εἶναι τὰ ὑπὸ τῆς Λογικῆς θεωρούμενα. Γένος, Εἶδος, Ὅρισμὸς, Πρότασις, Συλλογισμὸς, Ἀπόδειξις, καὶ ὅσ' ἄλλα, ἅτινα καὶ δευτέρας ἕξεις φιλοῦσι καλεῖν. ταῦτα τοιγαροῦν καὶ τοιαῦτα ἀναφύεσθαι βούλονται κατὰ ἀναπόλησιν

νοὸς

νοὸς περίτινι εἴδει νοηθέντα, οὐ κατὰ πρώτλω ὑπβολλὼ τοῦ νοός. κατὰ μὲν γὰρ πρώτλω ὑπβολλὼ τοῦ ἡμετέρου νοὸς φύσεις ἐννοοῦμεν τῶν ὄντων, Ζώου φέρε εἰπεῖν, Ἀνθρώπου, Φυτοῦ, Ἐλαίας, καὶ Τέχνης ἕξιν, (1) ἀλλ' οὔπω ἐν τούτοις ἐσὶ τὸ κατ' ἐπίνοιαν λεγόμενον Ὄν. πλωίνα δὲ ἀναπολήσαντες κατὰ νοῦν τλὼ νοηθεῖσαν φύσιν, καὶ ταύτλω συνίδωμεν ἐν πολλοῖς ὑπάρχουσαν εἴδεσιν, ἢ ἀτόμοις ὁμοίαν πρὸς τὰ ὑφ' αὐτλὼ παραβάλλοντες, τινικαῦτα φασὶν ἀναφύεσθαι τὸ κατ' ἐπίνοιαν Ὄν, ἡ σχέσις δηλαδὴ ~~τῆς ἐν ᾧ φύσεως~~ πρὸς τὰ ἐν οἷς ὑπάρχει φύσεως λὼ καὶ καλοῦμεν Γένος, εἰ μὴ ἐν πλείοσιν, εἴδεσιν ~~ὑπάρχει~~. Εἶδος δὲ εἰ ἐν πλείοσιν ὑπάρχει ἀτόμοις. τέτοις παραπλησίως λέγεσιν, ἐννοούντων ἡμῶν, ἢ καὶ φωνούντων φέρε εἰπεῖν τλὼ πρότασιν ταύτλω, ἄνθρωπος ἐσὶ γελασικὸν, ἢ καὶ ὁλόκληρον καπασκευάζοντων Συλλογισμὸν, οὐδέπω τὸ κατ' ἐπίνοιαν Ὄν ἀναφύεται, ~~εἰ μὴ~~ ἀναπολήσαντες περὶ τὰ νοηθέντα ἐννοήσωμεν, ὅτι ἐπὶ τῆς προτάσεως ταύτης, τὸ μὲν ἄνθρωπος χέσιν ἔχει πρὸς τὸ γελασικὸν ὑποκειμένου, τὸ δὲ γελασικὸν πρὸς τὸν ἄνθρωπον, χέσιν κατηγορουμένου. αἱ ταύτας δὴ τὰς χέσεις, καθ' ἃς καὶ ἐπωνομάζεσθαι φασὶ τλὼ φύσεων ἡ μὲν Γένος, ἡ δὲ Εἶδος, καὶ ἡ μὲν ὑποκείμενον, ἡ δὲ κατηγορούμενον, καὶ τὰ τοιαῦτα. καὶ τὰς τοιαύτας φασὶν ἐπωνυμίας καὶ χέσεις ἐν τοσούτῳ τὸ εἶναι ἔχειν, ἐφ' ὅσον ἡμεῖς κατὰ ἀναπόλησιν νοὸς ἀναφέρομεν τλὼ ἐννοηθεῖσαν φύσιν τοῦ Ζώου, ἢ Ἀνθρώπου πρὸς τὰ ὑφ' αὐτῶ, ἢ ὡς ὑποκείμενα πρὸς τὰ κατ' ἐκείνων ἀγορευόμενα. πεπαυμένης δέ φασι τῆς κατ' ἐπίνοιαν ταύτης διαφορᾶς, παύεσθαι καὶ τοῦ εἶναι τὸ κατ' ἐπίνοιαν Ὄν.

(1) Σημειωτέον ἐνταῦθα τλὼ ἕξιν. ἐννοῦμεν φησὶ τὰς φύσεις τῶν ὄντων, ζώου καὶ τῶν λοιπῶν, οὐκ εἶπε δὲ καὶ Τέχνης, ἀλλὰ καὶ ἕξιν Τέχνης, καὶ εἰκότως. οὐ γὰρ ἔχει φύσιν ἡ Τέχνη.

Η' μὲν ἐπινοίατις καὶ ἐπενθύμησις.

Η' ὑπόνοια διχῶς.

Πρῶτον. τῆς ἐχόντων μὲν αἴτιον προσεχὲς ἐν τοῖς οὖσιν, ἐκτὸς δὲ ἐκείνων καθ' ὧν τὰ ὀνόματα κατηγορεῖται.

Δεύτερον. τῆς ἐχόντων αἴτιον τῆς ἐπωνυμίας ἐν τοῖς πράγμασι καθ' ὧν τὰ ὀνόματα κατηγορεῖται, ὄντων δὲ καθ' αὑτὰ οὐδὲν ἄλλο, ἢ ὑπόφασις τῆς προσηκόντων ἐν τοῖς πράγμασιν.

Η' δὲ φιλὴ ὑπόνοια. αὐτῆς, τὸ ὑπατέλεσμα ὅπερ κατ' ὑπόνοιαν ὂν λέγεται.

Τείτον. ὅσα ἁπλῶς εἰσὶν ὑποφάσεις ἄνευ αἰτίου τινὸς ἐν τοῖς πράγμασιν.

Τεπάρτον. ὧν ἐστὶ μὲν αἴτιον ἐν τοῖς οὖσιν, οὐ προσεχὲς δέ.

Ὅτι δὲ αὗται αἱ εἰρημέναι σχέσεις εἰσὶ κατ' ἐπίνοιαν ὄντα δείκνυται.

Εἰ γὰρ τῆς κατὰ φύσιν ὑφεστώτων ἦσαν, ὑφ' ὅντι τῆς δέκα Γενῶν ἀνεφέροντο. ἀλλ' τοῦτο γελοῖον εἰπεῖν. ἆρα οὐκ εἰσὶ τῆς κατὰ φύσιν ὑφεστώτων. δείκνυται ἡ ἐλάττων. ὁ γὰρ Συλλογισμὸς, φέρε εἰπεῖν, τοῦ συλλογισμοῦ οὔτε Οὐσία ἐστὶν, οὔτε Ποσόν, ὡς καθ' αὑτὸ δῆλον, οὔτε Ποιότης, ἢ ἕτερόν τι τῆς δέκα Γενῶν, ἀλλὰ σχέσις μόνον κατ' ἐπίνοιαν, ὅρων καὶ προτάσεων πρὸς ἄλληλα. σωζήσεται ἄρα τὸ ὑποκείμενον τῆς Λογικῆς κατ' ἐπίνοιαν εἶναι ὄν. καὶ τοῦτο εἶναι τὰς ἐπεθείσας δευτέρας σχέσεις.

χιμαιρισμός

Ὅτι αἱ εἰρημέναι δεύτεραι σχέσεις ὑποκείμενον εἰσὶ τῆς Λογικῆς πραγματείας.

Δείκνυται πρῶτον παρὰ τοῦ Φιλοσόφου ἐν τῇ πρώτῃ τῆς περὶ Ψυχῆς, ἐν οἷς βούλεται τὸ καθόλου, ἢ μηδὲν εἶναι, ἢ ὑστερογενές τι εἶναι.

τὸ δὲ

τὸ δὲ ὑστερογενὲς ἔργον ἐστὶ τῆς ἡμετέρας διανοίας. ἆρα τὰ καθόλου πάντα ἔργον ἐστὶ τῆς ἡμετέρας διανοίας. Δεύτερον, ἐκεῖνό ἐστιν ὑποκείμενον Τέχνης ἢ Ἐπιστήμης, περὶ ὃ καταγίνεται ἡ Τέχνη, ἢ ἡ Ἐπιστήμη; ἀλλ' ἡ Λογικὴ καταγίνεται περὶ προτάσεις, ὁρισμοὺς, συλλογισμοὺς, καὶ ἀποδείξεις, καὶ τὰ τοιαῦτα, ἅπερ εἰσὶ κατ' ἐπίνοιαν ὄντα, ὡς ἀνωτέρω δεδείχαμεν. ἆρα αἱ προτάσεις, ὁρισμοὶ, καὶ τὰ ἑξῆς, ἅπερ εἰσὶ κατ' ἐπίνοιαν ὄντα, εἰσὶν ὑποκείμενον τῆς Λογικῆς. τέλος τέτταρα ταῦτα εἰσὶν ἅπερ ἐνδέχεται νομισθῆναι Λογικῆς ὑποκείμενα, Φωναὶ, Νοήματα, Πράγματα, καὶ Μορφαὶ, ἤτοι Σχηματισμοὶ προτάσεων, συλλογισμῶν, ἀποδείξεων, καὶ σὺν λόγῳ αἱ εἰρημέναι δεύτεραι σχέσεις. ἀλλὰ τὰ ζῶα πρῶτα οὐκ εἰσὶν ὑποκείμενον τῆς Λογικῆς, λείπεται ἆρα τὰ τέταρτον.

Ἡ μείζων πρόδηλος, ἡ ἐλάττων δείκνυται. ἐπὶ πασῶν Τεχνῶν τὸ εἶδος ὃ εἰς τὴν προκειμένην ὕλην εἰσαγαγεῖν σπουδάζει ὁ Τεχνίτης, ἐστὶν ὑποκείμενον τῆς Τέχνης, καὶ οὐχὶ ἡ μορφουμένη διὰ τούτου ὕλη. ἀλλὰ αἱ Φωναὶ, Νοήματα, καὶ Πράγματα, ἐπὶ τῆς Λογικῆς, ὕλης ἐπέχουσι λόγον, ὁ δὲ Σχηματισμὸς προτάσεων, συλλογισμοῦ, καὶ σὺν λόγῳ αἱ δεύτεραι εἰρημέναι σχέσεις εἶδος εἰσὶ, δι' οὗ χηματίζονται αἱ Φωναὶ, τὰ Νοήματα, καὶ διὰ τῶν νοημάτων τὰ πράγματα. ἆρα αὗται εἰσὶν ὑποκείμενον τῆς Λογικῆς, καὶ οὐχὶ αἱ Φωναὶ, οὔτε τὰ Νοήματα, ἢ τὰ Πράγματα. λέγεται δὲ τὸ κινῆσαν αὐτοὺς εἰς ταύτην τὴν δόξαν μάλισα εἶναι ὅτι τὸ τιθέμενον τοῦτο κατ' ἐπίνοιαν Ὄν, περιεκτικὸν φαίνεται πάντων τῶν κατὰ Λογικήν. ἐν ἅπασι γὰρ ἀναφύεται ὅτε γένεσι, καὶ εἴδεσιν, ὅροις, προτάσεσι, συλλογισμοῖς, καὶ ἀποδείξεσι. τοιοῦτον δὲ βούλεται εἶναι τὸ ὑποκείμενον, περιεκτικὸν δηλαδὴ πάντων τῶν ὑπὸ τῆς Τέχνης, ἢ Ἐπιστήμης θεωρουμένων. διὸ καὶ δοκιμώτερα τῶν ἀνωτέρων κεῖνται παρ' αὐτοῖς ἡ τοιαύτη δόξα. οὔτε γὰρ τοὔπιχείρημα, οὐδ' ὁ συλλογισμὸς, ἢ ἡ ἀπόδειξις, οὕτως εἰσὶ περιεκτικὰ πάντων περὶ ὧν ἡ Λογικὴ ὡς δέδεικται ἀνωτέρω. διὸ ἁλογώτερον ἐδόκει τὸ κατ' ἐπίνοιαν Ὂν ὑποκείμενον εἶναι τῆς Λογικῆς.

Ἀνασκευὴ τῆς ἐκτεθείσης Δόξης.

Δημοσιωτάτη ὡς ἔφημεν καὶ τῶν ἄλλων δοκιμωτέρα νομίζεται παρὰ τοῖς νεωτέροις ἡ προσεχῶς ἐκτεθεῖσα δόξα. ἀλλ' ὅσῳ μᾶλλον δημόσιος, τοσοῦτον ἧττον εἶναι φαίνεται λόγος. οἷς γὰρ ἐγκαλοῦμεν τὰς ἀνωτέρω, καὶ αὕτη ἐνέχεται. φαίνεται γὰρ συγχέουσα καὶ αὕτη τὸ τέλος

μετὰ

μετὰ τῆς ὕλης, ἐν οἷς βούλεται τὸ Τεχνητὸν εἶδος, ὅπερ ὁ Τεχνίτης εἰσαγαγεῖν ἐπιδίδει εἰς τὴν προκειμένην ὕλην, ὑποκείμενον εἶναι τῆς Τέχνης, ἀλλ' οὐχὶ τὴν ὕλην. τοῦτο δὲ ὅσον ἀποπεπλάνηται τοῦ ὀρθοῦ λόγου, εἴρηται ἀνωτέρω. διὸ οὐ δέον ταυτολογεῖν. ὁμοίως καὶ αὐτὴ Τεχνητῆς ὕλης, ὑποκείμενον ἐπίσης πειρᾶται ὑποτίθεσθαι ἐπὶ τῆς Λογικῆς Τέχνης. οἴεται γὰρ τὴν Λογικὴν Μέθοδον περὶ τὴν θεωρίαν ἀσχολεῖσθαι προτάσεων, συλλογισμῶν, ἀποδείξεων, καὶ τῶν τοιούτων, ἀλλὰ μὴ μᾶλλον περὶ τὴν ῥᾳστώνην αὐτῶν. ~~Ἄλλο δὲ τούτων πονηρότερον, ὅτι καὶ ψευδῆ λαμβάνει, καὶ οὐδὲν συλλογίζεται λαμβάνει ψεύδος,~~ κατ' ἐπίνοιαν μόνον τιθεμένη πρότασιν, συλλογισμὸν, καὶ ὅσ' ἄλλα τῆς Λογικῆς Μεθόδου τυγχάνει, ἐστὶν, ὡδὶ δὲ συλλογίζεται, ὅτι δοθέντος ταῦτα εἶναι κατ' ἐπίνοιαν ὄντα, ~~πρῶτον μὲν οὐδὲν~~ συντελέσει τοῖς λογικοδομοῦσι ἡ τούτων ἀνάπλασις καὶ γνῶσις. ~~δεύτερον δὲ~~, ὅτι εἰς τὴν μεταφυσικὴν ἀναχθήσεται θεωρίαν, ἢ καὶ εἰς τὴν περὶ ψυχῆς πραγματείαν.

Δειχθήσεται δὲ ἡμῖν ταῦτα ἐφεξῆς ἀρξαμένοις ἀπὸ τοῦ τελευταίου. ὅτι μὲν οὖν εἰ δοίημεν τὰς προτάσεις τε, καὶ συλλογισμοὺς, καὶ τὰ τοιαῦτα ὄντα κατ' ἐπίνοιαν εἶναι, ἢ τοιαῦτα, ἄλλης ἂν θεωρίας, καὶ οὐ τῆς κατὰ Λογικὴν εἴεν, δῆλον ἐντεῦθεν. ἡ γὰρ τοῦ κατ' ἐπίνοιαν ὄντος θεωρία, ἢ τοιοῦτον, τοῖς Μεταφυσικοῖς προσήκει, οἵτινες τὸ ὄντος, ὅπερ ἐστὶν ὄν, ποιοῦνται τὴν θεωρίαν. τὸ γὰρ κατ' ἐπίνοιαν ὂν, κατὰ μίμησιν τοῦ ἐν ὑποστάσει ὄντος ἔχει τὸ εἶναι. ὡς ἡ σκιὰ κατὰ μίμησιν τὸ σώματος. ἃ δὲ κατὰ μίμησιν ἐστὶν ἑτέρου, ἐπὶ τὴν θεωρίαν ἐκείνου ἀνάγεται, οὗ ἄνευ οὐδὲ νοηθῆναι δύναται. ἆρα τὸ κατ' ἐπίνοιαν ὂν ἐπὶ τὴν θεωρίαν ἀναχθήσεται τοῦ ἐν ὑποστάσει ὄντος, ἥτις ἐστὶν ἰδία τοῖς Μεταφυσικοῖς. Δείκνυται ἡ ἐλάττων ὑπὸ τοῦ Φιλοσόφου, ὃς τὰς ἀποφάσεις, καὶ στερήσεις διὰ τῶν ἕξεων ἐννοεῖσθαι βούλεται. ~~Ἔτι~~ ὅσα μὴ ἴδιον νοητὸν εἶδος προχειρίσασθαι ἐπὶ τοῦ νοὸς ἔχει, (τοιαῦτα δέ εἰσιν ὅσα μὴ δύναται εἰς φαντασίαν ἐλθεῖν, καὶ σὺν λόγῳ, ὅσα μὴ τῇ αἰσθήσει ὑποπίπτει) ταῦτα οὐκ ἐννοεῖται καθ' ἑαυτὰ, ἀλλὰ διὰ τῆς ἐννοίας ἐκείνων, ὧν εἰσὶ μιμήσεις, ἢ ἀποφάσεις τούτων. τοιοῦτον δὲ τὸ κατ' ἐπίνοιαν ὄν. μίμησις γὰρ ὑπάρχει τοῦ ἐν ὑποστάσει ὄντος. ἥτις ἐστὶν ἰδία τοῖς μεταφυσικοῖς, ἢ τοιοῦτον. ταῖς αὐταῖς ταύταις δείξεσι δειχθήσεται, ὅτι καὶ εἰς τὴν περὶ ψυχῆς πραγματείαν ἡ τοιαύτη ἀνάπλασις, καὶ γνῶσις ἀναχθήσεται.

Δεῖξις τοῦ δευτέρου τῷ ἐκθεσίνων.

Ὅτι δὲ καὶ τὸ τοιοῦτον κατ' ἐπίνοιαν ὂν οὐδὲν πρὸς Λογικὴν συμπελεῖ Μέθοδον, οὐ χαλεπὸν δεικνῦσαι. ὡς γὰρ καὶ αὐτοὶ ὁμολογοῦσι, δυνατόν ἐστι καὶ προτάσεις συνθέσθαι, καὶ συλλογισμούς, καὶ ἀποδείξεις ἀποτελέσαι, καὶ χρήσασθαι τούτοις, μηδ' ὅλως ὑπάρχοντος τοῦ κατ' ἐπίνοιαν ὄντος. ὁ γὰρ ἡμέτερος νοῦς, ὡς εἴρηται, κατὰ πρώτην ἐπιβολὴν τῆς φύσεως γίνεται τῶν ὄντων αὐτιληπτικός. τὸ δὲ κατ' ἐπίνοιαν ὄν, ὡς καὶ αὐτοὶ φασι, κατὰ δευτέραν ἀναπόλησιν τῆς ἡμετέρας ἐπινοίας περὶ τινὰ ἤδη νοηθεῖσαν φύσιν ὑπὸ τοῦ νοὸς, καὶ ἀναφορὰν τῆς αὐτῆς λαμβάνει τὸ εἶναι. εἰ γὰρ μὴ πρὸ τῆς ἐπινοίας, οὐκ ἂν ἦν κατ' ἐπίνοιαν ὄν, ἀλλὰ πρᾶγμά τε καὶ ἐν τοῖς οὖσιν ὑφεστός. ἔχον τοιγαροῦν τὸ ἐνεργεῖν τὰ κατὰ Λογικὴν μέθοδον μηδὲν μελήσασι τοῦ κατ' ἐπίνοιαν ὄντος, τίς ἔτι αὐτοῦ χρεία τοῖς λογικοῖς μόνοις; ἢ ἐροῦσι τυχὸν, ὅτι κατὰ συμβεβηκὸς μὲν δυνατὸν συνθέσθαι προτάσεις, καὶ συλλογισμὸς, μηδὲν μελήσαντας τοῦ κατ' ἐπίνοιαν ὄντος, οὐκ ἐπέχνως δὲ, ἀλλὰ πρὸς τὸ ἐνεργεῖν τέχνῃ, καὶ ἀναμαρτήτως τὰ κατὰ Λογικὴν, τῆς γνώσεως χρεία τοῦ κατ' ἐπίνοιαν ὄντος.

Ταῦτα ἐκεῖνα οἷς αὐτοὶ ἐκάστοτε χρῶνται, συσκιάσαι τὴν ἀλήθειαν προθυμούμενοι, ἅπερ ῥᾳδίως μὲν πλάττεται, ἀλλ' οὐχ ἧττον ῥᾳδίως καὶ ἐξελέγχεται. Ὁ γὰρ εἰδὼς, φέρε εἰπεῖν, ὅτι λογικός ὁ ἄνθρωπος, καὶ ὅτι τὸ λογικὸν καὶ γελαστικόν ἐστι, καὶ πάντα ὁπισοῦν κατὰ σχῆμα συλλογιστικὸν πάντειν, πῶς οὐκ ἂν οὗτος τέχνῃ συλλογίζοιτο; ἀλλ: ὁ εἰδὼς ταῦτα, δύναται πρὸ τῆς δευτέρας ἀναπολήσεως τῆς ἐπινοίας καὶ ἀναπλάσεως, οὗ φασι κατ' ἐπίνοιαν ὄντος; συνθέσθαι συλλογισμοὺς καὶ ἀποδείξεσι χρήσασθαι, ἐξαγγεῖλαί τε καὶ γραφῇ παραδοῦναι; τί οὖν κωλύει μηδὲν μελήσαντας τοῦ κατ' ἐπίνοιαν ὄντος, συλλογισμοὺς καὶ ἀποδείξεις χρηματίζειν εἰς ἀπόκτησιν Ἐπισημῶν, τοῦτον δ' εἶπεῖν, καὶ ὁλόκληρον ἔχειν τὴν κατὰ Λογικὴν μέθοδον; Ἔπειτα, πῶς ἐκεῖνο παροπτέον κείνουσιν; ἐδεμία γὰρ Ἐπιστήμη; ἢ Τέχνη ποιεῖ τὸ ἴδιον ὑποκείμενον; ἀλλ' ὑποτίθησιν, ἵνα ἡ μὲν ἐργάσηται περὶ αὐτοῦ, ἡ δὲ ἵνα θεωρήσῃ. τί δ' ἄλλο καὶ ἡ φωνὴ τοῦ ὑποκειμένου δηλοῦν βούλεται; ἢ τὸ ὑποκείμενον καὶ ὑποδεχόμενον περὶ αὐτὸ, ἢ τὸ κατὰ Τέχνην εἶδος, ἢ τὰς ὑπὸ τῆς Ἐπιστήμης ἀποδείξεις. ἀλλ: ἡ Λογικὴ ποιεῖ πάντως τάς τε προτάσεις, συλλογισμὸς, καὶ ἀποδείξεις, καὶ ὅσ' ἄλλα. οὐκ ἄρα συμπελοῦσιν αὐτῇ εἰς ὑποκειμένου λόγον, εἰ καὶ δοίημεν εἶναι ταῦτα κατ' ἐπίνοιαν ὄντα. ἃ δὲ πρα-

τόμεν-

τιθέονται, τὴν ἕξιν τῆς Λογικῆς διαιρουμένοις εἰς χρωμένην τε, καὶ διδακτικήν, μετὰ τὴν δεῖξιν τοῦ πρώτου τῶν ἐκτεθέντων, ὅπερ ἐστὶ, τὰ κατ' ἐπίνοιαν ὄντα ἀπὸ τῆς ἐπινοίας, ἀλλὰ μὴ ἀπὸ τῆς φύσεως τῶν πραγμάτων τὸ εἶναι ἔχειν, προϊόντες ἰδίᾳ ἀναθεωρήσομεν.

Δεῖξις τοῦ πρώτου.

ΛΕίπεται ἔτι δεικνύναι, ὃ πρῶτον ἐστὶν ἐν τῇ τάξει τῶν προτεθέντων. ὅτι ὃ φασὶ κατ' ἐπίνοιαν εἶναι, ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ἔχει τὸ εἶναι, καὶ οὐκ ἀπὸ τῆς ἐπινοίας ὡς αὐτοί. τέτταρα ταῦτα θεωρεῖται ἐπὶ πάντων, ἃ ἡ Λογικὴ Μέθοδος ἐπιβάλλει. αἱ σημαντικαὶ τῶν πραγμάτων φωναί, τὰ σημαινόμενα πράγματα, ἡ ἐνέργεια τοῦ νοὸς καθ' ἣν ἐννοεῖται τὰ πράγματα, καὶ τελευταῖον ἡ πρὸς ἄλληλα τῶν πραγμάτων σχέσις. ὧν τὸ μὲν πρῶτον οὐδὲ ἁπλῶς ἀναγκαῖον, ἀλλ' ἡ πρὸς διάλεξιν μόνον καὶ διδασκαλίαν. τούτου τὸ μὲν εἶναι σημαντικὸν οὐκ ἐκ φύσεως πρόσεστι, κατὰ συνθήκην δὲ αἱ φωναὶ εἴρηνται σημαντικαί· ἀλλ' οὐ περὶ τῆς σημασίας τῶν φωνῶν ὁ λόγος προηγουμένως τοῖς λογικοδομοῦσιν, (γραμματικοῖς γὰρ τοῦτο οἰκεῖον,) ἀλλὰ περὶ τῶν νοουμένων προσεχῶς, ἅπερ οὐκ ἄντικρυς φαίην νοῦν ἔχων ἐπινοίας γεννήματα, εἰ μὴ καὶ πάντα τὰ ὄντα βούλοιτο ἐπινοίας ἀπλάσματα εἶναι, καὶ Θεὸν, καὶ ἄνθρωπον. ἀλλ' οὐδὲ τὰς ἐνεργείας τοῦ νοὸς, ἀποκυήματα ἐπινοίας εἶναι οὐδ' αὐτοί φασι. λείπεται δὴ περὶ μόνας τὰς σχέσεις εἶναι τὴν ἀμφισβήτησιν, ἃς φασι καὶ σημαίνεσθαι ὑπὸ τῶν τοιούτων φωνῶν, Γένος, φέρε εἰπεῖν, Εἶδος, Ὑποκειμένου, Κατηγορουμένου, περὶ ὧν ἡ Λογική. ἃς ὅτι μὴ ἀπὸ τῆς ἐπινοίας, ἀλλ' ἐξ οἰκείας φύσεως ἔχει τὰ πράγματα, οὐ πάνυ δυσχυέτον τοῖς μὴ παντάπασιν ἐρισικῶς πρὸς ἀλήθειαν ἔχουσιν. Ἐπὶ γὰρ προτάσεως ταύτης, φέρε εἰπεῖν, ἄνθρωπός ἐστι γελαστικός, ὁ μὲν ἄνθρωπος πρὸς τὸ γελαστικὸν τάξιν ἔχει ὑποκειμένου, καὶ τὸ γελαστικὸν πρὸς τὸν ἄνθρωπον κατηγορούμενον, οὐκ ἐν ᾗ ἡ ἐπίνοια αὐτοῖς ἐχαρίσατο, ἀλλ' ἐν ᾗ ἐξ οἰκείας ἔφυκε φύσεως. ὁ γὰρ ἄνθρωπος ἐπὶ τῶν πραγμάτων ὑποκείμενόν ἐστι τοῦ γελαστικοῦ, ὡς ἰδίου πάθους, ὥσπερ καὶ τὸ γελαστικὸν πράγματι ἐνυπάρχει τῷ ἀνθρώπῳ, καὶ κατηγορεῖται κατ' αὐτοῦ, οὐκ ἐξ ἐπινοίας, ἀλλὰ πραγματικῶς, ὡς ἐπὶ πάντα τὰ ἴδια πάθη, καὶ ἁπλῶς τὰ καθόλου κατηγορεῖται κατὰ τῶν πρώτων Οὐσιῶν. οὕτως ἐν τῷ περὶ Οὐσίας Κεφαλαίῳ διδάσκει ὁ Φιλόσοφος λέγων. τὰ δ' ἄλλα πάντα ἤτοι καθ' ὑποκειμένου λέγεται τῶν πρώτων Οὐσιῶν, ἢ ἐν ὑποκειμένῳ αὐταῖς ἐστί, καὶ ἐὰν ἄλλο βε-

λόμεθα λέγειν Υποκείμενον ἐν ταῖς προτάσεσιν, ἢ τὸ ἔχον βάσεως λόγον πρὸς ἕτερον, Κατηγορούμενον δὲ τὸ ἐν ἑτέρῳ ὑπάρχον. ταῦτα δὲ ἐπὶ τῶν πραγμάτων καθορᾶται, & ἐκ τῆς ἐπινοίας ἐστίν. ~~σημειωτέον δὲ,~~ ὅτι εἰμὶ οὕτως ἔχει ἐπὶ τῶν πραγμάτων, ψευδὴς ἔσται ὁ λόγος τοῦ Φιλοσόφου. ὥστε τῆς ἰδιότητος τῶν πραγμάτων ἐστὶ σημαντικὸν, τό, τε Υποκείμενον, καὶ Κατηγορούμενον. ἃ γὰρ ἀληθεύει ἢ ψεύδεται διὰ τὰ πράγματα, ταῦτα πραγμάτων εἰσὶ σημαντικά. Καὶ ἐπὶ τοῦ Συλλογισμοῦ δὲ ὁμοίως ἔχει, καὶ ἐπὶ τῶν λοιπῶν ἁπάντων. οὐδὲν γὰρ ἄλλο ἐστὶ Συλλογισμὸς, ἢ Προτάσεις ὡδὶ τεταγμέναι. τὸ δὲ τάξιν τοῦ μέσου ὅρου πρὸς τὰ ἄκρα, ἢ τῶν προτάσεων, καθ' ἣν ἡ μὲν μείζων λέγεται, ἡ δὲ ἐλάττων, οὐκ αὐ φασιν οὐδ' αὐτοὶ κατ' ἐπίνοιαν ὄν. τοῦ νοὸς γὰρ ἄυτη ἐστὶν ἔργον καταλλήλως τοῖς πράγμασι γινομένη. ὡς γὰρ ~~πάσχεται τὰ νοήματα~~, οὕτως ἀνάγκη καὶ ~~ἐπὶ τῶν πραγμάτων ἔχειν τὰς ἰδιότητας τούτων~~. εἰ γὰρ ἂν ἄλλως τεθεῖεν, οὐ Συλλογισμὸς, ἀλλὰ παραλογισμὸς ἂν εἴη, καὶ ὡς ἀληθῶς πλάσματα ἐπινοίας. οὐδὲ ἐκεῖνο λόγον ἔχει πρὸς ταῦτα εἰπεῖν, ὅτι ὁ Συλλογισμὸς, καὶ τὰ τοιαῦτα, οὐ διαμένει ἐν τοῖς οὖσι μετὰ τὴν ἐνέργειαν τοῦ νοός. οὐδὲ γὰρ ἡ ὄρχησις διαμένει μετὰ τὴν τοιάνδε κίνησιν τῶν ποδῶν, ἔτε ἡ κιθάρισις μετὰ τὴν κίνησιν τῶν χορδῶν, ἡ ᾠδὴ μετὰ τὰς φωνάς. ἀλλ' οὐδὲν ἧττον εἰσίτε καὶ λέγονται ἔργα Τεχνῶν, & ἐν ὑποσάσει τὸ εἶναι ἔχοντα, οὐ κατ' ἐπίνοιαν. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς Λογικῆς ἔχει. ἔργα μέν εἰσι τῆς Λογικῆς Μεθόδε Προτάσεις, Συλλογισμοὶ, καὶ τὰ τοιαῦτα, ἅπερ νῷ μόνῳ σωάπτειν ἐσίν. (ἔσι δ' ὅτε φωνῆς τε καὶ γράμμασι χρᾶται δι' ἑρμηνείας χρείαν, ἢ καὶ μνήμης διαμονὴν) παυσαμένης δὲ τῆς ἐνεργείας τῦ νοὸς, παύεται καὶ τοῦ εἶναι ~~τὴν~~ τοιάνδε συύταξιν. ὥσπερ παυσαμένης τῆς φωνῆς, παύεται & τὸ εἶναι ~~τὴν~~ τοιάνδε ἁρμονίαν, καὶ τὸ ἐν αὐτῇ μέλος, καὶ τὴν χορῦ διαλυθέντος, παύεται καὶ τὸ εἶναι ὁ τοιὸς δὲ χηματισμὸς τῶν ποδῶν. ἔσι τοιγαροῦν ~~ἀναμφισβήτητον~~ παρ' αὐτῆς τῆς ἐνεργείας τοῦ νοὸς ~~τὰ πράγματα~~, καὶ οὐκ ἐπινοίᾳ εἶναι. ἄλλως γὰρ ἦσαν ἂν πᾶσαι αἱ Ἐπιςῆμαι, καὶ Τέχναι κατ' ἐπίνοιαν ὄντα, καὶ ἁπλῶς πᾶσαι αἱ τῆς ψυχικῶν δυνάμεων ἐνέργειαι. ὅπερ οὐδὲ παιζόντων λέγειν ἐσὶ, πολλῷ γε καὶ δὴ φιλοσοφούντων.

Εἶτα πῶς οὗτοι οὐκ ἀσύγκλωτα πλέκουσι (τὸ τοῦ λόγου) Προτάσεις, Συλλογισμοὺς, καὶ τὰ τοιαῦτα κατ' ἐπίνοιαν εἶναι λέγοντες, εἴγε ταῦτα ἀναγκαίως προϋπάρχουσιν οὗ φασι κατ' ἐπίνοιαν ὄντος; ἀνάγκη γὰρ εἶναι τὴν Πρότασιν τεταγμένην, καὶ τὸν Συλλογισμὸν, καὶ ὅσ' ἄλλα τοιαῦτα ἐπὶ τοῦ νοὸς, ἢ καὶ ἐπὶ τῶν φωνῶν, καὶ γραμμάτων. ἵνα τοῦ νοὸς ἀναπολή-

σαντος

σαντος περὶ αὐτὰ, τὸ πολυάχολον αὐτοῖς τοῦτ' ἀναγνῶσεται πλάσμα, τίνα οὖν λόγον ἔχει τὸ μήπω ὂν, καὶ οὐδ' ὅλως ὂν, ἀλλὰ σκιὰ ὂν τοῦ πράγματος (εἴγε καὶ δοίημι ἔπεσθαι,) αἰτίαν τοῦ εἶναι λέγειν πραγμάτων, ἐπὶ τοσούτῳ ὑπαρχόντων αὐτοῦ; ἐμοὶ δοκεῖ οὐδ' ὅλως ἀναπλάσαι τὰ τοιαῦτα ἐνδέχεται. παρὰ γὰρ τὰς εἰρημένας ἕξεις ἐπὶ Προτάσεων, Συλλογισμῶν, καὶ τῶν τοιούτων, ἃς ἰδιότητας εἶναι τῶν νοουμένων φύσεων εἴρηται, οὐδὲν ἕτερον οὐδὲ νοῆσαι δυνατόν. τὰ γὰρ νοούμενα, καὶ αἱ νοήσεις ἀναντιῤῥήπτως εἰσὶ πράγματα.

Ἀλλὰ καὶ ἐκεῖνο μόνον ἂν ἱκανὸν εἰπεῖν εἰς ἔνδειξιν τοῦ προκειμένου, ὅτι Προτάσεις, Συλλογισμοὶ, καὶ Ἀποδείξεις ἢ τοιαῦτα, ἀποτελέσματά εἰσιν, ἐς ἃ ἀμέσως, καὶ καθ' αὑτὸ ἡ ἐνέργεια τοῦ νοὸς ἀποτελευτᾷ. εἰς δὲ τὰς ἕξεις οὐδεμία ἐνέργεια τοῦ νοὸς, ἢ κίνησις ἐνδέχεται γενέσθαι ἀμέσως καὶ καθ' αὑτὸ, ὡς καὶ ἐν τῷ ε. τῶν Φυσικῶν ὁ Φιλόσοφος παραδίδωσι. πῶς οὖν ἕξιν εἶναι ἐνδέχεται Συλλογισμὸν, καὶ Ἀπόδειξιν, καὶ ταῦτα ἐπιστήμας; εἰ δὲ δοίημι τῇ σωθέσει ἑπομένως τούτων ἀναφαίνεσθαι ἕξεις τινὰς κατ' ἐπίνοιαν, ὡς αὐτοί φασιν, οὐδεὶς περὶ τούτων ἔσται λόγος τοῖς λογικιζομένοις, ὡς οὐδὲ τῷ Οἰκοδόμῳ, φέρε εἰπεῖν, λόγος γίνεται τῆς κατὰ λευκότητα ὁμοιότητος, ἥτις ἀναφαίνεται ὑπὸ τῆς λευκάνσεως τοῦ Οἴκου, ὃν οἰκοδομεῖ πρὸς ἕτερον ὁμοίως ἔχοντα.

Παρὰ ταῦτα, ἡ ἀπόδειξις καθὸ ἀπόδειξις ὄργανον ἐστὶν ἀμέσως παρεκτικὸν Ἐπιστήμης. τὸ κατ' ἐπίνοιαν ὂν οὐ δύναται ὄργανον εἶναι ἀμέσως παρεκτικὸν ἐπιστήμης. ἄρα ἡ ἀπόδειξις καθὸ ἀπόδειξις οὐκ ἔστι κατ' ἐπίνοιαν ὄν. ἡ μείζων ὁμολογεῖται παρὰ πᾶσιν. ὅτι δηλαδὴ ἡ ἀπόδειξις ἐστὶν ὄργανον παρεκτικὸν ἀμέσως Ἐπιστήμης. ἀλλ' οὐδ' ἡ ἐλάττων ἀμφισβητεῖται, ὅτι τὸ κατ' ἐπίνοιαν ὂν οὐ δύναται εἶναι παρεκτικὸν ἐπιστήμης, εἰ μὴ παρὰ τοῖς προσάταις τῆς ἐκτεθείσης δόξης. ἀλλὰ καὶ δείκνυται. Τὸ μὴ δηλωτικὸν ἀμέσως τῆς φύσεως τῶν ὄντων, οὐ δύναται παραγαγεῖν Ἐπιστήμην, τὸ κατ' ἐπίνοιαν ὂν ἐστὶ μὴ δηλωτικὸν ἀμέσως τῆς τῶν ὄντων φύσεως, ἄρα τὸ κατ' ἐπίνοιαν ὂν οὐ παράγει Ἐπιστήμην. ἡ ἐλάττων ὁμολογεῖται καὶ παρ' αὐτοῖς. ἡ μείζων προδήλως τοῖς γνησίως φιλοσοφοῦσιν, ἀλλὰ καὶ δείκνυται. τὸ παράγον Ἐπιστήμην, ὡς ὄργανον παρίστησι τὴν γνῶσιν τῆς φύσεως τῶν ὄντων. τὸ μὴ δηλωτικὸν τῆς φύσεως τῶν ὄντων οὐ παρίστησι τὴν γνῶσιν τῆς φύσεως τούτων. ἄρα τὸ μὴ δηλωτικὸν τῆς φύσεως τῶν ὄντων οὐ παράγει Ἐπιστήμην. σωλόγεται ἄρα διὰ τούτων, ὅτι ἡ ἀπόδειξις καθὸ ἀπόδειξις, οὐκ ἔστι κατ' ἐπίνοιαν ὄν. εἰ δὲ μὴ καθὸ ἀπόδειξις οὐκ ἔστι κατ' ἐπίνοιαν ὄν, πῶς ἂν ἄλλως εἴη τοῦτο εἰπεῖν κατ' ἐπίνοιαν ὄν;

Ἀπὸ-

Ἀπάντησις πρὸς τὰ ἐπιχειρήματα τῆς ἀνωτέρω δόξης.

Ἀνασκευάσαντες μέχρι τοῦδε τὸ περὶ τοῦ κατ' ἐπίνοιαν ὄντος δόγμα, ἑπόμενόν ἐστι καὶ οἷς ἐχρῆτο ἐπιλύσασθαι λόγους. πρὸς οὖν τὸ παρὰ Ἀριστοτέλους ἐν τῷ πρώτῳ τῆς περὶ Ψυχῆς, ῥητέον. ὅτι τὸ μηδὲν εἶναι τὰ καθόλου, περὶ τῆς κατὰ Πλάτωνα ἰδεῶν ἐννοεῖται τῷ Φιλοσόφῳ. ἐκεῖνος γὰρ ἔφασκε τὰ καθόλου πρὸ τῆς πολλῶν εἶναι τῷ δημιουργικῷ νῷ, ἅπερ Ἰδέας ὠνόμαζε, καθ' ἃς ὁ δημιουργικὸς νοῦς τὰ ὄντα παράγει. ὁ δὲ Ἀριστοτέλης τοῦτο βουλόμενος αἱρέσαι, τὸ καθόλου μηδὲν εἶναι εἴρηκε, τουτέστι μὴ εἶναι πρὸ τῆς πολλῶν. τὸ δὲ ὑστερογενὲς εἶναι τὸ καθόλου, οὐκ ἔστι διὰ τοῦτο κατ' ἐπίνοιαν ὄν, ἀλλὰ διὰ τὸ συνάγεσθαι ἐκ τῆς πολλῶν, ὅπερ ὑπάρχον ἐν τοῖς πολλοῖς πραγματικῶς, ὅπερ ἐστὶν ἡ φύσις τῆς καθόλου, ἔδοξέ τινα ὡς ὕστερον τῆς πολλῶν γνωριζόμενον, διὰ τοῦτο ὑστερογενὲς τοῦτο ἔφησεν. εἰ γὰρ τοῦτο κατ' ἐπίνοιαν εἴη ὄν, ἦσαν ἂν πᾶσαι αἱ τούτων φύσεις κατ' ἐπίνοιαν ὄντα, περὶ ἃ οὐ μόνον Λογική, ἀλλὰ καὶ πᾶσα Ἐπιστήμη τὴν θεωρίαν ποιεῖται. ἀλλὰ τοῦτο ἄτοπον, ἄτοπον ἄρα καὶ τὸ καθόλου διὰ τὸ ὑστερογενὲς λέγεσθαι, κατ' ἐπίνοιαν εἶναι νομίζειν.

Πρὸς δὲ τὸ δεύτερον, τὸ λέγον ὅτι Προτάσεις καὶ Συλλογισμοί εἰσιν ὑποκείμενον τῆς Λογικῆς, ἅπερ εἰσὶ κατ' ἐπίνοιαν ὄντα, δέδεικται ἱκανῶς, ὅτι οὔτε προτάσεις, οὔτε συλλογισμοί, οὔτε τὰ λοιπὰ εἰσὶ κατ' ἐπίνοιαν ὄντα. διὸ καὶ δέον πρὸς τοῦτο περιττολογεῖν.

Τοῦ δὲ τρίτου ἐπιχειρήματος ἀναιρετέον τὴν μείζονα τὴν λέγουσαν, ὅτι αἱ μορφαὶ, ἤτοι οἱ σχηματισμοὶ προτάσεων καὶ τῆς λοιπῶν, εἰσὶν ὑποκείμενα τῆς Λογικῆς. τῆς δείξεως δὲ ταύτης τῆς ἐλάττονος, ἀναιρετέον ὃ φησὶ τὸ εἶδος τῆς Τέχνης ἐστὶν ὑποκείμενον τῆς Τέχνης, καὶ οὕτω περιαιρεθήσεται ἡ συσκίασις τῆς ἀληθείας. ἐφεξῆς δὲ τὴν θέσιν τῆς ἀληθείας ἐκθετέον.

Ἔκθεσις τῆς ἀληθείας.

Ὕλη τῆς Λογικῆς μεθόδου κοινότερον μὲν ἐκλαμβάνουσιν, εἰσὶν αἱ τῆς ὄντων διὰ τῆς νοημάτων σημαντικαὶ φωναὶ, ἰδιαίτερον δὲ ἐννοοῦσι καὶ ἀληθέστερον, εἰσὶ τὰ παθήματα τῆς διανοητικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς, καθὸ εἰς κατασκευὴν ἀποδείξεως καὶ ὅλως συλλογισμοῦ ἐπιτηδείως ἔχει. ἄμφω δὲ ταυτὶ ὁ Φιλόσοφος ἐν ἀρχῇ τῶν περὶ Ἑρμηνείας Βι-

βλίων

βλίε, οὐ μόνον ὑπέθετο ἀπαειθμήσας, ἀλλὰ καὶ τὸν τρόπον ἐδίδαξε καθ' ὃν ἑκάτερα θεωρεῖται, εἰπὼν οὑτωσί.

„ Ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ τῆς ἐν τῇ ψυχῇ παθημάτων σύμβολα,
„ καὶ τὰ γραφόμενα τῆς ἐν τῇ φωνῇ. καὶ ὥσπερ οὐδὲ γράμματα πᾶσι τὰ
„ αὐτά, οὕτως οὐδὲ φωναὶ αἱ αὐταί. ὧν μέν τοι ταῦτα σημεῖα πρώτως,
„ ταυτὰ πᾶσι παθήματα τῆς ψυχῆς. καὶ ὧν ταῦτα ὁμοιώματα, πράγ-
„ ματα ἤδη ταυτά. ἀλλ' οἱ οἰκείων προσλήψεων μὲν ἀπεὶξ ἀντεχόμενοι,
τῆς δ' ἀληθείας μικρὰ φροντίζοντες, ἢ οὐχ ὁρῶσι τὸ παράπαν, (οὐδὲν
γὰρ τῇ ἀναγνώσει τῆς Ἀριστοτελικῆς λέξεως προσέχειν ἀξιοῦσιν) ἢ καὶ ὁρῶ-
σι μὲν, ἀλλὰ παρορῶσι τὰ οἰκεῖα προσβάλοντες.

Σκέψις τῆς ἐκτεθείσης λέξεως.

Τέτταρα ταῦτα ἐπὶ τῇ προκειμένῃ λέξει ὑπέθετο ὁ Φιλόσοφος τέξει τινὶ ἀλλήλων ἐχόμενα, Πράγματα, Νοήματα, Φωνὰς, καὶ Γράμματα. ἐν οἷς βάσεως τόπον ἔχοντα τὰ πράγματα, ἐπιγίνεται δὲ τούτοις τὰ νοήματα, καὶ εἰσὶ τὰ νοήματα οἷον εἰκόνες τῶν πραγμάτων, καὶ ὁμοιότητες. ὧν εἰς ἐξαγγελσιν χρώμεθα ταῖς φωναῖς. αὗται δὲ αἱ φωναὶ οὐκ ἔτι εἰσὶν ὁμοιότητες τῶν νοημάτων, ἀλλὰ σύμβολα μόνον, ὥσπερ καὶ τὰ γράμματα σύμβολα τῶν φωνῶν, οἷς αὖτας οἷον ὑποτυπούμεθα εἰς μνήμης διαμονὴν. τούτων τοιγαροῦν τῶν τεττάρων, τὰ μὲν δύο πρῶτα τὰ Πράγματα δηλονότι, καὶ τὰ Νοήματα, φύσει ἐσίν. ὅθεν καὶ παρὰ πᾶσιν ἑτερογλώττοις τε καὶ ἀλλοέθνοις ἀπαραλάκτως εἰσὶ ταυτὰ, τὰ λοιπὰ δὲ δύο αἱ Φωναὶ, καὶ τὰ Γράμματα κατὰ συνθήκην ἡμετέραν τινὰ σημασίαν ἐδέξαντο. τούτων δὴ τῶν τεττάρων ἅπτεται ἡ Λογικὴ θεωρία, ἀλλ' οὐχ ὁμοίως πάντων. ἀλλὰ τῶν μὲν Γραμμάτων, πάνυ μικρᾶς, καὶ ἀκροθιγῶς, ἐφ' ὅσον καθ' καὶ αἱ Ἐπιστῆμαι. ταῖς δὲ φωναῖς κέχρηται παντα χοῦ. οὐ γὰρ ἄλλως ἔχει τὰ τῆς ψυχῆς ἐξαγγέλειν παθήματα, ἀλλ' ἢ διὰ τῶν Φωνῶν, οὐ μέντοι προηγουμένως περὶ τούτων ποιεῖται τὴν θεωρίαν, ἀλλ' ἢ μόνον ἐξαγγελτικαὶ τυγχάνουσι τῶν νοημάτων. κυρίως δὲ καὶ πρώτως ἡ Λογικὴ περὶ τὰ παθήματα τῆς διανοητικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς, ὡς περὶ οἰκείαν ὕλην καταγίνεται, τάττουσα καὶ συναρμόττουσα ταῦτα καταλλήλως τοῖς νοουμένοις, εἰς ἀποδείξεως καὶ ὅλως συλλογισμοῦ σύνθεσιν.

Ἔστιν οὖν ἕνα τρόπον ὕλην τῆς Λογικῆς λέγειν τὰς σημαντικὰς φωνὰς τῶν πραγμάτων διὰ τῶν νοημάτων, καθ' εἰς ἀποδείξεως καὶ συλλογισμὸν συμβάλλονται κατασκευὴν, κοινότερον μέντοι ὡς εἴρηται ἐννοουμένης τῆς

ὕλης.

ὕλης. οὕτως ἐξέλαβεν Ἀμμώνιος ἐν ἀρχῇ τῆς Κατηγοριῶν τὰς σημαντικὰς τῆς ὄντων φωνὰς, διὰ τῆς νοημάτων ὕλην ὑποθέμενος τῆς Λογικῆς μεθόδου. οὕτως ἐννόησε Πορφύριος, ἐπιγραψάμενος τὴν εἰσαγωγὴν περὶ τῆς πέντε Φωνῶν, καὶ ὅσοι ἄλλοι τῆς πάλαι ἐλλιμῶν περὶ τούτου μνείαν πεποιήκεισαν, συμφώνως τούτοις φθεγγόμενοι φαίνονται. ἀλλὰ καὶ ὁ Φιλόσοφος ἐπιβεβαιοῖ τὰ αὐτὰ, ἐν οἷς ὡς ὕλην τοῦ περὶ Ἑρμηνείας βιβλίου οὐδὲν ἧττον, καὶ πάσης τῆς μεθόδου ὑποθετέον διδάσκει τὰς σημαντικὰς φωνὰς λέγων. πρῶτον δεῖ θέσθαι τί ἐστιν Ὄνομα, ἢ τί Ῥῆμα, καὶ Ἀπόφασις, καὶ Κατάφασις, καὶ Ἀπόφανσις, καὶ Λόγος. ἀλλὰ καὶ ὁρίζόμενος πάντα τὰ κατὰ λογικὴν, Προτάσεις, Ὁρισμοὺς, Συλλογισμοὺς, καὶ Ἀποδείξεις, φωνὰς πάντα καλεῖ, καὶ διὰ τῆς φωνῶν ὁρίζεται. ὄνομα ἐστὶ φωνὴ σημαντικὴ, καὶ λόγος φωνὴ σημαντικὴ λέγων, καὶ τὰ λοιπά.

Εἰ οὖν τοῦτο ἐστὶ γένος ἐπιστητὸν ἐπὶ τῆς Ἐπιστήμης δι' οὗ ὁρίζεται τὰ κατὰ τὴν Ἐπιστήμην, καὶ ὕλη τεχνητὴ ἐπὶ τῆς Τεχνῶν, δι' ἧς ὁρίζεται τὰ κατὰ τὴν Τέχνην, ὡς ὅτε διὰ τοῦ φυσικοῦ μορίου, ὁριζόμεθα πάντα τὰ σώματα τὰ ὄντα ὑποκείμενον τῆς φυσικῆς, δῆλον ὅτι αἱ φωναὶ ὕλη εἰσὶ τῆς Λογικῆς μεθόδου, δι' ὧν ὁρίζεται τὸ κατ' αὐτήν. Πρόδηλος δ' ὅτι καὶ κατηγορεῖται αἱ φωναὶ κατὰ πάντων περὶ ὧν ἡ Λογική. ὑποκείμενον δὲ Ἐπιστήμης, ἢ Τέχνης ἐστὶ, τὸ κατηγορούμενον ὡς καθόλου κατὰ πάντων περὶ ὧν ἡ Ἐπιστήμη, ἢ ἡ Τέχνη. ὡς ὅτε λέγομεν. τὸ φύσιν ἔχον κατηγορεῖται κατὰ πάντων τῶν σωμάτων περὶ ὧν ἡ Φυσική. ἆρα τὸ φύσιν ἔχον ὑποκείμενον ἐστὶ τῆς Φυσικῆς. ὥστε καὶ οὕτως αἱ φωναὶ ἔσονται ὕλη τῆς Λογικῆς κατηγορούμεναι κατὰ πάντων περὶ ὧν ἡ Λογική.

Τίς προηγουμένως Ὕλη τῆς Λογικῆς.

Ὅτι δὲ κατὰ πρῶτον σκοπὸν ἡ Λογικὴ περὶ τὰ πάθήματα καταγίνεται τῆς διανοητικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς, καὶ οὐ λόγω περὶ τὸν ἐννοηματικὸν λόγον, ἐδήλωσεν ὁ Φιλόσοφος ἐπὶ τῶν αὐτῶν προοιμίων. ἀπαριθμησάμενος γὰρ τὰς φωνὰς, ἃς ὡς ὕλην τῆς μεθόδου ἐδίδασκε προϋποθετέας, ἵνα δείξῃ μὴ καθ' αὑτὰς θεωρεῖσθαι παρὰ τοῖς λογικοῖς μύοις, διορίζει τὸν τρόπον τῆς θεωρίας αὐτῆς ἐχομένως, ἐπάγων. Ἔστι δὲ τὰ ἐν τῇ φωνῇ τῆς ἐν τῇ ψυχῇ παθημάτων σύμβολα. ὡσαύτως ἔλεγεν, ὡς συμβόλοις τῆς ἐν τῇ ψυχῇ παθημάτων χρηστέον τοῖς φωναῖς, τὰ δὲ παθήματα τῆς ψυχῆς καθ' ἑαυτὰ ὑποθετέον ὡς ὕλην.

Δείξις

Δεῖξις ὅτι τὰ νοήματα τῆς ψυχῆς εἰσὶν ὑποκείμενον κυρίως τῆς Λογικῆς, καὶ οὐχ αἱ Φωναί.

Ἔστι τοῦτο δεικνύειν διὰ πολλῶν, ἡμῖν δὲ ἀποχρήσει ξία, ἢ τέτταρα ἐπιχειρήματα εἰς πίστωσιν τοῦ λεγομένων. καὶ πρῶτον μὲν ὅτι τὰ νοήματα, ἀλλ' οὐχὶ αἱ φωναὶ ὕλη τῆς Λογικῆς προηγουμένως εἰσὶ, δείκνυται τῇδε τῷ τρόπῳ. Ἐκεῖνο προηγουμένως θεωρεῖται ὑπὸ τῆς Μεθόδου, καθ' ὃ τὰ ἄλλα διορίζεται, καὶ παραλαμβάνεται εἰς τὴν Μέθοδον. ἀλλὰ τὰ παθήματα τοῦ διανοητικῶν δυνάμεων εἰσὶ, καθ' ἃ διορίζονται αἱ φωναὶ, καὶ παραλαμβάνονται εἰς τὴν Μέθοδον τῆς Λογικῆς. ἄρα τὰ παθήματα τοῦ διανοητικῶν δυνάμεων προηγουμένως θεωρεῖται ἐπὶ τῆς Λογικῆς Μεθόδου. Ἡ μείζων ἀναμφισβήτητος, ἡ ἐλάττων πρόδηλος τοῖς καὶ μικρὸν ἐπιστήσασι. Δείκνυται καὶ ἀπὸ τοῦ Φιλοσόφου παντὸς τῆς Μεθόδου, καὶ ἐν τῷ Προοιμίῳ τῶ περὶ Ἑρμηνείας βιβλίου, ἔνθα διορίζεται τὰς ἁπλᾶς τοῦ φωνῶν, ἢ σωθέντος, ἀληθειαν ἢ ψεῦδος δηλοῦν ἀπὸ τοῦ ἐν τῇ ψυχῇ νοημάτων, λέγοντος. Ἔστι δ' ὥσπερ ἐν τῇ ψυχῇ, ὅτε μὲν νόημα ἄνευ τοῦ ἀληθεύειν, ἢ ψεύδεσθαι, ὅτε δὲ, ἤδη ᾧ ἀνάγκη τάτων ὑπάρχειν θάτερον, οὕτω καὶ ἐν τῇ φωνῇ. ὥστε δῆλον τὸ ἐν τῇ φωνῇ ψεῦδος, ἢ ἀληθὲς ἀπὸ τοῦ νοημάτων εἶναι.

Ὅτι δὲ οὐκ ἀναγκαῖον ἐστὶ τὰς φωνὰς ὕλην ὑποθέσθαι τῆς Λογικῆς, ἀλλ' ἢ μόνον ὡς σημαντικὰς, δείκνυται οὕτως. ὑποκείμενον ἐστὶ τὸ αὐτὸ, ἔνθα μέθοδος ἐστὶν ἡ αὐτή. αἱ φωναὶ οὐκ εἰσὶν αἱ αὐταὶ, ἔνθα ἡ αὐτὴ μέθοδος ἐστίν. αἱ φωναὶ ἄρα οὐκ εἰσὶν ὑποκείμενον τῆς Λογικῆς μεθόδου. Ἡ μείζων ἀναντίῤῥητος, ἡ ἐλάττων δείκνυται. Ἡ Λογικὴ μέθοδος ἐστὶν ἡ αὐτὴ παρὰ τοῖς ἑτερογλώττοις, αἱ φωναὶ οὐκ εἰσὶν αἱ αὐταὶ παρὰ τοῖς ἑτερογλώττοις. ἄρα αἱ φωναὶ οὐκ εἰσὶν αἱ αὐταὶ ἔνθα ἡ Λογικὴ μέθοδος ἐστὶν ἡ αὐτή. Εἰ μὴ ἡ Λογικὴ μέθοδος ἦν ἡ αὐτὴ παρὰ πᾶσιν, οὐδὲ Φιλοσοφία ἡ αὐτὴ εἶη ἂν παρὰ πᾶσιν, εἴγε ξόπος Ἐπιστήμης ἐστὶν ἡ Λογικὴ μέθοδος κατὰ τὸν Φιλόσοφον ἐν τῷ δευτέρῳ τοῦ Μεταφυσικῶν. Ἔνθα δ' ἕτερος ὁ ξόπος τῶ ἐπίσασθαι, καὶ ἡ Ἐπιστήμη ἑτέρα. καὶ οὕτως οὐδεμία μέθοδος δυνάται εἶναι, καὶ ἐνεργεῖν ἄνευ τῆς οἰκείας ὕλης. ἀλλὰ ἡ Λογικὴ μέθοδος δυνάται εἶναι, καὶ ἐνεργεῖν ἄνευ τοῦ φωνῶν περὶ μόνα τὰ νοήματα. ἄρα τὰ νοήματα καὶ οὐχ αἱ φωναὶ εἰσὶν ὕλη τῆς Λογικῆς. ἡ ἐλάττων πρόδηλος, καὶ ἡ μείζων ὁμοίως, ἀλλὰ καὶ δείκνυται. τοῦ σχετικῶν ἀδυνατον εἶναι, καὶ ἐνεργεῖν θάτερον παρὰ θάτερον. ἡ Μέθοδος καὶ τὸ αὐτῆς ὑποκείμε-

κείμενον εἰσὶ σχετικά. ἆρα ἀδύνατον τὴν μέθοδον καὶ τὸ αὐτῆς ὑποκείμενον εἶναι καὶ ἐνεργεῖν θάτερον παρὰ θάτερον.

Καὶ τί δεῖ τῆς πολλῶν; τοῦτο αὐτὸ ὁ Φιλόσοφος ἀεδήλως διδάσκει ἐν τῷ δεκάτῳ κεφαλαίῳ τῶ πρώτῳ τῆς ὑστέρων Ἀναλυτικῶν, ἔνθα φησίν. „ οὐ γὰρ πρὸς τὸν ἔξω λόγον ἡ ἀπόδειξις, ἀλλὰ πρὸς τὸν ἐν τῇ ψυχῇ, „ ἐπεὶ οὐδὲ συλλογισμός. ὁ ἐν τῇ ψυχῇ ἄρα λόγος, τουτέστιν ὁ ἐννοηματικὸς, ἐστὶν ὕλη ὑποκειμένη τῆς Μεθόδου, πρὸς ὃν, καὶ καθ' ὃν ἐνεργεῖ τὰ κατ' αὐτήν.

Διαφωνίαι Παλαιῶν.

Φέρεται δὲ καὶ παρ' Ἀμμωνίῳ ὅτι διαφόρως οἱ Παλαιοὶ τὴν ὕλην τῆς Λογικῆς ὑποτίθεσθαι ἐγνώκασι. καὶ ἄλλοι μὲν περὶ φωνὰς μόνον ταύτην καταγίνεσθαι εἰρήκασι, πλανηθέντες ἐκ τῆς ῥηθέντων ὑπ' Ἀριστοτέ- „ λους. Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ δὲ ἄνευ συμ- „ πλοκῆς. Εἰ δὲ τὰ λεγόμενα φωναί, δῆλον ὅτι περὶ φωνὰς καταγίνεται ἡ Λογική. Ἕτεροι δὲ περὶ μόνα τὰ πράγματα τὴν Λογικὴν καταγίνεσθαι ᾠήθησαν, καὶ οὗτοι ἀπὸ τῆς λεγομένων τῷ Ἀριστοτέλει λαβόντες ἔννοιαν „ λέγοντι. Τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου λέγεται. εἰ δὲ τὰ ὄντα φασὶ πράγματά εἰσι, περὶ πράγματα ἄρα ἡ Λογική. Τινὲς δὲ περὶ τὰ νοήματα μόνον καταγίνεσθαι ἐνόμισαν, λέγοντες. ὅτι ἡ Λογικὴ περὶ τὰ καθόλου καταγίνεται, τὰ δὲ καθόλου θεωροῦνται ἐν τοῖς πολλοῖς, καὶ εἰσὶν ὑστερογενῆ. τὰ δὲ ὑστερογενῆ ἐν τῇ ἡμετέρᾳ διανοίᾳ τὸ εἶναι ἔχει, ἅπερ εἰσὶ τὰ γένη, καὶ τὰ εἴδη, καὶ τὰ λοιπὰ περὶ ἃ ἡ Λογική. ταῦτα δὲ ὅτι εἰσὶν ὑστερογενῆ, καὶ ἐννοηματικὰ, δῆλον ἐστὶ, παντοχοῦ οὕτω τοῦ Ἀριστοτέλους ἀποκαλοῦντος. οἱ δὲ ἀκριβέστερον λέγοντες, καὶ ἐξετασικώτερον ἐρευνῶντες φασὶν, ὡς ὅτε περὶ τὰ νοήματα μόνα καταγίνεται, ὅτε περὶ φωνὰς μόνας, ὅτε περὶ πράγματα μόνα, ἀλλὰ περὶ φωνὰς σημαινούσας πράγματα διὰ μέσων νοημάτων.

Λύσις τῆς Δόξης.

Ὅτι δὲ οὐ καλῶς οὗτοι διωρίσαντο περὶ τούτων, μάθοιμεν ἂν τὸν τρόπον. φωνὴ μὲν γὰρ τὰς λέγοντας περὶ τὰ πράγματα μόνα καταγίνεσθαι, οὕτω ῥητέον. τῶν πραγμάτων τὰ μὲν ἐν ψιλῇ διανοίᾳ κεῖται, ὡς τραγέλαφος. τὰ δὲ ὑφεστῶτα, ὡς ἄνθρωπος, φυτόν. περὶ ποῖα τούτων ἡ

Λογι-

Λογικὴ καταγίνεται; φαῖεν ἂν περὶ τὰ ὑφεστῶτα; πότερον ἄρα ἔννοιαν τῶν λαβεῖν ἀναγκαῖον, εἶθ' οὕτως διὰ φωνῶν δηλωθῆναι, ἢ οὔ; συμφήσουσι πάντως. ἀδύνατον γὰρ πράγματα σημανθῆναι ὑπὸ φωνῶν, μὴ μεσολαβοῦντος νοήματος. ὥστε τὰ πράγματα ἐννοούμενα διὰ τῆς φωνῆς σημαίνονται. αὐτὰ ταῦτα ῥητέον καὶ πρὸς τοὺς λοιποὺς, καὶ οὐ δεῖ περὶ τούτων μακρολογεῖν.

Θέσις τῆς ἀληθείας.

Τρόπον τινὰ τοιγαροῦν τά τε πράγματα, καὶ τὰ νοήματα, καὶ αἱ φωναὶ ὑπὸ τῆς Λογικῆς θεωροῦνται ὡς ταύτης οἰκεία ὕλη, οὐχ ὁμοίως δὲ, ἀλλ' ἐφ' ὅσον ἕκαστον τούτων κατὰ τὸν οἰκεῖον ὑποδεισίτπα συμβάλλεται ἐν ὑποκειμένου λόγῳ. τὰ μὲν γὰρ πράγματα (ἅπερ βάσεως λόγον ἔχει) θεωρεῖται ἢ συλλαμβάνεται τῷ νῷ, καὶ δηλοῦται διὰ φωνῶν. τὰ δὲ νοήματα, (ἅπερ ἐπιγίνεται τοῖς πράγμασι) θεωρεῖται ὡς παρασατικὰ τῶν πραγμάτων, καὶ εἰκόνες, ἢ ὁμοιότητες αὐτῶν. αἱ δὲ φωναὶ ὡς δηλωτικαὶ τῶν πραγμάτων διὰ μέσων τῶν νοημάτων, σύμβολα οὖσαι τῶν νοημάτων προσεχῶς, διὰ δὲ τῶν νοημάτων δηλωτικαὶ τῶν πραγμάτων. Ἔστι δὲ ἡ διδασκαλία τοῦ Φιλοσόφου σύντε τῷ προοιμίῳ τοῦ περὶ Ἑρμηνείας, καὶ ἀποράδην ἐπὶ τῆς Λογικῆς πραγματείας. τὰ δὲ χεάμματα ἐνίοτε παραλαμβάνεται τοῖς λοιποῖς ξισὶν, ὁπότε δέον τὰς φωνὰς ταμιεύθῆναι εἰς μνήμης διαμονήν.

Μέχει τοῦδε ἱκανῶς ἐρευνήσαντες περὶ τῆς κατὰ Λογικὴν ὕλης, καὶ τὰς τῶν ἑτεροδοξούντων γνώμας εἰ ὅλως ἀληθείας ἔχονται ἀνακρίναντες, ὑποδέδεικται προφανῶς ὅτι πᾶσαι αἱ λοιπαὶ δόξαι (πλὴν τῆς ὑποθεμένης τὰ νοήματα διὰ τῶν φωνῶν σημαντικὰ τῶν πραγμάτων, ὕλην τῆς Λογικῆς εἶναι) ψεύδονται, καὶ ἑκάστη τούτων τὴν προσήκουσαν ἀναξόπλην ἐν ἰδίοις τόποις προσέλαβεν. ἐπόμενον ἄρα ἐστὶ καὶ περὶ τοῦ τέλους διορίσασθαι, ἵνα τὸ, τε προσεχὲς Γένος, καὶ ἡ Διαφορὰ δικαίως θηρασθεῖεν; περὶ ὧν τὰ τοσαῦτα κατηναλώσαμεν.

Περὶ Τέλους, καὶ ποῖον ἐστὶ τὸ τῆς Λογικῆς τέλος.

Τέλος φασὶ τῶν πολλαχῶς ἐστὶ λεγομένων, διὸ καὶ πολλαχῶς διαιρεῖσθαι πέφυκεν. ἔστι δὲ ἕκαστον τι ἀναφερόμενον πρὸς τὴν ἀρχήν.

τοῦτον τοίνυν τὸν τρόπον τὸ Τέλος ἐκλαμβανόμενον, τὸ πέρας ἐκεῖνο σημαίνει, ὅπερ τῇ ἀρχῇ ὁποιουῦν πράγματος ὑπερ ἐστὶ Τέλος ἀντιδιαιρεῖται, καὶ ἀντίκειται. ὅθεν ὁσαχῶς ἡ ἀρχὴ, τοσαυταχῶς καὶ τὸ Τέλος νοηθῆναι δυνάται. οἷον τέλος ζωῆς, τέλος πράξεως, τέλος λόγου, καὶ ἄλλων μυρίων. κυρίως δὲ Τέλος λέγεται οὗ χάριν τι γίνεται, ὅ πρῶτον ἐστὶν ἐν τῇ τοῦ ποιοῦντος, ἢ πράττοντος θεωρίᾳ, καὶ ὕστερον ἐν τῇ ἐκβάσει, λόγον ἀεὶ τε ἀγαθὸν ἐπέχον, ὡς ἐν τῷ δευτέρῳ τῆς Φυσικῶν φέρεται. ἔστι μία τῆς πολυθρυλλήτων ἐκείνων αἰτιῶν, καὶ μάλιστα ἡ κυριωτέρα. τοῦτο δὴ τὸ Τέλος διχῶς ὁ Φιλόσοφος ἐν τῷ δευτέρῳ τῆς περὶ Ψυχῆς διείλεν. ὧν τὸ μὲν, τέλος ἔ, προσηγόρευσε, τὸ δὲ, τέλος ᾧ. ἔστι Τέλος μὲν, ὅπερ ἀμέσως ἡ Γένεσις, ἢ ἡ Τέχνη σχολάζεται, καὶ οὗ ἕνεκα ἡ ἐργασία, καὶ κίνησις γίνεται· ὡς ἐν τῇ Οἰκοδομικῇ τὸ σχῆμα τῆς Οἰκίας, οὗ ἕνεκα ἡ ἐργασία γίνεται. Τέλος δὲ ᾧ, δι' ὃ τὸ οὗ τέλος ζητεῖται, καὶ γίνεται. φέρε εἰπεῖν, ἡ Οἰκία, ἥτις οὗ τέλος ἐλέγετο, διὰ τὸν οἰκήσοντα ἐγίνετο, καὶ τὸ σχῆμα ἐκείνης δι' ἐκεῖνον ἡτοιμάζετο. ὥστε ὁ κατοικήσων ἐστὶ τὸ ᾧ τέλος, δι' ὃ τὸ οὗ ἐγένετο.

Ἀμφότερα ταῦτα ἐπὶ τῆς Λογικῆς θεωρεῖται. Τέλος γὰρ οὗ ἐστὶν ἐπὶ τῆς Λογικῆς ὁ καθόλου Συλλογισμὸς, οὗ ἕνεκα τ' ἄλλα ἡ Λογικὴ προδιοικεῖ. ᾧ δὲ Τέλος ἐστὶν ἡ ἀπόδειξις, δι' ἣν ὁ ἐν γένει Συλλογισμὸς προσπορίζεται, ὅπερ ἐστὶν ἡ ἔρευνα, καὶ ἀκεραίως τῆς ἀληθείας γνῶσις.

Ἐκ δὴ τούτων ἥτε διαφορὰ καὶ τὸ προσεχὲς γένος τῆς Λογικῆς πρόδηλον γέγονε. τὸ μὲν Γένος, ὅτι περὶ τὸν ὕλην (ἣ καταγίνεται) σχῆμα συλλογιστικὸν σχηματίσαι σπουδάζει, οὐ θεωρίαν ἐπιστημονικὴν περιεργάσασθαι. ἡ δὲ Διαφορὰ, ὅτι ἐκ τῆς τοιαύτης ἰδιότητος, Τέχνη προδήλως εἶναι φαίνεται. διὸ καὶ τῆς ἐν τοῖς ἔμπροσθεν εἰρημένων, πάντε ἀεὶ ἀληθευτικῶν γενῶν, τῆς διανοητικῶν δυνάμεων, ὑπὸ τὴν Τέχνην ἀναντιῤῥήτως ὑπάγεται. τίσι δὲ λόγοις τοῦτο ἐμπεδοῦται, ἐν τοῖς ἑφεξῆς, ἡνίκα καὶ τὴν δόξαν τῆς λεγόντων Ἐπιστήμην εἶναι ἀναῤῥίψωμεν, δειχθήσεται. εἶχε δ' ἄττις εἰπεῖν, τί μὴ ὑπὸ τὸν Νοῦν ὑπάγεται, ἢ ὑπὸ τὴν Ἐπιστήμην, ἢ Σοφίαν, ἢ καὶ Φρόνησιν;

Πρὸς ὃν ῥητέον. ὅτι ὁ Νοῦς, ὡς ἐνταῦθα λαμβάνεται, ἔστι τῆς πρώτων καὶ κοινῶν ἐννοιῶν, ἕξις προσεχὴς ἀξιομνήμων τῆς κατὰ φύσιν νοὸς, ἧς τις οὔτε Ἐπιστήμη ἐστὶν, οὔτε Τέχνη. ἡ δὲ Λογικὴ ἐκ ἔστι τῆς κοινῶν ἐννοιῶν. εἰ γὰρ εἴη, ἦσαν ἂν πάντες ἐνεργοῦντες κατὰ Λογικὴν, ὥσπερ ἐνεργοῦσι κατὰ τὰς κοινὰς ἐννοίας, καὶ ἀναγκαῖον ὑπὸ θάτερον τέλει τῆς εἰρημένων Γενῶν. ὅτι δὲ οὐκ ἔστιν οὔτε Σοφία, καὶ Ἐπιστήμη, δῆλον ἐκ τούτων. ἡ γὰρ

χον

ὀνομάσας.

λεγομένη

ἢ ὅσα,

ἢ διαφορὰ

ἡ δὲ γένος

ὁ

ἂν

ὡς

γὰρ Σοφία, καὶ Ἐπιστήμη τέλος ἔχουσι τὴν γνῶσιν τοῦ οἰκείου ἐπιστητοῦ, ἧς ἐγκρατεῖς γενόμεθα, κἂν περαιτέρω πολυπραγμονοῦσιν. ἡ δὲ Λογικὴ οὐ τὴν γνῶσιν τῆς οἰκείας ὕλης ποιεῖται, ἀλλὰ πρόεισιν εἰς ἐργασίαν, ἧς ἕνεκα καὶ τὴν γνῶσιν προσλαμβάνει. Δεύτερον ἡ μὲν Σοφία, καὶ Ἐπιστήμη δι' ἀποδείξεων πορίζονται, ἡ δὲ Λογικὴ οὐ κέχρηται ἀποδείξει, ἀλλ' ἐργάτις γίνεται ταύτης. τὸ δὲ ὑπὸ τὴν Φρόνησιν λέγειν ὑπάγεσθαι τὴν Λογικὴν ἕξιν, παντὶ ἐστὶν ἀποπώτατον· τὸ γὰρ τέλος τῆς φρονήσεως ἐστὶ πρᾶξις, καὶ ἀπὸ τῆς προαιρέσεως τοῦ πράττοντος ἤρτηται, καὶ τοῦ μέσου ἐστὶ σοχαστικὴ τῶν ὑπερβολῶν καὶ ἐλλείψεων, ἐν ᾧ τὸ πρόσηκον συνέσηκε. τῆς δὲ Λογικῆς τέλος οὐ πρᾶξις, ἀλλ' ἐργασία Συλλογισμῶν, καὶ Ἀποδείξεως, ἥτις οὐκ ἤρτηται ἀπὸ τῆς προαιρέσεως τοῦ ποιοῦντος, οὔτε τοῦ μέσου ἐστὶ σοχαστικὴ, καθ' ὃ τὸ πρόσηκον, ἀλλὰ τοῦ ἔργου τῆς ἐργασίας, ὃν παραδίδωσιν ἡ Τέχνη.

Θέσις τῆς Δόξης τῶν Νεωτέρων τῶν πατρόντων τὴν Λογικὴν Μέθοδον ἐν Ἐπιστήμαις.

Ἔπερ πᾶν, κἀνταῦθα οἱ νεώτεροι πολυφωνότατοι γίνονται, παντοίᾳ μηχανῇ διϊσχυριζόμενοι τὴν Λογικὴν μέθοδον ἐν Ἐπιστήμαις καταλέγεσθαι θεωρητικαῖς. ἡμεῖς μέντοι μακροτέροις τοῦ δέοντος ἐπὶ τὸ παρὸν οὐ χρησόμεθα λόγοις, τῆς ἀληθείας ἑαυτὴν ἐξ αὐτῶν τῶν πραγμάτων ἀποχρώντως θεωρούσης, ἀλλ' ἐφ' ὅσον τὴν διάνοιαν ὑμῶν ἐπὶ τὴν ἐνθυμουμένην νόησιν δόξης δοξούντων δέον ἐνθέσθαι, ἵνα τήν τε ἀλήθειαν ἐπαγαγεῖν, καὶ τὰς λύσεις τούτων ἐπενεγκεῖν ἔξωμεν.

Λόγοι τῶν Ἑτεροδοξούντων.

Οἱ γλαφυρώτεροι προσάται τῆς ἀντικειμένης δόξης, τοιούτοις τισὶ λημματίοις κέχρηνται εἰς σύστασιν τῆς οἰκείου δόγματος. καὶ πρῶτον μέν φασιν, ὡς ἡ Λογικὴ μέθοδος κέχρηται ἀποδείξει· πᾶσα Μέθοδος ἡ κεχρημένη ἀποδείξει, Ἐπιστήμη ἐστίν· ἡ Λογικὴ κέχρηται ἀποδείξει· ἄρα Ἐπιστήμη ἐστίν· ἡ μείζων ἀναργής, ἡ ἐλάττων δείκνυται· τὸ λέγειν τὸν λογικιζόμενον, ὅτι πᾶσα καθόλου φύσις κατηγορεῖται κατὰ πλειόνων (ἡ γενικὴ φέρε εἰπεῖν, ἡ ἡ εἰδικὴ φύσις ἐστὶ καθόλε, ἄρα κατηγορεῖται

κατὰ

κατὰ πλειόνων.) ἀποδείξει ἐστὶ κεχρῆσθαι. ἀλλ' ὁ λογισμὸς οὕτω λέγει. ἄρα κέχρηται ἀποδείξει.

Δεύτερον λέγουσιν ὅτι ἡ Λογικὴ ἔχει πάντα τὰ συμβαλλόμενα εἰς σύστασιν Ἐπιστήμης. ἔχει γὰρ Ὑποκείμενον, Τέλος, ζήτησιν Θεωρίας, καὶ τὰ λοιπά. πᾶσα δὲ ἕξις ἡ τὰ τοιαῦτα ἔχουσα ἐστὶν Ἐπιστήμη. ἄρα ἡ Λογικὴ, Ἐπιστήμη.

Τρίτον ὅτι ἴδιον Ἐπιστήμης ἡ Θεωρία. ἡ Λογικὴ κεκλήρωται Θεωρίαν. ἄρα Ἐπιστήμη. ἡ μείζων πρόδηλος, ἡ ἐλάττων δείκνυται. τὸ γὰρ Θεωρεῖν φυσικῶς συμφέρειαν κατηγορούμενον πρὸς ὑποκείμενον, ἔχειν ἐστὶ Θεωρίαν. ἡ λογικὴ Θεωρεῖ ταῦτα. ἄρα ἔχει Θεωρίαν.

Τούτοις καὶ τοῖς ὁμοίοις κέχρηται εἰς σύστασιν τῆς οἰκείας δόξης, ἀθενέσιν ὅμως καὶ ἐλέγκτοις. πρὸ τοῦ δὲ φέρειν τὴν λύσιν τούτων, προδιοίκησιν τινὰ ἐνθέσθαι οὐκ ἄπο δοκεῖ σκοποῦ, ἵνα εὐμαρέστερον ἐπὶ τὴν ἀλήθειαν προΐωμεν. καὶ ἡ Ἐπιστήμη, ὥσπερ καὶ ἄλλαι φωναὶ, πλεοναχῶς ἐκλαμβάνεται. διὸ πρότερον διορισέον ἐστὶ περὶ τίνος τὸ σημαινόμενόν ὁ λόγος. τοιγαροῦν ἔστιν ὅτε πλατύτερον ἐκλαμβάνεται, ὡς καὶ τῶν Τεχνῶν γίνεσθαι σημαντικόν. οὕτω κέχρηται τῇ φωνῇ ὁ Φιλόσοφος ἔν τε ἄλλοις τε, καὶ πρὸ τῶν Κατηγοριῶν, εἴθα καὶ τὴν Γραμματικὴν Τέχνην, Ἐπιστήμην καλεῖ. ἰδιαίτερον δὲ τῆς φωνῆς λαμβανομένης, τὰς θεωρητικὰς ἕξεις μόνας δηλοῖ, ὧν τὸ τέλος ἐστὶ μόνη ἡ γνῶσις τῆς ἀληθείας, καθ' ὃ παύτην ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν ὑστέρων Ἀναλυτικῶν κεφαλαίῳ δευτέρῳ ὁριζόμενος ἔλεγεν. ἐπίστασθαι ἐστὶν ὅταν τὴν αἰτίαν γινώσκωμεν, δι' ἣν τὸ πρᾶγμα ἐστὶ, καὶ ὅτι ἐκείνου αἰτία ἐστὶ, καὶ μὴ ἐνδέχεσθαι τοῦτο ἄλλως ἔχειν. Ἐπὶ τοῦ παρόντος τοιγαροῦν ζητεῖται περὶ τῆς Λογικῆς εἰ ἐστὶν Ἐπιστήμη, ὑ νομισὶς τῆς Ἐπιστήμης κοινότερον κατὰ τὸν πρῶτον τρόπον, ἀλλ' ἰδίως καὶ κατὰ τὸν δεύτερον.

Δεύτερον. τῆς Ἐπιστήμης ἰδία νομισὶς, ἐνίοτε αὐτὶ μερικῆς τινος γνώσεως ἐννοῦμεν διὰ μιᾶς ἀποδείξεως ἐνδεικνυμένης. πᾶσα γὰρ ἀπόδειξις Ἐπιστήμην ποιεῖ. κυριώτερον δὲ Ἐπιστήμην λέγομεν τὴν διὰ πολλῶν ἀποδείξεων ἐγγινομένην ἡμῖν. ἀλλὰ ταῦτα ἐνδέχεται διχῶς ἐννοεῖσθαι. ἢ γὰρ αὐτὶ ὁλοκλήρους τῆς Ἐπιστήμης, ἢ αὐτὶ μέρους τινὸς ἐν ἐκείνῃ. ὁλοκλήρης μὲν ἕξιν Ἐπιστήμην ἡ παντὸς τοῦ ἐπιστητοῦ γένους θεωρητική. οἷον, ἡ περὶ παντὸς τοῦ φυσικοῦ σώματος θεωρία, Ἐπιστήμη Φυσικὴ καλουμένη. ἐπὶ μέρους δὲ ἐστὶν Ἐπιστήμη, ἡ εἴδους τινὸς τοῦ ἐπιστητοῦ γένους θεωρητική. οἷον, ἡ περὶ φύσεως οὐρανοῦ, φέρε εἰπεῖν θεωροῦσα, ἐπὶ μέρους

λέγε-

λέγεται Ἐπιστήμη, ἀλλὰ περιεχομένη ἐν ὅλῃ τῇ κατὰ φύσιν θεωρίᾳ. ἐπὶ τοῦ παρόντος δὲ ὁ λόγος γίνεται ἐπὶ τῆς ὁλοχεροῦς Ἐπιστήμης.

Τέλειον προληπτέον, ὅτι τῶν ποιητικῶν ἕξεων αἱ πλείους καταλείπουσιν ἀποτέλεσμάτι οἰκεῖον μετὰ τὴν ἐργασίαν. ὡς ἡ Οἰκοδομικὴ τὴν οἰκίαν, ἡ Σκυτοτομικὴ τὴν ἐμβάδα, καὶ ἄλλαι ἄλλα. ὅσαι δ' οὔπω εἰσὶ Τέχναι, ὧν οὐδὲν καταλείπεται ἀποτέλεσμα μετὰ τὴν ἐργασίαν, ὡς Ὀρχιστικὴ, Παλαιστικὴ, Κυθαριστικὴ, καὶ ἄλλαι. ὧν εἰσὶ καὶ αἱ περὶ λόγους καταγινόμεναι, Γραμματικὴ, Ῥητορικὴ, καὶ ἡ περὶ ἧς ὁ λόγος Λογικὴ Μέθοδος, οὐ μὴν παρὰ τοῦτο ἀποκλείονται αὗται τῶν ποιητικῶν ἕξεων, ἀλλ' εἰσί τε καὶ λέγονται κυρίως Τέχναι. αἴτιον δὲ τοῦ μὴ καταλείπεσθαί τι μετὰ τὴν ἐργασίαν ἐπὶ τῶν τοιούτων, τὸ μὴ ὑπιδέχεσθαι τὸ σῶμα, περὶ ὃ ἐνεργοῦσι τὰ τούτων κινήματα. ἐφ' ὅτε μὲν οὖν τοι χρὴ παραδιδόμενα τὰ ἀπὸ τῶν λογικῶν Τεχνῶν διαμένει ποιήματα μετὰ τὴν ἐργασίαν, ἀλλὰ τοῦτο γίνεται κατὰ συμβεβηκός.

Τούτων τοιγαροῦν οὕτω προληφθέντων, ἵν' αὖ ἑπόμενον τὰς λύσεις τῶν ὑπεχειρημάτων ἐπενεγκεῖν, ἵν' δὲ πρὸ τῶν λύσεων τὴν ἀλήθειαν διορισαίμεθα, ἐκ ἄπο σκοποῦ πεποιηκότες ἐσόμεθα. γνωθείσης γὰρ τῆς ἀληθείας, ἡ λύσις τῆς ἀντικειμένης δόξης, ἐξ αὐτῆς τῆς θέσεως ἐλεγχθήσεται.

Διορισμὸς τοῦ ἀληθοῦς.

Ἡ Λογικὴ μέθοδος ἕξις ἐστὶ ποιητικὴ, ἤτοι Τέχνη, καὶ οὐχὶ Ἐπιστήμη θεωρητική. ἔστι τοῦτο δεικνύναι πρῶτον ἀπὸ τῶ Φιλοσόφε, ὃς ἐν τῷ πρώτῳ τῶν πρὸς Θεοδέκτην Ῥητορικῶν κεφαλαίῳ δευτέρῳ τὴν Διαλεκτικὴν, Τέχνην εἶναι βέλεται, ὥσπερ καὶ τὴν Ῥητορικήν. ἡ δὲ Διαλεκτικὴ, Λογικὴ ἕξις. τὴν Λογικὴν ἄρα ὁ Φιλόσοφος Τέχνην εἶναι βούλεται. οὐκ ἔστι δὲ εἰπεῖν, ὅτι πλατύτερον τὸ τῆς Τέχνης ὄνομα ἐπιλαμβάνει. οὐ γὰρ ὥσπερ ἡ Ἐπιστήμη ἐφ' ὅτε καὶ ἐπὶ τῆς Τέχνης ἐκτείνεται, οὕτω καὶ ἡ Τέχνη ἐπὶ τῆς Ἐπιστήμης. Ἔτι ἐν τῷ ιά. κεφαλαίῳ τῶ πρώτε τῶν Τοπικῶν, ξία εἶναι τὰ εἴδη τῶν Προβλημάτων, ἤτοι Προτάσεων ὁ Φιλόσοφος διδάσκει, λέγων. ἔστι δὲ (ὡς ἐν τύπῳ περιλαβεῖν) τῶν προτάσεων, καὶ τῶν προβλημάτων μέρη ξία. αἱ μὲν γὰρ ἠθικαὶ προτάσεις εἰσὶν, αἱ δὲ φυσικαὶ, αἱ δὲ λογικαὶ. διὰ μὲν τῶν ἠθικῶν τὸ πρακτικὸν μέρος τῆς ὑπακτοῦ ἕξεως, διὰ δὲ τῶν φυσικῶν τὸ θεωρητικὸν δηλώσας. λείπεται ἄρα τὰς λογικὰς προτάσεις, εἴγε παρὰ τὰς θεωρητικὰς καὶ πρακτικὰς εἰσὶ, τοῦ ποιητικοῦ μέρους εἶναι. καὶ ἡ Λογικὴ ὁμοίως.

Παρὰ

Παρὰ παῦται ἐν τῷ δευτέρῳ τῆς μετὰ τὰ Φυσικὰ, ζόπον Ἐπιστήμης ὁ Φιλόσοφος τὴν Λογικὴν Μέθοδον ἀποκαλεῖ· καὶ βούλεται πρὸ τῆς Ἐπιστημῶν ταύτην ποεῖσθαι τοῖς φιλοσοφοῦσιν. οὐκ ἄρα ἐστὶν ἐπιστήμη, εἰ γε πρὸ τῆς Ἐπιστημῶν ἐστίν. ~~ἄλλως τε οὔτε~~ ὁ ζόπος τῆς Ἐπιστήμης ἐστὶν Ἐπιστήμη. διδάσκουσι τὴν αὐτὴν ἀλήθειαν μετὰ τοῦ Ἀριστοτέλους τῆς φιλοσοφησάντων Ἑλλήνων, ὧν τὰ συγγράμματα εἰς ἡμᾶς ἦκει, Ἀλέξανδρος ἐν προοιμίῳ τοῦ πρώτου τῆς προτέρων Ἀναλυτικῶν. Ἀμμώνιος ἐν τοῖς πρὸ τῆς Κατηγοριῶν. Φιλόπονος ὁμοίως ἐν ἀρχῇ τῆς προτέρων Ἀναλυτικῶν ὁμολογεῖ παρὰ τοῖς Περιπατητικοῖς, τὴν Λογικὴν μέθοδον, Τέχνην ἀλλ' οὐκ Ἐπιστήμην εἶναι. παρὰ Πλάτωνι μὲν τοι ἴσως εἰπεῖν Ἐπιστήμην τὴν Λογικὴν, ἀλλ' ἐν χρήσει οὖσαν, καὶ οὐ καθ' ἑαυτήν. τοῖς πράγμασι δηλονότι ἐφαρμοττομένην διὰ τὴν ὕλην ἐν ᾗ ἐφαρμόττεται.

Τούτοις συμμαρτυροῖ καὶ ὁ ὀρθὸς λόγος. πᾶσα γὰρ ἕξις κανόνας ἡμῖν καὶ μέθοδον παραδιδοῦσα εἰς ἐργασίαν τινὸς, Τέχνη ἐστίν. ἡ Λογικὴ ἕξις παραδίδωσιν ἡμῖν κανόνας, καὶ μέθοδον εἰς ἐργασίαν Συλλογισμῶν, Ἀποδείξεων, καὶ τῶν τοιούτων, ἄρα ἡ Λογικὴ ἕξις Τέχνη ἐστίν. ἀμφότεραι αἱ προτάσεις εἰσὶν ὁμολογούμεναι παρὰ πᾶσιν, καὶ ἀναγκαῖαι. ἀναγκαῖον ἄρα καὶ τὸ συναγόμενον.

Δεύτερον. πᾶσα ἕξις ἧς τὸ ἀποτέλεσμα ἐργασία τινὸς, καὶ οὐ μόνη ἡ γνῶσις τῆς ἀληθείας, Τέχνη ἐστί. τὸ τέλος τῆς Λογικῆς ἕξεως ἐστὶν ἡ ἐργασία τῷ Συλλογισμῷ, τῆς Ἀποδείξεως, καὶ τῶν ἄλλων λογικῶν ὀργάνων. ἄρα ἡ Λογικὴ ἕξις Τέχνη ἐστίν. ἡ ἐλάττων πρόδηλος, καὶ ἡμεῖς ἀναμφισβήτητος τοῖς εἰδόσι διακρίνειν θεωρίαν πράξεως, καὶ Ἐπιστήμην Τέχνης. αὕτη γάρ ἐστι διαφορὰ Ἐπιστήμης πρὸς Τέχνην. ὅτι ἡ μὲν Ἐπιστήμη μόνην ἔχει τέλος τὴν θεωρίαν, καὶ γνῶσιν τοῦ ἀληθοῦς, ἡ δὲ Τέχνη τὴν καθ' αὐτὴν θεωρίαν, ὡς εἰς τέλος ἀναφέρει τὴν ἐργασίαν.

Τρίτον. ἐκ τῆς ὑποκειμένης ὕλης συνάγεται τὸ αὐτό. ἧς γὰρ ἕξεως ἡ ὑποκειμένη ὕλη ποιητόν ἐστι γένος καὶ οὐκ ἐπιστητόν, αὕτη ἐστὶ τέχνη. ἡ ὕλη περὶ ἣν ἡ Λογικὴ, ποιητόν ἐστι γένος, καὶ οὐκ ἐπιστητόν· ἡ Λογικὴ ἄρα Τέχνη ἐστὶ καὶ οὐκ Ἐπιστήμη· ἡ μείζων ὁμολογουμένη, ἡ ἐλάττων δείκνυται. ποιητόν ἐστι γένος, τὸ θεωρούμενον καθὸ ἐπιπδείως ἔχει πρὸς ποίησιν· τοιοῦτον ἐστὶν ἡ ὕλη περὶ ἣν ἡ Λογικὴ, ἄρα ἐστὶ ποιητὸν γένος· δείκνυται ἡ ἐλάττων. ἥτις ποτὲ τῆς Λογικῆς τεθεὶν ὕλη, φωναὶ, ἢ νοήματα, αὕτη πάντως καθὸ ἐπιπδείως ἔχει εἰς ποίησιν Συλλογισμοῦ, καὶ Ἀποδείξεως θεωρεῖται. τὸ δὲ οὕτω θεωρούμενον, τεχνητὸν ἐστι γένος· ἔστιν ἄρα ποιητὸν γένος, ἤτοι τεχνητὸν, ἡ ὕλη, περὶ ἣν ἡ Λογική.

Καὶ

χρείαν, ἀλλὰ καὶ ἀπὸ τοῦ εἴδους: δηλοῦται τὸ αὐτὸ προφανῶς. πᾶσα Ἐπιστήμη ἐστὶν ἕξις δι' ἀποδείξεως ποιητικὴ, ἡ δὲ Λογικὴ οὐκ ἔστιν ἕξις δι' ἀποδείξεως ποιητικὴ, ἄρα ἡ Λογικὴ οὐκ ἔστιν Ἐπιστήμη. ἡ μείζων ἐστὶν ὁ τῆς Ἐπιστήμης ὁρισμὸς παρὰ τῷ Φιλοσόφῳ ἐν ἄλλοις τε, καὶ ἐν τῷ ϛ'. τῆς Νικομαχείων, καὶ παρὰ πᾶσιν ὁμολογουμένη. ἡ ἐλάττων δείκνυται. ἡ ποιητικὴ δι' ἀποδείξεως ἕξις, προηγουμένως ἔχει τὴν γνῶσιν τῆς ἀποδείξεως. ἡ Λογικὴ ἕξις οὐκ ἔχει προηγουμένως ἑαυτῆς τὴν γνῶσιν τῆς ἀποδείξεως, ἄρα ἡ Λογικὴ ἕξις οὐ ποιητική δι' ἀποδείξεως. ἡ μείζων πρόδηλος. τὸ γὰρ διά τινος ὀργάνου γινόμενον, προϋποτίθησι τὸ ὄργανον ὑπάρχον δι' οὗ γίνεται. ἡ ἐλάττων δείκνυται. εἰ ἡ γνῶσις τῆς ἀποδείξεως ὑποτίθησι προϋπάρχουσαν τὴν Λογικὴν ἕξιν, οὐ προηγεῖται ταύτης. ἀλλ: τὸ ἡγούμενον, ἄρα καὶ τὸ ἑπόμενον. δείκνυται ἡ μεταλῆψις. ἡ γνῶσις τῆς ἀποδείξεως ὑποτίθησιν ἑαυτῆς προηγουμένως τὴν γνῶσιν τῶ συλλογισμοῦ, τῆς προτάσεων, καὶ ὅρων, καὶ ἁπλῶς τὴν Ἀναλυτικὴν μέθοδον. ὁ γὰρ ὁρισμὸς μέσον γίνεται ἀποδείξεως. τούτων δὲ ἡ γνῶσις ἀπαρτίζει τὴν Λογικὴν ἕξιν. ἡ γνῶσις ἄρα τῆς ἀποδείξεως ὑποτίθησιν ἑαυτῆς προηγουμένως πᾶσαν τὴν Λογικὴν ἕξιν. καὶ ἀδύνατον ἀπειβῶς ἔχειν τὴν γνῶσιν τῆς ἀποδείξεως τοῖς μὴ ἠπειβωκόσι πᾶσαν τὴν Λογικὴν Μέθοδον.

Ἀπάντησις πρὸς τὰ ἐπιχειρήματα τῶν ἑτεροδοξούντων.

Τοῦτον τὸν τρόπον τὴν ἀλήθειαν ἐγνωκόσιν, ἔξεστι καὶ τὰς λύσεις τῶν ἐπιχειρημάτων προσφυῶς ἐπιφέρειν. Πρὸς οὗ τὸ πρῶτον ῥητέον. ὅτι ψεῦδος λαμβάνει κεχρῆσθαι λέγον τὴν Λογικὴν ἀποδείξει. δέδεικται γὰρ ὅτι ἡ Λογικὴ ἐργάτις ἐστὶν ἀποδείξεως, καὶ τοῦτο τέλος ποιεῖται τὴν ἀπόδειξιν κατασκευάσαθαι, καὶ τῷ ἐπιστήμονι παραδοῦναι, δι' ἧς τὸ ἀληθὲς τῶ ψεύδους διαφεύγειν χοίη. νῦνα δὲ ἐπιφέρουσιν, (ὅπερ ἐστὶ δεῖξις τῆς ἐλάττονος,) ὅτι ἐπὶ τῆς Λογικῆς δυνατὸν συλλογίσαθαι ἕτω. πᾶσα καθόλου φύσις κατηγορεῖται κατὰ πλειόνων, ἡ γενικὴ, φέρε εἰπεῖν, ἢ ἡ εἰδικὴ ἐστὶ καθόλου, ἄρα κατηγορεῖται κατὰ πλειόνων, ἀπαντητέον οὕτω πρὸς τὰ τοιαῦτα. ὅτι τὸ συλλογίζεσθαι οὕτως, οὐ τοῖς λογικεύομένοις ἐστὶν, ἀλλὰ τοῖς φιλοσοφοῦσιν. οἱ γὰρ μανθάνοντες τὴν Λογικὴν, οὐδ' ὅλως ἴσασιν ~~τὴν ἀρχὴν~~, ὁποῖον εἶναι δεῖ τὸν ἀποδεικτικὸν συλλογισμὸν, καὶ τίσι διαφέρει τοῦ μὴ τοιούτου, ἀλλ' ὁ διδάσκων ταύτην Φιλόσο-

φος, κέχρηται μὲν εἰ τύχη ἀποδείξει ἐπὶ τῆς ὑποκειμένης τῇ Λογικῇ ὕλης πρὸς βεβαίωσιν τῆς διδασκομένων, καθάπερ καὶ ἐπὶ ἄλλων Τεχνῶν ἐνδέχεται τοῦτ' αὐτὸ ποιεῖν, οἷον ἐπὶ τῆς Σκυτοτομικῆς εἴτις φαίη, πῶν ὑπόδημα εἰς φυλακὴν ποδὸς ἐπιτήδειον, ἡ ἔμβας ἐστὶν ὑπόδημα, ἄρα ἡ ἔμβας εἰς φυλακὴν ποδὸς ἐπιτήδειος. οὐ μὴν παρὰ τοῦτο ἕξει τὴν Σκυτοτομικὴν Ἐπιστήμην λέγειν, διὰ τὸ κεχρῆσθαι τὸν τοιοῦτον ἐπ' αὐτῆς τοιάδε ἀποδείξει. ὡσαύτως ἄρα οὐδὲ τὴν Λογικὴν ἕξειν Ἐπιστήμην λέγειν.

Γ. Δεύτερον, ὅπερ ἴσως ὅτι ἡ Λογικὴ ἔχει πάντα, ἅπερ εἰς σύστασιν Ἐπιστήμης ἀπαιτεῖται, ὑποκείμενον δηλαδὴ, τέλος, καὶ ζῆτον θεωρίας, οὐδὲ λόγου ἀξιωτέον. ἔχει δῆπου ὑποκείμενον, ἀλλ' ἔστι τεχνητόν. ἔχει καὶ τέλος, ἀλλ' ἔστιν ἐργασία. εἰ δὲ καὶ ζῆτον θεωρίας δοκοῦσιν ἔχειν, αὐτὴ πρὸς τὴν ἐργασίαν ἀναφέρεται, ὡς ἐλέγετο ἀνωτέρω, καὶ οὐ τέλος γίγνεται ἐπ' αὐτῆς, ὥσπερ ἐπὶ τῆς Ἐπιστημῶν. ὁμοίως καὶ τὸ ζῆτον λύεται τοῖς πρὸς τὸ δεύτερον ἀπαντήμασιν. ἀληθὲς μὲν ἴσως ὅτι κέχρηται θεωρίᾳ ἡ Λογικὴ ἐπὶ τῆς οἰκείας ὕλης, ὥσπερ καὶ αἱ λοιπαὶ τῶν Τεχνῶν, οὐ μὴν τὴν φύσιν τῆς ὑποκειμένης αὐτῇ ὕλης διαγνῶναι βούλεται διὰ τοιαύτης θεωρίας, ἀλλ' ἐφ' ὅσον μόνον γνοίη εἰ ἐπιτήδειος ἔχει πρὸς ὑποδοχὴν τοῦ σχηματισμοῦ, ἀφ' ἧς ἐπὶ τὴν ἐργασίαν φέρεται, ὥσπερ καὶ ἡ Σκυτοτομικὴ προθεωρεῖ τὰ ὑποκείμενα αὐτῇ δέρματα, εἰ ἐπιτήδειος πρὸς κατασκευὴν ἐμβάδος ἔχει. καὶ οὕτως ἀναιρεθήσονται πᾶσαι αἱ τῶν αὐτικειμένων δόξαι. εἰ δὲ καί τισιν ἄλλοις ἐπιχειρήμασι τὸ τοιοῦτον σαθρὸν δόγμα συνῆσαι διϊσχυρίζονται οἱ τὰ τοιαῦτα κενοφωνοῦντες, σύνεσι δὴ τῶν ἀνωτέρω ῥηθέντων διαρρῶς ἐπιφέρειν λύσεις πρὸς τὰ τοιαῦτα. Δεδειχται τοίνυν τὴν Λογικὴν Μέθοδον, πρῶτον μὲν ἐπὶ τὸ ἐπίκτητον ἕξιν ἀνάγεσθαι ὡς εἰς γένος ἀνώτερον. εἶτα καὶ ἀπὸ τῆς ὑποκειμένης αὐτῇ ὕλης, καὶ τοῦ τέλους, ἀπὸ τὴν Τέχνην ὡς εἰς γένος προσεχὲς, καὶ διὰ πολλῶν ἀποδείξεων τὰς ματαιολογίας τῶν νεωτέρων διέδρα. ἀλλὰ καὶ τῆς Τέχνης κοινόπατα εἰς δύο γένη διανεμομένης, ἀναγκαῖον ἂν εἴη καὶ ὑπὸ ποῖον τούτων ὑπάγεται διορίσασθαι.

Τῶν Τεχνῶν τοίνυν, αἱ μὲν εἰσὶν ὀργανικαὶ, αἱ δὲ Ἀρχιτεκτονικαί. καὶ ὀργανικαὶ μέν εἰσιν, ὧν τὸ τέλος, ἤτοι τὸ ἔργον ἑτέρᾳ τινὶ Τέχνῃ, ἢ Ἐπιστήμῃ ὑπηρετεῖ. καὶ αἱ τοιαῦται ὑπὸ τὸ ὀργανικὸν γένος τῆς Τέχνης ὑπάγονται. αἱ δὲ εἰσὶν Ἀρχιτεκτονικαὶ, ὧν τὸ ἔργον, ἤτοι τὸ τέλος, οὐδεμιᾷ ἑτέρᾳ ὑπηρετεῖ ἕξει, ἀλλὰ καθ' ἑαυτὰς εἰσὶν ἀρεταί. ἅπερ ὑπὸ τὸ ἀρχιτεκτονικὸν γένος τῆς Τέχνης ὑπάγονται.

Η' Λο-

Ἡ Λογικὴ τοιγαροῦν ὡς μὲν Τέχνη ὑπὸ τὸν Τέχνων ὑπάγεται ὡς εἴρηται, ὡς δὲ Ὀργανικὴ, ὑπὸ τὸ ὀργανικὸν γένος. ὑπηρετεῖ δὲ τῇ Φιλοσοφίᾳ, καὶ τὸ οἰκεῖον τέλος, ἤτοι τὸν ἀπόδειξιν ἐγχειρίζει ἐκείνη, δι' ἧς ὁ Φιλόσοφος διακρίνει τοῦ ψεύδους τὸ ἀληθές. ὅθεν καὶ κοινότερον ὄργανον Φιλοσοφίας ἐπιγράφεται. ἀλλὰ καὶ τὰ πρὸ τῆς ἀποδείξεως πάντα τοῖς φιλοσοφοῦσιν ἡ Λογικὴ ἐγχειρίζει, ἅπερ εἰσὶν ἡ Διαιρετικὴ Μέθοδος, Ὁρισικὴ, Συλλογιστικὴ, καὶ Ἀναλυτικὴ, μεθ' ἃς καὶ ἡ Ἀποδεικτική. ἃς ὄργανα, καὶ μεθόδους ἀποκαλοῦσιν οἱ φιλοσοφοῦντες.

Ὁρισμὸς τῆς Λογικῆς Μεθόδου.

Ἐγνωκόσιν ἐς τόδε τὸ, τε πόρρω καὶ προσεχὲς γένος τῆς Λογικῆς μεθόδου, τὸν τε ὕλλον, καὶ τέλος αὐτῆς, νῦν ἤδη ἔξεστι τὸν ἐν ἀρχῇ ζητηθὲν συναγαγεῖν, τὸν ὁρισμὸν φημὶ τῆς αὐτῆς. τοιγαροῦν ἡ Λογικὴ μέθοδος, κατὰ τὰ δεδειγμένα, Τέχνη ἐστὶ Φιλοσοφίας ὀργανικὴ, περὶ τὰ παθήματα τῆς διανοητικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς πρώτως καταγινομένη, τέλος ἔχουσα σκοπιμώτατον μὲν τὸν γνῶσιν, καὶ συνθεσιν τῆς ἀποδείξεως, γενικώτερον δὲ τὸν συλλογισμόν. ἢ καὶ οὕτως. Ἡ Λογικὴ ἕξις Τέχνη ἐστὶ Φιλοσοφίας ὀργανικὴ, περὶ φωνὰς καταγινομένη δηλωτικὰς τῶν πραγμάτων διὰ τῶν νοημάτων, παραδιδοῦσα ἡμῖν κανόνας, καθ' οὓς ἐκ τῶν τοιούτων φωνῶν κατασκευάζεται τὰ λογικὰ ὄργανα, οἷς κέχρηται ἡ Φιλοσοφία εἰς διάκρισιν ἀληθείας καὶ ψεύδους. εἰ δὲ βέλτιον ταύτῃ βραχυτέροις ἐκθέσθαι ῥήμασι, Τέχνην συλλογιστικὴν εἴπατε. ἢ καὶ οὕτως. Ἡ Λογικὴ ἐστὶν ἕξις ἐπίκτητος νοερὰ, ἤτοι Τέχνη Φιλοσοφίας ὀργανικὴ, περὶ πάντα τὰ ὄντα καταγινομένη, τέλος ἔχουσα καθόλου τὸν ἐν γένει συλλογισμὸν, ἐξαίρετον δὲ τὸν ἀπόδειξιν, ὑπὸ τῶν φιλοσοφούντων εὑρεθεῖσα ὡς ὄργανον ἀκριβέστατον, δι' οὗ τῶν ὄντων ἡ γνῶσις ἀχερῶς καταλαμβάνεται.

Περὶ τῆς κατὰ νεωτέρους διαιρέσεως τῆς Λογικῆς εἰς χρωμένη, ὥς φασι, καὶ διδάσκουσιν.

Μετὰ τὴν ἀπόδοσιν τῶν ὁρισμῶν τῆς Λογικῆς, ὃν αὖ ἑπόμενον τὸν εἰς τὰ μέρη αὐτῆς διαίρεσιν παραδοῦναι, καὶ κατὰ τάξιν ἀρξαμένους ἀπὸ τῶν ἁπλουστέρων προϊέναι ἐπὶ τὰ συνθετώτερα. ἀλλ' ἵνα μὴ μεταξὺ ἐκπαρατρώμεθα ἀνοχλούμενοι ὑπὸ τῶν πάνυ προχειροτάτων νεωτερισῶν, φέρε ὡς ἐν βραχεῖ ὀλίγ' ἅττα περὶ τῆς διαιρέσεως διαλαβεῖν, ἵν' αὐτοὶ

παρανενομικῶς ὑπενόησαν. ἀμέλει τῇ Λογικῇ μέθοδῳ οἱ νεώτεροι εἰς Λογικὰς διαφόρους διχοτομοῦσιν. ὧν τὸ μὲν ἕτερον μέρος χρωμένῃ καλοῦσι Λογικὴν, καὶ ταῖς πρακτικαῖς τάττουσιν ἕξεσιν, συγχέοντες καὶ τοῦτο τὸ πρακτικὸν, καὶ ποιητικόν. θάτερον δὲ διχοτόμημα, τῷ θεωρητικῷ μέρει τῆς Φιλοσοφίας ὑποπληροῦσι, καὶ Ἐπιστήμῃ εἶναι βούλονται· ὥσπερ εἴτις τὸν Ἵππον διχοτομήσας κατὰ τὰς ἐν μύθῳ Κενταύρους, τὸ μὲν αὐτοῦ Ἄνθρωπον εἶναι φήσειε, τὸ δ' ἄυθις Ἵππον. ἔσι δὲ τὸ κινῆσαν αὐτοὺς εἰς τὴν τοιαύτην διχοτόμησιν, ὅτι βουλομένοις τῇ Λογικῇ μέθοδον ἐν Ἐπιστήμαις τάττεσθαι, οὐκ ἄλλως ἐδόκει, ἢ διὰ τῆς διαιρέσεως ταύτης τὸ δόγμα συσῆσαι. ὅπως δὲ χρὴ τὴν διαίρεσιν ταύτην ἐννοεῖν, οὐδ' αὐτοὶ παρὰ σφίσιν αὐτοῖς ἀναπλᾶσαι οἷοίτε γίνονται. κατ' ἐκεῖνο μέν τοι κοινότερον συμφωνοῦσιν, ὅτι τῇ Λογικῇ μέθοδον ἐνδέχεται διχῶς ἐννοεῖν, ἢ καθ' ὅσον σωτίθησι συλλογισμὸν, ἀπόδειξιν, καὶ τὰ τοιαῦτα, ἢ καθ' ὅσον θεωρεῖ τὸν τρόπον τῆς συνθέσεως τούτων, ὅπερ ἐστὶ περὶ τούτων ἢ ὑγιῶς ἔχει, εἰμὴ, καὶ διδάσκουσα. κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον σωτεθῆναι φασὶν, ἣν καλοῦσι χρωμένην Λογικήν. κατὰ δὲ τὸν δεύτερον τρόπον τῇ λοιπῇ σωτιτῶσιν, ἣν διδάσκουσαν ὀνομάζουσι.

Φαίνεται δὲ καὶ Πλάτων τοιαύτην τινὰ τιθεὶς τῆς μεθόδου διαίρεσιν, ἀλλὰ πολὺ τῇ κατὰ Πλάτωνα διαιρέσει ἀντιβαίνουσιν οἱ νεώτεροι. ἐκεῖνος μὲν γὰρ οὐ διδάσκουσαν καὶ χρωμένην, ἀλλὰ διδακτικὴν καὶ ἐν χρήσει ὠνόμαζεν. εἶτα οὐδ' ὅλως ἐδιχοτόμει, ἀλλὰ διχῶς ἐθεώρει. ἢ γὰρ χρώμεθα ταύτῃ, ἐν χρήσει λογικὴν ἔλεγεν, ἣ δὲ διδασκόμεθα, διδακτικὴν ~~τὴν~~ ὠνόμαζε, καθ' ἑαυτὴν δηλονότι θεωρῶν, καὶ καθὸ παρὰ τοῦ διδάσκοντος ποιεζόμεθα. ἐν χρήσει δὲ Λογικὴν ἐπάλει τὴν ἐφαρμοττομένην ἤδη πῆς πράγμασι, καὶ καθὸ ταύτῃ ἐπὶ τῶν Ἐπιστημῶν χρώμεθα. παρὰ ταῦτα ἐκεῖνος τὴν ἐν χρήσει ἔλεγεν εἶναι Ἐπιστήμην, οὐκ ἄλλην, ἢ ἧς ἐστὶν ἡ ὕλη ἐφ' ἧς χρώμεθα ταύτῃ, ὡς καὶ αὐωτέρω (1) ἐλέγετο. καθὸ δὲ διδακτικὴν, καὶ καθ' ἑαυτὴν, οὐκ Ἐπιστήμην, ἀλλὰ Τέχνην ἐτίθετο.

Εἰς σαφεστέραν δὲ κατάληψιν τῶν ῥηθησομένων, ὀλίγα τινὰ περὶ διαιρέσεως ἀναληπτέον, εἰ καὶ ἐν τοῖς ἔμπροσθεν ἱκανῶς περὶ διαιρέσεως εἴρηται, ἀλλ' οὐδ' ἐνταῦθα ὡς οὐ σωτετμημένως τῇ ἑρμηνείᾳ χρησόμεθα, τὰ καθολικώτερα μόνον, καὶ ἐφ' ἃ πᾶσαι αἱ λοιπαὶ τῶν διαιρέσεων ἀναφέρονται, ἀναλαμβάνοντες κατὰ νοῦν.

Τρι-

(1) Πρὸ τελῶν φύλλων αὐωτέρω ἐν οἷς εἴρηται. παρὰ Πλάτωνι μέν τοι ἡ ἐπιστήμη διὰ τῆς ἄλλης ἐν ᾗ ἐφαρμόττεται.

Τετάρτη παρὰ τοῖς Φιλοσόφοις ἡ διαίρεσις φέρεται, τοῦ καθόλου εἰς τὰ ὑφ' αὐτὸ, τοῦ ὅλου εἰς τὰ σύνθετα μέρη, καὶ τῆς ὁμωνύμου φωνῆς εἰς διαφορὰ σημαινόμενα. ἀλλὰ κυρίως λέγεται τὸ ὅλου ῥηθεῖσα. ἡ γὰρ διαίρεσις πάθος ἔστι ποσοῦ, τοῦ ὅλου ὡς συνεχοῦς ὄντος ποσοῦ ἐφαρμόττει κυρίως, καὶ ἐπ' αὐτοῦ θεωρεῖται διχῶς. ἢ γὰρ εἰς μέρη ὁμοιομερῆ γίνεται, ἐφ' ὧν τὰ μέρη καὶ ἀλλήλοις ὅμοια καὶ τοῦ ὅλου, ἢ εἰς ἀνομοιομερῆ, ὡς τὸ ὅλον ζῶον εἰς κεφαλὴν, χεῖρας, πόδας, ἃ καὶ ἀλλήλοις εἰσὶ καὶ τοῦ ὅλου ἀνόμοια. ἐπὶ δὲ τῆς ὁμωνύμου φωνῆς ἡ διαίρεσις τοῦ σημαινομένων μᾶλλον ἐστὶν, ἢ τῆς φωνῆς. τὰ γὰρ πράγματα εἰσὶν ἀλλήλων ἀντιδιαστελλόμενα, ἡ δὲ φωνὴ ἡ αὐτὴ μένουσα ὁλόκληρος, ἑκάστῳ τοῦ σημαινομένων ἀπονέμεται. ἀλλ' οὐδὲ τοῦ καθόλου ἡ διαίρεσις ἐφαρμόττει καθ' αὑτὸ, ἀλλ' ἢ κατὰ μετοχὴν ποσότητος, ἥτις κατὰ τὴν διαφορὰν καὶ ἑτερότητα τοῦ ὄντων θεωρεῖται. ἡ κατὰ τὴν ἑτερότητα τοιγαροῦν καὶ διαφορὰν τοῦ ὄντων διαίρεσις, ξυμβεβηκὸς κεῖται παρὰ πᾶσιν. ἢ γὰρ μόνῳ τοῦ ἀριθμῷ φαίνεται, ὡς ἐπὶ τοῦ ἀτόμων τοῦ αὐτοῦ εἴδους, εἰ καὶ τοῦ εἴδει, ὡς ἐπὶ τοῦ ὑπὸ τὸ αὐτὸ γένος εἰδῶν, ἢ καὶ τοῦ γένει, ὡς ἐπὶ τοῦ ἑτερογενῶν. καὶ τοῦτο διχῶς, ἢ τοῦ ὑπ' ἄλληλα τεταγμένων, ἢ τοῦ πάντη ἑτέρων, καὶ ὑπὸ διαφόρους τελευτώντων κατηγορίας. τούτων τοίνυν ὅσα μὲν τοῦ ἀριθμῷ μὴ διαφέρει, πολὺ μᾶλλον οὐδὲ τοῦ εἴδει, ὡς Πάρις καὶ Ἀλέξανδρος, ἅπερ τοῦ ἀριθμῷ σὺ ὑφεστηκὸς ἄτομον σημαίνουσι, καὶ ὑπὸ σὺ εἶδος ὄν. καὶ ὅσα μὴ τοῦ εἴδει, οὐδὲ τοῦ γένει. οἷον, Πάρις, καὶ Ἕκτωρ ἄνθρωποι ὄντες, καὶ ζῶα εἰσὶν. ἐξ ἐναντίας δὲ ὅσα τοῦ γένει διενήνοχε, πολλῷ μᾶλλον τοῦ εἴδει, καὶ τοῦ ἀριθμῷ. ὡς ἡ Συκῆ, καὶ ὁ Ἵππος, ἅπερ γενῶν διαφόρων ὄντα, καὶ διαφόρων εἰδῶν, καὶ ἀριθμοῦ εἰσί. καὶ αὖθις ὅσα μὲν τοῦ ἀριθμῷ διαφέρει, οὐκ ἀναγκαίως καὶ τοῦ εἴδει. ὡς Ἕκτωρ καὶ Πάρις, τοῦ ἀριθμῷ μὲν διαφέρουσιν, οὐ μὴν καὶ τοῦ εἴδει. ἄνθρωποι γὰρ ἀμφότεροι. οὐδ' ὅσα τοῦ εἴδει, ἀναγκαίως καὶ τοῦ γένει. ὡς Ἄνθρωπος, καὶ Ἵππος. οὗτοι γὰρ διαφέρουσι μὲν τοῦ εἴδει, τοῦ γένει δὲ εἰσὶ ταυτοί. ὑπὸ τὸ ζῶον γάρ. ἐξ ἐναντίας δὲ ὅσα εἰσὶ τῷ γένει ταυτὰ, οὐκ ἀναγκαίως καὶ τῷ εἴδει, τῷ ἀριθμῷ δὲ ἀναγκαίως οὐ ταυτά. ὡς ὁ ῥηθεὶς Ἄνθρωπος καὶ Ἵππος. οὐδ' ὅσα τῷ εἴδει ταυτὰ, ἤδη καὶ τῷ ἀριθμῷ εἰσὶ ταυτά.

Πρὸς τούτοις εἰδέναι δέον, ὅτι ἐπὶ τοῦ πραγμάτων πολλὰ ὑφίσταται τοῦ διαφερόντων τῷ γένει, καὶ εἴδει ἐν τῷ αὐτῷ ὑποκειμένῳ, ἅπερ σὺ τῷ ἀριθμῷ λέγεται, ὡς ἡ πρώτη οὐσία· ἥτις ὑποκειται πᾶσι τοῖς ἄλλοις, τοῖς μὲν εἰς κατηγορίαν, τοῖς δὲ εἰς ὕπαρξιν, διαφέρεται μέν τοι τοῖς ὁμοίοις λόγοις.

Δεύτε-

Δεύτερον εἰς μνήμην ἀναληπτέον τὰ ἐν ἀρχῇ εἰρημένα περὶ τῆς ἕξεων. ὅτι ἡ ἐπίκτητος ἕξις, γένος ἐστὶν αὐτιδιαιρούμενον προσεχῶς εἰσὶ τούτοις εἴδεσι, θεωρητικῷ, πρακτικῷ, καὶ ποιητικῷ. ἅπερ αὐτιδιαστέλλεται ἀλλήλων συσατικαῖς καὶ εἰδοποιοῖς διαφοραῖς.

Παρὰ ταῦτα, ὅτι αἱ ἕξεις διακρίνονται ἀπὸ τῶν ἰδίων ἐνεργειῶν, καὶ τῶν αὐτικειμένων περὶ ἃ ἐνεργοῦσιν. οὕτως ὁ Φιλόσοφος ἐν τῷ γ'. τῆς περὶ Ψυχῆς, κεφαλαίῳ ε'. διαιρεῖσθαι διδάσκει τὸν Νοῦν ἀπὸ τῶν πραγμάτων περὶ ἃ ἐνεργεῖ.

Τελευταῖον ὅτι μία Ἐπιστήμη, καὶ ἁπλῶς μία ἕξις ἐστὶν ἡ ἑνὸς γένους, καὶ περὶ μίαν ὕλιν ἐνεργοῦσα, ὡς ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν ὑστέρων Ἀναλυτικῶν, κεφαλαίῳ κή. διδάσκει. εἰ δὲ γένος ὑπεστὸν ἐστὶν, οὗ εἰς ὁ ζόπος τῆς θεωρίας, καὶ μία ὕλη τεχνιτὴ, ἡ εἰς εὖ τέλος ἀναφερομένη τεχνητὴν, ὡς ἀνωτέρω ἐλέγετο.

Διορισμὸς τοῦ προβλήματος.

Τὴν Λογικὴν εἰς δύο Λογικὰς διχοτομεῖν, καὶ τὴν μὲν ἑτέραν Ἐπιστήμην οἴεσθαι, τὴν δὲ λοιπὴν Τέχνην, οὐ μόνον ἐστὶ παράλογον, ἀλλὰ καὶ γελοῖον ἐς τὸ παντελές.

Πολλαὶς οἱ νεώτεροι διαιρέσεις ὑπενόησι, τὴν ἐκτεθεῖσαν συσῆσαι πειρώμενοι διαίρεσιν, κακῶς τὸ κακὸν, τὸ τῶ λέγω, ἰώμενοι, ἀλλ' ἐς δύο ταύτας πάσας ἐστὶν ἀναγαγεῖν. ἢ γὰρ τὰς διαφόρας ταύτας Λογικὰς, καὶ διαφόρους ἕξεις τίθενται εἶναι, ἢ μίαν ἕξιν ἀμφοτέρας ὑποτιθέμενοι, τῷ λόγῳ ὁποσουῦν ἄλλως διχοτομίαν ἐννοοῦσιν. ἀλλ' οὐδετέρως ἐνδέχεται πιθανῶς εἰπεῖν. μίαν γὰρ ἕξιν τιθεμένοις, συμβαίνει τὴν αὐτὴν λέγειν ποιητικὴν, καὶ θεωρητικὴν, Τέχνην δηλαδὴ, καὶ Ἐπιστήμην, ὅπερ ἀδυνατον. τὰ γὰρ διαφέροντα τῷ γένει, ἀδυνατον σὺ εἶναι τῷ εἴδει. ὥσπερ τὰ διαφέροντα τῷ εἴδει, ἀδυνατον σὺ εἶναι τῷ ἀριθμῷ. τὸ δὲ ποιητικὸν καὶ τὸ θεωρητικὸν, ἡ Τέχνη δηλαδὴ καὶ Ἐπιστήμη, διαφέρουσι τῷ γένει. ἀδυνατον ἄρα σὺ εἶναι τῷ εἴδει, ἢ τῷ ἀριθμῷ.

Ἡ μείζων πρόδηλος καὶ παρὰ πᾶσιν ὁμολογουμένη. τὰ γὰρ διαφέροντα τῷ γένει, ἐνδέχεται μὲν τῷ αὐτῷ ἐνυπάρχειν ὑποκειμένῳ, καθ' αὑτὰ δὲ θεωρούμενα, οὐκ ἄποτε γένοιντο εἴδει ἢ τῷ ἀριθμῷ τὰ αὐτά. ἡ ἐλάττων ὁμοίως ἐστὶ παρὰ πᾶσιν ὁμολογουμένη, καὶ δεδήλωται ἀνωτέρω. ἀδυνατον ἄρα μίαν ἕξιν οὖσαν καὶ τὴν αὐτὴν, Τέχνην ἅμα εἶναι, καὶ Ἐπιστήμην. Δεύτερον αὐτοῖς συμβαίνει, ὃ καὶ γελοῖον, διχοτομεῖν δηλαδὴ κα-

τὰ

τὰ ταυτὰ, καὶ τὰς λοιπὰς Τέχνας. πάσαις γὰρ πρόσεστι μετὰ τῆς πράξεως θεωρία, ἡ ἄρχεται ἡ πρᾶξις ὅθεν ἡ θεωρία λήγει, ὡς τὸ κοινὸν ἀξίωμα βούλεται τῶν Φιλοσόφων. ἔσαι ἄρα ἡ Σκυτοτομικὴ δύο, οὐ μία Τέχνη, καὶ ἡ Χαλκευτικὴ ὁμοίως. καὶ ἔσαι ἅμα ἡ Σκυτοτομικὴ, Τέχνη καὶ Ἐπιστήμη, καὶ αἱ λοιπαὶ ὡσαύτως. οὔ τί γελοιότερον;

Δύο δὲ εἰ λέγοιεν ἕξεις, παραλογώτερα τὰ συμβαίνοντα. πρῶτον μὲν ὅτι πολυπλασιάζουσιν ἐκτὸς ἀνάγκης τὰ ὄντα. οὐδεμία γὰρ ἀνάγκη δευτέρας ἕξεως εἰς ποιεισμὸν τῶν ἐπὶ τὴν Λογικὴν μέθοδον ἀνηκόντων. ὁ γὰρ εἰδὼς, φέρε εἰπεῖν, τὸν τρόπον τῆς συνθέσεως συλλογισμοῦ, καὶ ἀποδείξεως (ὅπερ ἐστὶν ὥς φασι τῆς διδασκούσης Λογικῆς) οὗτος καὶ συνθήσεται ῥᾳδίως συλλογισμὸν, καὶ ἀπόδειξιν ἄνευ ἑτέρας ἕξεως. οὐκ ἄρα ἐστὶ χρεία τῆς χρωμένης τοῖς ἔχουσι τὴν διδάσκουσαν. καὶ ἐξ ἐναντίας, εἴτις ὑγιῶς τίθησι συλλογισμὸν, καὶ ἀπόδειξιν, (ὅπερ ἐστὶ τῆς χρωμένης κατ' αὐτοὺς Λογικῆς) οἶδε πάντως καὶ τὸν τρόπον τῆς συνθέσεως αὐτῆς. τοῖς ἄρα ἔχουσι τὴν χρωμένην, οὐ χρεία ἐστὶ τῆς διδασκούσης. ἁπλῶς δὲ τοῦτο πάσης ἐστὶ Τέχνης κοινόν. ὁ γὰρ ἐνεργῶν κατὰ Τέχνην, οἶδε καὶ ὅπως δεῖ κατὰ Τέχνην ἐνεργεῖν. καὶ ἀνάπαλιν ὁ εἰδὼς ὅπως δεῖ κατὰ Τέχνην ἐνεργεῖν, πάντως καὶ κατὰ Τέχνην ἐνεργεῖ, μηδενὸς ἄλλου κωλύοντος.

Δεύτερον. εἰ διάφοροι ἦσαν ἕξεις, καὶ ὑπὸ διαφόρων ἐνεργειῶν ἐπορίζοντο. ἀλλ' οὐ ποιέζονται ὑπὸ διαφόρων ἐνεργειῶν, οὐκ εἰσὶν ἄρα διάφοροι ἕξεις. δείκνυται ἡ μετάληψις. μανθάνοντες γὰρ ὅπως δεῖ συντιθέναι συλλογισμὸν, ἀπόδειξιν, καὶ τὰ τοιαῦτα, ἅμα καὶ συντιθέναι γινώσκομεν. Παρὰ ταῦτα, εἰ δύο ἦσαν ἕξεις, δυνατὸν ἦν γενέσθαι θατέραν θατέρας χωρὶς. ἀλλὰ τοῦτο ἀδύνατον, ἄρα καὶ τὸ ἐξ οὗ ἕπεται. τὸ συνημμένον δείκνυται ἐπαγωγῇ. τὰς γὰρ διαφόρους ἕξεις ὁρῶμεν πολλάκις χωρὶς ἀλλήλων γινομένας. εἰ οὖν καὶ αἱ καθ' αὑτὰς ἕξεις διάφοροι ἦσαν, ἐγίγνοντο ἂν χωρὶς ἀλλήλων. ἡ μετάληψις καθ' ἑαυτὴν προφανής. ὁ γὰρ λόγος τῆς Τέχνης ἀναγκαίως ἔχει καὶ τὸ δύασθαι ἐνεργεῖν, (μηδενὸς ὄντος κωλύοντος) καὶ τὸ κατὰ Τέχνην ἐνεργεῖν, ἀναγκαίως ἔχει καὶ τὸν κατὰ Τέχνην λόγον. ὅλως ἂν ἐστὶ γελοία ἡ τοιαύτη τῆς Λογικῆς μεθόδου διαίρεσις. ἀξιοῖ γὰρ Τέχνην ἄλογον δίδοσθαι, καὶ λόγον τεχνικὸν μὲν ὄντα, μὴ ποιητικὸν εἶναι. ἀλλ' αἱ τούτων παραδοξολογίαι, καὶ αὐταὶ ἑαυταῖς πρὸς ἀναῤῥοπὴν ἱκαναί. λείπεται τοιγαροῦν, ἐξ ὧν ἐδείχθη, τὴν Λογικὴν Τέχνην εἶναι μόνον, καὶ οὐχ ἅμα Τέχνην καὶ Ἐπιστήμην, κατὰ τὰς περατολογίας τῶν Νεωτερικῶν.

Ἐπι-

Ἐπιχειρήματα τῶν λεγόντων τὴν Λογικὴν μέθοδον μέρος τῆς Φιλοσοφίας, καὶ ἐπίλυσις τῶν αὐτῶν.

Οὐ μεῖον καὶ τῶν πάλαι φιλοσοφησάντων οἱ ἔμπειρότεροι διωμέχθησαν περὶ τῆς Λογικῆς πραγματείας, οἱ μὲν ὄργανον ταύτην Φιλοσοφίας ἀποκαλοῦντες, οἱ δὲ μέρος ταύτης ἀποφαινόμενοι. καὶ ὄργανον μὲν ἔλεγον ταύτην εἶναι πάντες οἱ ἐκ τοῦ Περιπάτου καταγόμενοι, (ὥσπερ καὶ ἐστίν.) οἱ δὲ λέγοντες μέρος εἶναι, ἐκ τῆς περιβοήτου Στοᾶς ἀπήρτηντο. ὁ δὲ Πλάτων ἐν χρήσει καὶ διδακτικὴν ὀνομάζων, καὶ μέρος καὶ ὄργανον ταύτην φαίνεται ἀποδεχόμενος. ὡς διδακτικὴν μὲν ὄργανον, οἷα καὶ Τέχνην. ὡς ἐν χρήσει δὲ μέρος τῆς Φιλοσοφίας ἐκείνης, ἧς τῇ ὕλῃ ἐφαρμόττεται. ἐγύμναζε δὲ τὸ λεγόμενον καὶ ἐπὶ παραδείγματος οὕτως. ἡ Χεὶρ ἐστὶ μὲν ὄργανον δόσεως καὶ λήψεως, ἔστι δὲ καὶ μέρος τοῦ ὅλου σώματος. ἡ Θύρα οὕτως. ὁ Ξέστης ἐστὶ δίττος, ὁ μὲν μεῖζων, ὁ δὲ μειούμενος. καὶ ὁ μὲν μεῖζων ὄργανον ἐστὶ τῆς μετρήσεως, ὁ δὲ μειούμενος μέρος τοῦ ὅλου ὑγροῦ. τί οὖν κωλύει καὶ τὴν Λογικὴν Μέθοδον, ὡς μὲν ποιητικὴν ὄργανον συλλογισμῶν εἶναι, ὡς δὲ τῇ ἔμπειρῃ ὕλῃ ἐφαρμοττομένην, καὶ μέρος ἐκείνης τῆς Ἐπιστήμης εἶναι; Ἔστι μὲν οὖν ἑνὰ τρόπον διὰ τὸ ἀξιωματικὸν τοῦ ἀνδρός, καὶ ὡς εἰπεῖν αἰδέσιμον παρὰ πᾶσιν, σιωπὴν φρονιμῆσαι ἀπολογίας, καθ' ἕτερον δὲ τρόπον διανοουμένους, θεραπευτέον διάτινος βραχείας ἁπλύσεως τό, τε λεγόμενον, Θ ἡμᾶς. ῥητέον δὲ οὕτω.

Μέρος καὶ ὄργανον ὁ Πλάτων ταύτην ἀπεφαίνετο, μήπω πάνυ ἀκριβῶς ἐξετάσας, καὶ ἐπιμελέστερον. οἱ γὰρ πρὸ Πλάτωνος φιλοσοφήσαντες, ἐχρῶντο μὲν ἀποδείξεσιν, ἀλλ' οὐκ εἴδεσαν τὸν τρόπον τῆς συνθέσεως τούτων, οὔτε τὴν Λογικὴν διακεκριμένως ἐγίνωσκον ὡς Τέχνην, ἢ Ἐπιστήμην. ὁ δὲ Πλάτων ἀτενέστερον διανοηθείς, κατά τι μὲν Ἐπιστήμην, κατά τι δὲ Τέχνην ἐνόησε, μεθ' ὃν ὁ Ἀριστοτέλης τὰς ἐκείνου περὶ αὐτῆς ἑρμηνείας χειραγωγούμενος, κἀκείνων καὶ πάντων τῶν προγενεστέρων, ὀρθώτερον περὶ ταύτης διέγνωκε, καὶ ἐς τέλος ἀπηκριβώσατο, καὶ τὴν ἀναλυτικὴν ἐπιμελῶς διωρθώσατο, καὶ πασῶν τῶν λοιπῶν ἕξεων διακείνας, λόγοις ἀποδεικτικοῖς ὑπὸ τὴν Τέχνην ἀσφαλῶς, καὶ ἀληθῶς εἶναι διωρίσατο.

Πρὸς δὲ τὰ ἐπιχειρήματα, οὕτωσὶ διὰ βραχέων ἀπαντητέον. ἔστι μὲν ἡ Χειρ ~~δίπου~~ ὄργανον, καὶ μέρος τοῦ ἀνέου σώματος, ἀλλὰ τοῦτο ~~μὲν~~ ἐπὶ τῶν σωμάτων, καὶ ~~τούτων~~ μόνον ἐπὶ τῶν ὀργανικῶν. αἱ δὲ Ἐπιστήμαι, καὶ ἁπλῶς αἱ ἕξεις, οὔτε σώματά εἰσι, οὔτε ὀργανικά. ὁ δὲ Ξένης, ὅτι μὲν ὄργανόν ἐστι τῆς μεθόδου, ἀληθές. ὅτι δὲ μέρος, οὐκ ἀληθές. εἰ δὲ τὸ ἐν τῷ Ξένῃ ὑγρὸν ἐννοεῖν, τοῦτο δ' αὖ ἐστὶ μὲν ἀληθῶς μέρος τοῦ ὑγροῦ, οὐ μὴν μέθοδον. μέθοδον γάρ ἐστι τὸ ἀγγεῖον, ὃ καὶ Ξένης κατονομάζεται. οἱ δὲ Στωϊκοὶ τῶν ἑαυτῶν δόξαν, διὰ δύο ἐπιχειρημάτων καταπολεμοῦσιν, ὡς φαίνεται παρὰ Ἀμμωνίῳ. ὧν ἡ μὲν πρώτη προέρχεται τοῦτον τὸν τρόπον. παντὸ τὸ κεχρημένον τινί, ἐὰν ἐκεῖνο ᾧ χρῆται τὸ χρώμενον, μήτε μέρος ἐστὶν ἄλλου, μήτε μόριον, ἐξ ἀνάγκης ἢ μέρος ἐστὶν, ἢ μόριον τοῦ αὐτοῦ. Εἰ οὖν τῇ Λογικῇ κέχρηται ἡ Φιλοσοφία, αὕτη δὲ οὐκ ἔστιν ἑτέρας Ἐπιστήμης μέρος, ἢ μόριον, ἔσται ἄρα τῆς Φιλοσοφίας. τοιαύτη μὲν οὖν ἐστὶν ἡ πρώτη αὐτῶν ἐπιχείρησις, ἥτις ἀνατρέπεται οὕτως παρὰ τοῦ Ἀμμωνίου. εἰ γάρ τις ἀντιστρέψας τὸν λόγον ἐρεῖ, ἐπειδὴ ἡ Γραμματικὴ, καὶ ἡ Ἰατρικὴ χρῶνται τῇ Λογικῇ, ἡ μὲν διὰ τὸ δεῖξαι τοὺς ἑαυτῆς κανόνας ὀρθῶς ἔχοντας, ἡ δὲ διὰ τὸ συνίσασθαι τὰ ἑαυτῆς δόγματα, καὶ οὔτε μέρος οὔτε μόριον ἐστὶν ἄλλης Τέχνης, ὁμολογουμένως τῶν εἰρημένων τεχνῶν, μέρος, ἢ μόριον ἔσται. ἀλλως δὲ ἐλλειπτικῶς τὸν λόγον προήγαγον. ἔδει γὰρ αὐτὸν ~~τοῖς~~ εἰπεῖν οὕτω. παντὸ κεχρημένου τινί, ἐὰν ἐκεῖνο ᾧ χρῆται τὸ χρώμενον, μήτε μέρος ἐστὶ, μήτε μόριον, μήτε ὄργανον ἄλλης Τέχνης, ἢ Ἐπιστήμης, αὐτοῦ τοῦ χρωμένου ἢ μέρος, ἢ μόριον, ἢ ὄργανον ἔσται. ἐπειδὴ δὲ ἡ Λογικὴ μήτε μέρος ἐστὶ, μήτε μόριον τῆς Φιλοσοφίας, ὄργανον αὐτῆς ἔσται. ὅτι δὲ δεῖ προσθεῖναι τῷ λόγῳ, τὸ, μήτε ὄργανον, δῆλον ἐντεῦθεν. ἡ γὰρ Ἰατρικὴ χρῆται τῷ φλεβοτόμῳ, ὅπερ οὔτε μέρος, οὔτε μόριον ἐστὶν ἄλλης Τέχνης, τῆς Ἰατρικῆς ἄρα. εἰ δὲ ταῦτα ἀληθῆ, ἐπειδὴ τὸ φλεβοτόμον σῶμα ἐστὶ, καὶ ἡ Ἰατρικὴ σῶμα ἔσται, οὖσα ἕξις ψυχῆς, καὶ Ἐπιστήμη, ὅπερ ἄτοπον.

Ἡ δὲ δευτέρα αὐτῶν ἐπιχείρησις ἐστὶ τοιαύτη. ἐδεμία Τέχνη φασὶ ποιεῖ τὸ οἰκεῖον ὄργανον, εἰ οὖν ἡ Φιλοσοφία ποιεῖ τῶν Λογικῶν, οὐκ ἔσται αὐτῆς ὄργανον, ἀλλὰ μέρος. ἀναβέβηκε δὲ καὶ αὕτη παρ' αὐτοῖς. ὅτι εἰσὶ καὶ ἄλλαι Τέχναι πολλαὶ εὑρετίδες τῶν οἰκείων ὀργάνων, οἷον, ἡ Χαλκευτικὴ τοῦ ἄκμονος, ὀργάνου αὐτῆς ὄντος, ὡσαύτως καὶ ἡ Τεκτονικὴ τῆς

σφύρας. τί οὖν ἄτοπον καὶ ταῦτα λέγειν τὴν Λογικὴν ὄργανον Φιλοσοφίας, εἰ μὴ ἀποτέλεσμα ἐστὶν αὐτῆς; εἰ δὲ βούλει, πρόσθες, ὅτι ἔπως μὲν διὰ τῆς τοιαύτης ἐπιχειρήσεως, εἰ καὶ ἀσθενῶς ἀποδεικνύουσιν ὄργανον μὴ εἶναι, τίνι δὲ τρόπῳ μέρος τῆς Φιλοσοφίας ἐστὶν αὐτῆς ἔστιν, οὐδ' ὁτιοῦν λέγουσιν. ὅπερ ἔδει μᾶλλον ποιῆσαι.

Οἱ δὲ Περιπατητικοὶ πάντες ὄργανον τῆς Φιλοσοφίας τὴν Λογικὴν ἀποφαίνονται εἶναι, καὶ πλείοσιν ἐπιχειρήμασι τὸ τοιοῦτον ἀσφαλίζουσι δόγμα. Πρῶτον μέν, ὅτι τὰ μέρη οὐ περιλαμβάνονται ἀλλήλοις. οἷον ἡ χεὶρ οὐ περιλαμβάνεται ἐν ποδί. ἡ δὲ Λογικὴ περιλαμβάνεται ἐν τῇ πρακτικῇ καὶ θεωρητικῇ, ἄρα οὐκ ἔσται μέρος Φιλοσοφίας, ἀλλ' ὄργανον. Δεύτερον, εἰ τὰ ἰδιώματα ἅπερ ὑπάρχει τῷ μέρει, ταῦτα οὐχ ὑπάρχει τῇ Λογικῇ, ἃ δὲ ἰδιώματα ὑπάρχει τῷ ὀργάνῳ, ταῦτα καὶ αὐτῇ ὑπάρχει, δῆλον οὐχ ὡς μέρος, ἀλλ' ὄργανον ἐστίν. ἀλλ' ὅσα ὑπάρχει ὀργάνῳ ὑπάρχει καὶ αὐτῇ, ἄρα ὄργανον καὶ οὐ μέρος. τῷ γὰρ μέρει ὑπάρχει τὸ δι' αὐτὸ γεγονέναι καὶ μὴ δι' ἄλλο. ὥσπερ τὸ θεωρητικὸν μέρος ὂν τῆς φιλοσοφίας, δι' ἑαυτὸ γέγονε, καὶ μὴ δι' ἄλλο, ὡσαύτως δὲ καὶ τὸ πρακτικόν. τῷ δὲ ὀργάνῳ ὑπάρχει, τὸ δι' ἄλλο γεγονέναι, καὶ μὴ δι' ἑαυτό. ἡ ἄρα Λογικὴ οὐ δι' ἑαυτὴν γέγονεν, ἀλλὰ δι' ἄλλο. διὰ γὰρ τὸ διαπείνειν ἐν μὲν θεωρίᾳ τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους, ἐν πράξει δὲ τὸ καλὸν ἀπὸ τοῦ κακοῦ. ὥστε ὄργανον ἐστὶ τῆς Φιλοσοφίας καὶ οὐ μέρος.

Ἔτι παῦ μέρος τὴν αὐτὴν ὕλην ἔχει, καὶ τὸ αὐτὸ τέλος τῷ ὅλῳ. ἡ δὲ Λογικὴ οὔτε τὴν αὐτὴν ὕλην, οὔτε τὸ αὐτὸ τέλος τῇ Φιλοσοφίᾳ ἔχει. οὐκ ἔσται ἄρα αὐτῆς μέρος. ἡ γὰρ ὕλη τῆς Φιλοσοφίας πράγματα, τέλος δὲ ἡ πρὸς τὸν Θεὸν ὁμοίωσις. τῆς δὲ Λογικῆς ὕλη, αἱ διὰ τῶν νοημάτων σημαντικαὶ φωναὶ τῶν πραγμάτων, τέλος δὲ ἀπόδειξις. Ἔτι τὸ μέρος συντιθέμενον μετὰ τῶν ἄλλων μερῶν συμπληροῖ τὸ ὅλον, ἀφαιρούμενον δὲ κολοβοῖ. ἡ δὲ λογικὴ οὐδέτερον τούτων ἀπεργάζεται. οὐκ ἄρα μέρος, ἀλλ' ὄργανον.

Τούτοις τοῖς ἐπιχειρήμασιν, οὔτε δυνατὸν, οὔτε χρὴ ἀντιλέγειν, ὡς καὶ Ἀμμωνίῳ δοκεῖ. ἔχονται γὰρ ἀληθείας, τῇ δ' ἀληθείᾳ ἀντιλέγειν οὐκ ἀκίνδυνον.

Και-

Κοινωνία καὶ διαφορὰ, Γραμματικῆς, Ῥητορικῆς, καὶ Λογικῆς.

Τρεῖς οὖν αὗται λόγοις ἀμηχέπως φαίνονται κεχρημέναι. Γραμματικὴ, Ῥητορικὴ, καὶ Λογική· ὅθεν καὶ λογικαὶ τέχναι εἰκότως ἤκουσαν· ἀλλ' ἡ μὲν Λογικὴ κέχρηται τῷ ἐν τῇ φωνῇ λόγῳ, οὐ παύτοι καθ' αὑτὸ, ἀλλ' ἧπερ ἐστὶν ἑρμηνευτικὸς τῆς ἰδιότητος καὶ τάξεως τῆς ἐν τῇ ψυχῇ παθημάτων τῆς ἡμετέρας γνωσικῆς δυνάμεως. Ῥητορικὴ δὲ κέχρηται μὲν καὶ αὐτὴ ἀναγκαίως ταῖς φωναῖς, οὐ πολυπραγμονεῖ δὲ τὴν σημασίαν αὐτῇ, ἀλλὰ τὸ σύντομον καὶ πειθανόν. ἡ δὲ Γραμματικὴ καθ' αὑτὸ καταγίνεται περὶ τὴν σημασίαν τῆς φωνῆς, τέλος ποιοῦσα τὴν ἐν τῷ λέγειν καὶ γράφειν ὀρθότητα, καὶ θεωροῦσά πως τὴν διαφορὰν καὶ συγγένειαν τῆς τοῦ λόγου μερῶν. πάντως μὲν ἀναγκαῖον ἦν,

Ἰσέον ὅτι ἡ Ῥητορικὴ σύγκειται ἐκ τῆς Τοπικῆς, καὶ τῆς περὶ τὰ ἤθη πραγματείας. ὡς ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ πρὸς Θεοδέκτην, καὶ ἔστιν ὄργανον τῆς πρακτικῆς Φιλοσοφίας, ὡς ἡ Λογικὴ τῆς θεωρητικῆς. θεωρίας μὲν τέλος ἡ γνῶσις τοῦ ἀληθοῦς, τῆς δὲ πράξεως ἡ δίζωία τῆς ὑπηκόων, πρὸς οὓς τῇ Ῥητορικῇ κέχρηται ὁ πρακτικὸς Φιλόσοφος. διὸ ἡ Λογικὴ οὐ πρὸς ἕτερον ἀναφέρεται. ἡ δὲ Ῥητορικὴ πρὸς ἕτερον, ἤτοι πρὸς τοὺς ἀκροατὰς, ὡς ὁ Φιλόσοφος ἐν τῷ αὐτῷ Κεφαλαίῳ πρὸς Θεοδέκτην. ἢ μᾶλλον χρόνου τέλους, ἢ καὶ ἄλλης τινὸς

διάφορον Κοινωνοῦσιν τοιγαροῦν ἄμφω, ὅτι ἐκτείνονται περὶ πάντα τὰ ὄντα. διαφέρουσι δὲ, ὅτι ἡ Λογικὴ καὶ ἀναγκαίως συλλογίζεται, καὶ πιθανῶς ἐπ' αὐτῇ κατὰ τὸν ἐν χρείᾳ συλλογισμὸν, ἰδίως δὲ μόνον ἀναγκαίως. ἡ δὲ Ῥητορικὴ τοῦ πιθανοῦ μόνον γίνεται σοχαστικὴ ἐπὶ τούτων, καὶ ἐφ' ὅσον εἰς πολιτικὸν ζήτημα ἀναφέρεται, τούτοις ἐφαρμόττεται, ἐφ' ὅτε δὲ καὶ τοῦ ἀναγκαίου διὰ τὴν ὕλην. καὶ προσέτι διαφέρει ἡ Ῥητορικὴ τῆς Λογικῆς, ὡς τὸ μέρος ἀπὸ τοῦ ὅλου. Πρὸς τούτοις διειλόχαμεν, ὅτι τῇ μὲν Λογικῇ χρώμεθα ἐπὶ τῆς ὄντων, ἁπλῆ τινὸς περισκέψεως, καὶ καθόλου ταῦτα θεωροῦντες· τῇ δὲ Ῥητορικῇ μετά τινος περισκέψεως, καὶ ἐπὶ μέρους· ἡ γὰρ πρᾶξις διάφορος τῆς καθ' ἕκασα Πόλεων, καὶ προσώπων.

Οἷς δὲ μάλιστα διαφέρει Ῥητορικὴ καὶ Λογικὴ, ἓξ ταῦτα εἰσί. πρῶτον ὁ σκοπὸς τῆς ἐνεργείας. δεύτερον ἡ ὕλη. καὶ τρίτον τὸ τέλος. καπὶ μὲν οὖν τὸν σκοπὸν τῆς ἐνεργείας διαφέρουσιν, ὅτι ἡ Ῥητορικὴ κέχρηται συλλογισμῷ πιθανῷ, ἡ δὲ Λογικὴ οὐ κέχρηται, ἀλλ' ἐργάζεται συλλογισμόν. κατὰ δὲ τὴν ὕλην διαφέρουσιν, ὅτι ἡ Ῥητορικὴ καταγίνεται κυρίως

περὶ τὰς πολιτικὰς συζητήσεις, ὅθεν καὶ τῆς πρακτικῆς Φιλοσοφίας ὄργανον γίνεται. κέχρηται γὰρ ταύτῃ ὁ πολιτικὸς εἰς διεξαγωγὴν τῆς πολιτείας, ἐφ' ᾗ καὶ ἡ Ποιητικὴ ἀναφέρεται. ἡ δὲ Λογικὴ ὕλλῳ μὲν οὐδεμίαν ἔχηκε ὡρισμένῳ, ἀλλ' ἁπλῶς ὡς ἔφημεν, τὰς σημαντικὰς τῶν ὄντων φωνὰς ὕλλῳ ποιεῖται. κατὰ δὲ τὸ τέλος, ὅτι ἡ Ῥητορικὴ τέλος ποιεῖται τὸ πεῖσαι τοὺς ἀκροωμένους, ἢ γοῦν πιθανῶς εἰπεῖν. τὸ δὲ τέλος τῆς Λογικῆς ὄργανα παραδοῦναι τῇ Φιλοσοφίᾳ, εἰς διάγνωσιν ἀληθείας καὶ ψεύδους, ὅθεν καὶ τῆς θεωρητικῆς Φιλοσοφίας ὄργανον ὀνομάζεται, καὶ προτάττεται τῆς θεωρητικῆς πραγματείας τοῦ Φιλοσόφου, ὥσπερ καὶ ἡ Ῥητορικὴ, καὶ Ποιητικὴ τοῖς Πολιτικοῖς βιβλίοις συντάττονται, εἷς καὶ ὑπηρετοῦσι.

Περὶ εὑρέσεως τῆς Λογικῆς.

Τὴν τῆς Λογικῆς εὕρεσιν Διογένης μὲν ὁ Λαέρτιος ἐν τῷ τοῦ Πλάτωνος βίῳ, Ζήνωνι πρώτῳ ἀπονέμει, ἕτεροι δὲ τῷ Ἀναξιμένει. φασὶ δέ ὅτι καὶ Ἀριστοτέλης (τοῦ αὐτὸν Διογένους ἀναφέροντος) τῷ αὐτῷ Ἀναξιμένει ταύτην ἀνῆψε. τῶν δὲ Φιλοσοφούντων τινὲς αὐτὸν τῷ Φιλοσόφῳ ἀπονέμουσι. πίστεται δὲ τοῦτο καὶ παρ' αὐτῷ Ἀριστοτέλει ἐν κεφαλαίῳ ἑκάστῳ τῶν περὶ Ἐλέγχων. ὅστις ἑαυτῷ πρῶτον οἰκειοῦται τὴν εὕρεσιν τῆς Λογικῆς. οἱ γὰρ ἀρχαῖοι φησὶν οὐκ ἀμοίρησαν τῆς Λογικῆς Τέχνης, ἀλλ' ἐχρήσαντο τοῖς ἀπ' αὐτῆς, οἷον ὁρισμοῖς, συλλογισμοῖς, καὶ τοῖς τοιούτοις. ἀλλ' ἐπειδὴ οὐκ ἔστιν αἴδε τῆς Λογικῆς ἐγκρατῆ γενέσθαι τινὰ Φιλοσοφίας, προξένηται ἡμᾶς ἡ ἀκολουθία τῶν πραγμάτων, τὴν εὕρεσιν ταύτην ἀναθεῖναι ἐκείνοις, οἳ πρῶτον ἤρξαντο φιλοσοφεῖν. φανεῖται μέν τοι ταύτην τὸ κατ' ἀρχὰς, ἀκατάσκευον καὶ ἀκαλλὲς, ἐλλειπῶς τε, καὶ συγκεχυμένως χρῆσθαι ταύτῃ τοὺς πρὸ Ἀριστοτέλους φιλοσοφήσαντας, τῷ δὲ τοῦ χρόνου διαστήματι ὑπὸ τῶν Φιλοσόφων διορθοῦσθαί τε, καὶ πλατύνεσθαι. σεσημειωμένων γὰρ τῶν ἐν Φιλοσοφίᾳ ἁμαρτημάτων, καὶ διορθουμένων, εἰκὸς ἦν κανόνας ἀληθεστέρους πρὸς τὸ φιλοσοφεῖν δεῖσπεσθαι. διὸ πιστευτέον πολλὰ προσθεῖναι ταύτῃ τὸν Ζήνωνα, πολλὰ τὸν Πλάτωνα. ὑπὸ δὲ Ἀριστοτέλους οὐ μόνον ηὐξήθη καὶ τελειοτέρα γέγονεν, ἀλλὰ καὶ τελείως ἐξηκριβώθη, καὶ τῷ Τοπικῷ ταύτῃ προσέθηκεν, ὡς αὐτὸς φησιν ἐν τῷ ῥηθέντι κεφαλαίῳ τῶν Σοφιστικῶν ἐλέγχων.

ηὐξήθη

Διαί-

Διαίρεσις τῆς Λογικῆς πραγματείας, καὶ τῆς ταύτης μερῶν ἀπαρίθμησις.

Διαφόρως ἡ Λογικὴ πραγματεία ὑπὸ τῶν ταύτῃ ἐπαγγελλομένων διαιρέσεις ὑπεδέχεται, κατὰ τὸ δοκοῦν ἑκάστῳ ταύτῃ διαιρῶν· αὕτη μέν τοι ἡ διαίρεσις ἀλογωτέρα τῶν ἄλλων δοκεῖ, καὶ τῇ φύσει τῆς Λογικῆς ἁρμοδιωτέρα, ἡ εἰς δύο μέρη ταύτῃ διαιροῦσα. ὧν τὸ μὲν ἕτερον ἐστὶ κοινὸν, τὸ δὲ ἴδιον. κοινὸν μέν ἐστιν ὃ τὸν ἐν γένει συλλογισμὸν, καὶ τὰ (1) πρὸς αὐτὸν συντείνοντα περιέχει. ἴδιον δὲ ὃ τὰ εἴδη τοῦ συλλογισμοῦ διακεκριμένως διδάσκει. ταύτῃ δὲ ἡ διαίρεσις συμφωνεῖ πως ἐκείνῃ, ἥτις εἴωθε γίνεσθαι εἰς ξία, τὸ πρῶτον, εἰς τὸν ἀποδεικτικὸν, καὶ τὸ ταύτης ἡγούμενον, καὶ ἑπόμενον μέρος, διαφέρει δὲ κατὰ τοῦτο μόνον. τὴν τὸν ἐξαίρετον τῆς Λογικῆς σκοπὸν ὡς σκοπιμώτατον τέλος λαβοῦσα, τά τε πρὸ αὐτοῦ, καὶ τὰ μετ' αὐτὸν (2) ὡς εἴδη καὶ μέρη (3) τοῦ ἐν γένει συλλογισμοῦ θεωρεῖ.

Ἐπὶ ταύτης (4) τοίνυν τῆς διαιρέσεως οὐκ ἄνευ λόγου τὸ μέρος ἐκεῖνο, ὃ τὸν ἐν γένει συλλογισμὸν περιέχει, προηγεῖται τοῦ μέρους ἐκείνου, ὃ τὰ διάφορα τούτου εἴδη διέξεισι. τὸ γὰρ γένος καὶ τῇ τῆς φύσεως τάξει, καὶ τῇ τῆς διδασκαλίας, τῶν αὐτοῦ εἰδῶν ἀεί ποτε προηγεῖται. τοιγαροῦν καὶ ὁ ἐν γένει συλλογισμὸς γένος κοινὸν ὢν τῶν ξιῶν εἰδῶν τῶν ὑφ' αὑτὸ, διδασκαλικῶς ἅμα καὶ φυσικῶς προηγεῖται τούτων, ἐπειδὴ δὲ ὁ συλλογισμὸς ἔργανον ἐστιν, ᾧ περ φάσιν αἱ τῶν νοῦς ἡμῶν ἐνέργειαι διορθοῦσθαι, καὶ εἰς τὴν τῆς ἀληθείας ἔρευναν ὁδοῦσθαι. αἱ δὴ ἐνέργειαι τοῦ ἡμετέρου νοὸς ξιχῶς διαιροῦνται. ἡ μὲν γάρ ἐστιν ἡ ἁπλῆ πρόσληψις. ὡς ὅτε τὰ πράγ-

Λογικὴ

Εἰς Κατηγορίας, Περὶ Ἑρμηνείας, καὶ Ἀναλυτικὰ πρότερα.	Ἀποδείξιν.	Τοπικὰ, καὶ Σοφιστικά.

(1) Οἷα αἱ Κατηγορίαι, Περὶ Ἑρμηνείας, καὶ ἁπλῶς ὁ ἐν γένει συλλογισμὸς, ὃς συνημμένως καὶ ἀδιαφόρως τὰ τρία εἴδη τοῦ συλλογισμοῦ ἀποδεικτικὸν, τοπικὸν, καὶ σοφιστικὸν περιέχει. (2) Τοὺς ξεῖς συλλογισμούς. (3) Κατηγορίας, Περὶ Ἑρμηνείας. (4) Τῆς διμεροῦς δηλαδὴ διαιρέσεως ἥτοι τῆς πρώτης.

πράγματα ἁπλῶς διαλαμβάνομεν. φέρε εἰπεῖν προσλαβόντες τῷ ἡμετέρῳ νοΐ Ἄνθρωπον, Ἵππον, καὶ τὰ τοιαῦτα. ἥτις καὶ πρόσληψις τῷ ἁπλῶν λέγεται. ἡ δὲ συνθετος, ἥτις κατὰ συνθεσιν καὶ διαίρεσιν θεωρεῖται, ὡς ὅτε καταφάσκομέν τι κατά τινος, ἢ ἀποφάσκομέν τι ἀπότινος. οἷον ὁ Ἄνθρωπος ἐστὶ λογικὸς, ἢ ὁ Ἵππος οὐκ ἔστι λογικός. Ἡ δὲ τείτη ἐνέργεια διάνοια ὀνομάζεται, ὡς ὅτε ἔκτινων προεγνωσμένων ἄλλου τινὸς τῷ γνῶσιν ἐπιφέρομεν. γινωσκομένου φέρε εἰπεῖν τοῦ ἀνθρώπου ὅτι ἐστὶ λογικὸς, καὶ τοῦ Σωκράτους, ὅτι ἐστὶν ἄνθρωπος, ἐπιφέρεται ὅτι ὁ Σωκράτης ἐστὶ λογικός. ἀεὶ δὲ ἡ ἑπομένη τῷ εἰρημένων ἐνεργειῶν προϋποτίθησι τῷ ἡγουμένῳ ὡς οἰκεῖον μέρος, ἡ δὲ ἡγουμένη ἑποιμάζεται τῇ ἑπομένῃ ὡς οἰκείῳ ὅλῳ, ἀναγκη καὶ τὸν συλλογισμὸν κατὰ τὰς ῥηθείσας ξεῖς ταύτας ἐνεργείας διαιρεῖσθαι. ἀλλα καὶ οὕτως ἔχει. καὶ γὰρ ἐξ ὅρων συνίσαται, οἵπερ τῇ πρώτῃ ἐνεργείᾳ τοῦ νοὸς ἀναλογοῦσι. οὗτοι δὲ οἱ ὅροι συμπλεκόμενοι πρὸς ἀλλήλους τας προτάσεις ποιοῦσι, τῇ κατὰ συνθεσιν, ἢ διαίρεσιν ἐνεργείᾳ ἀναλογούσας. Συνθεθεὶς δὲ ἐκ τούτων ὁ συλλογισμὸς, καὶ καθ' ἑαυτὸν θεωρούμενος, τῇ τρίτῃ ἀναλογεῖ ἐνεργείᾳ, τῇ διανοίᾳ δηλαδή. ἡ δὲ τοιαύτη δὲ θεωρία.

Πρὸς τούτοις ἐστὶν ἀξίωμα κοινὸν, ὅτι τὰ μέρη ἐν τῇ συνθέσει προηγεῖται τοῦ ὅλου, ἐν δὲ τῇ γνώσει ἐπιφέρεται. τὸ τοίνυν τέλος (1) τῆς Λογικῆς οὐ τοσοῦτον τῷ τοῦ συλλογισμοῦ γνῶσιν, ὅσον τούτου σοχάζεται συνθεσιν. διὸ δέον ἦν τὸν Φιλόσοφον, πρῶτον μὲν περὶ τῶν ὅρων ἐπιθεῖναι, δεύτερον δὲ περὶ τῶν προτάσεων. καὶ τοῦτο διχῶς, ἢ καθ' αὐτὰς, ἢ καθό εἰσι τοῦ συλλογισμοῦ μέρη. καὶ τείτον περὶ αὐτοῦ τοῦ συλλογισμοῦ.

Ἀλλὰ κἀκεῖνο ἄξιον ἐστὶ ἐπισημειώσεως, ὅτι ἡ ὕλη περὶ ἣν ἡ Λογικὴ καταγίνεται, πάντα τὰ ὄντα ἐστὶν, ἢ τὰ τούτων νοήματα. ὁ δὲ Τεχνίτης ὀφείλει γνῶσιν τινὰ ἔχειν τῆς ὕλης ἐκείνης, περὶ ἣν τὰς ἐνεργείας μέλει ποιήσειν. ἀναγκαῖον ἦν τοιγαροῦν καὶ τὸν Φιλόσοφον πρὸ πάντων τούτων πραγματείαν τινὰ ἐκδοῦναι περὶ πάντων τῶν ὄντων. διὸ δέοντως εἰς δέκα γένη γενικώτατα διαιρήσας τὰ ὄντα, καί τινα γνῶσιν τοῦ ὑποκειμένου ἡμῖν παρεχόμενος, ἀτελῆ μὲν καὶ ἀκατάσκευαστον τό γε κατ' αὐτὸν, λογικῷ μέντοι προσήκουσαν, ἐπὶ τὰ λοιπὰ τῆς πραγματείας προυχώρησεν.

Τὸ δὲ ἕτερον μέρος τῆς διαιρέσεως, ὃ περὶ τῶν εἰδῶν τε συλλογισμοῦ πραγματεύεται, εἰς διάφορα διαιρεῖται μέρη, κατὰ τὴν διαφορὰν τῆς ὕλης καὶ

(1) Ὁ σκοπὸς ἐστὶ τέλος τοῦ λογικοῦ.

καὶ τοῦ τέλους. τὸ γὰρ συλλογιστικὸν σχῆμα, ᾧ προσαρμόζεται ὕλη ἀναγκαία, τουτέστιν ἐκ προτάσεων ἀναγκαίως ἐχόντων συνίσταται, τέλος ἔχον τὴν τῆς Ἐπιστήμης ἐπίγνωσιν, καὶ τοιαύτας τὸ ἀποδεικτικὸν εἶδος τοῦ συλλογισμοῦ καταστρώννυσι. ᾧ ψευδεῖ ὕλη καὶ ἀδυνάτῳ ἁρμόζεται, κατὰ δὲ τὸ δοκοῦν πιθανῇ, τέλος ἔχον τὴν ἀπάτην τῇ ἀκροατῇ, καὶ τότε τὸ ἀπατηλὸν, καὶ σοφιστικὸν εἶδος τοῦ συλλογισμοῦ ἀποτελεῖ. ᾧ δὲ ἐνδόξου καὶ πιθανῆς ὕλης τὸ σχῆμα τοῦ συλλογισμοῦ καταστρώννυται, τέλος ἔχον, δόξαν ἐν ταῖς τῆ ἀκροατῆ διανοίαις παραστῆσαι. καὶ τοῦτο διχῶς, ᾧ γὰρ τοιαύτην δόξαν σοχάζεται, ὥστε περί τινος πράγματος γνῶσιν δοξαστικὴν περιποιῆσαι, ὅς τις συλλογισμὸς τοπικὸς ἀποκαλεῖται. ὥπερ οἱ Φιλόσοφοι ἐν ταῖς διαλέξεσι χρῶνται. ᾧ τὴν τοιαύτην δόξαν περαιτέρω διαβιβάζει, ~~διὰ~~ τὸ πεῖσαι τὸν ἀκροατὴν δηλαδὴ εἰπεῖν τι ἢ πρᾶξαι. ὅς συλλογισμὸς λέγεται ῥητορικὸς περὶ τὴν πολιτικὴν ὕλην καταγινόμενος, εἰς ξία διαιρουμένην τῆ λόγων χρήᾳ, Ἐπιδεικτικὸν δηλαδὴ, δικανικὸν, καὶ συμβουλευτικόν.

Ἡ δὲ τάξις τῆ βιβλίων τῆς Λογικῆς πραγματείας τοῦτον ἔχει τὸν ξόπον. Πρῶτον πάντων ἐστὶ τὸ περὶ Κατηγοριῶν βιβλίον, ἐν ᾧ ἡ ὕλη πάσης τῆς Λογικῆς ἐρμηνεύεται, καὶ ἀκατάσκευός τις ταύτης παραδίδοται γνῶσις. μεθ' ὃ τὸ περὶ Ἑρμηνείας βιβλίον. ὅπερ περὶ ὅρων, καὶ προτάσεων καθ' αὐτὸ πραγματεύεται. καθὸ δηλαδὴ εἰσὶ φωναὶ σημαντικαὶ καὶ ἀποφάνσεις. τρίτον ἐστὶ τὸ ἐπιγραφόμενον πρότερα ἀναλυτικά, ὅπου ὁ Ἀριστοτέλης διέξεισι περὶ τῆ ὅρων, καὶ προτάσεων, ἀναφερομένων εἰς σχηματισμὸν συλλογισμοῦ, (καθὸ δηλαδὴ εἰσὶ τοῦ συλλογισμοῦ μέρη,) καὶ περὶ αὐτοῦ τοῦ ἐν γένει συλλογισμοῦ. μετὰ δὲ ταῦτα τὰ διάφορα τῆ συλλογισμῶν εἴδη ἐπιφέρονται. καὶ πρῶτον πάντων τὸ ἀποδεικτικόν. ὅπερ ὁ Φιλόσοφος ἐν τοῖς Ὑστέροις τῆ Ἀναλυτικῶν ἐκτίθεται. Πέμπτην δὲ τάξιν ἔχει ἡ Τοπικὴ πραγματεία, ἐν ᾗ περὶ τοῦ ἐξ ἐνδόξων συλλογισμοῦ. τελευταῖον δὲ οἱ σοφιστικοὶ Ἔλεγχοι ἐπιφαίρονται.

Τοιγαροῦν τὸ πρῶτον μέρος τῆς διμερῦς διαιρέσεως, τρία περιέχει βιβλία. τὸ περὶ Κατηγοριῶν, τὸ περὶ Ἑρμηνείας, καὶ τὰ πρότερα Ἀναλυτικά. τὸ δεύτερον τὰ λοιπὰ ξία. τὰ ὕστερα Ἀναλυτικὰ, τὴν Τοπικὴν, καὶ τοὺς σοφιστικοὺς Ἐλέγχους. ἐν ᾧ οἱ ξόποι τῆ σοφισμάτων ἐξετάζονται. τῆς δὲ ξιμερῦς διαιρέσεως τὸ πρῶτον μέρος τὰ τρία ἐκεῖνα περιέχει, ἅπερ καὶ τὸ μέρος τῆς διμεροῦς. τὸ δὲ δεύτερον τὰ ὕστερα Ἀναλυτικὰ μόνα, ἐν ᾧ περὶ τοῦ ἀποδεικτικῦ συλλογισμοῦ. τὸ δὲ τρίτον τὰ λοιπὰ

δύο,

δύο, τῶν Τοπικῶν, καὶ τὸ περὶ Ἐλέγχων. τούτων δὲ πάντων προτέτακται τὸ τῦ Πορφυρίυ Σωσπαγμάτιον. ὅπερ οὐκ ἔστι μέρος τῆς Λογικῆς πραγματείας, ἀλλ' εἰσαγωγὴ εἰς αὐτήν.

Τέλος τῶν προλεγομένων, τῷ θεῷ δὲ δόξα.



ΣΧΟΛΑΣΤΙΚΑΙ

ΣΗΜΕΙΩΣΕΙΣ

Εἰς τὴν τοῦ Πορφυρίου Εἰσαγωγήν.

Κατὰ τὴν ἄρτι ἐκτεθεῖσαν ἡμῖν τάξιν τε καὶ ἀπαρίθμησιν τῆς βιβλίων τῆς Λογικῆς Μεθόδου, ὧν αὖ πρὸ σκοποῦ τὴν Λογικὴν πραγματείαν ἀπὸ τῶν περὶ Κατηγοριῶν βιβλίου ἄρξασθαι. ἀλλ' οἱ ταύτην μετιόντες, τὸ τῶν Πορφυρίου συνταγμάτιον κοινῶς φαίνονται ἀποφαινόμενοι πάντων προηγεῖσθαι, διὰ τὸ πλεῖστα συμβάλλεσθαι, πρὸς δύχερῆ κατάληψιν τῆς Κατηγοριῶν. διὸ καὶ ἡμεῖς τοῦτο πρὸ πάντων ἐκθέσθαι δεῖν ἔγνωμεν.

Εἴθισαι δὲ τοῖς φιλοσόφοις προσλαμβάνειν ἐφ' ἑκάστης πραγματείας τινὰ, ἃ καλεῖται προλεγόμενα. ἔστι δὲ ταῦτα προγινωσκόμενά τινα, ὧν ἀναγκαίως ἡ γνῶσις ὑποτίθεται τοῖς μέλλουσιν ἐξηγήσασθαι τινὰ πραγματείαν, οἱονεὶ πρόοδός τις καὶ συγκεχυμένη γνῶσις προσλαμβανομένη διὰ κατάληψιν δύχερεστέραν τῆς ῥηθησομένων. ἐφ' ἑκάστης τοιγαροῦν πραγματείας οἱ Φιλόσοφοι πολλὰ προλέγειν εἰώθασιν. ἐπὶ δὲ τοῦ παρόντος ἡμῖν ἀποχρήσει πέντε, ἢ ἓξ ταῦτα. α'. Τίς ὁ Συγγραφεὺς τοῦ βιβλίου. β'. Τί τὸ κινήσαν ὥστε τοῦτο συγγράψαι. γ'. Τί τὸ περὶ οὗ ὁ λόγος. δ'. Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ. ε'. Τί τὸ χρήσιμον τούτου, καὶ τελευταῖον τίς ἡ τούτου διαίρεσις.

Περὶ τοῦ Συγγραφέως.

Ὁ Συγγραφεὺς τοῦ παρόντος βιβλίου Πορφύριος τὰνόμα ἦν, ἀκμάσας κατὰ τοὺς χρόνους Αὐρηλιανοῦ, καὶ Διοκλητιανοῦ. τῷ γένει Φοίνιξ. τὴν πρίδι Τύριος. τὴν ἐπαγγελίαν Φιλόσοφος. τὴν αἵρεσιν Πλατωνικός. τὴν θρησκείαν ὡς φασιν ἀποστάτης, ὁμιλητὴς χρηματίσας Πλωτίνου τοῦ παυσωνεργάσατο δὲ τὸ παρὸν συνταγμάτιον χαριζόμενος τινὶ νεανίσκῳ τῆς ἀγενῶν Ῥωμαίων Χρυσαορίῳ. ὃς ἀπέστειλε πρὸς αὐτὸν τὸν πῦρ ἱστορουῶντα τῆς Αἴτνης, μέθοδόν τινα συγγράψαι αὐτῷ, δι' ἧς ποδηγετούμενος εἰς ῥαστάραν

τέραν καταλήψιν ἐξήκοιτο τῶ περὶ Κατηγοριῶν βιβλίω. ὁ δὲ τὰ πλεῖστα ἀπὸ τῆς Τοπικῶν συλλεξάμενος τιὼ πραγματείαν ταύτην συνέθετο, ἑπόμενος τῇ κατὰ Περιπατητικοὺς αἱρέσει.

Περὶ τῆς Ἐπιγραφῆς.

Ἡ δὲ τούτου ἐπιγραφὴ διττὴ φέρεται. ἐπιγράφεται γὰρ περὶ τῆς πέντε Φωνῶν, ἔστι δ' ὅτε καὶ Εἰσαγωγὴ τοῦ Πορφυρίου. ὧν ἡ μὲν ἀπὸ τῆς πραγμάτων, περὶ ὧν ὁ λόγος, εἴληπται. δηλοῦται δὲ διὰ τῆς πέντε φωνῶν, αἱ πέντε καθόλου φύσεις. ἡ δὲ ἑτέρα ἀπὸ τοῦ τέλους. σκοπὸς δὲ ἐστὶ τοῦ συντάγματος εἰσαγαγεῖν τοὺς φωτοπείρους εἰς κατάληψιν τῆς κατηγοριῶν τοῦ Ἀριστοτέλους ὡς εἴρηται, καὶ τῆς ἄλλων τῆς εἰς Λογικὼ ἀνηκόντων.

Περὶ τῆς Ὕλης τοῦ Συγγράμματος.

Ἡ δὲ Ὕλη τοῦ Συγγράμματος εἰσὶν αἱ πέντε καθόλου φύσεις καθ' ἃ κατηγοροῦνται. ταυτὸ δέ ἐστιν εἰπεῖν, αἱ πέντε καθόλου κατηγορήματικαὶ φωναὶ, ὡς σημαντικαὶ τῆς καθόλου φύσεων. τὸ γένος δηλονότι, τὸ Εἶδος, ἡ Διαφορὰ, τὸ Ἴδιον, καὶ τὸ Συμβεβηκός. ὑφ' ἃς ἀναγκαίως αἱ ἁπλαῖ πᾶσαι κατηγορηματικαὶ φωναὶ τελοῦσιν.

Περὶ τοῦ χρησίμου.

Χρήσιμος δέ ἐστιν ἡ τούτων πραγματεία ὡς αὐτός πω φησὶ Πορφύριος, εἴς τε τιὼ τῆς Κατηγοριῶν διδασκαλίαν, καὶ τιὼ τῆς Ὁρισμῶν ἀποδοσιν, καὶ ὅλως εἰς τὸ περὶ διαιρέσεως, καὶ ἀποδείξεως. διὸ συμβάλλεται μὲν κατ' ἐξοχὴν εἰς τιὼ κατανόησιν τῆς παρὰ Ἀριστοτέλους Κατηγοριῶν, ἑπομένως δὲ εἰς τὸ διαιρεῖν, ὁρίζειν, ἀποδεικνύειν, καὶ ἀναλύειν. ἅτινα εἰσὶ τοῦ Λογικοῦ ἔργα.

Περὶ Διαιρέσεως.

Διαιρεῖται δὲ γενικώτερον ἡ βίβλος εἰς τρία. Πρῶτον εἰς τὸ Προοίμιον, ἐφ' οὗ τοῦ πρώτου κεφαλαίου περατουμένου, ἐν ᾧ ἡ τῆς λεχθησομένων πρόθεσις. Δεύτερον, εἰς τιὼ ἔκθεσιν τῆς πέντε καθόλου εἰρημένων φύσεων, ἐπὶ πέντε ἑφεξῆς κεφάλαια ἐκτεινόμενον. Τρίτον εἰς τιὼ τούτων αὐτῆς πρὸς ἀλλήλας παραβολιὼ καὶ διάκρισιν.

ΠΡΟΟΙ-

ΠΡΟΟΙΜΙΟΝ

Κείμενον.

„ Ὄντος ἀναγκαίου Χρυσαόριε, καὶ τὰ ἑξῆς.

Τέτταρα ταῦτα πεπραγμάτευται τῷ Πορφυρίῳ ἐπὶ τοῦ προκειμένου προοιμίου. α. ἐκτίθεται τὸ χρήσιμον τῆς πραγματείας. β. ὑπιχνεῖται τὸν τρόπον τῆς διδασκαλίας, ὅτι συντομος ἅμα καὶ εἰσαγωγικός. γ. τίνα εἰσὶ τὰ παραιτητέα αὐτῷ τῷ εἰς ταύτην ἀνηκόντων τὴν συγγραφὴν, καὶ τίνος χάριν. δ. κατὰ τίνα τῷ φιλοσοφούντων αἵρεσιν ἔσαι αὐτῷ ἡ θεωρία.

Περὶ τὸ α. τῷ ἐν τῷ Προοιμίῳ.

Ἐπὶ τὸ α. μέρους τὸ Προοιμίου ἀμφισβητεῖται ὅπως χρὴ ἐννοεῖν τὸ ἀναγκαῖον. εἰσὶν οἱ λέγοντες ἀντὶ τὸ χρησίμου εἰλῆφθαι τῷ Πορφυρίῳ, οἱ δὲ ὅτι τὸ κυρίως ἀναγκαῖον ἐννοεῖ. εἰς δήλωσιν τούτου λεπτέον, ὅτι τὸ ἀναγκαῖον τετραχῶς λέγεται, ὁσαχῶς καὶ τὸ αἴτιον, καὶ ὅτι ἐνταῦθα περὶ τὸ πρός τι ἀναγκαίως ὁ λόγος, ὃ καὶ διχῶς λαμβάνεσθαι εἴωθεν. ἢ γὰρ ἁπλῶς ἐστιν ἀναγκαῖον, ὡς οὗ ἄνευ τυχεῖν τοῦ οὗ ἕνεκα ἀμήχανον. ἢ τὸ πρὸς εὖτε καὶ ῥᾷον τότε τυχεῖν συμβαλλόμενον, ὃ καὶ χρήσιμον μᾶλλον ῥηθείη. Δεύτερον λεπτέον, ὅτι ἀναγκαῖον ἐνταῦθα δυνάμεθα ἐννοεῖν, ἢ τὸ κατὰ Πορφύριον σωταγμάτιον τῆς πέντε εἰρημένων φύσεων κατηγορηματικῶν καθόλου, ἢ τὴν γνῶσιν καὶ πρόληψιν τῆς αὐτῆς. εἰ μὲν οὖν περὶ τῆς γνώσεως ἐννοοῦμεν τὸ ἀναγκαῖον (οἷόπου καὶ Πορφύριος φαίνεται ἐννοῶν) ἁπλῶς τοῦτο λεπτέον. ἀναγκαία γὰρ ἡ πρόληψις τῆς ἐννοίας τῆς πέντε τῶν φύσεων, εἴς τε τῆς ἐν ταῖς Κατηγορίαις λεγομένων, καὶ ἁπλῶς εἰς πᾶσαν τὴν Λογικὴν Μέθοδον. ἥ, τε γὰρ διδασκαλία τῆς Κατηγοριῶν, περὶ Γενῶν μάλιστα, Εἰδῶν τε, καὶ Διαφορῶν διαλαμβάνει, ἐπί τε Οὐσίας καὶ Συμβεβηκότος, διαιρέσα ταῦτα καὶ τάττουσα. ἀλλὰ καὶ οἱ ὁρισμοὶ ἐκ Γένους σύγκεινται καὶ Διαφορῶν, περὶ ὧν ἐνταῦθα ὁ λόγος. διαιρῆσαι δὲ οὐκ ἔστι τοῖς μὴ προειληφόσι, τί μὲν ἐστὶ Γένος, τί δὲ Διαφορὰ καὶ Εἶδος. γίνεται γὰρ ἡ διαίρεσις τῆς Γενῶν διὰ τῆς Διαφορῶν εἰς τὰ Εἴδη, ἀποδείξεως δὲ κυριωτάτη ἀρχὴ ὁ ὁρισμός. ὥστε κἀκείνης ἀδυνάτου διορῆσαι, τὸν τῆς γνώσεως τῆς εἰρημένων ἀμοιροῦντα φωνῶν. ἀναγκαία ἄρα ἁπλῶς ἡ πρό-

λη̃ψις τη̃ς ἐννοίας, ὡς εἴρηται, τού̃των εἰς κατάλη̃ψιν τη̃ς ἐν τῇ Λογικῇ πραγματείᾳ. εἰδὲ ἐπὶ τὸ κατὰ Πορφύριον σωνταγματικὸ τὸ ἀναγκαῖον ἐννοου̃μεν, οὐχ οὕτως ἐστὶν ἀναγκαῖον, ὡς μὴ ἄλλως ἐνδέχεσθαι εἰς κατάλη̃ψιν ἐλθει̃ν τη̃ς ἐν τῇ Λογικῇ. δυνατὸν γὰ̃ρ τὴν γνω̃σιν τη̃ς ἐν αὐτῷ λεγομένων, καὶ ἀναλέξασθαι ἐν τοῖς Τοπικοῖς, ὅθεν καὶ αὐτὸς ὁ Πορφύριος σωνειλοχὼς πιστεύεται. ἢ καὶ παρ' ἄλλου λαβει̃ν. ὥστε οὐχ ἁπλῶς ἀναγκαῖον τὸ σωνταγμάτιον, ἀλλὰ χρήσιμον μόνον. σωνείληται γὰ̃ρ δυφυω̃ς, καὶ τέτακται προσηκόντως ἐν αὐτῷ τὰ εἰρημένα, Γένος, Εἶδος, καὶ τὰ λοιπά. ὅτε ζόπος τη̃ς διδασκαλίας αὐτὸ σαφὴς, καὶ εἰσαγωγικοῖς ὠφέλιμος.

ζητῶν λο. θητῶν

Περὶ τὸ Β'. μέρους τη̃ς ἐν τῷ Προοιμίῳ.

Ὅτι δὲ εἰσαγωγικῷ κέχρηται τη̃ς διδασκαλίας ζόπῳ, δη̃λον τοῖς καὶ μικρὸν ἐπισήσασι. διορίζει γὰ̃ρ πρὸ τη̃ς ἄλλων τὴν σημασίαν τη̃ς λέξεως, τὰ διάφορα ἐκτιθέμενος σημαινόμενα, καὶ σωύτομον τὴν διδασκαλίαν ποιει̃ται, ἀπεχόμενος τη̃ς βαθυτέρων ζητημάτων, τη̃ς δ' ἁπλουστέρων ἁπτόμενος μὲν, ἀλλὰ μεζίως, καὶ μὴ ἐμβαθύων εἰς τὸ ἀκριβὲς, ἐκφράζων μό́ι τοι καὶ αὐτὰ ταῦτα πλατύτερον, συχνάκις τε κέχρηται ἐπαναλήψεσι, καὶ παραδείγμασι παύτα διασαφει̃. συγκείνεται γὰ̃ρ πρὸς ἄλληλα τὰ ἐκτιθέμενα πολυειδῶς, καὶ διακείνει ἀλλήλων, κοινωνίας καὶ διαφορὰς διδάσκων τη̃ς αὐτη̃ς, οἷς δῆλος ἡ διδασκαλία, καὶ εἰσαγωμένοις προσήκουσα γίνεται.

Περὶ τὸ Τείτου μέρους.

Τὰ δὲ ζητήματα ὧν ἀφέξεσθαι ὑπισχνει̃ται, αὐτὸς ἐφεξη̃ς ἐκτίθησι ζία ταῦτα. Πρῶτον, πότερον τὰ Γένη καὶ τὰ Εἴδη ὑφεστηκότα εἰσὶν ἐν τοῖς οὖσιν, ἢ ἐν μόναις ψιλαῖς ἐπινοίαις κει̃ται; Δεύτερον εἰ ὑφέστηκεν ἐν τοῖς οὖσι ταῦτα, πότερον σώματα εἰσὶ ἢ ἀσώματα, καὶ Τείτον εἰ μὲν ἀσώματά εἰσι καὶ ὑφεστηκότα, πότερον χωριστά εἰσι, καὶ καθ' ἑαυτὰ ὑφεστηκότα, ἢ ἐν τοῖς αἰσθητοῖς καὶ ἀτόμοις τὸ εἶναι ἔχει; τούτων οὖ̃ν ἀφέξεσθαι, διττη̃ς οὔσης αἰτίας φησὶν, ὅτι τε βαθυτάτης εἰσὶ θεωρίας, καὶ οὐδὲ τη̃ς προκειμένης ἐξετάσεως οἰκεία. Μεταφυσικῶν γὰ̃ρ περὶ τη̃ς τοιούτων πολυπραγμονει̃ν, εἰς ἃς ἤδη καὶ τὴν θεωρίαν ὑπερτίθησιν. ἀλλ' οἱ νεώτεροι, καὶ παύτα πολυειδῶς βασανίζουσι, περὶ ὧν καὶ ἐριστικῶς ἀπεραντολογου̃ντες, πλει̃στον ὅσον αὐτη̃ς καταχέουσι τὸν λόγον. ἡμει̃ς μέντοι τόγε νυ̃ν ἔχον πειρασόμεθα

θάῤῥον

μεθα εἰπεῖν ἐφ' ἑκάστου περὶ αὐτῶν διαλαβεῖν. ἀλλ' ἐπεὶ τὸ γένος καὶ εἶδος τῶν καθόλου λεγομένων εἰσὶν καὶ οἱ φιλοσοφοῦντες περὶ τῶν καθόλου εἰώθασι ποιεῖσθαι τὰς ἀνωτέρας ζητήσεις, ζητήσωμεν καὶ ἡμεῖς τὰ αὐτὰ περὶ τῶν αὐτῶν. ὅπως ποτε γὰρ ἄν τὸ καθόλου ὑφεσηκὸς εὑρεθῇ, τὸν αὐτὸν ἡμῖν ζόφον καὶ περὶ Γένους καὶ Εἴδους διοίσειν ὀφείλει.

Περὶ τοῦ Τετάρτου.

Τοῦτε τετάρτου μέρους αἴτιον, ὅτι ἐν οἱ πάλαι φιλοσοφήσαντες κατὰ πάντα ὁμόφωνοι ὑπῆρξαν, ἀλλ' ἦσαν ἐν αὐτοῖς αἱρέσεις διάφοροι περὶ Φιλοσοφίας, ὧν πρόκειτος ἓν ἡ τῶν Περιπατητικῶν, ἀπὸ Ἀριστοτέλους τοῦ ἀρχὴν ἔχουσα, ἥτις καὶ νῦν προσβάλεται παρὰ πᾶσι. ταύτης τοιγαροῦν περὶ τῶν προκειμένων τελεώτερον διασκεψάμενος, ὁ Πορφύριος ἐπαγγέλλεται κατὰ τοῦ διδασκαλίαν ταύτης ποιῆσαι τοῦ θεωρίαν, ἅμα τε καὶ τοῦ Χρυσαορίου αἰτιῶντος ταύτην εἰς καταλειψιν τῶν ἐν ταῖς Κατηγορίαις τοῦ Ἀριστοτέλους λεγομένων.

Ἰστέον ὅτι ἡ κατὰ Φιλοσοφίαν αἵρεσις, ἐστὶν ἀνδρῶν ἀρεσκόντων δόξα πρὸς ἑαυτοὺς μὲν συμφωνούντων, πρὸς ἑτέρους δὲ διαφωνούντων. ἀνδρῶν εἴρηται, καὶ οὐχὶ ἀνδρός, ἐπειδὴ ἡ τοῦ ἑνὸς ἀνδρὸς δόξα αἵρεσιν οὐ ποιεῖ, ἀλλὰ θέσιν. Θέσις δέ ἐστι παράδοξος ὑπόληψις, καὶ ἑνὸς τῶν ἐπὶ Φιλοσοφίᾳ γνωρίμων. ὡς ἡ τοῦ Ἡρακλείτου φέρε εἰπεῖν δόξα, ὅτι πάντα κινεῖται. καὶ ἡ τοῦ Παρμενίδου, ὅτι ἓν τὸ ὂν καὶ ἀκίνητον. καὶ ἡ τοῦ Ἀντισθένους, ὅτι ἔστιν ἀντιλέγειν. πολλοὶ τοιγαροῦν εἰσὶν οἱ σωιζῶντες τὴν αἵρεσιν, ἀλλα καὶ ἀσεῖοι, τουτέστιν ἀξιόλογοί τε καὶ ὀπισήμονες. οἱ γὰρ οἰκεῖοι καὶ ἀγελαῖοι αἵρεσιν ἐν Φιλοσοφίᾳ πῶς ποιήσονται; χαρακτηρίζει δὲ τὴν αἵρεσιν, συμφωνία μετὰ διαφωνίας. οἱ γὰρ καὶ πρὸς ἑαυτοὺς συμφωνοῦντες, καὶ πρὸς τοὺς ἄλλους, αἵρεσιν οὐ ποιοῦσι. τὸ γὰρ παρὰ πάντων ὁμολογούμενον κοινὴ ἔννοια ἐστίν. οἷον ὁ Θεὸς ἀγαθὸς, καὶ ὁ Ἥλιος φωτιστικός. ὠνομάθησαν δὲ αἱ κατὰ Φιλοσοφίαν αἱρέσεις κατὰ ζόπους ἑπτά. ἢ γὰρ ἀπ' αὐτοῦ τοῦ Αἱρεσιάρχου, ὡς οἱ Πλατωνικοὶ καὶ Ἀριστοτελικοί. ἢ ἀπὸ τῆς πρίδος τοῦ Αἱρεσιάρχου, ὡς οἱ Κυρηναϊκοὶ, διὰ τὸν Κυρηναῖον Ἀρίστιππον, καὶ οἱ Μεγαρικοὶ ἀπὸ Εὐκλείδους τοῦ Μεγαρέως. ἢ ἀπὸ τοῦ τόπου ἐν ᾧ τὰς συνουσίας ἐποιοῦντο, ὡς οἱ Στοϊκοὶ διὰ τὴν ἐν Ἀττικῇ ποικίλην Στοάν. ἢ ἀπὸ τῆς ἐν τῷ φιλοσοφεῖν ὀκπρίσεως, ὡς οἱ Ἐφεκτικοί. ἔφοι γὰρ ἀκαταληψίαν δοξάζοντες, ἐπεῖχον τὰς λύσεις τῶν προτάσεων. ἢ ἀπὸ τοῦ ζόπου τῆς ζωῆς, ὡς οἱ Κυνικοὶ, ζῶντες ἀδιαφόρως δίκην κυνῶν, τά τε δόγματα τῆς

Φιλο-

Φιλοσοφίας φρουροῦντες, καὶ ὑπερμαχοῦντες αὐτῆς διὰ τῆς ἀποδείξεων, καὶ τοὺς φίλους ἐκ τῆς ἀλογίων, ἤγουν τὰς πρὸς τὸ φιλοσοφεῖν ἐπιτηδείους ἐκ τῆς ἀνεπιτηδείως (1) πρὸς αὐτὸ διακρίνοντες, καὶ τὰς μὲν ἁπλῶς δεχόμενοι, τὰς δὲ μετὰ παῤῥησίας ἐλέγχοντες, καὶ τῆς σωφρονήσεως ἐκδιώκοντες. ἢ ἀπὸ τοῦ τέλους, ὥσπερ οἱ Ἡδονικοὶ, τέλος λέγοντες Σοφίας τὴν Ἡδονὴν, τὴν ἐκ γνώσεως καὶ ἀπαθείας ποιζομένην, καὶ τῆς πρὸς τὸ Θεῖον ἀναγωγῆς, τὸ ἀκρότατον τῆς ἐφετῆς. ἢ ἕκτινος συμβαίνοτος, ὡς οἱ Περιπατητικοὶ, οὕτω κληθέντες, διὰ τὸ ποιεῖσθαι τὰς σωσσίας κατὰ περίπατον, ἵνα τῇ ψυχῇ ἅμα καὶ τὸ σῶμα γυμνάζοιτο.

Ποσαχῶς τὰ δηλούμενα τῆς Καθόλου Φωνῆς.

Ἡ Καθόλου Φωνὴ πλατύτερον ἐννοεῖται, καὶ ἐφ' ὧν ὁποσοῦν τις θεωρεῖται κοινότης ἐκτείνεται. καὶ γάρ ἐστιν ὅτε καὶ ἐπὶ τῆς ὁμωνύμων κέχρηται τῇ φωνῇ ὁ Φιλόσοφος, καὶ ἐπὶ τῆς ἀναλόγων, ἤτοι τῆς ἀφ' ἑνὸς, ἢ πρὸς ἕν. ἀλλὰ καὶ τὰ κοινὰ αἴτια, καθόλου αἴτια οἱ σχολαστικοὶ εἰώθασι λέγειν, οἷα εἰσὶ τὰ οὐράνια σώματα. καὶ προσέτι τὰ κατὰ συμβεβηκὸς λεγόμενα, ὡς τὸ λευκὸν κατὰ Κύκνου καὶ Ψιττακίου. οὐδὲν μέν τοι τούτων ἐστὶ κυρίως καθόλου, οἷον ἐστὶ περὶ οὗ ἡ ζήτησις ἐπὶ τοῦ παρόντος. ἔστι δὲ διαιρῆσαι τὸ καθόλου διχῶς, εἴς τε τὸ κατὰ συμπλοκὴν λεγόμενον, καὶ τὸ αὐθ' συμπλοκῆς. καὶ κατὰ συμπλοκὴν μὲν εἰσὶν αἱ Προτάσεις, καὶ ὅλως ὁ ἀποφαντικὸς Λόγος, περὶ οὗ ἐν τῷ περὶ Ἑρμηνείας. τὸ δὲ αὐθ' συμπλοκῆς περιέχει πάντα ὅσα ἀνωτέρω εἴρηται, τὰ ὁμωνύμως λεγόμενα δηλαδὴ, καὶ τὰ ἀφ' ἑνὸς, ἢ πρὸς ἕν, καὶ τὰς κοινὰς αἰτίας. τὸ δὲ κυρίως σημαινόμενον τῆς καθόλου Φωνῆς, ἐστὶ μία τις φύσις ἐπὶ τῆς ὄντων σωνωνύμως πολλοῖς ὑπαρχουσα, μία οὐχὶ τῷ ἀριθμῷ, ἀλλὰ τῷ λόγῳ. οὕτω συνεχῶς ὁ Φιλόσοφος ἀποδίδωσιν ἐν τοῖς Μεταφυσικοῖς. καὶ ἐν τοῖς περὶ ἀποδείξεως διδάσκει τὸ Καθόλου εἶναι, ὃ πλείοσιν ὑπάρχει. ἔν τε τῷ β. κεφαλαίῳ τοῦ περὶ Ἑρμηνείας βιβλίου, διακρίνων τῆς καθ' ἕκαστα τὰ Καθόλου φησί. Καθόλου δὲ λέγω ὃ ἐπὶ πλειόνων πέφυκε κατηγορεῖσθαι. ὁμοίως καὶ ἐν τῷ πρώτῳ τῆς ὑστέρων Ἀναλυτικῶν. δεῖ ἄρα εἶναι καὶ τὸ αὐτὸ ἐπὶ πλειόνων εἶναι μὴ ὁμωνύμως. τὸ δὲ Καθόλου, ἤτοι ἡ καθόλου φύσις, διὰ τὸ ἐν πλείοσιν ὑπάρχειν, πέφυκε κατὰ πλειόνων κατηγορεῖσθαι.

Θεωρεῖται τοίνυν ἐνταῦθα τῷ Πορφυρίῳ τὸ Καθόλου ἤπερ ἐν πλείοσιν ὑπάρχον πέφυκε κατὰ πλειόνων κατηγορεῖσθαι. ἔστι δὲ τοῦτο δῆλον ἀπὸ τῆς ὁμοι-

(1) Τὸ φιλοσοφεῖν.

ὁρισμῶν τῶν παραδιδομένων περὶ τοῦ Καθόλου. ἐφαρμόττουσι γὰρ τοῖς Καθόλου ὑπὲρ ἐν πολλοῖς ὄντα, κατὰ πλειόνων πέφυκε κατηγορεῖσθαι. ὁ ζόπος γὰρ τοῦ ὁρίζεσθαι δεικνύει τὸν ζόπον τῆς θεωρίας.

Εἰ ὑφέστηκεν ἐν τῇ φύσει τῶν ὄντων τὰ Καθόλου, ἤτοι τὰ Γένη καὶ τὰ Εἴδη, ἢ ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται.

Τοιγαροῦν τὸ Καθόλου οἷον ἀνωτέρω ἐθέμεθα μετὰ τοῦ Φιλοσόφου, δείκνυται ὑφεστηκὸς ἐν τοῖς οὖσι πρὸ τῆς ἐπινοίας διὰ πολλῶν. Πρῶτον ἀπὸ τοῦ Φιλοσόφου πολλαχοῦ τὰ Καθόλου οὐ μόνον εἶναι ἐκτὸς ἐπινοίας ὁμολογούμενος, ἀλλὰ καὶ διδάσκοντος διὰ μακρῶν. καὶ ἐν τῷ περὶ Οὐσίας Κεφαλαίῳ διδάσκει πρὸ τῆς ἐπινοίας τῆς ἡμετέρας εἶναι ἐν τοῖς ἄνω τὰς δευτέρας Οὐσίας, ἃς Γένη καὶ Εἴδη τῶν Οὐσιῶν εἶναι λέγει. ὡσαύτως καὶ τὰ ἐν ταῖς ἄλλαις Κατηγορίαις Γένη καὶ Εἴδη. ἐν δὲ τῷ περὶ Ἑρμη-
„ νείας κεφαλαίῳ ζ'. διαιρεῖ τὰ ὄντα λέγων. τῶν πραγμάτων τὰ μὲν εἰσὶ
„ Καθόλου, τὰ δὲ καθ' ἕκασα. ὑφέστηκεν ἄρα ἐν τοῖς οὖσι, εἴπερ εἰσὶ πράγματα. ὁ αὐτὸς πολλαχοῦ διδάσκει τὰ Καθόλου εἶναι γένος ἐπιστητὸν ἐπὶ τῆς Ἐπιστημῶν. ὅθεν ἐστὶν ἐπιχειρήσαθαι ζόπῳ τοιῷδε.

Τῶν πρὸς ἄλληλα ἀναφερομένων, θατέρου δοθέντος ἐν τοῖς οὖσιν ὑφεστῶτος, καὶ θάτερον ἀνάγκη δίδοσθαι. ἀλλ' ἡ Ἐπιστήμη, καὶ τὰ Καθόλου εἰσὶ τῶν πρὸς ἄλληλα λεγομένων, ἄρα τῆς Ἐπιστήμης ἐν τοῖς οὖσιν ὑφεστηκύιας, ἀνάγκη πᾶσα καὶ τὰ Καθόλου ἐν τοῖς οὖσιν ὑφεστηκότα εἶναι. ἡ μείζων προφανής. ἡ ἐλάττων ὁμοίως ὁμολογουμένη. Ἐπιστήμη γὰρ καὶ ἐπιστητὸν πρὸς ἄλληλα λέγονται. ἐπιστητὸν δὲ γένος ἐστὶ τὸ Καθόλου, ὥσπερ ἀνωτέρω παρὰ τοῦ Φιλοσόφου εἴρηται, καὶ κοινῇ πᾶσιν ὁμολογεῖται. Δεύτερον ἐπεὶ οἱ ὁρισμοὶ πραγμάτων εἰσὶ δηλωτικοὶ, καὶ ἐφαρμόττουσι τοῖς ὁριζομένοις πράγμασιν, ἐκτὸς ἐπινοίας ὑπάρχοντες, ἔσαι καὶ τὰ ὁριζόμενα πράγματα ἐκτὸς ἐπινοίας ὑφεστηκότα.

λείπει

ἀλλὰ μὴν οἱ ὁρισμοὶ ὄντως ἐκτὸς ἐπινοίας, ἄρα καὶ τὰ ὁριζόμενα θεωρηθέντα.

Λόγοι τῶν ἑτεροδοξούντων, καὶ ἐπίλυσις αὐτῶν.

Οἱ βουλόμενοι τὰ Καθόλα ἐν μόνοις ψιλαῖς ἐπινοίαις κεῖσθαι, πολλοὺς ἀναπτύλουσι λόγους, οὓς προχειρισέον ἡμῖν καὶ τὸν ἑνόντα ζόπον ἐπιλυτέον. Πρῶτον εἰσάγουσι τὸν Φιλόσοφον εἰς σύγκασιν τῆς οἰκείας δόξης, οἷς ἐκεῖνος τὰς κατὰ Πλάτωνα Ἰδέας ἐξελέγχει, χρώμενος εἰς ἀναιρεσιν τῶν Καθόλα. Δεύτερον φασὶ πῶς τὸ διά τινος ἐνεργείας παραγόμενον,

μῆνον, καὶ ὅλως πᾶν τὸ ὑφεστηκὸς ἐν τοῖς οὖσιν, ἀνάγκη οὐ εἶναι τῷ ἀριθμῷ, καὶ καθ' ἕκαστα. ἀλλὰ πάντα τὰ γινόμενα παράγεται ὑπό τινος ἐνεργείας, καὶ ὅλως τὰ ὄντα εἰσὶν ὑφεστηκότα ἐν τοῖς οὖσιν, ἄρα ἀνάγκη πάντα οὐ εἶναι τῷ ἀριθμῷ, καὶ καθ' ἕκαστα. πρὸς ὃ ῥητέον. ὅτι τὸ προηγουμένως παραγόμενον, καὶ ὑφεστηκὸς ἐν τοῖς οὖσιν, οὐ ἐστὶ πάντως τῷ ἀριθμῷ καὶ καθ' ἕκαστα. ἑπομένως μέντοι συμπαράγεται τοῖς καθ' ἕκαστα καὶ τὰ Καθόλου, ἅπερ εἰσὶν αὐτῇ αἱ ἴδιαι φύσεις, καθ' ὃ ἀδιαφόρως ἐχόντασι πρὸς ἄλληλα. Τέτον εἰ διὰ τὰς Ἐπιστήμας τίθεται τὰ Καθόλου, ταῦτα δὲ φθαρτὰ, μάτην τίθεται. ἀλλὰ τὸ ἡγούμενον ἀληθὲς, ἄρα καὶ τὸ ἑπόμενον. Δείκνυται ἡ μετάληψις καθὸ ἀμφισβητεῖται μέρος, δηλονότι φθαρτὰ εἶναι τὰ Καθόλου. τὸ φθείρεσθαι, καὶ φθαρτὰ εἶναι, πάθος ἐστὶ τῆς γινομένων ἁπάντων. ἀλλὰ τὸ πάθος πρώτως καὶ καθ' αὐτὸ ἐφαρμόττει τοῖς Καθόλου, διὰ ἐκεῖνα δὲ καὶ τοῖς καθ' ἕκαστα, ἄρα τὰ Καθόλου πρώτως καὶ καθ' αὐτὰ εἰσὶ φθαρτά. ἡ μείζων ὁμολογουμένη. ἡ ἐλάττων δείκνυται. τὰ γὰρ κοινὰ πάθη ταῖς κοιναῖς φύσεσιν πρώτον ἐφαρμόττει. πρώτως γὰρ καὶ καθ' ἑαυτὸ ἐστὶν Ἄνθρωπος γελαστικός. ὁ δὲ Σωκράτης οὐ καθ' αὐτὸ, ἀλλ' ὅτι ἐστὶν Ἄνθρωπος.

Πρὸς τοῦτο ῥητέον χρωμένοις διαιρέσει. τὰ κοινὰ πάθη οὐ πάντα ἐφαρμόττει πρῶτον τοῖς Καθόλου, ἀλλ' ὅσα μόνον ἐκ μέρους τοῦ Εἴδους προέρχεται, ὅσα δὲ τῇ ὕλῃ συμπαρομαρτεῖ, τοῖς καθ' ἕκαστα μᾶλλον ἐφαρμόττει πρῶτον. τὸ τοίνυν φθείρεσθαι καὶ φθαρτὸν εἶναι ὑπὸ τῆς ὕλης προέρχόμενον, τοῖς καθ' ἕκαστα πρῶτον καὶ καθ' αὐτὸ ἐφαρμόττει, διὰ ἐκεῖνα δὲ „ καὶ τοῖς Καθόλου. φθειρομένης γὰρ τῆς πρώτης Οὐσίας φησὶν ὁ Φιλό„ σοφος, φθείρεται καὶ τὰ ἐν αὐτῇ. ἀλλὰ τὰ Καθόλου καὶ τὰ φθειρόμενα ἐφ' ἑκάστου τῶν ἀτόμων, διαμένει ῥητέον ἀεὶ τοῖς ἐπιγινομένοις, καὶ ὅλως τὰ καθ' ἕκαστα προηγουμένως καὶ καθ' αὐτὰ φθείρεται.

Τίς ὁ ζόπος τῆς ὑπάρξεως τοῦ Καθόλου, καὶ τίς ὁ Ὑποχραφικὸς αὐτοῦ ζόπος.

Ὅτι τὰ Καθόλου ἐκτὸς ὑπονοίας ὑφίσαται, τοῖς μέχει τοῦδε εἰρημένοις ἀποχρώντως οἶμαι γέγονε δῆλον, ἀλλὰ καὶ δηλωθήσεται ἀκριβέστερον τοῖς μετὰ ταῦτα. τίς δὲ ὁ ζόπος τῆς ὑπάρξεως αὐτῇ, τοῖς τε πάλαι διαφερόντως ἠμφισβήτηται, καὶ εἰς ἔτι καὶ νῦν ἀμφίδοξος τοῖς φιλοσοφοῦσι διατελεῖ.

Τειχῶς μάλιστα πεθεώρηται τοῖς πάλαι φιλοσοφήσασιν ὁ ζόπος τῆς ὑπάρ-

ὑπάρξεως τῆς Καθόλου. τοὺς γὰρ σώματα εἶναι νομίσαντας παραιτητέον. οἱ μὲν γὰρ χωρισὰ ἐτίθεσαν πρὸ τῶν ἀτόμων καὶ αἰσθητῶν ὑφεστᾶναι τὰ Γένη καὶ τὰ Εἴδη τῶν ὄντων, ἃ καὶ πρὸ τῶν πολλῶν ἐκάλουν. οἱ δὲ ἀχώριστα ἐν τοῖς αἰσθητοῖς καὶ ἀτόμοις ὑφεστηκότα. ταῦτα δὲ καὶ ἐν τοῖς πολλοῖς ἔλεγον. Τρίτος δὲ τρόπος ὑπάρξεως τῶν θεωρεῖται, κατὰ ἀφαίρεσιν ἀπὸ τῶν πολλῶν ἐπινοήματα ὑφεστηκέναι. πεπαυμένης δὲ τῆς ἐπινοίας συμπαύσεται καὶ τὸ ταῦτα εἶναι.

Ἔκθεσις τοῦ Πλατωνικοῦ Δόγματος.

Τριχῶς οὖν τοῦ τρόπου τῆς ὑπάρξεως τῆς Καθόλου λεγομένου, πρὸ τῶν πολλῶν, ἐν τοῖς πολλοῖς, καὶ μετὰ τὰ πολλά, ἃ καὶ ὑστερογενῆ ἐκάλουν, τὸν μὲν πρῶτον τρόπον ἀπασατο Πλάτων, καὶ διὰ πολλῶν παρέδωκε τοῖς περὶ αὐτόν. φαίνεται γὰρ οὗτος εἰσηγούμενος Εἴδη τινὰ χωριστὰ πάσης ὑλικῆς δυχερείας πρὸ τῶν σύλων ἁπάντων ἀϊδίως ὑφεστῶτα, μεταβολῆς ἀπάσης ἐκτὸς, ἃ καὶ Γονὴ καὶ Εἴδη τῶν γινομένων ἐβούλετο εἶναι, αὐτόζωον, λέγων, καὶ αὐτοάνθρωπον, καὶ τὰ λοιπὰ ὡσαύτως. ὧν κατά τινα μιμητικὴν μέθεξιν, ἐν τῇ ὕλῃ γίνεσθαι ἔφασκε, Ζῶον, Ἄνθρωπον, καὶ τὰ ἄλλα πάντα. καίπερ μὲν κυρίως ὄντα ὠνόμαζεν, ὡς μηδέποτε τοῦ εἶναι ἀποπίπτοντα, τὰ δὲ ἐνταῦθα σκιὰς ἐκείνων, καὶ γινόμενα μόνον ἐκάλει, οὐκ ὄντα δὲ, ὡς ἐν τῷ γίνεσθαι καὶ ἀπογίνεσθαι τὸ εἶναι ἔχοντα. ἐννοεῖν δέ φασιν οἱ πολλοὶ τὸν Πλάτωνα διὰ τούτων τοὺς ἐν τῷ Δημιουργικῷ Νοῦ τῶν γινομένων λόγους, αὐλοὺς ὄντας καὶ σωματίδιους. ὡς δὲ ὁ Φιλόσοφος φαίνεται πολλαχῆ τοῦ περὶ τούτων ἔννοιαν ἐκλαμβάνων τοῦ Πλάτωνος, ἀ νοήσεις μόνον τοῦ Δημιουργοῦ, καὶ λόγους τῶν δημιουργημένων ᾤετο ὁ Πλάτων τὰς ἰδέας εἶναι, ἀλλ' ἀσώματους τινὰς νοητὰς ἐκτὸς τοῦ Δημιουργικοῦ Νοὸς καθ' ἑαυτὰς ὑφεστώσας. τὸ δὲ κινῆσαν τὸν Πλάτωνα εἰς τοῦτο τοιοῦτον εἰσήγησιν φέρεται δύτιον, ἥ, τε τῆς δημιουργίας ὑπόθεσις, καὶ τῶν ἐν γενέσει περιληπτικὴ θεωρία. ὁ γάρ τοι Δημιουργὸς (εἰμὴ ἀλόγως ἐνεργεῖ, οὔτε μοῦν ὡς ἡ φύσις ἀγνώσως, ἀλλ' ἐφίσησι γνωσικῶς τοῖς δημιουργουμένοις) ἀνάγκη ἐστὶν ἐν αὐτῷ ἔχειν τοὺς εἰδητικοὺς λόγους τῶν δημιουργουμένων, πρὸς ἃ ἐξ ἀφορῶν ὡς πρὸς ἀρχετύπους εἰκόνας ποιῇ τὰ ἤδε. παντὶ γὰρ τῷ διά τι τέλος ἐνεργοῦντι γνωσικῶς, ἀναγκαῖα ἐστὶν ἡ προληψις τῆς ἐννοίας τοῦ τέλους. οὐδὲν δὲ ἧττον καὶ ταῖς Ἐπιστήμαις ὁ Πλάτων ᾤετο συνεισάγεσθαι τὰ τοιαῦτα Εἴδη. ἑώρα γὰρ πάντα τὰ γινόμενα, καὶ ἁπλῶς πάντα τὰ σύνθετα, καθ' ἕνας ἄτε ὄντα, καὶ ἐν κινήσει διηνεκεῖ, καὶ μεταβολῇ, διὸ καὶ ἐπισυμονικῆς θεωρίας ἀλλότρια. οὔτε γὰρ ὁρῷ κοινῷ περιληφθῆναι ἢ τοιαῦτα ἐν-

τα ἐνδέχεται, συνδρομῇ διαφόρων συμβεβηκότων ἑκάστου χαρακτηριζομένου, οὔτε ἰδίῳ ὅρῳ, μεταβάλλεται γὰρ ἀεὶ, καὶ οὐδ' ἐν πολλοστῷ χρόνου μορίῳ διαμένει ταυτά. τῆς δὲ τοιούτων ἀδιαίτου Ἐπιστήμης γενέσθαι, ἥτις ἐστὶν ὑπόληψις ἀμετάπτωτος, καὶ ἀεὶ ὡσαύτως ἔχουσα. ταῦτ' ἄρα, ὃν ἔφημεν τρόπον τὰς ἰδέας ἐτίθη, καὶ ὡς παραδείγματα εἰς δημιουργίαν, καὶ ὡς ἀρχὰς γνωστικὰς εἰς ἐπιστημονικὴν θεωρίαν. συμβαίνει οὖν ἐκ τῆς εἰρημένων τὰ Καθόλου κατὰ Πλάτωνα, εἶναι Εἴδη ἀσώματα, ἄφθαρτα, καὶ ἀΐδια, χωριστὰ καὶ οὐκ ἐν τοῖς αἰσθητοῖς ὑφεστῶτα. ὧν κατὰ μέθεξιν τὰ σύνολα Γονὴ καὶ Εἴδη γίνεται καὶ εἰσίν.

Εἰς σύστασιν τοῦ Πλατωνικοῦ δόγματος συμβάλλεται καὶ τὰ ἀνωτέρω ἐκτεθέντα εἰς ἀναίρεσιν τοῦ ἐν τοῖς αἰσθητοῖς Καθόλου, καὶ ἕτερα. εἰς ἀνασκευὴν δὲ τοῦ αὐτοῦ ἐξαρκεῖ τὰ παρὰ τοῦ Φιλοσόφου πρὸς αὐτὸν ἐν πολλοῖς εἰρημένα εἰς ἀναίρεσιν τῆς τοιούτων Καθόλου.

Ἔκθεσις τῆς δόξης τῶν τιθεμένων τὸ Καθόλου κατ' ἐπίνοιαν μόνον ὑφεστηκέναι.

Πολλοὶ τῶν νεωτέρων ὁρῶντες, τὰ μὲν παρὰ τῶν πολλῶν καθόλου ἐν πολλοῖς ἀποπολαύμενον τὸν Φιλόσοφον, ἐν δὲ τοῖς αἰσθητοῖς οὐδεμίαν κοινὴν φύσιν εἶναι οἰόμενοι, κατὰ τὴν τελείαν σύνοιαν ἔφασαν τὸ καθόλου ὑφεστηκέναι, ἐπὶ τῆς ἐπινοίας δηλονότι μόνον, ὃ καὶ μετὰ τὰ πολλὰ καλεῖται, ὡς αἰωτέρω εἴρηται. τοιγαροῦν φασὶν τὴν μὲν Σωκράτους φύσιν, φέρε εἰπεῖν, αὐτὴν καθ' ἕκαστα εἶναι ἐν τῷ Σωκράτει ὑφεστῶσαν, μὴ μέντοι καθ' ἑαυτὴν εἶναι καθ' ἕκαστα, ἀλλ' οὐδὲ καθόλου καθ' ἑαυτὴν, ἀδιαφόρως δὲ ἔχειν διδάσκουσι πρός τε τὸ καθόλου εἶναι καὶ τὸ καθ' ἕκαστα. ἀλλ' ὑπὸ τῆς φύσεως παραγομένη ἐν τοῖς καθ' ἕκαστα τὸ καθ' ἕκαστα εἶναι λαμβάνει. καθόλου δὲ γίνεσθαι πέφυκε οὐκ ἔτι ὑπὸ τῆς φύσεως, ἀλλ' ὑπὸ τῆς ἡμετέρας διανοίας. γυμνοῦντες γὰρ ἡμεῖς τῇ ἐπινοίᾳ ταύτην τῆς τῆς ὕλης περιστατικῶν, καὶ πάντων τῶν καθ' ἕκαστα συμβεβηκότων χωρίζοντες ἐπιτηδείως, ἀπεργαζόμεθα εἰς τὸ κατηγορεῖσθαι κατὰ πλειόνων.

Ἐπειδὰν δὲ συγκείνωμεν ταύτην ἀναφέροντες εἰς τὰς καθ' ἕκαστα ἀνθρώπους, καὶ δῶμεν ὁμοίως ἔχουσαν ἐν πᾶσι, κατηγοροῦμεν ταύτην κατ' ἐκείνων. ἀμέλει ἐν τοῖς καθ' ἕκαστα οὖσα, καθ' ἕκαστα μόνον ἐστί. καθόλου δὲ δυνάμει μόνον, καὶ πόρρω. γυμνωθεῖσα δὲ τῶν περιστατικῶν, καὶ ἐν ἐπινοίᾳ ὑφεστῶσα, λέγεται μὲν περὶ ἐκείνα καθόλου, ἀλλὰ μεταφυσικῶς, πρὸς δὲ τὸ εἶναι κατὰ λογικὴν καθόλου. ἔτι δυνάμει φασὶν εἶναι,

γίνε-

γίνεθαι δὲ ἐνεργείᾳ, ἐπειδὰν ἀναφερομένη πρὸς τὰ καθ' ἕκαστα κατηγορῆται. σωμάγεται δὴ ἐκ τούτων τὸ Καθόλου εἶναι κατ' αὐτούς, μίαν τινὰ φύσιν τῷ ἀριθμῷ, τῇ ἐπινοίᾳ ὑφεστηκῖαν κατὰ ἀφαίρεσιν ἀπὸ τῶν καθ' ἕκαστα, ἥτις ἅμα πᾶσι κατηγορῆται. Ἐμπεδοῦσι δὲ τὸ τοιοῦτον δόγμα διὰ πολλῶν. Πρῶτον ὅτι τῶν ὁπωσδήποτε ὑφεστώτων ἐν τοῖς αἰθητοῖς, ἕκαστον ἔστι ἐν ἀχώρισον ἑαυτοῦ, καὶ πάντων τῶν ἄλλων χωρισόν. πᾶν δὲ τὸ τοιοῦτον, ἀδιώκατον ἓν πολλοῖς εἶναι, καὶ κατὰ πλειόνων κατηγορεῖθαι, οἷς εἶναι βούλεται τὸ Καθόλου. οὐδὲν ἄρα τῶν ἐν τοῖς αἰθητοῖς ὑφεστώτων ἐστὶ Καθόλου. ὅτι δὲ ἡ ἐν τοῖς αἰθητοῖς φύσις, οὔτε καθ' ἕκαστα ἐστὶν, οὔτε καθόλου, σωμάγουσι λόγῳ τοιῷδε. τὸ καθ' αὐτὸ, (φέρε εἰπεῖν τὸ καθ' αὐτὸ θερμὸν ὡς τὸ Πῦρ, ἢ καθ' αὐτὸ λογικὸν ὡς ὁ Ἄνθρωπος), οὐκ ἐνδέχεται ἑαυτῷ ἀντικείμενον εἶναι. ἡ φύσις ἄρα ἡ ἐν τοῖς καθ' ἕκαστα, εἰ μὲν ᾗ καθ' αὑτὴν Καθόλου, οὐκ ἂν ἐγίνετο καθ' ἕκαστα συμπαραγομένη τῇ Σωκράτει. οὐδὲ καθόλου ἂν ἐγίνετο τῇ ἐπινοίᾳ, εἴγε καθ' ἕκαστα καθ' ἑαυτὴν ὑπῆρχεν. ἀλλ' ἀδιαφόρως ἔχει πρὸς ἀμφότερα. ὡς τὸ ἱμάτιον, φέρε εἰπεῖν, πρὸς τὸ λευκὸν εἶναι, ἢ μέλαν. Τρίτον τὸ Καθόλου ἔστι ἐστὶ κοινὸν πλείοσι, καὶ διαιρετὸν καθ' αὑτό. τοιοῦτον οὐδὲν ἐστὶ πρὸ τῆς ἐπινοίας τῆς ἡμετέρας ἐν τοῖς οὖσιν. ἄρα οὐδὲ ἔστι καθόλου πρὸ τῆς ἡμετέρας ἐπινοίας ὑφεστὸς ἐν τοῖς οὖσιν, ἀλλ' ἐπὶ μόνης τῆς ἐπινοίας ὑφέστηκε. Τέταρτον, εἰ πρὸ τῆς ἡμετέρας ἐπινοίας ἡ ἀνθρώπινη φύσις, φέρε εἰπεῖν, καθόλου ἦν ἐν τῷ Σωκράτει, ἦν ἂν καὶ ἐν τῷ Πλάτωνι ἡ αὐτὴ Καθόλου, καὶ ἐν τοῖς λοιποῖς ἀνθρώποις ὁμοίως. ἀλλ' εἰ τοῦτο, πολλὰ ἂν ἦν τὰ Καθόλου ἐν τῇ αὐτῇ Εἴδει. μᾶλλον δὲ οὐ καὶ τὸ αὐτὸ Εἶδος, ἦν ἂν πολλὰ Εἴδη.

Παρὰ ταῦτα, πῶς ἐννοῦσιν οἱ λέγοντες τὸ Καθόλου εἶναι τὴν ἐν τοῖς αἰθητοῖς φύσιν, καθὸ ἀδιαφόρως ἔχηκε πρὸς πολλά; τὸ γὰρ ἀδιαφόρως ἔχον πρὸς πολλὰ, οὐκ ἔστιν οὑτινι ἴδιον. ἀλλ' ἑκάστη τῶν ἐν τοῖς αἰθητοῖς φύσις, οὐκ ἂν εἴη τοῦ Πλάτωνος, οὐδ' ἡ τοῦ Πλάτωνος, ἑτέρου τινὸς ἂν γένοιτο, ἄρα ἀδεμία τῶν ἐν τοῖς αἰθητοῖς φύσις ἔστιν ἀδιαφόρως ἔχουσα πρὸς πολλά.

Ἀνακλὴ τῆς ἀνωτέρω δόξης.

Οὗτοι μὲν οἱ γενάδαι ἐπάγγελονται διδασκαλίαν Ἀριστοτελικὴν, καὶ σφᾶς αὐτοὺς Περιπατητικοὺς ἐπιγράφουσι, δοκοῦσι δέ πως ἀντεγραμμένως μιμεῖθαι τὸν Πλάτωνα. ἃ γὰρ ἐκεῖνος πρὸ τῶν αἰθητῶν ἐνομοθέτει,

ταῦτα μετὰ τὰ αἰσθητὰ οὗτοι πλάττουσι. καί τοιγε πολὺ καὶ τῆς Πλατωνικῶν Εἰδῶν τὸ δόγμα τούτων παραλογώτερον. εἴπερ ἐκεῖνα μὲν χωρισὰ τῆς ὕλης τιθέμενα, κατὰ μίμησιν μόνον ἀπετέλει τὰ ἔνυλα, τούτων δὲ τὸ καθόλου οὐ ὂν τῷ ἀριθμῷ, ὡς αὐτοὶ βούλονται, ὅλον ἂν εἴη ἅμα ἐν ἑκάστῳ τῆς κατὰ μέρος, καὶ ὅλον ἐν ἑαυτῷ καθ' αὐτὸ ὑφεστῶτι κεχωρισμένον τῆς πολλῶν. ὃ μόνον μυστικῶς καὶ ὑπὲρ σύνοιαν, ἐπὶ τῆς μακαρίας δίδοται φύσεως. πῶς δὲ καὶ τὸ Καθόλου μὴ ὁμώνυμον λῷ (ὡς ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῆς ὑστέρων Ἀναλυτικῶν διδάσκει, καὶ αὐτοὶ ἀποδέχονται,) εἰ μὴ αἱ ἐν τοῖς καθ' ἕκαστα φύσεις, καθὸ ἀδιαφόρως ἔχουσι πρὸς ἀλλήλας, κοινωνοῦσιν ἀλλήλαις. ἢ γὰρ ταῖς ὑλικαῖς περιστάσεσι συνυπάρχουσιν, ἀδὲ αὐτῇ μὴ ὁμώνυμον κατηγορεῖται. εἶτα πῶς κατὰ πλειόνων τῆς καθ' ἕκαστα κατηγορηθείη τὸ κατ' ἀφαίρεσιν ἐπινοούμενον, οἷον ἐκεῖνο τὸ ἐν ἐπινοίᾳ, εἰ μὴ ἢ ἐν ταῖς καθέκαστα φύσεσιν εἴη; μᾶλλον δέ τι ἄλλο ἐστὶ τὸ κατηγορεῖν, ἢ λέγειν ἐνυπάρχειν τὸ κατηγορούμενον, ἐν τοῖς καθ' ὧν κατηγορεῖται. ἐ γὰρ ἔξωθεν τὰ ὀνόματα ἐπιτίθεμεν τοῖς πράγμασι κατηγοροῦμεν, ἀλλὰ τὰ ἐνόντα ἑκάστῳ ἐμφαίνομεν τῷ λόγῳ. πάντα ἄρα δῆθεν ἐπινοίας ἔργον τίθεσθαι τὸ Καθόλου, καὶ μίαν τῷ ἀριθμῷ φύσιν ἀμέριστον καθ' ἑαυτὴν μένουσαν, ἐν πολλοῖς ἅμα ὑπάρχειν ὑποστατικῶς διαιρουμένοις. ὅτε δὲ φασὶν ὅτι τὸ ἀδιαφόρως ἔχον πρὸς πολλὰ, οὐκ ἔστιν οὔτινι ἴδιον, ἢ τὸ πράττον οὐκ ἐννοοῦσι τοῦτο, ἢ κακουργοῦντες παρεξηγοῦσι τὸ λεγόμενον. τὸ γὰρ ἀδιαφόρως, οὐχ οὕτω λεπτέον, ὥστε λέγειν τὴν φύσιν τοῦ Πλάτωνος δυνατὸν εἶναι καὶ ἐν τῷ Σωκράτει, καὶ ἄλλον ἐν ἄλλῳ, ἀλλὰ ἀντὶ τοῦ ἐπίσης καὶ ὁμοίως θεωρεῖσθαι ἐν τοῖς πολλοῖς. καὶ ταῦτα μὲν περὶ τούτων. ἵνα δὲ καὶ τὸν ἀριθμὸν τῆς κατηγορηματικῶν πάντε φωνῶν σωζώμεν ἐπιστημονικῶς, ἐξ ἀφύκτου διαιρέσεως, οὕτω σωστέον. τῆς φωνῆς, ἡ μὲν ἔξιν σήμαντρος, ἡ δὲ ἄναρθρος. καὶ περὶ μὲν τῆς ἀνάρθρου φωνῆς, ἐπείπερ οὐκ ἐγγράμματος, λόγος οὐδείς. τῆς δὲ ἐναρθρου, καὶ ἐγγραμμάτου, ἡ μὲν ἔξι σημαντική, ἡ δὲ ἄσημος. ἄσημος μὲν ἡ μὴ δηλοῦσα τί πρᾶγμα, ὡς τὸ βλίτυρι, σκίνδαψος. ἤτις καὶ ἀκατηγόρητος λέγεται, ὡς μὴ λεγομένη κατά τινος. σημαντικὴ δὲ καὶ κατηγορηματικὴ φωνή ἐστιν, ἡ σημαίνουσα πρᾶγμα. οἷον ζῶον, ἄνθρωπος, λιθός. ἤτις καὶ ἁπλῶς κατηγορηματικὴ φωνὴ λέγεται.

Αὕτη τοίνυν ἡ ἁπλῶς κατηγορηματικὴ φωνὴ λεγομένη, ἢ μερικὴ ἔξιν, ἢ καθόλου. καὶ μερικὴ μὲν ἐστὶν, ἡ ἔτι τῆς ἀτόμων παραλαμβανομένη. περὶ ὧν οὐ διαλαμβάνουσιν οἱ Φιλόσοφοι, διὰ τὸ ἄπειρα ὑπάρχειν αὐτά. ἡ δὲ ἁπλῶς κατηγορηματικὴ καθόλου φωνὴ, εἰς Πέντε καθόλου φωνὰς

διαι-

δυσὶν συλλογίσμασι δείκνυσιν ὁ συγγραφεύς, ἐν οἷς ὧν ὑπόκειται· οὐ γὰρ καθόλου ἀφαιρεῖται, ἐξ ἀμφοτέρων εἰδικῶν ὄντων, οὐδ' ἐν μέρει ἐστὶν ἡ συλλογιστικὴ ἐν τῷ συλλογιστῷ, οὐδ' ἐν μέρει ἀφαιρεῖται τὸ ὁριστόν· ἐν ἅπασι, τὸ μὲν καθόλου συλλογιστικὸν συλλογισμόν, τὸ δ' ἐν μέρει ἀποφατικὸν ἀποφαντικὴν ἐξαφαιρεῖ ἡμῖν ἐν τῷ συλλογιστικῷ συλλογισμῷ τὸ ἀρχὸν ἔνεκεν συμβεβηκέναι ὡς δεῖ. ἔστω συλλογιστικὴ μὲν συλλογιστική ἐστιν συλλογισμός· ἔστω δὲ καθόλου ἐστὶν συλλογιστική, ἔστω δὲ καθόλου ἐστὶν συλλογισμός· συλλογισμῶν ἄρα τῶν καθόλου ἐστὶν συλλογιστική· ἀλλὰ μὴν καὶ ἐφαπτικῶν· ἔστω συλλογιστικὴ ἀποδοθήσεται τὸ περὶ ὃ ἀσχολεῖται, ὅπερ ἐστὶν συλλογιστόν. τὸ καθόλου ἀποδοθήσεται ἄρα τὸ περὶ ὃ ἀσχολεῖται συλλογιστικὴ τῶν συλλογισμῶν, ἔστιν ἄρα τὸ καθόλου ἐστὶν συλλογιστόν. ἀλλὰ μὴν οὐκ ἀναγκαῖόν ἐστιν τὸ συλλογιστὸν ἀποδοθῆναι ὅλως ἐν ἅπασιν· ἔστω συλλογιστικὴ ἀποδοθήσεται τὸ περὶ ὃ ἀσχολεῖται, ὅπερ ἐστὶν συλλογιστόν. τινὶ τῶν καθόλου ἐστὶν συλλογιστόν, τινὸς ἄρα τῶν καθόλου ἐστὶν συλλογισμός, τινὸς ἄρα ἀποφατικὸς ἔσται. καὶ διὰ τὸ μὴ ἀναγκαῖον εἶναι τὸ συλλογιστὸν ἀποδοθῆναι ἐν ἅπασιν, οὐδὲ τὸ ὁριστὸν ἀναγκαῖον ἐν ἅπασιν ἀποδοθῆναι· τινὶ γὰρ τῶν καθόλου ἐστὶν συλλογιστόν, τινὸς ἄρα τῶν καθόλου ἐστὶν συλλογισμός·

καθόλου. ἀλλὰ μὴν καθ' ὑποκειμένου γένους οὐκ ἔσται ἀπόδειξις. ἔστω γὰρ τὸ
καθόλου ἀδιαίρετος ἀριθμὸς τριάς. τὸ καθόλου ἔστιν οὐσιωθὲν οἷον
οὐκ ἀδιαίρετος, ἀλλ' ἀριθμὸς ἄρα ἐστὶν ἀδιαίρετος ἔσται,, ἀλλ' ὁρισμὸς δὲ
γραμμικὸς ἔστι σχήματος. ἔστω ὁρισμὸν διπλάσιον τὸ ὁρισμῷ, ἔστω δὲ ἕν ὁ
ρισμὸν ἔστι σχῆμα. ἢ ἐπιπέδων ὁμολογήσει, ἢ μονάδων δοθέντων;,, ἔστω
δὲ ἐφαρμόσαν τὸ ὁρισμῷ, διπλάσιόν ἔστι σχήματος. ἔστω ὁρισμοῦ
ἐφαρμόσαν τὸ ὁρισμῷ, ἔστω δὲ ἕν ὁρισμὸς διπλάσιός ἔστι σχήματος.,,
τὸ δοῖς σχήματα δύο γραμμῶν συμφωνοῦν, ἔστιν ἐφαρμογὴ ὅταν ἕνος
τὸ ὁρισμῷ. ἔστω ὁρισμὸς δοῖς σχήματα περιφανῶν, ἔστω δὲ ἕν ὁρισμὸς
ἐφαρμόσαν δοῖς ὁρισμοῖς, ἢ ἐπιφανὲς ἔστιν ἀμφοῖν διπλάσιος, ἀνάγκη
ἄν, ἀλλὰ μὴν, οἷ αὐτοὶ ὁρισθήσονται.,, ἔστω τὸ ὁρισμῷ κλάσις ἔστιν
ἀδιαιρέτου. ἔστω δὲ καθόλου ἔστιν ὁρισμῷ, ἔστω ἄρα τὸ καθόλου ἕν
δοῖς ἔστιν ἀδιαιρέτου.,, τὸ κλάσις ἀδιαιρέτου ὅλον ἔστι σχήματος. τὸ γὰρ
θόλου ὡς δεδόσθαι κλάσις ἔστιν ἀδιαιρέτου, τὸ καθόλου ἄρα ἔστι σχήμα-
τος - συνεχῶν δεῖται μέσον ἕνος τὸ ἀριθμός, ἢ ἀνοδεικτικὸς ἂν εἴη
θεὶς διπλάσιος τὸ ἀνθρώπου.,, οἱ δὲ ὁρισμοὶ ὅταν ἀριθμός, ἢ δὲ ὁρισθήσεται ἀριθ-
θῶν ἔσται. ἀριθμὸς μὲν τὸ σφαῖρον, ἢ τὸ δαίκεον ἄρα. δοθέντων δὲ μεδα-
γλύφις. ἔστω συμφωνία νοὸς ἕνος ὑποσχήματός ἔστιν ἀριθμός. ἔστω
ὁρισμὸς συμφωνῶν ἕνος τὸ ὁρισθέν, ἔστω ἄρα ὁρισμὸς ἔστιν ἀριθμός. τὸ δὲ
καθόλου δὴ ἔστι σχήματα, δοθέντων ἕλω. ἔστω ἀριθμὸν ἔστι σχήμα-
τος ὁρισθὲν ἔστιν ἀριθμός, ἔστω ἄρα ὁρισμὸν ἔστι σχήματος, ἕνος ἔστι
τὸ καθόλου. ἢ ἄπειρα μὴ ἕλως. ἐπεὶ δὲ ἕνος φησὶν ὁ φιλόσοφος ἐπι-
μερὶ ὑφηνάδας, ἀσθενῶν σχημάτων, τὸ μὲν ἓν τὸ καθόλου, τὸ δὲ καθ' ἕ-
καστα, δοθέντων τὸ καθόλου ἐπιστήμης ἐνδεχόμενον σχήματα εἶδη.
ἢ θήρατος ἢ δὲ ἔστιν, ἢ μὴν δὲ μέρος ἀεὶ τὸ ἐφ' αὐτὸ ἀεὶ ἔστι καθὸ

τοσούτου μεταξύ, ὅσαπερ ὁ σφαίρας - ἀμφότερα ὁ φιλοσοφίας, ἢ
τοῦ σφαίρας· μεῖζον γὰρ τὸ καθόλου, τοῦ δὲ κατὰ μέρος, ἔλαττον
τὸ σφαῖρα. διόπερ ὁ τοιοῦτος τοῦτο ἀφορισμὸς μέσος.
ὅσαπερ διαφέρον τὸ δὲ ἀκριβῶς, ἢ τοῦ μεταξύ ὅλον, ἢ ἐπὶ μέρους·
χρὴ γὰρ εἶναι τὸ ὅσαπερ ἀεὶ διαφορᾶς. ἀμφότερα μὲν καθόλου οὐκ ἐστί·
ἐστι τοῦ σφαῖρα τοῦ διαφορᾶς ἴσως τὸ φιλοσοφίας ἐπίφθονος, τὸ καθόλου
ἄρα τοῦ σφαῖρα. διόπερ ὁ μέν. ὅσαπερ ἐστὶ μεταξύ· ἴσως τὸ μὲν
μεταξύ ἐστι. τὸ καθόλου ἐστὶ ἐμπίπτον τοῦ ἐμπιπτόντος, ἀεὶ
ἐστὶ σφαῖρα, τὸ καθόλου ἄρα ἐστὶ σφαῖρα. ἢ διαφέρον
ὡς ὅμοια διαφορᾶς. τὸ σφαῖρα ἐστὶ τὸ διαφέρον, τὸ σφαῖ-
ρα ἄρα ὡς ὅμοια διαφορᾶς. ὥδε ἀναφερόμενος σφαῖρα·
τὸ δὲ τὸ καθόλου·

διαιρεῖται, ὑφ' ἃς πᾶσαι αἱ φωναὶ ἀνάγονται. ὥσπερ γὰρ ἡ Γραμματικὴ Τέχνη ἐπενόησε τὰ ὁκτὼ μέρη τοῦ λόγου, εἰς ἃ πᾶσα λέξις ἀνάγεται, καὶ ἡ Ῥητορικὴ τὰς δεκατέσσαρας Στάσεις, ὑφ' ἃς παῦ πολιτικὸν ζήτημα ἀνάγεται, καὶ ὁ Ἀριστοτέλης τὰς δέκα Κατηγορίας, ὑφ' ἃς πάντα τὰ ὄντα ὑπάγεται, οὕτω καὶ πᾶσα φωνὴ ἐπὶ τιὼ Φιλοσοφίαν οὖσα, ἐπὶ τὰς πέντε φωνὰς ταύτας ἀνάγεται. ἢ γὰρ Γένος ἐστὶν, ἢ Εἶδος, ἢ Διαφορὰ, ἢ Ἴδιον, ἢ Συμβεβηκός.

Δεῖξαι δὲ σαφέστερον δίχως τὸν ἀριθμὸν τῶν εἰρημένων πέντε καθόλε φύσεων, ἢ ἐκ τῆς προτάσεων, ἀπὸ τῆς διαφορᾶς δηλαδὴ τοῦ τρόπου τῆς ὑπάρξεως τούτων ἐν τοῖς καθ' ἕκαστα. ἢ ἐκ τῆς ὑστέρων, ἐκ τῆς διαφορᾶς δηλαδὴ τοῦ τρόπου τῆς κατηγορίας τῆς αὐτῆς. σαφέστερον δὲ ἐκ τῆς προτέρων, ὡδί. ὅ, τι ἐστὶν ἐπὶ τῶν καθ' ἕκαστα, φέρε εἰπεῖν, ἐπὶ τοῦ Σωκράτες, τοῦτο ἢ οὐσιῶδες αὐτῷ ὑπάρχει, ἢ ἐπουσιῶδες. καὶ εἰ μὲν οὐσιῶδες, ἢ τιὼ ὅλιω αὐτοῦ οὐσίαν σημαίνει, οἷον ἐστὶν ἐπὶ τοῦ αὐτοῦ Σωκράτους τὸ εἶναι ἄνθρωπον, καὶ τοῦτο λέγεται τοῖς λογικδομένοις Εἶδος. ἢ μέρος τῆς Οὐσίας αὐτοῦ σημαίνει, συγκεχυμένως μεντοι ὡς ὅλον αὐτοῦ κατηγορεῖται. ὅπερ αὖθις ἢ καθολικώτερον ἐστὶ, καὶ ἀναλογεῖ τῇ ὕλῃ, οἷον ἐπὶ τοῦ Σωκράτους τὸ εἶναι ζῶον, καὶ τοῦτο καλεῖται παρὰ τοῖς λογικδομένοις Γένος. ἢ ἐστὶν ἧττον καθόλου, καὶ ἀναλογεῖ τῇ μορφῇ. ὅπερ ἐκείνοις λέγεται Διαφορά. ὁμοίως δὲ καὶ τὸ ἐπουσιῶδες. ἢ ἀπὸ τῆς Οὐσίας καὶ Μορφῆς προέρχεται τοῦ ἔχοντος, οἷον ἐπὶ τοῦ Σωκράτους τὸ εἶναι γελαστικόν. ὃ καὶ καλεῖται Ἴδιον. ἢ ἔξωθεν προσγίνεται τῷ λόγῳ τῶν ὑλικῶν περιστάσεων. ὡς ἐπὶ τοῦ αὐτῷ τὸ εἶναι λευκὸν, φαλακρὸν, καὶ τὰ τοιαῦτα. ἃ δὴ πάντα ὑπὸ τὸ Συμβεβηκὸς ἀνάγεται.

Ἐκ δὲ τῆς ὑστέρων καὶ τοῦ τρόπου τῆς κατηγορίας σωζόμενος ὁ αὐτὸς ἀριθμὸς ὁμοίως τοῖς προειρημένοις. ὅσα γὰρ ἐπὶ τοῦ Σωκράτους κατηγορεῖται, ἢ κατ' οὐσίαν λέγεται, ἢ κατὰ Συμβεβηκός. καὶ τῶν κατ' οὐσίαν λεγομένων, τὰ μὲν ἐν τῷ τί ὄντι κατηγορεῖται. τούτων δὲ τῶν ἐν τῷ τί ὄντι κατηγορουμένων, τὰ μὲν λέγεται κατὰ πλειόνων Εἰδῶν, ὡς πλείοσιν Εἴδεσιν ὑπάρχοντα, οἷά εἰσι τὰ Γένη. τὰ δὲ καθ' ἑνὸς Εἴδους μόνου, οἷά εἰσι τὰ Εἴδη. τὰ δὲ οὐκ ἐν τῷ τί ὄντι, ἀλλ' ἐν τῷ ὁποῖον τί ὄντι κατηγορεῖται, ἃ δὴ καὶ Διαφοραὶ προσαγορεύονται. ὁμοίως καὶ τῶν ἐπουσιωδῶς λεγομένων, τὰ μὲν καθ' ἑνὸς μόνου εἴδους λέγεται, ὡς τὰ ἴδια. τὰ δὲ κατὰ πλειόνων, ὡς τὰ ἁπλῶς συμβεβηκότα.

Σωκα-

Συναπτέον καὶ οὕτως.

Ἡ Ἁπλῶς κατηγορηματικὴ καθόλου φωνὴ, ἢ οὐσιωδῶς κατηγορεῖται, ἢ ἐπουσιωδῶς. καὶ εἰ μὲν οὐσιωδῶς, ἢ πολλαῖς φύσεσιν ἁρμόζει, ἢ μιᾷ. καὶ εἰ μὲν πολλαῖς, ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ Γένος. ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, καὶ λέγεται Διαφορά. εἰ δὲ μιᾷ, ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ Εἶδος. ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, καὶ λέγεται οὐσιῶδες Ἴδιον. Ἡ δὲ ἐπουσιωδῶς κατηγορουμένη, ἢ μιᾷ φύσει ἁρμόζει καὶ αὕτη, ἢ πολλαῖς. καὶ εἰ μὲν μιᾷ φύσει ἁρμόζει, ποιεῖ τὸ ἐπουσιῶδες Ἴδιον, ὃ καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται. ἐπὶ γὰρ τῶν ἐπουσιωδῶν οὐδεμίαν χώραν ἔχει τὸ τί ἐστιν. εἰ δὲ πολλαῖς φύσεσιν ἁρμόζει, ποιεῖ τὸ συμβεβηκός. καὶ εἰ μὲν ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται, ποιεῖ τὸ ἀχώριστον συμβεβηκός. εἰ δὲ ἐν τῷ πῶς ἔχον ἐστὶ, ποιεῖ τὸ χωριστὸν συμβεβηκός. συνάγονται τοίνυν ἐντεῦθεν καθόλου φωναὶ κατηγορηματικαὶ ἁπλῶς, ἤτοι σημαντικαὶ πέντε. Γένος, Εἶδος, Διαφορὰ, Ἴδιον, καὶ Συμβεβηκός. περὶ ὧν τοῖς φιλοσόφοις ὁ λόγος. Ἢ καὶ ὅπως. αἱ καθόλου σημαντικαὶ φωναὶ ἢ οὐσιωδῶς κατηγοροῦνται, ἢ ἐπουσιωδῶς. καὶ εἰ μὲν οὐσιωδῶς, ἢ ἐν τῷ τί ἐστι, ἢ ἐν τῷ ὁποῖόν τί ἐστι. καὶ εἰ μὲν ἐν τῷ ὁποῖόν τί ἐστι, ἐστὶν ἡ Διαφορά. εἰ δὲ ἐν τῷ τί ἐστιν, εἰ μὲν κατὰ διαφερόντων τῷ εἴδει, ἐστὶ τὸ Γένος, εἰ δὲ κατὰ διαφερόντων τῷ ἀριθμῷ, ἐστὶ τὸ Εἶδος. Εἰ δὲ ἐπουσιωδῶς, ἢ καθ' ὑὸς Εἴδους κατηγορεῖται, καὶ ἔστι τὸ Ἴδιον. ἢ κατὰ πλειόνων, καὶ ἔστι τὸ ἁπλῶς Συμβεβηκός. δῆλον οὖν ὅτι ἐκ τῶν τοσούτων καὶ τοιούτων διαιρέσεων, ἀνάγκη πᾶσαν φωνὴν ταῖς εἰρημέναις ταύταις κεχρῆσθαι φωναῖς, καὶ οὔτε πλείοσιν, οὔτε ἐλάττοσιν.

Περὶ τῶν ἰδιωμάτων τῶν πέντε Φωνῶν.

Ἰστέον ὅτι αὗται αἱ πέντε Φωναὶ αἱ κατηγορηματικαὶ, (αἵπερ καὶ πέντε κατηγορήματα λέγονται κατὰ τοὺς νεωτέρους) τοιαῦτα ἔχουσι συσατικὰ ἰδιώματα. Πρῶτον μὲν γὰρ ἁπλοῦν, καὶ σύνθ συμπλοκῆς νόημα σημαίνουσι, καθὸ οἱ ὅροι (1), καὶ αἱ προτάσεις, καὶ τὰ τούτοις ὅμοια τῆς παρούσης πραγματείας ἀποκλείονται. Δεύτερον δὲ τὰ ἀπὸ τούτων σημαινόμενα νοήματα, συνώνυμα ἐστὶ, καθὸ τὰ ὁμώνυμα καὶ ἀνάλογα ἀπὸ τούτων διαστέλλονται. Τρίτον πλείοσιν ἐνυπάρχουσι, καὶ κατὰ πλειόνων κατηγορού-

(1) Οὐχ οἱ ἀσταλῆ ὅροι, ἀλλ' οἱ ὁρισμοί.

γορῶνται. ὅθεν τὰ ἄτομα καθ' ἑνὸς κατηγορούμενα οὐ σωκρατῶνται τούτοις. Τέταρτον ὀρθῶς (1) ὀφείλουσι κατηγορῆσθαι. διὸ τὰ τὸ ὅλον συνιστῶντα μέρη κατηγορήματα οὐ λέγονται.

Περὶ τάξεως τῆς πέντε Φωνῶν.

Ἡ Τάξις διχῶς θεωρεῖται παρ' ἀνδράσι σοφοῖς. ἡ μὲν κατὰ φύσιν, ἡ δὲ κατὰ διδασκαλίαν λεγομένη, καθ' ἃς αἱ θεωρίαι περὶ ἃ θεωροῦσιν ἐκτείνονται. τοιγαροῦν ἡ φυσικὴ τάξις διακρίζεται ἐπὶ τῆς θεωρίας, ἥτινα πρῶτα γίνεται ἐπ' αὐτῆς, τὰ πρῶτα κατὰ φύσιν. ἡ δὲ διδασκαλικὴ, ἥτινα πρῶτα γίνεται ἐπὶ τῆς διδασκαλίας, ἀφ' ὧν ἀρχόμενοι ῥᾷον μανθάνομεν. ἀμφότεραι δὲ ἀπ' ἀλλήλων ἐ διαστέλλονται. τὰ πολλὰ γὰρ ἡ τάξις τῆς διδασκαλίας τῇ τάξει τῆς φύσεως ἕπεται. ὅτι καὶ ὡς ἐπὶ τὸ πλεῖστον ῥᾷον μανθάνομεν ἀρχόμενοι ἀπὸ τῆς κατὰ φύσιν προτέρων. εἰσὶ δὲ τὰ φύσει πρότερα, ὧν ἀναιρουμένων, συναναιρεῖται τὰ μετ' ἐκεῖνα, εἰσαγομένων δὲ ἐ συνεισάγεται. κατ' ἀμφοτέρας τοίνυν τὰς τάξεις προηγεῖται ἄλλη ἄλλης τῆς πέντε καθόλου φύσεων. τὸ μὲν οὖν Γένος προηγεῖται τῆς λοιπῶν, κατά τε τὴν φυσικὴν τάξιν, καὶ τὴν διδασκαλικὴν, ἀλλ' οὐκ ἐπίσης πάντων. ὁμοίως καὶ αἱ λοιπαί. τὸ Γένος τοιγαροῦν προτάσσει τῆς Διαφορᾶς, ὅτι περιεκτικόν ἐστι Διαφορῶν. τὸ γὰρ Ζῶον Γένος ὂν, περιέχει ἐν ἑαυτῷ τὸ λογικὸν & ἄλογον. ἡ δὲ Διαφορὰ προτάσσει τὸ Εἶδους, ἐπεὶ καθολικώτερόν τὸ Εἴδους ἐστί. καὶ γὰρ τὸ λογικὸν καθολικώτερον ἐστὶ τοῦ ἀνθρώπου. φέρεται γὰρ οὐ κατὰ τὸ Ἀνθρώπου μόνον, ἀλλὰ καὶ κατὰ τὸ Ἀγγέλου. εἰδὲ ἐν τῇ ἐκθέσει τὸ Εἶδος τέτακται πρὸ τῆς Διαφορᾶς, τοῦτο γέγονε διὰ τὸ εἶναι τῆς πρός τι τὸ Γένος καὶ τὸ Εἶδος. τὸ δὲ εἶδος προτερεύει τοῦ Ἰδίου. ἐπειδὴ τὸ μὲν Εἶδος μόνον οὐσιῶδές ἐστι, τὰ δὲ Ἴδια οὐσιώδη τε καὶ ἐπουσιώδη. διὸ τὰ καθαρῶς οὐσιώδη τῆς ἐπουσιωδῶν προτιμώτερα. ἄλλως δὲ & πρότερον δέον εἶναι τὸ Εἶδος, καὶ οὕτως ἔχειν τὸ Ἴδιον, εἴδεσιν ἄλλοις ἀμέθεκτον. τὸ δὲ Ἴδιον προτερεύει τοῦ Συμβεβηκότος ἐπειδὴ τὸ μὲν Συμβεβηκὸς μόνον ἐπουσιῶδες ἐστί, τὸ δὲ Ἴδιον καὶ οὐσιῶδες, καὶ ἐπουσιῶδες. ἀλλὰ & αὐτὸ τὸ ἐπουσιῶδες Ἴδιον, τιμιώτερον ἐστὶ τοῦ Συμβεβηκότος. τὸ μὲν γὰρ ψυχικήτις ἐστὶ δυνάμις ἐντὸς θεωρεμένη, καὶ τὸ εἶδος χαρακτηρίζουσα. μόνῳ γὰρ ὑπάρχει τῷ Εἴδει, καὶ παντὶ, καὶ ἀεί. ὅθεν καὶ ἀντιστρέφει. τὸ δὲ Συμβεβηκὸς ἐκτός ἐστι περὶ τὸ σῶμα, καὶ πρὸς αὐτὸ τὸ ὑπάρχειν, καὶ οὐδὲ μόνῳ τῷ Εἴδει. τὸ μὲν οὖν Γέ-

νος,


(1) Ἤτοι διὰ συμπλοκῆς.

νος, ἡ Διαφορὰ, καὶ τὸ Εἶδος, οὐσιώδη πάντοτε εἰσί. τὸ δὲ Συμβεβηκὸς ἐπουσιῶδες ἀεί. τὸ Ἴδιον ἐπαμφοτερίζει, καὶ τὰ πολλὰ μὲν ἐπουσιώδες ἐστὶν, δύναται δέπου καὶ οὐσιῶδες. οἷον ἐν τῷ Ἀνθρώπῳ τὸ, νοῦ καὶ Ἐπιστήμης δεκτικόν. οὐ γὰρ ἔστι τοῦτο Διαφορά. κατὰ πλειόνων γὰρ Εἰδῶν, οὐ καθ' ἑνὸς ἡ Διαφορά. τῶτο δὲ ἰδίως μόνῳ τῷ Ἀνθρώπῳ ὑπάρχει. μόνος γὰρ ὁ Ἄνθρωπος δέχεται τὸν θυραθεν νοῦν τὸν ἐκ μαθήσεως, καὶ μόνος τὰς Ἐπιστήμας διδάσκεται. λέγεται δὲ οὐσιῶδες τὸ τοιοῦτον Ἴδιον, ὅτι παρὸν σώζει τὸ Εἶδος, καὶ ἀπὸν φθείρει. εἰ γὰρ μὴ ὑπάρχει νοῦ καὶ ἐπιστήμης δεκτικὸς, οὐκ ἔστιν ἄνθρωπος. λέγεται καθ' ἑνὸς Εἴδους μόνον, & οὐ κατὰ πολλῶν, καὶ διὰ ταῦτα, οὐσιῶδες. τὸ δὲ γελαστικὸν, Ἴδιον ἀνθρώπου ἐπουσιῶδες ἐστί. παρὸν μὲν γὰρ οὐ σώζει, οὐδὲ ἀπὸν φθείρει. οὐ γὰρ δεόμεθα τοῦ γελᾶν πρὸς συμπλήρωσιν τῆς φύσεως ἡμῶν. τοῦ δὲ νοῦ καὶ Ἐπιστήμης δεκτικοῦ χρήζομεν διὰ τὴν ἔξωθεν γνῶσιν ὡς εἴρηται. Παραλαμβάνονται δὲ καὶ τὰ ἴδια ἐν τοῖς ὁρισμοῖς χαρακτηρισικὰ τυγχάνοντα τῶν Εἰδῶν. ἀλλ' ὅπου ἐστὶν οὐσιῶδες προκείνεται τοῦ ἐπουσιώδους, ὅπου δὲ οὐσιῶδες οὐκ δύναται, τὸ ἐπουσιῶδες εἰσάγεται. καὶ ἐν μὲν τοῖς ἀλόγοις Ζώοις οὐκ ἔστιν εὑρεῖν οὐσιῶδες Ἴδιον, ὁ δὲ Ἄνθρωπος ἐπειδὴ καὶ τῆς ἀλόγου μετέχει φύσεως, καὶ τὴν λογικὴν ψυχὴν ἐξαίρετον ἔχει, διατοῦτο διττὸν φέρει τὸ Ἴδιον. τὸ μὲν γελαστικὸν ὡς κοινωνῶν τοῖς ἀλόγοις, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὡς λογικός τε καὶ νοερός. καὶ αὕτη μὲν ἡ τῶν πέντε Φωνῶν τάξις. πῶς δὲ τὸ Γένος τῶν λοιπῶν τεττάρων προηγεῖται, νῦν ῥητέον.

Τοῦ μὲν Συμβεβηκότος προηγεῖται, ὅπερ ἐστὶν ἐπουσιῶδες, τοῦ δὲ Ἰδίου κατ' ἀμφότερα, καὶ ὡς οὐσιῶδες, καὶ ὡς καθολικώτερον. τὰ γὰρ καθολικώτερα πρότερα εἰσὶ κατὰ φύσιν ὡς εἴρηται. τῆς δὲ Διαφορᾶς εἰ καὶ μὴ πάσης ὡς καθολικώτερον προηγεῖται, ἀλλὰ πάσης ἐστὶ πρότερον, διὰ τὸ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, τῆς διαφορᾶς ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορουμένης. ἀεὶ γὰρ ἡ ἐν τῷ τί ἐστι ζήτησις, τῆς ἐν τῷ ὁποῖόν τί ἐστι προηγεῖται. τοῦ δὲ Εἴδους κατὰ μὲν τὴν γενικὴν φύσιν προηγεῖται ἀναντιῤῥήτως, φυσικῶς τε καὶ διδασκαλικῶς. ἢ γὰρ καθολικώτερον, προηγεῖται κατὰ φύσιν. ἢ δὲ ἀπὸ τῶν καθολικοτέρων ἀρχόμενοι ῥᾷον μανθάνομεν, καὶ κατὰ τὴν διδασκαλίαν. σχετικῶς δὲ θεωρούμενον πρὸς τὸ Εἶδος, οὐ προηγεῖται. τὰ γὰρ σχετικὰ ἅμα εἰσὶ τῇ τε φύσει καὶ τῇ γνώσει.

Περὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ


Τῆς Φωνῆς.
Ἡ μὲν ἄναρθρος.
Ἡ δὲ ἔναρθρος, ἣ ἐστι διχῶς.
Ἡ μὲν ἄσημος, μὴ δηλοῦσα τι πρᾶγμα, ὡς Σκίνδαψος.
Ἡ δὲ σημαντικὴ, ἣ δηλοῖ πρᾶγμα, ὡς ἄνθρωπος, ἵππος, ἣ ἔστι διχῶς.
Ἡ μεικτὴ, ὡς ἐπὶ τῆς ἀπύμων παραλαμβάνεται. Σωάγεται δὲ διχῶς.
Ἡ καθόλου, ἐξ ἧς ὁ ἀριθμὸς τῆς πέντε καθόλε φύσεων σωάγεται.
Ἡ ἐκ τῆς προτέρων, ὑπὸ τῆς διαφορᾶς δηλαδὴ τοῦ ζώπυ τῆς ὑπαρξεως τούτων ἐν τοῖς καθ' ἕκαστα. Σωάγεται δὲ ἐκ τούτων ὧδί. ὅστι ἐστὶν ἐπὶ τῆς καθ' ἕκαστα, φέρε εἰπεῖν Σωκράτες,
Ἡ ἐκ τῆς ὑστέρων, ὑπὸ τῆς διαφορᾶς δηλαδὴ τοῦ ζώπυ τῆς κατηγορείας τῆς αὐτῆς. Καὶ ἐκ τούτων ὧδί. ὅσα κατηγορεῖται κατὰ τοῦ Σωκράτους,
Ἡ οὐσιωδῶς ὑπάρχει αὐτῇ.
Ἡ ἐνουσιωδῶς. καὶ τοῦτο.
Καὶ ἡ ὅλιν τὴν οὐσίαν αὐτοῦ σημαίνει, καὶ λέγεται εἶδος.
Ἡ μέρος τῆς οὐσίας αὐτοῦ, καὶ τοῦτο διχῶς.
Ἡ ὑπὸ τῆς οὐσίας ἐς μορφῆς ἀπὸ προέρχεται, ἣ λέγεται ἴδιον.
Ἡ ἐξόδεν προσγίνεται τῇ λόγῳ τῆς ὑλικῶν πεπερασέων, καὶ λέγεται ἁπλῶς συμβεβηκός.
Ἡ καθολικώτερόν ἐστι αἰαλογικῇ τῇ ὕλῃ, ἣ λέγεται γένος.
Ἡ ἧττον καθόλου αἰαλογικῇ τῇ μορφῇ ᾗ λέγεται διαφορά.
Ἡ κατ' οὐσίαν κατηγορεῖται, ἐς πῶπε διχῶς.
Ἡ κατὰ συμβεβηκὸς, ἐς πῶπε.
Τὰ μὲν ἐν τῷ τί ἐστι, ἐς πῶπε διχῶς.
Τὰ δὲ ἐν τῷ ὁποῖον τί ἐστι, ἐς λέγονται διαφοραί.
Ἡ καθ' ἑνὸς εἴδους μόνου ὡς πὶ ἴδια.
Ἡ κατὰ πλειόνων, ὡς πὶ ἁπλῶς συμβεβηκότα.
Ἡ κατὰ πλειόνων εἰδῶν, οἷα εἰσὶ τὰ γένη.
Ἡ καθ' ἑνὸς εἴδους μόνου, οἷά εἰσι τὰ εἴδη.

καθόλου, ἐξ ἧς ὁ ἀριθ-
ὸς τῆς πέντε καθόλε φύ-
ων σωάγεται.

ῆς ὑςέρων, ἀπὸ τῆς
ὰς δηλαδὴ τοῦ ζόπε
ιτηγορίας τῆς αὐτῆς.
τούτων ὡδί. ὅσα κα-
ῖται κατὰ τοῦ Σωκρά-

Ἢ κατὰ συμβεβηκὸς,
ὡς πᾶπε.

οῖον τί ἐςι,
ιαφοραί.

Ἢ καθ' ἑνὸς εἴδους μόνου
ὡς τὰ ἴδια.

Ἢ κατὰ πλειόνων, ὡς τὰ
ἁπλῶς συμβεβηκότα.

„ Ἔοικε μήτε τὸ Γένος, μήτε τὸ Εἶδος ἁπλῶς λέγεσθαι, ϗ τὰ ἑξῆς.

Εἰς τρία διαιρεῖται τὸ παρὸν κεφάλαιον, κοινῶς ὑπὸ πάντων τῶν ὑπομνηματιστῶν, ὧν ἐν τῷ πρώτῳ τὰ διάφορα σημαινόμενα τοῦ Γένους ἐκτίθεται ὁ Πορφύριος, ἐν δὲ τῷ δευτέρῳ διαφόρως ὑπογράφει τὸ σημαινόμενον περὶ οὗ ὁ λόγος. καὶ ἐν τῷ τρίτῳ τὰς ἀποδοθείσας ὑπογραφὰς, διεξοδικώτερον ἀναπτύσσει.

Ἰστέον ὅτι τὰ ὁμωνύμως λεγόμενα, πρῶτον διαιρετέα, μετέπειτα δὲ ἡ ὁριστέα, ἢ ὑπογραπτέα. ὅθεν ϗ ὁ Πορφύριος, διὰ τὸ εἶναι τῶν ὁμωνύμων τὸ Γένος, πρὸ τοῦ ὑπογράψασθαι τοῦτο, τὰ διάφορα σημαινόμενα τούτου ἐκτίθησιν. οὐκ ἐξέθετο μέντοι ἅπαντα τὰ τοῦ Γένους σημαινόμενα ὁ Πορφύριος, ὅτι σκοπὸς ἦν αὐτῷ ἐκεῖνα μόνον προχειρίσασθαι, ὅσα εἰς ἀναπτυξιν τῶν παρὰ Φιλοσόφοις λεγομένων συμβάλλεται. διὸ τρία ταῦτα μόνον, τὰ λοιπὰ παραλιπὼν, ἐπὶ τῶν παρόντος ἐξέθετο. Πρῶτον τῶν ἀθροισιν καθ' ἣν ἔχουσί τινες σχέσιν τινὰ συγγενείας πρὸς ἀλλήλους, ϗ πρὸς ἕντι πρῶτον πρὸς ἐκείνας ἀναφερόμενον. οἷάπερ φαμὲν τὸ τῶν Κεκροπιδῶν γένος, ἢ τὸ τῶν Ἡρακλειδῶν, τὰς ἀπὸ Κέκροπος δηλονότι δηλοῦντες, ἢ ἀφ' Ἡρακλέους καταγομένους. Δεύτερον γένος λέγεται, ὅθεν ἡ ἀρχὴ τῆς γενέσεως ἑκάστου. ϗ τοῦτο δίχως. ἢ γὰρ τοὺς προγόνους ἐννοοῦμεν, οἷον Κέκροπα, ἢ Ἡρακλέα, ὡς ὅταν λέγωμεν, τὸν μὲν ἀπὸ Κέκροπος ἔχειν τὸ γένος, τὸν δὲ ἀφ' Ἡρακλέους. ἢ τῶν Πείδα γένος ἐννοοῦμεν, καθὸ φαμὲν Πλάτωνα μὲν Ἀθηναῖον, Πίνδαρον δὲ Θηβαῖον εἶναι τὸ γένος. πρότερον δὲ τὸ σημαινόμενον τοῦτο τοῦ ὑστέρου, οὗ καθ' ὁμοιότητα ϗ τὸ παρὰ Φιλοσόφοις λέγεται Γένος. ἔστι δὲ ἡ ὁμοιότης τοῦ παρὰ Φιλοσόφοις Γένους πρὸς τὰ λοιπὰ δύο τῶν ἐκτεθέντων σημαινομένων. ὅτι τὸ μὲν πρῶτον ἐδήλου τῶν ἀθροισιν σχετικῶς ἀναφερομένων πρὸς ἕνα τινὰ πρῶτον ϗ πρὸς ἀλλήλους. οἷον τὸ γένος τῶν Ἡρακλειδῶν πρὸς τὸν Ἡρακλῆ, ϗ πρὸς ἀλλήλους. οὗ χάριν ἔχει ἡ ἄθροισις τῶν Εἰδῶν πρὸς τὸ Γένος, ϗ πρὸς ἄλληλα. ὁμοιῶται δὲ ϗ τῷ δευτέρῳ σημαινομένῳ κατὰ τὴν σχέσιν τὴν πρὸς τὰ Εἴδη, ἀναφερόμενον πρὸς ἐκεῖνα, καθάπερ ὁ Τεκὼν, ἢ ἡ Πατὴς ἀναφέρονται πρὸς τὰ ἐξ αὐτῶν.

Ὑπογραφαὶ τῆ λογικῆ Γενῆς.

Διὸ δὲ ὑπογραφὰς τοῦ Γένους ἐκτίθησιν ὁ Πορφύριος κατὰ τὴν διττὴν χέσιν ἢ τὸ Γένος ἀναφέρεται πρὸς τὸ Εἶδος, καὶ ἀνάλαξ τὸ Εἶδος πρὸς τὸ Γένος. ὑπογράφεται δὲ τὸ Γένος κατὰ τὴν πρώτην χέσιν τῆ Πορφυρίῳ, καθ' ἣν δηλαδὴ τὸ Γένος ἀναφέρεται πρὸς τὰ Εἴδη, ὡδί.

„ Γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῆ εἴδει ἐν τῷ τί ἐστι κατηγορέμενον. κατὰ δὲ τὴν δευτέραν καθ' ἣν τὰ ὑπὸ τὸ Γένος εἴδη ἀναφέρεται πρὸς τὸ Γένος. Γένος ἐστὶν ᾧ ὑπόκειται τὰ Εἴδη. εἰσὶ δὲ οἱ ἀποδοθέντες ὅροι τῆ Πορφυρίῳ λόγοι, οὐχ ὁρισμοὶ κυρίως, ἀλλ' ὑπογραφαί. οἱ γὰρ ὁρισμοὶ σωίστανται ἐκ Γένους οἰκείου τῆ ὁριζομένῳ, καὶ συστατικῆς διαφορᾶς τοῦ αὐτοῦ. τὰ δὲ Γένη ἅπερ εἰσὶ τὰ ὁριζόμενα ἐνταῦθα, οὐ πάντα ἔχουσι γένος οἰκεῖον. τὰ γὰρ ἀνώτατα καὶ γενικώτατα οὐκ ἔχει γένος ἀνώτερον ἐξ οὗ ὁρισθείη. πρόδηλον ὅτι καὶ εἰσὶ διαφόρων κατηγοριῶν, ὧν οὐδεί ἐστι κοινὸν Γένος. τὸ γὰρ ὄν, ὁμώνυμός τις ἐστὶ φωνὴ λεγομένη κατὰ πασῶν τῆ κατηγοριῶν, ὡς τὰ ἀφ' ἑνὸς, ἢ πρὸς ἕν. διάπερ τοῦτο ὁ Πορφύριος ὑπογραφῆ ἐχρήσατο ἐπὶ τούτων.

Τί ἐστὶ τὸ ὑπογραφόμενον.

Ἐπὶ δὲ τοῦ παρόντος τὸ ὑπογραφόμενον οὔτε ἡ καθόλου φύσις μόνη ἐστὶν, οὔτε ἡ χέσις μόνη τῆς αὐτῆς. οὐδέτερον γὰρ τούτων ὁρίζεται καθ' αὑτό. ἀλλ' ἡ γενικὴ φύσις ὁρίζεται κατὰ τὴν ταυτότητα τῆς χέσεως, καθ' ἣν ἀδιαφόρως ὑπάρχουσα οὐσιωδῶς ἐν πολλοῖς διαφέρουσι τῷ εἴδει, κατηγορεῖται κατ' αὐτῶν, ὃν ἔστιν ἐνυπάρχει τούτοις. δηλαδὴ ἐν τῷ τί ἐστι. ὥστε πρὸς τὸν ἐρώμενον ὁποῖόν ἐστὶ τὸ ὑπογραφόμενον ἐπὶ τοῦ παρόντος; εἰρήσεται προσφυῶς. Ἡ γενικὴ φύσις κατὰ τὴν χέσιν τῆς ταυτότητος ἣν ἔχουσιν ἐν πολλοῖς ὑπάρχουσα διαφέρουσι τῷ εἴδει. εἰ δὲ εἴποι, πῶς τὸ Ζῶον λέγεται Γένος, ἔπερ ἡ γενικὴ φύσις καθ' αὐτὴν μὴ ὁρίζεται; λεκτέον. ὅτι οὐ κατὰ τὴν οἰκείαν φύσιν, (ἔστω γὰρ ὁριζόμενον, Οὐσία ἐστὶν ἔμψυχος αἰσθητική,) ἀλλὰ κατὰ τὴν χέσιν τῆς ταυτότητος, καθ' ἣν ἐν τοῖς οὖσιν ὑπάρχει, ἐν Ἀνθρώπῳ, Ἵππῳ, Λέοντι, καὶ τοῖς λοιποῖς Εἴδεσι, καθ' ἣν καὶ κατηγορεῖται κατ' αὐτῶν, ὃν ἔστιν καὶ τὰ Εἴδη πρὸς ἄλληλα ἔχειν πῶς λέγεται. καθότι πάντα οὐσιωδῶς εἰσὶ Ζῶα.

Ἐμπε-

ω.

ρμό-
- Ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, ἢ ποιεῖ τὸ γένος.
- Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, ἢ λέγεται, διαφορά.

ως.
- Ἢ ἐν τῷ τί ἐστι, ἢ ποιεῖ τὸ εἶδος.
- Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, ἢ λέγεται οὐσιῶδες ἴδιον.

Ἢ ἁπλῶς κατηγο
καθόλου φωνὴ κ
χορεῖται.

ει καὶ ποιεῖ τὸ ἐπουσιῶδες ἴδιον. ὃ καὶ ἐν τῷ
ορεῖται.

τὸ
δι-
- Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται, ἢ ποιεῖ τὸ ἀχώριστον συμβεβηκός.
- Ἢ ἐν τῷ πῶς ἔχειν ἐστὶ, καὶ ποιεῖ τὸ χωριστὸν συμβεβηκός.

πέντε φωνῶν.

λειόνων κατηγορουῦται. ὅθεν τὰ ἄτομα καθ'
ούτους.

διὸ τὰ τὸ ὅλον σωιζῶντα μέρη, κατηγορει-

Σωάγεται ἢ οὕτω.

- Ἁπλῶς κατηγορικὴ καθόλου φωνὴ κατηγορεῖται.
  - Ἢ οὐσιωδῶς, ἓ τοῦτο διχῶς.
    - Ἢ πολλαῖς φύσεσιν ἁρμόζει, ἓ τοῦτο διχῶς.
      - Ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, ἢ ποιεῖ τὸ γένος.
      - Ἢ ἐν τῷ ὁποῖον τί ἐστι, ἢ λέγεται, διαφορά.
    - Ἢ μιᾷ, ἓ τοῦτο διχῶς.
      - Ἢ ἐν τῷ τί ἐστι, ἓ ποιεῖ τὸ εἶδος.
      - Ἢ ἐν τῷ ὁποῖον τί ἐστι, ἓ λέγεται οὐσιῶδες ἴδιον.
  - Ἢ ἐπουσιωδῶς, ἓ τοῦτο διχῶς.
    - Ἢ μιᾷ φύσει ἁρμόζει καὶ ποιεῖ τὸ ἐπουσιῶδες ἴδιον. ὃ καὶ ἐν τῷ ὁποῖον τί ἐστι κατηγορεῖται.
    - Ἢ πολλαῖς, ἢ ποιεῖ τὸ συμβεβηκός. ἓ τοῦτο διχῶς.
      - Ἢ ἐν τῷ ὁποῖον τί ἐστι κατηγορεῖται, ἓ ποιεῖ τὸ ἀχώριστον συμβεβηκός.
      - Ἢ ἐν τῷ πῶς ἔχειν ἐστί, καὶ ποιεῖ τὸ χωριστὸν συμβεβηκός.

Σωάγεται ἢ οὕτω.

- Αἱ καθόλου φωναὶ κατηγοροῦνται.
  - Ἢ οὐσιωδῶς, ἓ τοῦτο διχῶς.
    - Ἢ ἐν τῷ τί ἐστι, ἓ τοῦτο διχῶς.
      - Εἰ μὲν κατὰ διαφερόντων τῷ εἴδει, ἐστὶ γένος.
      - Εἰ δὲ κατὰ διαφερόντων τῷ ἀριθμῷ, ἐστὶ τὸ εἶδος.
    - Ἢ ἐν τῷ ὁποῖον τί ἐστι, ἓ ἔστιν ἡ διαφορά.
  - Ἢ ἐπουσιωδῶς, καὶ τοῦτο διχῶς.
    - Ἢ καθ' ἑνὸς εἴδους κατηγορεῖται, ἓ ἐστὶ τὸ ἴδιον.
    - Ἢ κατὰ πλειόνων, ἓ ἐστὶ τὸ ἁπλῶς συμβεβηκός.

Περὶ τῶν ἰδιωμάτων τῶν πέντε φωνῶν.

- Πρῶτον, ἁπλοῦν ἓ αὐτὸ συμπλοκῆς νόημα σημαίνουσι, καθ' ὃ οἱ ὁρισμοὶ ἓ αἱ προτάσεις ἓ τὰ τοιοῦτοι ὅμοια, τῆς παρούσης πραγματείας τῶν πέντε τούτων φωνῶν ἀποκλείονται.
- Δεύτερον, τὰ ὑπὸ τούτων σημαινόμενα νοήματα, συνώνυμά ἐστι, καθ' ὃ τὰ ὁμώνυμα ἢ αὐτὰ λόγα ὑπὸ τῶν τοιούτων διαιρέλεται.
- Τρίτον, πλείοσιν ἐνυπάρχουσι ἢ κατὰ πλειόνων κατηγοροῦνται. ὅθεν τὰ ἄτομα καθ' ἑνὸς κατηγορούμενα οὐ συναριθμοῦνται τούτοις.
- Τέταρτον, ὀρθῶς ὀφείλουσι κατηγορεῖσθαι, διὸ τὰ τὸ ὅλον συνιστῶντα μέρη, κατηγορήματικὰ οὐ λέγονται.

Ἐμπεδοῦται δὲ τὰ εἰρημένα πλείοσι μὲν, καὶ πρὸ τῆς ἄλλων λόγῳ τοιῷδε. ἐκεῖνο γὰρ δείζεται ἐνταῦθα, ὅπερ κατηγορεῖται κατὰ πλειόνων Εἰδῶν. κατηγορεῖται δὲ κατὰ πλειόνων Εἰδῶν ἡ αὐτὴ φύσις, ἥτις ποτ' ἂν εἴη γενικὴ, καὶ οὐχὶ ἡ ἕξις, ὡς οἱ πολλοὶ φασὶ κατ' ἐπίνοιαν ὄν. κατὰ γὰρ τοῦ Ἀνθρώπου, Ἵππου, Λέοντος, καὶ τῆς ἄλλων εἰδῶν, ἡ φύσις τοῦ Ζώου κατηγορεῖται ὡς ὑπάρχουσα τούτοις. φαμὲν γὰρ τὸν Ἄνθρωπον ὅτι ἐστὶ Ζῶον, καὶ τὸν Ἵππον, καὶ Λέοντα. οὐδεὶς δ' ἂν φαίη τὸν Ἄνθρωπον Γένος, εἴπω γενικῷ ἕξιν. ἐπειδὴ δὲ ἐπὶ πάσης ὑπογραφῆς λαμβάνεταί τι ὡς Γένος, καὶ ἐπὶ τῆς προκειμένης Γένους χώραν ἀναπληροῖ τὸ κατηγορούμενον πρᾶγμα κατὰ πλειόνων, ἤτοι ἡ φύσις ἡ καθόλου. ὡσεὶ ἔλεγον.

Γένος ἐστὶ πᾶσα φύσις καθόλου γενικὴ, πραγματικῶς ὑπάρχουσα τοῖς ὑφ' αὐτό. ὅπερ δηλοῦται διὰ τὸ εἰπεῖν τὸ κατηγορούμενον πρᾶγμα κατὰ πλειόνων. εἰ δέ τις εἴπῃ τίνος χάριν τὸ πρᾶγμα παραλαμβάνεται ἐν τῇ ἐξηγήσει, ὅπερ οὐ κεῖται ἐν τῇ ὑπογραφῇ; εἰρήσεται πρὸς αὐτόν. ὅτι τὸ κατηγορούμενον ὑποθέτου λόγον ἔχον, ἀναγκαίως ἀπαιτεῖ ὡς βάσιν οἰκείαν οὐσιασικόντι. τοιοῦτον ἐνταῦθα σωσικνοεῖται τὸ πρᾶγμα.

Δείκνυται τὸ κατηγορούμενον κατὰ πλειόνων πρᾶγμα, Γένους λόγον ἔχειν καὶ ἐπὶ τῆς ὑπογραφῆς. ὅτι τὸ Γένος ὁμοίως ὑπάρχει ἐν πᾶσι τοῖς Εἴδεσι. καὶ τὸ κατὰ πλειόνων κατηγορούμενον πρᾶγμα, ὁμοίως ἐν πᾶσιν ὑπάρχει τοῖς καθόλου. πάντα γὰρ κατηγορεῖται κατὰ πλειόνων ὡς πράγματα. καθ' ὃ καὶ ἀντιδιαστέλλεται τῇ καθέκαστα καὶ ἀτόμων. ἅπερ καθ' ἑνὸς λέγεται καὶ οὐ κατὰ πλειόνων. Ταύτῃ δὲ τῇ ὑπογραφῇ μετῳύεγκεν ὁ Πορφύριος ἀπὸ τῆς Τοπικῶν, ἧς εἰς ἀνάπτυξιν διαιρεῖ τὰ κατηγορούμενα, καὶ δείκνυσι διὰ τῆς ἐκτεθείσης ὑπογραφῆς ἀντιδιαστελλόμενον τὸ Γένος πάντων τῆς ὅπως δήποτε κατηγορουμένων. ἔστι δὲ ἡ διαίρεσις τοιαύτη. τὰ κατηγορούμενα ἢ καθ' ἑνὸς μόνου κατηγορεῖται, οἷον Σωκράτης, καὶ τὸ, οὗτος. ἢ κατὰ πλειόνων. καὶ τῆς κατὰ πλειόνων κατηγορουμένων, τὰ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται, ὡς τὸ Γένος καὶ τὸ Εἶδος, τὰ δὲ ἐν τῷ ὁποῖόν τί ἐστιν, ὡς ἡ Διαφορὰ, καὶ τὸ Ἴδιον, καὶ τὸ κοινῶς Συμβεβηκός.

Ὅθεν συνάγεται ὅτι ἐπὶ τῆς ἐκτεθείσης ὑπογραφῆς, τὸ μὲν κατηγορούμενον πρᾶγμα Γένους χώραν ἐπέχει, τὰ δὲ λοιπὰ Διαφορᾶς. ὧν διὰ μὲν τὸ κατὰ πλειόνων κατηγορεῖσθαι, ἀντιδιαστέλλεται τῇ ἀτόμων, καθ' ἑνὸς μόνου κατηγορουμένων. διὰ δὲ τοῦ διαφερόντων τῇ εἴδει, ~~ἐκ~~ τὰ Εἴδους ἀντιδιαστέλλεται ~~διαφέρει~~, κατὰ διαφερόντων τῷ ἀριθμῷ κατηγορουμένου. τῇ δὲ ἐν τῷ τί ἐστι

ἐστι κατηγορεῖσθαι, τῆ λοιπῶν τριῶν διενήνοχε, Διαφορᾶς, Ἰδίου, καὶ Συμβεβηκότος. ἐρωτήσαντος γάρ τινος τί ἐστι Σωκράτης; τὸ Εἶδος ἀποκρινόμεθα, ὅτι ἐστὶν Ἄνθρωπος. Εἰδὲ τί ἐστιν ἄνθρωπος ἐρωτῶν; τὸ Γένος, ὅτι ζῶον. διὸ καὶ ταῦτα μόνα ἐν τῷ τί ἐστι κατηγορεῖται· ὅθεν σωζόμενα ὅτι οἰκεία, καὶ ἀντίστροφός ἐστι τῷ ὑποχραφομένῳ ἡ ὑποχραφὴ αὕτη. οὔσης γὰρ ἐκείνης καλλίστης ὑποχραφῆς, ἥτις τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος δηλοῦσα, ἀπότε τῆ ὁμογενῶν καὶ ἑτερογενῶν αὐτὸ διαστέλλει, μήτε κατά τι περιττεύουσα, μήτε ἐλλείπουσα, εἴη ἂν αὕτη ἡ ἐκτεθεῖσα καλλίστη ὑποχραφή, οἰκεία τε καὶ ἀντίστροφος τῷ Γένει.

Ἰσέον ὅτι τὸ ὑποχραφόμενον ἐνταῦθα τῷ Πορφυρίῳ, ἐστὶ τὸ ἁπλῶς καὶ καθολικώτατον Γένος. διὰ τοῦτο μὴ δυνάμενος ὁ Πορφύριος τελείως ὁρισμὸν ἀποδοῦναι τοῦ τοιούτου, δι' ὑποχραφῆς αὐτὸ ἐσήμανεν. ἃ γὰρ μὴ δυνάμεθα ὁρίσαι, δι' ὑποχραφῆς ταῦτα σημαίνομεν. διὸ καὶ τὸ ἐκτεθὲν Γένος ὑπεχράφη. Πρῶτον μέν ὡς εἴρηται ὅτι ἐστὶν ἁπλῶς καὶ καθολικώτατον Γένος ἐφαρμόσαι δυνάμενον παντὶ Γένει. τοῦ δὲ καθολικωτάτου Γένους, οὐκ ἔστιν ὁρίσαι Γένος ἀφ' οὗ ὁρισθείη. οὕτω γὰρ οὐκ ἂν εἴη καθολικώτατον. Γένους δὲ μὴ ὄντος, οὐδὲ ὁρισμὸν ἐνδέχεται εἶναι. ὁ γὰρ ὁρισμὸς σύγκειται ἐκ Γένους καὶ συσατικῶν Διαφορῶν. αἱ γὰρ διαφοραὶ διαιροῦσαι τὰ Γένη, τὰ Εἴδη σωίζουσι. οὐ ἄρα μὴ ἐστὶ Γένη, οὐδὲ συσατικὰς Διαφορὰς ἐνδέχεται εἶναι. Δεύτερον δὲ ὡς καὶ ἀνωτέρω εἴρηται, ὅτι τὸ Γένος τῆ ὁμωνύμων ἐστὶ, (διχῶς γὰρ λέγεται.) τὰ δὲ ὁμώνυμα οὐκ ἔστιν ὁρισικῷ ἀποδοῦναι λόγῳ, ἐπεὶ ὀνόματα μόνον ἐστὶ φιλὰ τοῖς πράγμασι τοῖς ὑπ' ἐκείνων σημαινομένοις διαφέροντα. οἱ δὲ ὁρισμοὶ ἐξ ὧν εἰσιν ὁρισμοί. ὧν δὲ πραγμάτων ὁρισμοί εἰσιν οἱ αὐτοὶ, ταῦτα καὶ πράγματα εἰσὶ τὰ αὐτά. ὅθεν τὰ ὁμώνυμα οὐκ ὄντα τὰ αὐτὰ πράγματα, οὐδὲ ὁρισμῷ περιληφθῆναι ἐνδέχεται, ἀλλὰ μόνον δι' ὑποχραφῆς δηλοῦται. Πρὸς ταῦτα ἴσως ἀπορήσειέν τις, ὅτι εἰ ὁ ὁρισμὸς οὐσίαν σημαίνει, τὰ δὲ ὁμώνυμα οὐχ ὁριζόμεθα ὅτι ἐστὶ φιλὰ ὀνόματα, διατί αὐτῆ ὑποχραφῆ ἀποδίδομεν; καὶ γὰρ ἡ ὑποχραφὴ διὰ τῆς συνδρομῆς τῆ συμβεβηκότων τοῦ ὑποκειμένου αὐτὴν οὐσίαν δηλοῖ. Ἐπεὶ τοιγαροῦν τὰ ὁμώνυμα διὰ μιᾶς ὑποχραφῆς ἀποδίδονται, καὶ δι' αὐτῆς εἰς ἔννοιαν τῆς ὑποκειμένης οὐσίας ἐρχόμεθα, δρεθήσεται οὐ μόνα τὰ ὀνόματα, ἀλλὰ καὶ πράγματα τὰ αὐτὰ, ὅπερ ἄτοπον. δρεθήσεται γὰρ τὰ δέκα γένη ταυτὰ, οἷς ἐστὶ γένος ὁμώνυμον.

Ἡ λύσις τῆς ἀποριας ταύτης, φέρεται παρ' Ἀμμωνίῳ, ὅτι καὶ τοῖς διαφέρουσι κατ' οὐσίαν, ἐνδέχεται εἶναι τὰ αὐτὰ συμβεβηκότα καθ' ἃ ἡ ὑ-

πο-

προσφὴ γίνεται. ὥσπερ γὰρ ἡ οὐσία περεκτικὴ σώματος καὶ ἀσωμάτου, γένος οὖσα τούτων, ἐκείνων ὄντων εἰδῶν, οὕτω καὶ τὸ ποσὸν περεκτικόν ἐστι τοῦ συνεχοῦς καὶ διωρισμένου, γένος ὂν τούτων, καὶ τὸ ποιὸν ὡσαύτως, καὶ τὰ ἄλλα ὁμοίως. ὥστε ἡ αὐτὴ χέσις ταῖς κατηγορίαις πᾶσι συμβέβηκε, καὶ οὐκ ἔστι θαυμαστὸν, εἰ τῇ κατ' οὐσίαν διαφερόντων, ἐνδέχεται μίαν ὑπογραφὴν εἶναι. τὰ δὲ ὑπογραφόμενα πράγματα, μὴ γίνεσθαι ταὐτά. πρόσεστι γὰρ ἐν τοῖς δέκα Γένεσιν, ὁμοίως τὸ κατὰ πλειόνων κατηγορεῖσθαι, ἀλλ' οὐ κατὰ τῇ αὐτῇ, ἢ κατὰ τοσούτων. ἡ μὲν γὰρ τῇ κατηγορειῶν, εἰ τύχοι, κατηγορεῖται κατὰ τεσσάρων, ἢ πέντε Εἰδῶν. ἡ δὲ κατὰ πλειόνων, ἢ ἐλαττόνων, ἅπερ καὶ τῷ εἴδει καὶ τῇ ὑπάρξει διαφέρουσιν. ἐξ ὧν καὶ τὰ τούτων γένη διαφέρει. ὅθεν οὐκ ἄτοπον τὰ αὐτὰ συμβεβηκότα διαφόροις ἐνυπάρχειν πράγμασιν.

Τε-

Τειχῶς διαιρεῖται τὸ παρὰ Πορφυρίῳ περὶ Γένους κεφάλαιον.

α. ἐν ᾧ τὰ διάφορα σημαινόμενα τῷ γένους ἐκτίθεται.

α. γένος λέγεται ἡ ἄθροισις καθ' ἣν ἔχουσί τινες σχέσιν τινὰ συγγενείας πρὸς ἀλλήλους, καὶ πρὸς ἕνα τινὰ πρῶτον.

β. ὅθεν ἡ ἀρχὴ τῆς ἑκάστης γενέσεως. ἐξ αὗτη δίχως.

Ἡ μὲν φυσικὴ, ὡς ὁ πατήρ.

Ἡ δὲ τοπικὴ, ὡς ἡ πατρίς.

γ. γένος ᾧ ὑποκεῖται τὰ εἴδη.

β. ἐν ᾧ διαφόρως ὑπογράφει τὸ σημαινόμενον περὶ οὗ ὁ λόγος.

α. καθ' ὃ τὸ γένος διαφέρεται πρὸς τὸ εἶδος. γένος ἐστὶ τὸ κατὰ πλειόνων ἐξ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορέμενον.

β. τὸ εἶδος πρὸς τὸ γένος. γένος ἐστὶν ᾧ ὑποκεῖται τὰ εἴδη.

γ. ἐν ᾧ τὰς ἀποδοθείσας ὑπογραφὰς διεξοδικώτερον ἀναπτύσσει.

α. διὰ τῆ κατὰ πλειόνων κατηγορεῖσθαι αὐτὸ διαφέλλεται τῶν ἀτόμων, καθ' ἑνὸς μόνου κατηγορεμένων.

β. διὰ τοῦ διαφερόντων τῷ εἴδει, ἐκ τοῦ εἴδους διαφέρει, κατὰ διαφερόντων τῷ ἀριθμῷ κατηγορουμένου.

γ. τῷ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι τῶν λοιπῶν τεσσάρων διενεγκόντος, διαφορᾶς, ἰδίου, καὶ συμβεβηκότος.

Περὶ Εἴδους.

Μετὰ τὴν ἔκθεσιν τοῦ Γένους προσεχῶς ὁ Πορφύριος τὴν διάληψιν περὶ τοῦ Εἴδους ποιεῖται, τὴν κατὰ διδασκαλίαν τάξιν κἀνταῦθα

θα ἐπιτρῶν, εἰ μὴ μὴ ἁπλῶς τῷ κατὰ φύσιν. ἡ γὰρ διαφορὰ ὡς ἁπλουστέρα τῆς συσατικῆ τοῦ Εἴδους προλιπτέχ ἐδόκει μέρος γάρ ἐστιν ἡ διαφορὰ τοῦ Εἴδους. τὰ δὲ μέρη ἀναντιῤῥήτως προηγεῖται τοῦ ὅλου, ὥσπερ ἐπὶ τῆς σωθέσεως, οὕτω καὶ ἐπὶ τῆς κατὰ φύσιν γνώσεως. ἀλλὰ τῷ γε λόγῳ τῷ πρός τι, καὶ τῷ κατὰ φύσιν τάξιν τετρηκὼς φαίνεται. τὰ γὰρ πρός τι ἅμα τῇ φύσει εἶναι λέγεται πρὸς τοῦ Φιλοσόφου, καὶ γινώσκεθαι ὁμοίως. τὸ δὲ Γένος καὶ Εἶδος τῷ πρός τι εἰσί. τὸ γὰρ Εἶδος Γένους λέγεται Εἶδος, ὥσπερ καὶ τὸ Γένος Εἴδους ἐστὶ Γένος. ὅθεν καὶ ἐν τοῖς λόγοις (1) ἑκατέρων ἀμφοῖν ἐμνημόνδυσε. προσέτι ὅτι τὸ Εἶδος κατηγορεῖται ἐν τῷ τί ἔξιν, ἡ δὲ διαφορὰ ἐν τῷ ὁποῖον τί ἔξι. προηγεῖται δὲ ἀεὶ ἐπὶ τὲ αὐτὲ Πράγματος ἡ ζήτησις καὶ κατηγορία τὲ τί ἔξι, τῆς ζητήσεως καὶ κατηγορίας τῆς γινομένης διὰ τὲ ὁποῖον τί ἔξιν. ὅθεν ὁ Πορφύριος τετρηκὼς ἅμα φαίνεται τῷ τῆς φύσεως τάξιν, καὶ τῷ τῆς διδασκαλίας. τὸ γὰρ Εἶδος ἧπερ ἐστὶ σχετικὸν τοῦ Γένους ἅμα τῇ φύσει ὂν ἐκείνῳ, προηγεῖται κατὰ φύσιν τῆς Διαφορᾶς. ἀπὸ δὲ τῷ κατὰ φύσιν ἀρχόμενοι, ῥᾶον μανθάνομεν. προηγεῖται καὶ κατὰ τῷ τῆς διδασκαλίας. κέχρηται δὲ ὁ Πορφύριος καὶ ἐπὶ τοῦ παρόντος τῷ αὐτῷ κανόνι, ᾧπερ καὶ ἐπὶ τοῦ Γένους. διαιρεῖ γὰρ τὸ περὶ Εἴδους Κεφάλαιον εἰς πέντε μέρη, ὧν ἐπὶ μὲν τοῦ πρώτου τὰ διάφορα σημαινόμενα τοῦ Εἴδους ἐκτίθεται. Ἐπὶ δὲ τοῦ δευτέρου διαφόρους ὑποζεφὰς ἀποδίδωσι τοῦ περὶ οὗ ὁ λόγος. ἐν δὲ τῷ τρίτῳ διδάσκει τὰς αὐτὰς διεξοδικώτερον, ὧν εἰς κατάληψιν τραχυτέραν ἐδέησεν αὐτῷ τῷ τάξιν ἐκθέσθαι τῷ κατηγορουμένων ἐπὶ μιᾶς κατηγορίας. τέταρτον διέξεισι τὰς διαφορὰς αἷς πρὸς ἄλληλα χωρίζονται τὰ κείμενα ἐν ἐκείνῃ τῇ τάξει. ἐτελευταῖον δὲ περὶ ἀτόμου, τίνε ἐστὶ, καὶ πόσαχῶς λέγεται διδάσκει.

Σημαινόμενα τοῦ Εἴδους.

Τὰ σημαινόμενα τοῦ Εἴδους εἰσὶ πολλὰ καὶ διάφορα. ἄλλως γὰρ ταὐτὸν τῷ φωνῷ οἱ Γραμματικοὶ, καὶ ἄλλως οἱ Ῥήτορες ἐκλαμβάνουσιν. οἱ μὲν Γραμματικοὶ εἴδη ὀνομάτων, ἀντωνυμιῶν, καὶ παραγωγῶν, προσέτιτε ῥημάτων καὶ ὑπῤῥημάτων γινώσκουσιν, οἱ δὲ Ῥήτορες εἴδη λόγων, καὶ εἴδη περιόδων, καὶ εἴδη προβλημάτων κατονομάζουσι. παρὰ δὲ Φυσικοῖς, Εἶδος λέγεται θάτερον μέρος τοῦ συνθέτου, ὃ καὶ μορφὴ καλεῖσθαι

(1) Ἤτοι ἐσωμοῖς, ἢ ὑπογραφαῖς τύποις.

θαι εἴωθε. προσέτι λέγεται κατ' αὐτοὺς εἴδη, οἷς ὡς εἰκόσι κέχρηται ὁ νοῦς εἰς ἀντίληψιν τῆς ὄντων. ἀλλὰ καὶ αἱ νοεραὶ Οὐσίαι εἴδη κεχωρισμένα λέγονται παρ' αὐτοῖς. ὁ Πορφύριος μέν τοι οὐκ ἐχρήσατο πᾶσι τοῖς ὑπὸ τῆς τοιᾶς δὲ φωνῆς σημαινομένοις, ὅτι οὐδὲ πάντα συμβάλλεται εἰς ἔννοιαν τοῦ παρὰ λογικοῖς Εἴδους, ἀλλ' ἠρκέθη δύο μόνα σημαινόμενα τούτης ἐκθέσθαι, τὰ λοιπὰ παραλιπών. πρῶτον τοίνυ δ' πρέπειαν καὶ δ' σχημοσυνίαν καθ' ἣν δ' εἰδῆ λέγομεν τὸν τοιοῦτον κεκοσμημένον εἶδει. ἐφ' ᾧ καὶ εἰσάγει τὸν Ποιητὴν λέγοντα, πρῶτον εἶδος ἄξιον τυραννίδος. μεθ' ὃ ἐπιφέρει τὸ κατὰ Φιλοσόφους Εἶδος. ταῦτα δὲ μόνα ἐκτίθεται ὁ Πορφύριος ὡς ἔχοντά τινα πρὸς ἑαυτὰ ὁμοιότητα. ἔστι δὲ τὸ λογικὸν (1) Εἶδος οἷον δύπρέπεια, κάλλος, καὶ τελειότης τοῦ Γένους, ὥσπερ καὶ ἡ δ' πρέπεια τοῦ σώματος. τὸ γὰρ Εἶδος παρ' Ἀριστοτέλει, ἀντὶ τῆς μορφῆς λαμβάνεται, ὃ καλὸν καὶ ἐφετὸν ὁ Ἀριστοτέλης ὠνόμασε. τοίνυ γὰρ ὕλην καθ' ἑαυτὴν ἄμορφον, καὶ ἀνείδεον οὖσαν, καὶ δυνάμει λεγομένην ὂν, εἰς ἐνέργειαν ἄγει, καὶ οἱονεὶ εἴδεσι καθίστησι.

Ἔκθεσις τῆς ἐν τῷ β'. μέρει.

Ὑπογράφει δὲ ὁ Πορφύριος τὸ ἐκτεθὲν σημαινόμενον τῶν Εἴδους τοιχῶς, κατὰ τὸ τριττὸν τῆς θεωρουμένης ἐπ' αὐτὸ σχέσεως. καθὸ μὲν γὰρ τὸ Εἶδος ἐπὶ τὸ Γένος ἀναφέρεται, Εἶδος εἶναι λέγεται τὸ τινὶ γένει ἀμέσως ὑποκείμενον. καθὸ δὲ τὸ Γένος ἐπὶ τὸ Εἶδος ἀναφέρεται, Εἶδος εἶναι λέγεται τὸ κατώτερον ὑπὸ τὸ Γένος, καὶ οὗ τὸ Γένος ἐν τῷ τί ἐστι κατηγορεῖται. καθ' ἣν δὲ σχέσιν τὸ εἶδος πρὸς τὰ ὑφ' αὑτὸ ἔχηκεν, ἤτοι τὰ ἄτομα, ὅτι ἐστὶ τὸ κατὰ πλειόνων, καὶ διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστι κατηγορούμενον.

Ἀπορία.

Ἔνταῦθα οὐκ ἀπεικότως ἀπορήσειεν ἄν τις πρὸς τὰ λεγόμενα τῷ Πορφυρίῳ λέγων οὑτωσί. τὸ ὀρίζειν τινὰ θάτερον διὰ θατέρου, κακία κεῖνται παρὰ Φιλοσόφοις, ὅτι τὸ αὐτὸ γίνεται γνωριμώτερον, καὶ ἧττον γνώριμον. δι' οὗ γὰρ ἕτερον ὁρίζομεν καὶ δηλοποιοῦμεν, γνωριμώτερον εἶναι

(1) Τὸ παρὰ φυσικοῖς σιώθεπον τοῦτο, τὸ εἶδος τῆς μεταφυσικῶν τε καὶ λογικῶν. τὸ δὲ παρὰ μεταφυσικοῖς εἶδος, τοῦτο τοῖς μεταφυσικοῖς τε καὶ λογικοῖς διαφορά. ἡ δὲ τῆς φυσικῶν ὕλη, τοῦτο τῆς μεταφυσικῶν καὶ λογικῶν γένος.

και χρεὼν τοῦ ὁριζομένου. ἵνα δὲ σαφὲς τὸ λεγόμενον γένηται, ὀλίγα ἄττα περὶ τούτου λεκτέον. πᾶσα δεῖξις, ἢ ἐκ τοῦ ἀσαφοῦς τὸ σαφὲς ἀποδείκνυσιν, ἢ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφές, ἢ ἐκ τοῦ ἀσαφοῦς τὸ ἀσαφές, ἢ ἐκ τοῦ σαφοῦς τὸ σαφές. ἐκ τούτων οὖν τῶν τεττάρων συζυγιῶν τῆς δείξεως, μόνη ἐστὶ κυρίως δεῖξις ἡ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς δεικνύουσα. αἱ δ' ἄλλαι δεῖξεις φασκαὶ, καὶ οὐδ' ὅλως δείξεις ἂν εἶεν. οὔτε γὰρ τὸ σαφὲς ἐκ τοῦ σαφοῦς δηλοῦται, οὔτε τὸ ἀσαφὲς ἐκ τοῦ ἀσαφοῦς. τὰ δὲ σαφῆ ἐκ τῶν ἀσαφῶν πειρᾶσθαι δεικνύναι, οὐ μόνον ὅτι ἄτοπον, ἀλλὰ καὶ μοιρίας ἀνάπλεον. μία ἄρα μόνη ἐστὶ κυρίως δεῖξις ἡ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς δεικνύουσα. ὅταν δέ τις διὰ σαφῶν τινων τί συμπεραίνων ὡς ἀσαφὲς, εἶτα διὰ τούτων πάλιν τὰ δι' ὧν τοῦτο συνεπεράνθη ὡς ἀσαφῆ συμπεραίνῃ, διάλληλος δεῖξις λέγεται. τὰ αὐτὰ γὰρ καὶ σαφῆ καὶ ἀσαφῆ ποιεῖ, ἅπερ τοῖς Φιλοσόφοις διαβέβληται. Ἐπεὶ οὖν ὁ Πορφύριος διὰ τοῦ Εἴδους τὸ Γένος ὑπέγραψεν ὡς γνωριμώτερον, καὶ πάλιν διὰ τοῦ Γένους τὸ Εἶδος, δῆλον ὅτι θάτερον διὰ θατέρου. ὥστε τὰ αὐτὰ καὶ γνώριμα, καὶ ἧττον γνώριμα πεποίηκε κατὰ τὸν διάλληλον δεῖξιν. ἡ δὲ διάλληλος δεῖξις διαβεβλημένη. ἄρα αἱ ὑπογραφαὶ τοῦ Πορφυρίου διαβεβλημέναι. Ιέρν

Λύσις.

Τὴν ἐπίλυσιν τοῦ ἀπορηθέντος αὐτὸς ὁ Πορφύριος ἐν τῇ ἐκθέσει τοῦ κεφαλαίου ἐκτίθεται. ἔθετο γὰρ τῇ διαλλήλῳ κεχρημένος δείξει. διὸ καὶ φθάσας ἀπελογήσατο, ὅτι τὸ Γένος Εἴδους ἐστὶ Γένος, καὶ τὸ Εἶδος Γένους ἐστὶν Εἶδος. καὶ ἀδύνατον τούτων θάτερον, χωρὶς θατέρου γνωσθῆναι. ἐπὶ γὰρ τῶν σχετικῶν οὐχ ὅπως οὐκ ἔστιν ἄτοπον θάτερον διὰ θατέρου ἀποδοῦναι, ἀλλὰ καὶ ἀναγκαῖον. εἴγε ταῦτα εἰσὶν οὐ μόνον ἅμα τῇ φύσει, ἀλλὰ καὶ τῇ γνώσει, καὶ οὐκ ἄλλως, ὅτι μὴ δι' ἀλλήλων πέφυκε γνωρίζεσθαι. ὥστε ἀνάγκη τῶν περὶ θατέρου τούτων τὴν διδασκαλίαν ποιούμενον, καὶ θατέρου μνησθῆναι. ὁ γὰρ τὸ ἕτερον τῶν πρός τι ἀγνοῶν, οὐδὲ τὸ ἕτερον εἴσεται. τοιαῦτα δέ εἰσι τὰ Γένη καὶ τὰ Εἴδη. δι' ὃ καὶ ὀρθῶς ὑπογράφεται δι' ἀλλήλων.

Ὅτι μὲν οὖν οἱ ἀποδοθέντες οὗτοι τοῦ Εἴδους λόγοι οὐκ εἰσὶν ὁρισμοὶ κυρίως, ἀλλ' ὑπογραφαὶ, δῆλον ἐκ τῶν εἰρημένων ἐν τῷ περὶ Γένους κεφαλαίῳ, περὶ τοῦ ἐκείνου ὑπογραφῶν. ὥσπερ γὰρ τὸ Γένος τῶν ὁμωνύμων ἐστὶν, ὡς παττόμφον ἐν διαφόροις κατηγορίαις, ὧν ἐκ μὲν Γένος σωώνυμον, καὶ ὅτι περὶ τοῦ ἁπλῶς Γένους ὁ λόγος ἦν, ὅπερ παντὶ Γένει ἐφαρμόσαι δυνάμε-

θα, ἕπω καὶ ταῦθα περὶ τὰ ἁπλῶς Εἴδας ὁ λόγος ἐστίν. ὅπερ ἐν πάσαις ταῖς κατηγορίαις τάττεθαι δυνάται, καὶ παντὶ Εἴδει ἐφαρμόττεθαι. ὅθεν δὶ ὑπογραφῆς ἀπεδόθη. τῇ γὰρ καθολικωτάτων οὐκ ἔστιν εὑρεῖν καθολικώτερον, ἐξ οὗ ὁρισθεῖεν.

Κἀνταῦθα τὸ ὑπογραφόμενον ἐστὶ πᾶσαι αἱ εἰδικαὶ φύσεις ἐφ' ὅσον ὑπάρχουσαι ἐν πολλοῖς, κατὰ πολλῶν πεφύκασι κατηγορεῖθαι. καὶ οὔτε ἡ καθόλου φύσις καθ' ἑαυτὴν, οὔτε ἡ εἰδικὴ χέσις, ἀλλ' ὡς εἴρηται καὶ ἐπὶ τοῦ Γένους, ἡ χέσις τῆς ταυτότητος τῆς εἰδικῆς φύσεως.

Ἰτέον δὲ ὅτι αἱ ἀποδοθεῖσαι αὗται ὑπογραφαὶ τὰ Εἴδους, αἱ μὲν πρῶται δύο ἐφαρμόττουσι τῷ Εἴδει, καθόσον ὑποκείμενον λέγεται ἐν ταῖς κατηγορίαις τῆς γενικῆς φύσεως. διαφέρουσι δὲ ἀλλήλων ὥσπερ ἡ ἀνάβασις καὶ ἡ κατάβασις ἐν τῷ αὐτῷ ὑποκειμένῳ οὖσαι. ὅθεν ἐφαρμόττουσι πᾶσι τοῖς Εἴδεσιν, εἰδικωτάτοις τε καὶ ὑπαλλήλοις. ἡ δὲ τελευταία μόνοις τοῖς εἰδικωτάτοις. ἔλιπται γὰρ ἀπὸ τοῦ ἐν πολλοῖς ὑπάρχειν καὶ κατὰ πλειόνων κατηγορεῖθαι, ὅπερ τῇ καθόλου φύσει ἰδιαίτερον προσήκει, ὥσπερ αἱ δύο πρῶται εἰλήφθησαν ἀπὸ τῆς εἰδικῆς φύσεως, καθ' ὃ περιέχει ἐν ἑαυτῇ τὴν φύσιν τοῦ Γένους. κἀνταῦθα ἐπὶ τῆς ~~ἐκτεθείσης~~ ὑπογραφῆς ἔλιπται ὡς Γένος τὸ κατὰ πλειόνων κατηγορούμενον, τὰ δὲ λοιπὰ μόρια τὰ κείμενα ἐν τῇ ὑπογραφῇ, χώραν διαφορᾶς ἀναπληροῖ, ὧν διὰ μὲν τοῦ κατὰ πλειόνων κατηγορεῖθαι, δηλοῦται ὅτι ἐστὶν οὐ τῇ καθόλου. διὰ δὲ τοῦ διαφερόντων τῷ ἀριθμῷ, διακρίνεται τοῦ Γένους καὶ τῆς Διαφορᾶς, καὶ τὰ κοινῶς Συμβεβηκότος. ὁμοίως καὶ διὰ τοῦ ἐν τῷ τί ἐστι, διακρίνεται τούτων τε καὶ τοῦ Ἰδίου. χρεὼν δὲ σαφηνείας τῇ διαφερόντων τῷ ἀριθμῷ, εἰδέναι δέον. ὅτι τὸ οὐ καὶ ταὐτὸ, τῷ ἑτέρῳ αὐτίκειται. τῇ δὲ αὐτικειμένων, ὁσαχῶς τὸ οὐ λέγεται, τοσαυταχῶς καὶ τὸ ἕτερον ῥηθήσεται. τὸ τοίνυν οὐ καὶ ταὐτὸ τριχῶς λέγεται, τῷ Γένει, Εἴδει τε καὶ Ἀριθμῷ. φέρε εἰπεῖν, ταυτὰ τῷ ἀριθμῷ λέγεται, ὧν τὰ ὀνόματα πλείονα ὄντα, τὸ πρᾶγμα οὐ ἐστὶ καὶ ταὐτό. ὡς ξίφος, μάχαιρα, σπάθη, ἃ καὶ πολυώνυμα τοῖς γραμματικοῖς λέγεται. ταυτὰ δὲ τῷ Εἴδει ἐκεῖνα λέγεται, ὧν ἐστὶν ἡ φύσις τοῦ Εἴδους, ὡς Λέων καὶ Λέων, ἢ Ἄνθρωπος καὶ Ἄνθρωπος, Ἵππος καὶ τὰ ὅμοια. ταυτὰ δὲ τῷ Γένει. ὡς τὰ ὑπὸ τὸ αὐτὸ Γένος. ὡς Λέων, Ἄνθρωπος, Ἵππος, καὶ τὰ ὅμοια. ὁμοίως δὲ τὰ ἕτερα, τοῖς εἰρημένοις τρισὶν εἰσὶν ἕτερα. ἢ μόνῳ τῷ ἀριθμῷ, ὡς Πλάτων, Σωκράτης. ἢ καὶ τῷ Εἴδει, ὡς Λέων, Ἵππος. ἢ καὶ τῷ Γένει, ὡς Ζῶον, Φυτόν. τὰ μὲν οὖν ταυτὰ τῷ Γένει οὐκ ἐξ ἀνάγκης ταυτὰ τῷ Εἴδει καὶ ἀριθμῷ. τὸ δὲ ταυτὰ τῷ Εἴδει ἐξ ἀνάγκης μὲν ταυτὰ τῷ Γένει, τῷ δὲ ἀριθμῷ ἐξ ἀνάγκης οὐ ταυτά.

τὰ δὲ

τὰ δὲ ταυτὰ τῷ ἀριθμῷ ἐξ ἀνάγκης καὶ Γένει, καὶ Εἴδει ταυτά. ὁμοίως καὶ ἐξ ἐναντίας, τὰ ἕτερα τῷ Γένει, ἐξ ἀνάγκης ἕτερα καὶ τῷ Εἴδει, καὶ τῷ ἀριθμῷ. τὰ δὲ ἕτερα τῷ Εἴδει, ἐκ ἐξ ἀνάγκης ἕτερα τῷ Γένει, τῷ ἀριθμῷ δὲ ἐξ ἀνάγκης. τὰ δὲ ἀριθμῷ ἕτερα, ὅτε τῷ Γένει, οὔτε τῷ Εἴδει ἐξ ἀνάγκης. λέγεται τοίνυν τὸ Εἶδος κατηγορεῖσθαι κατὰ πλειόνων διαφερόντων τῷ ἀριθμῷ, τουτέστι τὰ αὐτὸ Γένος καὶ Εἶδος ἐχόντων, ἑτέρων δὲ μόνον ὄντων τῷ ἀριθμῷ.

Ἀπορία.

Ἄξιον δὲ ἴσως ἀπορῆσαι, ὅτι ἐπὶ τοῦ Γένους ἐλέγετο διὰ τὸ μὴ εἶναι Γένος ἀώτερον, οὐκ ἴσως διὰ κυρίως ὁρισμοῦ ἀποδοῦναι τοῦτο. ἐπὶ δὲ τοῦ Εἴδους οὐχ ἕξει χώραν ἡ τοιαύτη αἰτία. τὸ γὰρ Εἶδος ἔχοντι Γένος, ἀφ' οὗ ἴσως ὁρισθῆναι, διὸ οὐ προσηκόντως δι' ὑπογραφῆς ἀπεδόθη.

Λύσις.

Ἡ Λύσις τῆς ἐπιτιθείσης ἀπορίας, διττὴ φέρεται. Πρῶτον μὲν ὅτι οὐκ ἴσως ὁ λόγος περὶ ὡρισμένου Εἴδους, ὡς καὶ ἀνωτέρω ἐλέγετο, ἀλλὰ περὶ τοῦ ἁπλῶς Εἴδους. ὅπερ παντὶ εἴδει ἐφαρμόττει. οὗτινος οὐκ ἔστι Γένος ὡρισμένον διαιρούμενον εἰς Εἴδη, διαιρετικαῖς τε καὶ συστατικαῖς διαφοραῖς, ἀφ' ὧν οἱ ὁρισμοὶ συνίστανται. Δεύτερον ὅτι οἱ ὁρισμοὶ πραγμάτων εἰσὶν ὁρισμοὶ, τὰς φύσεις αὐτῶν δηλοῦντες, τὰ δὲ Εἴδη, καὶ Γένη, καὶ τὰ λοιπὰ τῶν καθόλου, οὐκ εἰσὶ πράγματα, τουτέστιν ἀφωρισμένην φύσιν ἔχοντα, ἀλλὰ σχέσεις πραγμάτων, δηλωτικαὶ τῆς ταυτότητος ἐν οἷς θεωροῦνται. Ἐπεὶ ἓν οἱ ὁρισμοὶ ὡς εἴρηται πραγμάτων εἰσὶν, αὗται δὲ αἱ φωναὶ οὐκ εἰσὶ πράγματα, ἀλλὰ σχέσεις πραγμάτων δηλωτικαὶ, εἰκότως οὐδὲ ὁρισθῆναι δυνατὸν ἴσως. οὐ γὰρ ὑπάγονται ὑπὸ μίαν τινὰ τῶν κατηγοριῶν, ἀλλ' ἐν πάσαις θεωροῦνται. διὸ δι' ὑπογραφῆς ἀποδίδονται, ἐκ τῶν συμβεβηκότων αὐταῖς. οὕτω ἡ λύσις πάσῃ φωνῇ ἐφαρμόττει τῷ καθόλου.

Προσέτι ἠδύνατο ἀπορῆσαί τις, ὅτι αἱ πέντε αὗται εἰρημέναι καθόλου φωναί, ἐν αἷς καὶ τὸ Εἶδος ἓν ἐσὶ τούτων, ὑπὸ τίνα φωνὴν ὡς ὑπὸ Γένος κοινὸν ὑπάγονται. ὥστε ἡ φωνὴ ἐσὶ τούτων Γένος, αὗται δὲ καθόλου, ἆρα ἡ ἁπλῶς φωνὴ ἔσται καθολικωτέρα τῶν καθόλου, καὶ τοῦ γενικωτάτου

γενικωτέρα, ὅπερ ἄτοπον. Πρὸς ὃ ῥητέον. ὅτι αἱ πέντε αὗται φωναὶ, ὡς μὲν φωναὶ ὑπὸ τὴν φωνὴν δήπου ὑπάγονται, ὡς ὑπὸ Γένος. τὰ δὲ ὑπ' αὐτὴν σημαινόμενα, ὡς πράγματα θεωρούμενα, οὐχ ὑπάγονται ὑπό τι κοινὸν Γένος, διὸ οὐδὲ τὴν καθόλου ἐστὶν εὑρεῖν καθολικώτερον.

Σύνοψις τοῦ γ'. μέρους.

Ἐν δὲ τῷ τρίτῳ μέρει, προβάλλεται ὁ Πορφύριος εἰς ἀνάπτυξιν τὰς ἀποδοθείσας τοῦ Εἴδους ὑπογραφάς. ἵνα δὲ σαφεστέρα ἡ ἑρμηνεία γένηται, ἐκτίθησιν ἐπὶ μιᾶς κατηγορίας τὴν τάξιν καὶ σειρὰν τῶν κατηγορουμένων ἐν ἐκείνῃ, κατάπερ τὸ μᾶλλον καὶ ἧττον καθόλου. ἥτις συμβάλλεται εἰς διάγνωσιν τῶν εἰδικωτάτων καὶ ὑπαλλήλων Εἰδῶν, καὶ ὁμοίως εἰς διάκρισιν τῶν ἀνωτάτω καὶ ὑπαλλήλων Γενῶν. κέχρηται δὲ κατηγορίᾳ τῇ λεγομένῃ Οὐσίᾳ, ὅτι αὕτη καὶ γνωριμωτέρα ἐστὶ, καὶ κυριωτέρα τῶν λοιπῶν. Ἔστι μὲν οὖν τὸ ἀνώτατον κατηγορούμενον ἐπὶ ταύτης τῆς σειρᾶς ἡ Οὐσία, μεθ' ἣν τὸ Σῶμα, καὶ μετ' ἐκεῖνο τὸ Ἔμψυχον, μετὰ δὲ τὸ Ἔμψυχον τὸ Ζῶον, ὑπὸ δὲ τὸ Ζῶον τὸ λογικὸν Ζῶον, καὶ ὑπὸ τὸ λογικὸν Ζῶον ὁ Ἄνθρωπος, ἔσχατον δὲ πάντων τάττεται τὰ καθέκαστα. οἷον ὑπὸ τὸν Ἄνθρωπον, Σωκράτης, Πλάτων, καὶ οἱ λοιποὶ κατὰ μέρος ἄνθρωποι. ἐπικείσθωσαν δὲ ταῦτα ἐπὶ Διαγράμματος εἰς ζωηροτέραν κατάληψιν.



Γένη καὶ Εἴδη ὑπάλληλα ἅμα καὶ Γένη καὶ Εἴδη τὰ αὐτά.

Ἄτομα

Σωκράτης, Πλάτων, Ἀλκιβιάδης, Καλίας.

Σωφρ. τῆς ἐν τῷ Δ'.

ΤΑύτῃ τῇ ἐκτεθεῖσαν τάξιν τῆς κατηγορουμένων οἱ Φιλόσοφοι κατηγορίαν εἰώθασιν ὀνομαλεῖν, ἔστι δ' ὅτε καὶ Γένος τοῦ ὄντος. ἥτις ἐστὶ μία τῆς πολυθρυλλήτων ἐκείνων δέκα παρὰ Ἀριστοτέλει. τὰ μὲν οὖν ἀνωτά-

νωτάτω ταττόμενα ἐπὶ τῆς τοιαύτης σειρᾶς, προσαγορεύεται τοῖς λογικιζομένοις, Γένη γενικώτατα. τὰ δὲ κατωτάτω, ὅσα ἀμέσως τάττεται ἐπὶ τῶν ἀτόμων, Εἴδη εἰδικώτατα. τὰ δὲ μεταξὺ τῶν γενικωτάτων καὶ εἰδικωτάτων, ὑπάλληλα, καὶ Γένη καὶ Εἴδη ἅμα λέγεται. ἐχέτωσαν δὲ τὰς τοιαύτας ἐπωνυμίας ἀπὸ τῶν σχέσεων καθ' ἃς πρὸς ἄλληλα ἀναφέρεται. τὰ ἀνώτατα τοιγαροῦν Γένη μίαν καὶ μόνην ἔχοντα σχέσιν πρὸς τὰ ὑφ' αὑτὰ, καθ' ἣν κατηγορεῖται ὡς Γένη. διὸ καὶ Γένη λέγεται μόνον, οὐκ ἔτι δὲ Εἴδη. τὰ δὲ κατωτάτω, τὰ ἐπὶ τῶν ἀτόμων ἀμέσως τατταμενα δύο ἔχοντα σχέσεις, τὴν μὲν πρὸς τὰ ἀνώτερα, τὴν δὲ πρὸς τὰ κατώτερα. προσαγορεύεται δὲ κατ' ἀμφοτέρας, Εἶδος εἰδικώτατον. τετύχηκε δὲ μιᾶς προσηγορίας δυσὶ σχέσεσιν, ὅτι τοῦ αὐτοῦ λόγου εἰσὶν ἀμφότεραι αἱ εἰρημέναι σχέσεις. τῷ γὰρ αὐτῷ λόγῳ τὰ εἰδικώτατα ὑπόκειται τοῖς ἀνωτέρω ὡς Εἴδη, καὶ κατηγορεῖται τῶν ἀτόμων ὁμοίως ὡς Εἴδη. τὰ δὲ μεταξὺ τούτων τατττόμενα ἃ καὶ ὑπάλληλα λέγεται, δύο καὶ ταῦτα ἔχοντα σχέσεις, τὴν μὲν πρὸς τὰ ἀνωτέρω καθ' ἣν Εἴδη λέγεται, τὴν δὲ πρὸς τὰ κατωτέρω καθ' ἃς κατηγορεῖται, καὶ Γένη κατ' ἐκείνην λέγεται. τίνων τὰ ἀνώτερα κατηγορεῖται μὲν ἀμέσως τῶν προσεχῶς αὐτοῖς ὑποκατατταμένων, δι' ἐκείνων δὲ καὶ τῶν λοιπῶν πάντων μέχρι τῶν ἐσχάτων καὶ ἀτόμων. οἷον ἡ Οὐσία κατηγορεῖται μὲν ἀμέσως τοῦ σώματος, δι' ἐκείνου δὲ καὶ τοῦ ἐμψύχου, διὰ δὲ τοῦ ἐμψύχου καὶ τοῦ ζώου, καὶ καθεξῆς μέχρι Σωκράτους, καὶ Πλάτωνος. οὕτω καὶ τὸ σῶμα κατηγορεῖται μὲν προσεχῶς τοῦ ἐμψύχου, δι' ἐκείνου δὲ καὶ τῶν ἄλλων καθεξῆς πάντων. τὸν αὐτὸν ζόπον ἔχει καὶ τῶν ἐπὶ τῶν λοιπῶν ἐπὶ τῆς αὐτῆς σειρᾶς τεταγμένων.

Ἐπειδὴ τοίνυν τινὰ τῶν ὑπαλλήλων κατά τινων κατηγορεῖται, ὡς πρὸς τὰ μετ' αὐτὰ, Γενῶν καὶ αὐτῶν ὄντων, ἃ καὶ τῶν Εἰδέων διαφέρουσιν, ἡ τελεία τοῦ Εἴδους ὑπογραφὴ τούτοις οὐχ ἁρμόσει. καλῶς ἄρα εἴρηται ταύτην μόνην εἶναι τῶν εἰδικωτάτων κατηγορουμένων κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ, καὶ οὐχὶ τῶν ὑπαλλήλων.

Ἰσέον ὅτι τὰ ἀνώτερα κατηγορεῖται τῶν κατωτέρω, ὡς εἴρηται κατὰ φύσιν, ἀπὸ τῶν γενικωτάτων μέχρι τῶν ἀτόμων. τὰ δὲ κατωτέρω οὐκ ἔτι κατηγορηθείη τῶν ἀνωτέρω κατὰ φύσιν. τὸ γὰρ κατηγορούμενον, ἢ καθολικώτερον εἶναι δεῖ τοῦ οὗ κατηγορεῖται, ὡς τὸ ζῶον τοῦ ἀνθρώπου, ἢ ἐπίσης αὐτῷ, ὡς τὸ γελαστικὸν τῷ λογικῷ, ἢ ὁ ἄνθρωπος τῷ λογικῷ. τὰ δὲ κατωτέρω ἧττον ἐστὶ καθόλου τῶν ἀνωτέρω. διὸ οὐ κατηγορεῖται κατὰ φύσιν ἐκείνων, εἰμήπω παρὰ φύσιν. ὡς εἴτις φαίη, τί ζῶον ἐστὶν ἄνθρωπος.

Ἔστι μὲν οὖν Γένος γενικώτατον, ὑπὲρ ὃ οὐκ ἔστιν ἄλλο ἐπαναβεβηκὸς

Γέ-

Γένος. Εἶδος δὲ εἰδικώτατον, ὑφ' ὃ οὐκ ἔστιν ἕτερον Εἶδος, καὶ ὅπερ εἶδος ὄν, οὐ πέφυκε διαιρεῖσθαι εἰς Εἴδη. ὑπάλληλα δέ εἰσιν ὅσα Γένη τε ἅμα εἰσὶ καὶ Εἴδη πρὸς ἄλλο καὶ ἄλλο ἀναφερόμενα. τὴν αὐτὴν τάξιν δεῖ τηρεῖν καὶ ἐπὶ πασῶν τῶν κατηγοριῶν, ἐφ' ὧν οὐδεὶς ὅρος κοινὸν Γένος, ἀλλ' ἐφ' ἑκάστης κατηγορίας τὸ γενικώτατον, οἷον τὶς ἀρχὴ πρώτη ἐστί· τὸ γὰρ ὂν κοινῶς λεγόμενον ἐπὶ πασῶν τῶν κατηγοριῶν, ἃ Γένος αὐτῶν ἐστιν, ἀλλ' ὁμώνυμος φωνή, ὡς τὰ ἀφ' ἑνός, ἢ πρὸς ἕν. καὶ οὐδεμίαν σημαίνει κοινὴν φύσιν ὑπάρχουσαν πᾶσιν, οἱάπερ σημαίνει τὰ Γένη. εἰσὶ τοιγαροῦν τὰ γενικώτατα Γένη, δέκα, ὥσπερ καὶ αἱ κατηγορίαι. τὰ δὲ εἰδικώτατα Εἴδη, πολλὰ μέν, ἀλλ' οὐκ ἄπειρα. τὰ δὲ ἄτομα εἰσὶ μὲν ἄπειρα, οὐ μὴν ἐνεργείᾳ, ἀλλὰ κατὰ διαδοχήν, καὶ ἐν τῷ γίγνεσθαι. εἰ γὰρ δοίημεν τὰ ἄτομα ἄπειρα ἐνεργείᾳ εἶναι, διρεθήσεται τοῦ ἀπείρου ἀπειρότερον, ὅπερ ἄτοπον. κατὰ διαδοχὴν μὲν οὐδὲν κωλύει ἄπειρα εἶναι. ὑποτίθεται γὰρ ἐνταῦθα ὁ Πορφύριος τὸν κόσμον ἀίδιον κατὰ τοὺς Περιπατητικούς, οὔτ' ἀρχὴν ἔχοντα, οὐδ' ἔξοντα τέλος.

Συνόψις τῆς ἐν τῇ ε. μέρει.

Ἐν δὲ τῇ ἐχομένῃ τοῦ κεφαλαίου περικοπῇ ὁ Πορφύριος ἀναπτύσσει καὶ παραδίδωσι τί ὄν ἐστιν ἄτομον, καὶ ποσαχῶς λέγεται. λέγεται μὲν ἓν ἄτομον, ἐκ τοῦ μὴ τέμνεσθαι εἰς ἕτερα. ἡ γὰρ τομὴ καὶ διαίρεσις ἐπὶ τῶν ἀτόμων διχῶς θεωρεῖται ἐφ' ὅσον ἀνήκει εἰς τὸν παρόντα σκοπόν, ἢ κατὰ ποσότητα, ἢ κατὰ φύσιν. ἐνταῦθα τὰ ἄτομα εἴρηται, ὡς μὴ τεμνόμενα κατὰ φύσιν εἰς ἕτερα κατώτερα, ὥσπερ τὰ Γένη τέμνεται εἰς τὰ Εἴδη. σώζεται δὲ ἕκαστον τῶν ἀτόμων καὶ ἀντιδιαζέλλεται τῶν ἄλλων, ἐκ συνδρομῆς διαφόρων συμβεβηκότων, ἅπερ ἅμα πάντα οὐκ ἂν γένοιτο ἐφ' ἑτέρου τινὸς τῶν κατὰ μέρος. φέρε εἰπεῖν, ὡς ὅταν βουλόμεθα τὸν Σωκράτην δηλῶσαι ἄτομον ὄντα, εἴπωμεν, ὅτι ἐστὶ Σωφρονίσκου υἱός, ἀθλητικός, προγάστωρ, φαλακρός, σιμός, Φιλόσοφος, καὶ εἴτι ἄλλο τούτῳ συμβέβηκεν. ἅπερ ἐνδέχεται καὶ ἐφ' ἑτέροις ἀτόμοις συμβεβηκέναι, οὐ μὴν ἅμα πάντα. ἡ γὰρ ἔλλειψις ἑνὸς τῶν συμβεβηκότων τῷ Σωκράτει (εἰ δοίημεν τὰ λοιπὰ πάντα ἐνυπάρχειν ἑτέροις) τὴν διαφορὰν ἀπεργάζεται. ὥστε ἀδύνατον ταῦτα ἅμα πάντα, ὅσα τῷ Σωκράτει συμβέβηκε, συμβεβηκέναι καὶ ἐφ' ἑτέρῳ. ὅθεν σωζέσθαι τὸν ὁρισμὸν τοῦ ἀτόμου δυνάμεθα, λέγοντες· ἄτομον ἐστὶ τὸ μὴ τεμνόμενον εἰς ἕτερα κατώτερα καθ' ὧν κατηγορηθείη, σωρεσμὸς ἐκ συνδρομῆς διαφόρων συμβεβηκότων, ἅπερ ἅμα πάντα οὐκ ἂν γένοιτο ἐφ' ἑτέρου τινὸς

τῶν

διηθθαι

τῷ κατὰ μέρος. ~~Διαιρεῖται~~ δὲ τὸ ἄτομον τεταχῶς. ἢ γὰρ κυρίῳ ὀνόματι σημαίνεται, ἢ προσηγορικῷ. καὶ τὰ μὲν κυρίοις ὀνόμασι σημαινόμενα εἰσὶν, οἷον Σωκράτης, Πλάτων, καὶ ὅσ' ἄλλα. τὰ δὲ προσηγορικοῖς ὀνόμασι προφερόμενα, τειχῶς ἐνδέχεται διορισθῆναι, καὶ εἰς ἄτομου τάξιν καθεσταναι. ἢ γὰρ δεικνύοντες διορίζομεν τὰ καθέκαστα ὥς που φαμεν, οὗτος ὁ ἄνθρωπος, τοῦτο τὸ ζῶον. ἢ ἐξ ὑποθέσεως, ὡς ὅτε Σωφρονίσκου ὑὸν λέγοντες, τὸν Σωκράτην δηλοῦμεν, μόνον καθ' ὑπόθεσιν ὄντος ἐοῦ τῷ Σωφρονίσκῳ τοῦ Σωκράτους. τελευταῖον δηλοῦται τὸ ἄτομον προσθήκῃ τοῦ μερικοῦ προσδιορισμοῦ. οἷον τὶς ἄνθρωπος, τὶς ἵππος. σὺν γὰρ κατὰ μέρος ἄνθρωπος σημαίνει τὰ τοιαῦτα, καί τοι ἀορίστως.

Εἰς

Εἰς έ. διαιρεῖται τὸ παρὰ Πορφυρίῳ περὶ Εἰδους κεφάλαιον.

- α. τίνων ὑφέστηκεν ἐξ ὑφημμένων καθ' ἃ διαιρετὴ λέγομεν τὸν τοιοῦτον κεκοσμημένον Εἶδος.
- α. ἐν ᾧ τὰ διάφορα σημαινόμενα τοῦ Εἴδους ἐκτίθησι.
  - α. τὸ κατὰ Φιλοσόφους εἶδος, καθὸ ἡ αὐτὸν εἶδος τοῦ ζώου λέγομεν, ἢ τὸ λεύκον τοῦ χρώματος.
  - β. ἐν ᾧ διαφόρως ὑπογραφὰς ἀποδίδωσι τῷ περὶ οὗ ὁ λόγος.
    - Καθὸ τὸ εἶδος ἐπὶ τὸ γένος ἀναφέρεται, εἶδος ἐστὶ τοῦ τινὶ Γένει ἀμέσως ὑποκείμενον.
    - Καθὸ τὸ γένος ἐπὶ τὸ εἶδος. Εἶδος ἐστὶ τὸ κατὰ πλειόνων, ἢ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον.
    - Καθ' ἣν δὲ σχέσιν τὸ Εἶδος πρὸς τὸ ὑφ' αὑτὸ ἔχηκεν, ἤτοι τὰ ἄτομα, Εἶδος ἐστὶ, τὸ κατὰ πλειόνων, ἢ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον.
  - γ. ἐν ᾧ διδάσκει πῶς αὖπὰς διεξοδικώτερον. ὧν εἰς καπέλιψιν ζητουμένων ἐνδέησεν αὐτῷ ἡ πάσῃ ἐκθέσθαι τῶν κατηγορουμένων ἐπὶ μιᾶς κατηγορείας.
- δ. ἐν ᾧ διέξησι τὰς διαφορὰς αἷς πρὸς ἄλληλα χωρίζονται τὰ κείμενα ἐν ἐκείνῃ τῇ πάξει.
- ε. ἐν ᾧ περὶ αὐτόμου διδάσκει, τί τε ἐστὶ, καὶ προσαχῶς λέγεται.
  - Ἢ κυρίῳ ὀνόματι σημαίνεται, ὡς Σωκράτης, ἢ Πλάτων.
  - Ἢ προσηγορικῷ. ἢ τῷ ζητῶ.
    - Ἢ δεικνυῶντες διορίζομεν ταῦτα, ὡς ἕτος ὁ αὐτὸς, τοῦτο τὸ ζῶον.
    - Ἢ δι' ὑποθέσεως, ὡς ὅτε Σωφρονίσκου υἱὸν λέγοντες τὸν Σωκράτην δηλοῦμεν, μόνου καθ' ὑπόθεσιν ὄντος υἱοῦ τοῦ Σωφρονίσκου τοῦ Σωκράτους.
    - Ἢ τῇ προσθήκῃ τοῦ μερικοῦ προσδιορισμοῦ. οἷον τὶς αὐτὸς, τὶς ἵππος.

Περὶ Διαφορᾶς.

Ἐκ τῶν εἰρημένων ἀνωτέρω ἐν τῷ περὶ Εἴδους κεφαλαίῳ, πρόδηλος ἡ τάξις τῆς διδασκαλίας ἐπὶ τῆς Διαφορᾶς. εἰ γὰρ ἠπόρηται περὶ αὐτῆς ἐν ἐκείνοις, τί δήποτε οὐ προτέτακται τοῦ Εἴδους, χολῆγε ἂν ἀπορήσειέ τις, τίνος χάριν τοῦ Ἰδίου καὶ Συμβεβηκότος προηγεῖται ἐπουσιωδῶν ὄντων. ἡ δὲ Διαφορὰ οὐσιώδης οὖσα, καὶ συστατικὴ τοῦ Εἴδους, ἀναντιῤῥήτως προηγεῖται ἀμφοτέρων μὴ τοιούτων ὄντων. διαιρεῖται δὲ καὶ τὸ περὶ Διαφορᾶς κεφάλαιον τῷ Πορφυρίῳ εἰς τρία. ὧν ἐν μὲν τῷ πρώτῳ τὰ σημαινόμενα τῆς Διαφορᾶς προτίθεται, καί τινας ἑτεροτητας πρὸς ἄλληλα τούτων ἀναπτύσει. ἐν δὲ τῷ δευτέρῳ μέρει, τὸ ἰδιαίτατον σημαινόμενον, περὶ οὗ ὁ λόγος ἐνταῦθα προχειρισάμενος, διαφόρως ὑπογράφει. ἐπὶ δὲ τοῦ τρίτου καὶ τελευταίου, τὰς ἀποδοθείσας ὑπογραφὰς ἀναπτύσει.

Σκόψις τῶν ἐν τῷ ά. μέρει.

Βουλόμενος ὁ Πορφύριος τὰ σημαινόμενα τῆς Διαφορᾶς ἐκθέσθαι, δύο διαιρέσεις προβάλλεται. ὧν ἐπὶ μὲν τῆς πρώτης εἰς τρία διεῖλε τὴν διαφορὰν, οἷον εἰς διάφορα σημαινόμενα. ἐπεὶ γὰρ ἡ Διαφορὰ καθόλου λαμβανομένη, ἑτερότης ἐστὶ, καθ' ἣν τὰ ὄντα πρὸς ἄλληλα διαλύοχε, διαφέρει δὲ ταῦτα, ἢ κατ' οὐσίαν, ἢ κατὰ συμβεβηκός, καὶ πάλιν τὰ κατὰ συμβεβηκὸς διαφέροντα, ἢ χωριστὴν τούτων ἔχουσι τὴν διαφορὰν, ἢ ἀχώριστον, τότε χάριν τὴν μὲν κοινῶς εἰρήκει διαφορὰν. (τοιοῦτον γάρ ὄζι τὸ κυρίως χωριστὸν συμβεβηκὸς, διὰ διαφέρει ἕτερον ἑτέρου, ἢ καὶ ἑαυτοῦ) τὴν δὲ ἰδίως, ὅπερ λέγεται πως καὶ ἀχώριστον συμβεβηκὸς, τὴν δὲ ἰδιαίτατα, ἥτις ἐστὶ κυρίως καὶ ἀληθῶς ἀχώριστος τῆς οὐσίας· καὶ γὰρ χωριζθείσης ταύτης, ἀδύνατον μένειν τὸ ὑποκείμενον. ἔστι δὲ ἡ ἰδιαίτατα Διαφορὰ οὐσιώδης καὶ συστατικὴ τοῦ Εἴδους, καθ' ἣν ἕτερον ἑτέρου οὐσιωδῶς διαλύοχεν, ὡς Ἄνθρωπος Ἵππου διαφέρει τῷ λογικῷ.

Ἐκ τῶν εἰρημένων ἄρα σωίζεται καὶ ἡ ἑτέρα διαίρεσις τῶν σημαινομένων τῆς διαφορᾶς. τῶν γὰρ Διαφορῶν ὡς εἴρηται, αἱ μὲν εἰσὶ χωριστὰὶ τῶν ὑποκειμένων ὧν εἰσὶ διαφοραὶ, αἱ δὲ ἀχώριστοι· καὶ χωριστὰὶ μέν εἰσιν, ἃς ἀνωτέρω κοινὰς ἀπεκάλεσεν ὁ Πορφύριος· τοιαῦται δὲ εἰσιν ὡς τὸ καθέζεσθαι, τὸ λέγειν, τὸ περιπατεῖν, καὶ ἄλλα παρόμοια. ἅπερ οὐ μόνον ἕτερον ἑτέρου, ἀλλὰ καὶ τὸ αὐτὸ ἑαυτοῦ διαφέρειν ποιοῦσι. φέρε εἰπεῖν, ὡς ὁ

Σωκρά-

Σωκράτης διαλεγόμενος, ἢ καθεζόμενος, διαφέρει Πλάτωνος ἀκροωμένου, ἢ ἰσαμένου. καὶ περιπατῶν, διαφέρει ἑαυτοῦ καθημένου, ἢ σιωπῶν, ἑαυτοῦ λέγοντος. εἴρηται δὲ χωρεῖσθαι, ὅτι οὐδέχεται χωρισθῆναι τοῦ ὑποκειμένου αὖθις τῆς ἐκείνης φθορᾶς. ἀλλὰ καὶ αἱ ἰδίως λεγόμεναι Διαφοραὶ, καὶ αὗται χωρισταί πως εἰσὶ τοῦ ὑποκειμένου. εἰ γὰρ μὴ ἄλλῳ τινὶ χωρίζονται, ἀλλ' οὐδὲ τῇ διανοίᾳ; ἢ τῷ λόγῳ. φέρε εἰπεῖν τὴν λευκότητα τοῦ Κύκνου, ἢ τὴν σιμότητα τῆς Ῥινός, καὶ τῷ ὁμοίων, εἰ καὶ μὴ πράγματι χωρῆσαι τούτων δυνάμεθα, ἀλλ' οὐδὲ τῇ διανοίᾳ καὶ τῷ λόγῳ οὐδὲν κωλύει χωρίζεσθαι. ἀχώριστοι δὲ Διαφοραὶ κυρίως εἰσὶν, ἃς ἀνωτέρω ὁ Πορφύριος ἰδιαίπατους ἐκάλεσεν, εἰ καὶ τὰς ἰδίους Διαφορὰς ταύτας καταριθμεῖται, διὰ τὸ εἶναι πράγματι ἀχωρίστους, ἀλλ' οὐδὲ τῇ διανοίᾳ χωριζομένας. ἔστι δὲ ταύτας καὶ τὰς χωρισταὶς συναπαριθμῆσαι. ὥστε διὰ μὲν τὸ εἶναι πράγματι ἀχωρίστους, ταῖς ἰδιαίπατα συναριθμοῦνται. διὰ δὲ τὸ διανοίᾳ χωρίζεσθαι, καὶ ταῖς χωρισταῖς.

Ἔστι δὲ ἡ διαίρεσις αὕτη τῆς Διαφορᾶς ὁμωνύμου φωνῆς εἰς τὰ οἰκεῖα σημαινόμενα. τὸ δὲ διαιρούμενον ἐπὶ ταύτης ἐστὶ τὰ πράγματα, οἷς διαφέρουσι πρὸς ἄλληλα τὰ ὄντα κατὰ τὴν χέσιν τῆς μεταξὺ τούτων διαφορᾶς. Ἐκεῖνα γὰρ διαιρεῖται, οἷς διαφέρει τὰ πράγματα. τὰ δὲ πράγματα πάντως πράγμασι διαφέρει. ὥστε καὶ ἃ διαιρεῖται ἐνταῦθα, πάντως εἰσὶ πράγματα, ὡς τὸ λογικὸν, καὶ τ' ἄλλα.


Σύνοψις τοῦ β'. μέρους.

Ἀνήκει τοιγαροῦν εἰς τὴν καθόλου φύσιν ἡ ἰδιαίπατος Διαφορὰ, ἥτις καὶ οὐσιώδης ἐστίν. ἔχουσι δὲ τριαύτας τινὰς ἰδιότητας, αἷς τῷ κατὰ συμβεβηκὸς διαφορῶν διακρίνεται, ~~αἱ ὧν καὶ~~ μάλισά εἰσιν αὗται. πρῶτη, ὅτι αἱ οὐσιώδεις καὶ καθ' αὐτὸ Διαφοραὶ, λαμβάνονται ἐν τῷ τῆς οὐσίας λόγῳ, οὐκ ἔτι δὲ καὶ αἱ κατὰ συμβεβηκός. δευτέρα, ὅτι ἡ οὐσιώδης Διαφορὰ προσγινομένη τῷ πράγματι, ποιεῖ τοῦτο ἄλλο, κατ' οὐσίαν δηλαδὴ διαφέρειν. ἡ δὲ κατὰ συμβεβηκὸς γινομένη τῷ πράγματι, ποιεῖ τοῦτο ἀλλοῖον, κατὰ συμβεβηκὸς δηλονότι διαφέρον. οἷον, τὸ λογικὸν προσγινόμενον τῷ Ζώῳ, πεποίηκε τὸν Ἄνθρωπον ἄλλο τοῦ Ἵππου, ζώου ὄντος κἀκείνου, ὁμοίως καὶ τὸ χρεμετιστικόν. τὸ δὲ γραμματικὸν, ἢ φαλακρὸν, προσγεγονὸς τῷ Σωκράτει, οὐκ ἄλλο πεποίηκε τοῦ Πλάτωνος, ἀλλὰ ἀλλοῖον. τρίτη, ὅτι αἱ καθ' αὐτὸ, καὶ οὐσιώδεις διαφοραὶ, οὐδεμίαν ἐπίτασιν, ἢ ἄνεσιν δέχονται. αἱ δὲ κατὰ συμβεβηκὸς, καὶ ἐπιτείνονται, καὶ ἀνίενται.

ἄνθρωπον τῷ ἀνθρώπῳ λευκὸν, καὶ μᾶλλον, καὶ ἧττον ἐστὶν εἰπεῖν, οὐμοίως μᾶλλον καὶ ἧττον λογικόν.

Τετάρτη. ὅτι αἱ καθ' αὐτὸ καὶ οὐσιώδεις Διαφοραὶ, διαιρετικαί τε εἰσὶ τῶν Γενῶν, καὶ συστατικαὶ τῶν ὑπ' ἐκεῖνα Εἰδῶν. ὅθεν καὶ εἰδοποιοὶ διαφοραὶ κέκληνται. ταῖς δὲ κατὰ συμβεβηκὸς οὐδέτερον προσέστιν. αἱ οὖν καθ' αὐτὸ Διαφοραὶ ὡς εἴρηται, διαιρετικαὶ λέγονται τῶν Γενῶν, καὶ τῶν Εἰδῶν συστατικαὶ καὶ εἰδοποιοί. οἷον εἰπεῖν τὸ λογικὸν καὶ ἄλογον. διαιρετικαὶ δὲ λέγονται τοῦ Ζώου, ὅτι κατ' ἐκείνας διαιρεῖται εἰς τὰ ἄλογα εἴδη, καὶ λογικά. αἱ αὐταὶ δὲ καὶ συστατικαὶ γίνονται τῶν ὑπὸ τὸ Ζῶον Εἰδῶν. ἡ μὲν λογικὴ τῶν λογικῶν, ἡ δὲ λοιπὴ τῶν ἀλόγων. καὶ ἡ μὲν λογικὴ λέγεται εἰδοποιὸς τοῦ τοῦ Ἀνθρώπου Εἴδει, ἡ δὲ λοιπὴ τοῖς ἀλόγοις Εἴδεσι. ταῦτα δὲ ἀκριβέστερον θεωρηθήσεται ἐφ' ἑνὸς διαγράμματος, τοῦτον τὸν τρόπον.

Fig. 2.



Πέτρον, Παῦλον, καὶ Ἰωάννην.

Τοίνυν ἐκ τοῦ προτεθέντος διαγράμματος γνώριμοι καθεστήκασιν αἱ οὐσιώδεις, καὶ καθ' αὑτὸ Διαφοραί. ἅπερ διαιροῦσαι τὰ Γένη, σαφεστέρους ποιοῦσι τὰ ὑπ' ἐκεῖνα Εἴδη. αἱ αὐταὶ οὖσαι διαιρετικαί τε καὶ συγκατικαί, κατ' ἄλλο καὶ ἄλλο ὡς εἴρηται.

Πρὸς

Πρὸς τούτοις γνώσιμον γίνεται, ὅτι τὰ γενικώτατα Γένη, συσατικὰς οὐκ ἔχει Διαφοράς, (τὸ γὰρ σωτικῶν, πρότερον εἶναι χρεὼν τοῦ σωτικοῦ, πρότερον δὲ οὐδὲν τῶν γενικωτάτων.) ἀλλὰ μόνον διαιρετικὰς, ὅπερ τεθεώρειται ἐπὶ τῆς προκειμένης Οὐσίας τῷ διαγράμματι. ἧς διαιρετικαὶ μὲν εἰσι Διαφοραὶ τὸ ἔνσωμάτον, καὶ ἀσώματον, συσατικὴ δὲ οὐδεμία, διὰ τὴν αἰτίαν ἣν ἔφημεν. Ἔμπαλιν δὲ τὰ εἰδικώτατα Εἴδη, συσατικὰς μόνον ἔχει διαφοράς, οὐχὶ δὲ καὶ διαιρετικάς. ὅπερ ἐνταῦθα δῆλον γίνεται ἐπὶ τοῦ Ἀνθρώπου, ὄντος Εἴδους εἰδικωτάτου. καὶ γὰρ ἄνθρωπος διαιρεῖται εἰς Σωκράτην, Πλάτωνα, καὶ τοὺς κατὰ μέρος Ἀνθρώπους, διαίρεσις μέν τοι οὐ γίνεται δι' οὐσιωδῶν Διαφορῶν, περὶ ὧν ἐνταῦθα ὁ λόγος, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι πρῶτον μὲν αἱ Διαφοραὶ σωτιζουσιν Εἴδη, ὁ δὲ Σωκράτης, καὶ Πλάτων οὐκ εἰσὶν εἴδη, ἀλλ' ἄτομα.

α ἢ γλ' φι δη: αἱρεσις αὐτῆ

Δεύτερον. ὅτι ἡ διαίρεσις βούλεται εἰς μέρη διωρισμένα γίνεσθαι, τὰ δὲ ἄτομα ἀδιόριστα. τὰ δὲ μεταξὺ ὑπάλληλα, συσατικὰς μὲν ἔχει διαφορὰς τὰς τῆς ἀνωτέρω διαιρετικὰς, τουναντίον δὲ διαιρετικὰς τὰς τῆς κατωτέρω συσατικάς.

Ἑτέρα σώψις τῆς ἐν τῷ β'. μέρει.

Τριχῶς τῆς Διαφορᾶς τῷ Πορφυρίῳ διαιρεθείσης, εἰς τε τὴν καθ' αὐτὸ, καὶ τὴν κοινῶς, καὶ ἰδίως, ἡ μὲν ἰδίως Διαφορὰ, ἐν τῷ περὶ Ἰδίου κεφαλαίῳ θεωρηθήσεται, ἡ δὲ κοινῶς, ἐν τῷ περὶ συμβεβηκότος. ἐπὶ τοῦ παρόντος δὲ περὶ μόνης τῆς ἰδιαίτατα, καὶ καθ' αὐτὸ Διαφορᾶς ἡ θεωρία προτείνεται. ἧς τέτταρας ὑπογραφὰς ὁ Πορφύριος ὑποδίδωσιν. ὧν πρώτη ἐστὶν αὕτη. Διαφορά ἐστιν ἣ περιττεύει τὸ Εἶδος τοῦ Γένους. τὸ γὰρ Εἶδος ἐκ Γένους καὶ οὐσιώδους Διαφορᾶς συνεστηκὸς, πλέον τι ἐναπολείει ἐν τῇ αὐτοῦ φύσει, ἤπερ τὸ Γένος, δηλονότι τὴν Διαφοράν. οἷον τὸ Ζῶον, ὅπερ ἐστὶ Γένος, οὐσίας ὄντος ἐμψύχου καὶ αἰσθητικῆς, ὁ ἄνθρωπος ὅπερ ἐστὶν Εἶδος τοῦ Ζώου. ἔστι πρὸς τούτοις καὶ λογικὸν, ὅπερ ἐστὶ Διαφορά. πρὸς ἣν ἐπορήσειέτις; πῶς ἐστὶν αὕτη κυρίως ὑπογραφὴ τῇ καθ' αὐτὸ διαφορᾷ προσήκουσα, ὅπερ καὶ διὰ τοῦ Ἰδίου περιττεύει τὸ Εἶδος τοῦ Γένους. ἢ ὅτι περιττεύει μὲν, οἷον διὰ τοῦ γελασικοῦ ὁ ἄνος περιττεύει τοῦ ζώου, ἀλλὰ τοῦτο ἐγκλείεται τῷ λογικῷ.

Δεύτερον ὑπογράφει ταύτῃ, ὅτι διαφορά ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ Εἴδει ἐν τῷ ὁποῖόν τι ἐστὶ κατηγορούμενον. σαφηνίζει δὲ ταύτῃ διὰ παραδείγματος τοῦ λογικοῦ. τὸ γὰρ λογικὸν, ὅπερ ἐστὶ διαφορὰ,

κατὰ

κατὰ θνητῶν καὶ ἀθανάτου κατηγορεῖται, ἄτινα διαφέρει τῷ Εἴδει. ἀλλ' αὕτη ἡ ὑποζωὴ πάντως ἐστὶν ἀτελὴς, ὡς καὶ αὐτὸς ὁ Πορφύριος διδάσκει. οὔτε γὰρ πάσῃ διαφορᾷ, οὔτε μόνῃ ἁρμόζει, διὰ τὸ εἶναι ἐπὶ πλέον τοῦ ὁρισοῦ, καὶ ἐπ' ἔλαττον. ἐπὶ πλέον μὲν ὅτι καὶ τοῖς συμβεβηκόσι προσήκει. τὸ γὰρ χρῶμα κατηγορεῖται λευκοῦ, καὶ μέλανος, καὶ τῶν τοιούτων, ἃ διαφέρει τῷ Εἴδει, καὶ ἐν τῷ ὁποῖόν τί ἐστιν. οὔτε πάσῃ ἁρμόζει, διὰ τὸ εἶναι ἐπ' ἔλαττον. οὐ γὰρ καὶ ταῖς ἐχάταις Διαφοραῖς, κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ κατηγορουμέναις. φασὶ γάρ ὅτι αἱ τοιαῦται Διαφοραὶ ὑφεσήκασι (φέρε εἰπεῖν οὐσιώδεις Διαφοραὶ) Ἵππου, Βοὸς, Λέοντος, καὶ τῶν λοιπῶν, εἰ καὶ τὰ πλεῖστα ἡμᾶς λανθάνουσιν. ἃ γὰρ ἡμεῖς ἐν τοῖς ὁρισικοῖς λόγοις τούτων λαμβάνομεν, ὡς ἐπὶ τοῦ ἵππου τὸ χρεμετιστικὸν, οὐκ εἰσὶν ἔχαται Διαφοραὶ, ἀλλ' Ἴδια. Διὰ δὲ τὸ λανθάνειν ἡμᾶς ἐκείνας, ταῦτα αὐτὰ ἐκείνων λαμβάνομεν. εἰσάγουσι καὶ μάρτυρα τὸν Φιλόσοφον σὺν τῷ ζ'. τῆς πρώτης Φιλοσοφίας κεφ. ιβ'. τῷ τε πρώτῳ περὶ Ζώων μορίων Κεφ. β'. οὐ μικὸν, ἀλλὰ καὶ παραδείγματι συλλογιστικῷ τὸ δόγμα κατασκευάζουσιν. αἱ τῶν ὄντων γὰρ οὐσίαι τε καὶ φύσεις, οὕτως εἰσὶν ἁπλαῖ ὡς οἱ ἀριθμοί. οἱ δὲ ἀριθμοὶ ἐν τούτῳ, ἢ ἐκείνῳ τῷ Εἴδει συνίστανται, διὰ θέσεως μιᾶς ἁπλῆς μονάδος. οὕτως ἄρα καὶ τὰ ὄντα δι' ἁπλῆς καὶ ἐχάτης Διαφορᾶς ἐν τοῖς οἰκείοις Εἴδεσιν ἀνάγκη συνίστασθαι. οὕτω κατὰ ἀναλογίαν συμπεραίνουσι τὰς ἐχάτας ὑφεσηκέναι διαφορὰς, καί περ ἡμᾶς λανθανούσας.

Εἰδέ τις ἐθελήσειε, τὰ λανθάνοντα ταῦτα παραιτούμενος τοῖς ἐναργεστέροις ἑπακολουθεῖν, φήσειεν οὐκ ἄπο σκοπῆς, ὅτι τὸ ἄλογον ἐστὶν ἡ ἐχάτη διαφορὰ πάντων τῶν μὴ λογικῶν, ὥσπερ τὸ λογικὸν τῶν μὴ ἀλόγων. φαμὲν γάρ, ὅτι τὸ λογικὸν Ⓒ ἄλογον, διαιροῦντα τὸ Γένος, τὸ μὲν τὰ λογικὰ, τὸ δὲ τὰ ἄλογα σωίζωσιν Εἴδη. Εἰ δέτις εἴποι ὅτι τὰ ἄλογα εἰς πλείονα διαιρούμενα Εἴδη, ἀνάγκη ἕκαστον τούτων ἰδίαν ἐχάτην ἐφηκέναι Διαφοράν, ἀφ' ἧς καὶ τὸ ἴδιον ἑκάστῳ ἕψεται, ἐροῦμεν· ὅτι ὥσπερ τὸ λογικὸν ἐπί τε ἀνθρώπου, καὶ τῶν ἀθείων λεγόμενον, οὐκ ἀνάγκη καὶ τὰ ἀθεα γελαστικὰ εἶναι, ὥσπερ ὁ ἄνος, ἀλλ' ἀπὸ τῆς διαφορᾶς μορφῆς τούτων καὶ οὐσίας, ἑκάστῳ τούτων τὸ ἴδιον ἕπεται, ὥστε τὸ μὲν εἶναι γελαστικὸν θνητὸν, τὸ δὲ μὴ γελαστικὸν Ⓒ ἀθάνατον, ὅπω καὶ τοῖς ἀλόγοις, ἀπὸ τῆς μορφῆς ἑκάστου καὶ οὐσίας, τὸ ἴδιον διάφορον ἕπεται. ὅθεν ὥσπερ τὸν Ἄνθρωπον ὁριζόμενοι λέγομεν, ζῶον λογικὸν γελαστικὸν, τῷ ἐχάτῃ Διαφορᾷ αὐτοῦ συν τῷ ἰδίῳ παραλαμβάνοντες, οὕτω τὸν Ἵππον ζῶον ἄλογον χρεμετιστικὸν, καὶ τὸν Βοῦν ζῶον ἄλογον μουγικιστικὸν, καὶ τὰ λοιπὰ καθ'

ἑξῆς

ἐξῆς τοῖς ἰδίοις παραλαμβανόμενα; ὀφείλοντες τὰ διαφορὰ τούτων, ὅπερ ἐστὶ τὸ ἄλογον. Εἰ δὲ πλείονα τὰ τοῦ ἀλόγου Εἴδη, τοῦτο οὐδὲν πρὸς ἀμφιβολίαν συμβάλλεται. ἔστι γὰρ καὶ τοῦ λογικοῦ δύο τὰ Εἴδη.

Τρίτη. ὅτι Διαφορά ἐστιν, ὃ πέφυκε χωρίζειν τὰ ὑπὸ τῷ αὐτῷ Γένει. εἰ δέ τις ἐρεῖ, ὅτι καὶ τὰ καθ' ἕκαστα ἑτεροειδῆ ὑπὸ τὸ αὐτὸ Γένος ὄντα, χωρίζεται ἀλλήλων, καὶ τοῖς συμβεβηκόσιν, εἰρήσεται πρὸς αὐτόν. ὅτι ἐνταῦθα ἐννοεῖται τὰ ἀμέσως ὑπὸ τὸ αὐτὸ Γένος ὄντα, οἷα εἰσὶ τὰ Εἴδη.

Τετάρτη. ὅτι Διαφορά ἐστιν, ὅπῳ διαφέρει ἕκαστον ἑκάστου. εἰ δὲ καὶ τοῖς συμβεβηκόσι διαφέρει τὰ ὄντα, ἀλλ' ἐνταῦθα ἐννοεῖται οὐσιωδῶς. καθ' ὅ,τι γὰρ διαφέρει ἕκαστον ἑκάστου οὐσιωδῶς, τοῦτο Διαφορὰ οὐσιώδης ἐστίν.

Σύνοψις τῆς ἐν τῷ γ'.

Ἔλειπται δὲ ἡ μὲν πρώτη καθ' ὅσον ἡ διαφορὰ σωίζει τὸ Εἶδος, ἡ δὲ β'. καθ' ὅσον ἐνυπάρχει τοῖς Εἴδεσι, καὶ κατὰ τῶν αὐτῶν κατηγορεῖται. Ἡ δὲ τρίτη καὶ τετάρτη, καθ' ὅσον τὰ Εἴδη πρὸς ἄλληλα διενίσοχε. καὶ ἡ μὲν πρώτη πάσαις ἐφαρμόττει ταῖς Διαφοραῖς, εἰδικωτάτοις καὶ ὑπαλλήλοις. ὁμοίως ἡ τρίτη καὶ ἡ τετάρτη. ἡ δὲ β'. μόναις ταῖς ὑπαλλήλοις, συνεπινοεῖται δὲ ἐπὶ πασῶν τὸ, (1) οὐσιωδῶς. ἄλλως γὰρ αἱ οὐ μόνον ταῖς Διαφοραῖς, ἀλλὰ καὶ ἰδίοις καὶ συμβεβηκόσιν ἐφαρμόσειαν αἱ αὐταὶ ὑπογραφαί, μάλισα ἡ β'. καὶ δ'. πολλὰ γὰρ τῶν συμβεβηκότων, κατὰ διαφερόντων τῷ Εἴδει κατηγορεῖται ἐν τῷ ὁποῖον (2) τί ἐστι, καὶ οὐ μόνον κατ' Οὐσίαν ἀλλήλων διαφέρει τὰ ὄντα, ἀλλὰ καὶ κατὰ Συμβεβηκός.

Τινὲς δὲ καὶ τοιαύτην τινὰ ὑπογραφὴν περὶ τῆς ἰδιαίτατα Διαφορᾶς ἀποδεδώκασιν. ὅτι Διαφορά ἐστι μέρος οὐσιῶδες τοῦ Εἴδους, καθ' ὃ διαφέρει τὰ ὄντα πρὸς ἄλληλα, κατὰ πλειόνων καὶ διαφερόντων τῷ Εἴδει, (εἰ ἐστὶν ὑπάλληλος.) ἢ τῷ ἀριθμῷ, (εἰ ἐστὶν ἔσχατη) ἐν τῷ ὁποῖον τί ἐστιν οὐσιωδῶς κατηγορούμενον. κατηγορουμένη τοιαύτη ἡ Διαφορὰ οὐσιωδῶς, ὡς συσατικὴ δηλονότι τῆς Οὐσίας, τῶν καθ' ὧν κατηγορεῖται πραγμάτων, ἀντιδιαστέλλεται τοῦ Ἰδίου καὶ συμβεβηκότος ἐπουσιωδῶς κατηγορουμένων. Διὰ δὲ τοῦ ὁποῖον τί ἐστι, διακρίνεται Γένους τε, καὶ Εἴδους.

Ἰστέον δὲ, ὅτι τὸ ὁποῖον κοινῶς λαμβανόμενον, σημαίνει ὁποιανοῦν μορφὴν, ἢ οὐσιώδη, ἢ κατὰ συμβεβηκός. πάλιν τὸ κατὰ συμβεβηκὸς ὁποῖον, ποτὲ μὲν κοινότερον λαμβάνεται, καὶ σημαίνει πᾶσαν κατὰ συμβεβηκὸς κατηγορίαν. ποτὲ δὲ ἰδίως, καὶ σημαίνει κυρίως τὴν τῆς ποιότητος

(1) Ἤτοι διαφέρειν οὐσιωδῶς. (2) Ὡς τὸ δίπουν.

τος κατηγορίαν. ἐνταῦθα δὲ ἐννοεῖται κατὰ τὸν πρῶτον τρόπον, καθὸ δηλαδὴ σημαίνει τὴν Οὐσιώδη μορφήν. διὸ καλῶς πρόσκειται τῇ ὑπογραφῇ τὸ, ὑσιωδῶς, δι' οὗ τὴν μὴ τοιούτων ἀπιδιαιρέλεται.

Ἔστι δὲ τὸ ὑπογραφόμενον ταῖς ὑποδοθείσαις ὑπογραφαῖς ἡ καθόλου φύσις, καθ' ἣν ὡς εἴρηται οὐσιωδῶς διαφέρει τὰ ὄντα. ἥτις ἰδιαίτατα Διαφορὰ προσηγόρδυται. ἔστι δὲ καθόλου πρός τε τὸ Εἶδος οὗ ἐστὶ Διαφορὰ ἀναφερομένη, καὶ πρὸς τὰ ἄτομα, τὰ ὑπὸ τῷ αὐτῷ Εἴδει. κατὰ μὲν γὰρ τὴν πρὸς τὰ ἄτομα σχέσιν ἐστὶ καθόλου. ὅτι τὸ ἐν πλείοσιν ὑπάρχον καὶ κατὰ πλειόνων κατηγορούμενον, καθόλου πάντως ἐστίν. ὁμοίως δὲ καὶ ἀναφερομένη πρὸς τὸ Εἶδος ἡ Διαφορὰ καθόλου ἐστί. τὸ γὰρ συνεκτεινόμενον τῷ καθόλου, καὶ κατηγορούμενον κατ' ἐκείνου, καθόλου πάντως ἐστίν, ἡ δὲ Διαφορὰ ἀναφερομένη πρὸς τὸ Εἶδος, συνεκτείνεται τῷ Εἴδει, καὶ κατηγορεῖται κατ' ἐκείνου. ὥστε καὶ ἔστιν ἡ Διαφορὰ καθόλου ἐστίν.

Κἀκεῖνο εἰδέναι δέον, ὅτι ~~κἀκεῖνο~~ κατηγορεῖται ἐν τῷ ὁποῖον τί ἐστι, δι' οὗ δυνατὸν ἀπαντῆσαι πρὸς τὴν ὁποῖόν τι ἐστὶν ἐρώτησιν. οἷον εἴτις ἐρωτῴη, ὁποῖον ζῶον ὁ ἄνθρωπος, ὀρθῶς ἀποκρινούμεθα ὅτι λογικόν. ἔστι δὲ τῦτο ταῖς Διαφοραῖς οἰκεῖον, διὰ τὸ οἱονεὶ μορφῆς λόγον ἔχειν πρὸς τὰ Γένη. τὸ γὰρ Γένος ἀναλόγως ἔχει τῇ Ὕλῃ, ἡ δὲ Διαφορὰ τῇ μορφῇ τῶν ἀνδριάντος. ὥσπερ γὰρ ἄυτη μορφοῦσα φέρε εἰπεῖν τὸν χαλκὸν, συνίστησι τὸν ἀνδριάντα, τὸν αὐτὸν τρόπον καὶ τὸ λογικὸν μορφοῦν πως τὸ Ζῶον, συνίστησι τὸν Ἄνθρωπον.

Εἰχε δ' ὧν ἀπορῆσαί τις πρὸς τὴν πρώτην, καὶ τρίτην, καὶ τετάρτην ὑπογραφὴν, δι' ὧν ὁ Πορφύριος τὴν Διαφορὰν ὑπέγραψεν, ὅτι ἐν ταύταις ἡ Διαφορὰ οὐ λαμβάνεται ὡς κατηγορουμένη, πῶς οὖν ὡς καθόλου ὑπογράφεται, εἶγε τὸ καθόλου ἐν τῷ κατηγορεῖσθαι ἐστί; πρὸς ὃν ῥητέον, ὅτι τὸ καθόλου οὐκ ἐν τῷ κατηγορεῖσθαι κατὰ πλειόνων συνίστηκεν, ἀλλ' ἐν τῷ πλείοσιν ὑπάρχειν, τῷ λόγῳ δὲ κατὰ τὴν ταυτότητα τῆς φύσεως. τὰ γὰρ καθόλα, εἰ καὶ μὴ κατηγορῶνται, ἀλλ' οὖν διὰ τὸ ἐνυπάρχειν πολλοῖς, οὐ δεῖ ἧττον εἰσὶ καθόλου. καὶ ταῦτα περὶ Διαφορᾶς.

Τὴν μὲν κοινῶς εἴρηκε Διαφορὰν, οἷόν ἐστι τὸ κυρίως χωριστὸν Συμβεβηκὸς, δι' ὃ διαφέρει ἕτερον ἑτέρου, ἢ ἐξ ἀμφοῖν.

α'. ἐν ᾧ τὰ σημαινόμενα τῆς Διαφορᾶς προτίθεται, καὶ τινας ἑτερότητας πρὸς ἄλληλα τέτων ἀναπτύσσει.

Τὴν δὲ ἰδίως, ὅπερ λέγεταί πως καὶ ἀχώριστον συμβεβηκός.

Τὴν δὲ ἰδιαίπατον, ἥτις ἐστὶ κυρίως καὶ ἀληθῶς ἀχώριστος τῆς Οὐσίας.

Διαφορά ἐστιν, ἣ περιτίθησι τὸ εἶδος τοῦ γένους.

Διαφορά ἐστι, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ Εἴδει, ἐν τῷ ὁποιόν τι ἐστὶ κατηγορούμενον.

β'. ἐν ᾧ τὸ ἰδιαίπατον σημαινόμενον ὡσεὶ ἓν ὁ λόγος ἐνταῦθα προχειρησάμενος διαφόρως ὑπογράφει.

Διαφορά ἐστιν, ὃ πέφυκε χωρίζειν τὰ ὑπὸ τὸ αὐτὸ Γένει.

Διαφορά ἐστιν ὅτῳ διαφέρει ἕκαστον ἑκάστου.

Περὶ τῶν διαιρέτων τὸ παρὰ Πορφυρίῳ περὶ Διαφορᾶς κεφ.

Ἡ μὲν α'. εἴρηται, καθ' ὅσον σωρὸς ἡ Διαφορὰ τὸ Εἶδος.

γ'. ἐν ᾧ τὰς ὑποθέσεις τῆς γραφῆς αἰναπτύσσει.

Ἡ δὲ β'. καθὸ ἐνυπάρχει τοῖς Εἴδεσι, ἢ κατὰ τῶν αὐτῶν κατηγορεῖται.

Ἡ δὲ γ'. καὶ τεπάρτη, καθ' ὅσον τὰ εἴδη πρὸς ἄλληλα διαλύοχε.

Περὶ Ἰδίου.

Μετὰ τὴν ἔκθεσιν τοῦ περὶ Διαφορᾶς Κεφαλαίου, τοῦ Ἰδίου ἐφάπτεται ὁ Πορφύριος. τῷ γὰρ κατὰ συμβεβηκὸς κατηγορημάτων, μάλιστα

λισα τὸ Ἴδιον προσεγγίζει τῆς Διαφορᾶς τῇ φύσει, ὅτι καὶ προσεχῶς ἀπὸ τοῦ εἰδοποιηθέντος διὰ τῆς διαφορᾶς προέρχεται. διὸ τιμιώτερόν ἐστι, καὶ προσεχέστερον τῇ φύσει ἑκάστου, ἢ τὸ κοινῶς συμβεβηκός. καὶ προηγεῖται ἐκείνου, ὄντος ἀλλοτρίου τῆς φύσεως τοῦ εἰδοποιηθέντος. ὅθεν πολλάκις κἂν τοῖς ὅροις ἀντὶ Διαφορᾶς λαμβάνεται, ἡνίκα ἡ οἰκεία τοῦ πράγματος λανθάνει Διαφορά. διὸ ὀρθῶς τοῦ ἁπλῶς Συμβεβηκότος προηγεῖται.

Διαίρεσις τοῦ Κεφαλαίου.

Διαιρεῖται δὲ τὸ περὶ Ἰδίου κεφάλαιον εἰς δύο. ὧν ἐν μὲν τῷ ἀ. ὁ Πορφύριος τὰ τέτταρα τοῦ Ἰδίου σημαινόμενα ἐκτίθησι, καὶ παραδείγμασιν ἅμα σαφηνίζει. ἐν δὲ τῷ β. τὸν τέταρτον τῶν Ἰδίων ξόπον ὑπογράφει, καί τινα τούτου ἰδιότητα ἀποδίδωσι.

Περὶ τοῦ ἐν τῷ Πρώτῳ μέρει.

Πρῶτον σημαινόμενον τοῦ Ἰδίου ἐστὶν, ὃ μόνῳ τινὶ Εἴδει συμβέβηκεν, ἀλλὰ μὴ παντί. ὡς τῷ Ἀνθρώπῳ γραμματικὸν εἶναι, ἢ γεωμέτρῃ. εἴρηται δὲ μὴ παντὶ, ὅτι οὐ πᾶσι τοῖς ὑπὸ τὸ Εἶδος ἄτομοις ἐνεῖναι ἀναγκαῖον. εἰ γὰρ τὸ Γραμματικὸν εἶναι, ἢ Ἀξιὸν μόνῳ τῷ Ἀνθρωπίνῳ Εἴδει ἐφαρμόττει, οὐ πᾶσι μέντοι τοῖς ὑπ' ἐκεῖνο ἄτομοις ἐνυπάρχει.

Δεύτερον σημαινόμενον ἐστὶν, ὃ παντὶ τῷ εἴδει συμβέβηκεν, ἀλλὰ μὴ μόνῳ. ὡς τῷ Ἀνθρώπῳ τὸ δίπουν εἶναι. μὴ μόνῳ δὲ εἴρηται, ὅτι τὸ δίπουν καὶ ἐφ' ἑτέροις συμβέβηκε.

Τρίτον σημαινόμενον τῶν Ἰδίων λέγεται, ὃ μόνῳ τινὶ Εἴδει, καὶ παντὶ συμβέβηκεν, ἀλλὰ μὴ ἀεὶ δ' ἀλλὰ ποτέ. ὡς τῷ Ἀνθρώπῳ ἐν γήρᾳ πολιοῦσθαι. τοῦτο γὰρ Ἀνθρώπῳ μόνῳ ἴδιον ἐστὶ καὶ παντὶ, ἀλλ' οὐκ ἀεὶ τῆς ἡλικίας γνομένῳ.

Παρὰ ταῦτα τέταρτον σημαινόμενον τοῦ Ἰδίου λέγεται, ὃ καὶ κυρίως Ἴδιον, ὃ μόνῳ τινὶ Εἴδει, καὶ παντὶ, καὶ ἀεὶ συμβέβηκεν, ὡς τὸ γελαστικόν. μόνος γὰρ ὁ Ἄνθρωπος, καὶ πᾶς Ἄνθρωπος, καὶ ἀεὶ ἐστὶ γελαστικὸν, τουτέστιν ἡ τοῦ γελᾶν δυνάμις ἀεὶ ἐν αὐτῷ ὑπάρχει. εἰ γὰρ καὶ τὸ γελᾶν ἐνεργείᾳ οὐχ ὑπάρχει διηνεκῶς τοῖς Ἀνθρώποις, πεφύκασι μέντοι πάντες γελᾶν, καὶ ἡ τοῦ γελᾶν ἐπιτηδειότης ἀδιαλείπτως αὐτοῖς ἔνεστι.

Περὶ τῆς ἐν τῷ β. μέρει.

Τὸ τέταρτον σημαινόμενον τοῦ Ἰδίου ὑπογράφων ὁ Πορφύριος φησίν. ὃ μόνῳ, τουτέστι μόνῳ τινὶ Εἴδει, καὶ παντὶ, δηλονότι πᾶσι τοῖς ἐφ' αὐτὸ ἀτόμοις, καὶ ἀεὶ, τουτέστιν ἀεὶ ὑπάρχει, καὶ μηδέποτε ἄνευ ἐκείνου δυνατὸν εἶναι ὑπάρχειν τὸ τοιοῦτον Εἶδος. ὅθεν καὶ τοιαύτῃ τινὰ ἰδιότητα τούτου δηφέρει, τὸ ἀντιστρέφειν τῷ Εἴδει δηλαδὴ, οὗ ἔστιν Ἴδιον. ἀληθεύει γὰρ ἀεὶ εἰπεῖν, ἄνθρωπος ἐστὶν, ἄρα γελαστικόν. καὶ γελαστικόν ἐστιν, ἄρα ἄνθρωπος.

Ἰστέον ὅτι τὸ Ἴδιον, ποτὲ μὲν τῷ μὴ Ἰδίῳ ἀντίκειται, ποτὲ δὲ τῷ κοινῷ. ἐνταῦθα μὲν οὖν τὸ Ἴδιον λαμβάνεται ἢ ἀντίκειται τῷ κοινῷ. ὅθεν ὁσαχῶς τὸ κοινὸν, τοσαυταχῶς καὶ τὸ Ἴδιον ὀφείλει λέγεσθαι. ἑκάτερον γὰρ τῆς ἀντικειμένων, ὁσαχῶς λέγεται, τοσαυταχῶς καὶ ἑκάτερον λεχθήσεται. τὸ μὲν τοι κοινὸν λέγεται γενικὸν καὶ εἰδικόν. ὅθεν καὶ τοῦ Ἰδίου τὸ μὲν ἔστι γενικὸν, τὸ δὲ εἰδικόν. καὶ γενικὸν μέν ἐστιν Ἴδιον, ὅπερ τῷ πρώτῳ φυσικῷ σώματι ἁρμόζει, ὡς τὸ κεχρῶσθαι. Ἴδιον γὰρ τοῖς φυσικοῖς σώμασι κεχρῶσθαί πως. εἰδικὸν δὲ Ἴδιον ἐστὶν, ὅπερ ἑνὶ μόνῳ Εἴδει ἁρμόζει, περὶ οὗ ἐπὶ τὸ παρόντος τῷ Πορφυρίῳ ὁ λόγος. οὗ τινος τέτταρα τὰ σημαινόμενα ἀνωτέρω ἐξηύρηκε, καὶ ἕκαστον ὑπέγραψεν. ἀλλ' αἱ μὲν τρεῖς ὑπογραφαὶ τοῦ Ἰδίου, καὶ τῷ κοινῷ Συμβεβηκότι ἁρμόσειαν ἄν, περὶ οὗ ἐν τοῖς ἑφεξῆς. ἡ δὲ τετάρτη ὑπογραφὴ, μόνῳ τῷ κυρίως Ἰδίῳ. ἔστι δὲ μᾶλλον τῆς ἄλλων τοῦτο ἐπισάσεως ἄξιον, ὅτι αἱ τῆς ὄντων φύσεις θεωροῦνται τῷ Πορφυρίῳ; οὐ καθὸ εἰσὶν ἁπλῶς, ἀλλὰ καθὸ εἰσὶν ἐν πολλοῖς, τουτέστι καθὸ καθόλου ἐν τοῖς πολλοῖς. ὑπογράφονται δὲ ὑπ' αὐτοῦ οὐ καθὸ κατηγοροῦνται, ἀλλὰ καθὸ ὑπάρχουσιν ἐν πολλοῖς, ὡς ἡ τοῦ Ἰδίου καὶ Συμβεβηκότος ὑπογραφὴ δῆλον καθίσησιν. ὁ γὰρ τοῦ ὁρίζειν ζόπος ἕπεται τῷ ζόπῳ τῆς θεωρίας τοῦ ὁριζομένου.

Διαίρεσις τοῦ Ἰδίου κατὰ τὸν Φιλόσοφον ἐν τοῖς Τοπικοῖς Βιβλίῳ ά. Κέφ. δ'.

Παρὰ δὲ τῷ Φιλοσόφῳ τὸ Ἴδιον τριχῶς λέγεται ἐν τοῖς Τοπικοῖς. ἢ ἁπλῶς, ἢ ποτὲ, ἢ πρός τι. ἁπλῶς μὲν, ὃ μὴ δηλοῖ τὸ τί ἦν εἶναι, μόνῳ δὲ ὑπάρχει, καὶ ἀντικατηγορεῖται τοῦ πράγματος. οἷον, Ἴ-

διον

δίον Ἀνθρώπου τὸ γραμματικῆς εἶναι δεκτικόν. εἰ γὰρ Ἄνθρωπος ἐστὶ, γραμματικῆς ἐστὶ δεκτικὸς, καὶ εἰ ἐστὶ γραμματικῆς δεκτικὸς, ἐστὶν ἄνθρωπος. ποτὲ δὲ Ἴδιον, ὡς τὸ δεξιὸν εἶναι τὸν Σωκράτους, ἢ πολιοῦσθαι ἐν γήρᾳ. τρός τι δὲ, ὃ τρὸς ἕτερόν τι μὲν, ἴδιον τινὶ λέγεται, ἐ τρὸς πάντα δὲ. οἷον τῷ Ἀνθρώπῳ τὸ εἶναι δίπουν, πρὸς Κυύκ καὶ Ἵππον ἐστὶν Ἴδιον, πρὸς Ὄρνιν δὲ οὐκ ἔστιν, ὅτι καὶ Ὄρνις δίπους.

Εἰς ἓν ὑποκείμενον πεζὶ Ἰδίου καὶ παρὰ Πορφυρίου.

α. ἐν ᾧ τέτταρα σημαινόμενα τῶν ἐκτίθησι, καὶ παραδείγμασιν ἅμα πάντα σαφηνίζει.

α'. Ἴδιον ἐστὶν, ὃ μόνῳ τινὶ Εἴδει συμβέβηκεν, ἀλλὰ μὴ παντί. ὡς τῷ Ἀνθρώπῳ γραμματικὸν εἶναι, ἢ γεωμετρεῖν.

β'. ὃ παντὶ τῷ Εἴδει συμβέβηκεν, ἀλλὰ μὴ μόνῳ. ὡς τῷ Ἀνθρώπῳ τὸ δίπουν εἶναι.

γ'. ὃ μόνῳ τινὶ Εἴδει καὶ παντὶ συμβέβηκεν, ἀλλὰ μὴ ἀεὶ, ἀλλὰ ποτέ. ὡς τῷ Ἀνθρώπῳ ἐν γήρᾳ πολιᾶσθαι.

δ'. ὃ μόνῳ τινὶ Εἴδει, καὶ ἀεὶ, καὶ παντὶ συμβέβηκεν, ὡς τῷ Ἀνθρώπῳ τὸ γελαστικόν.

β. ἐν ᾧ τὸν τέταρτον τρόπον τῆς Ἰδίας ὑπογραφῆς, καί τινα ἰδιότητα τότε ὑποτίθησι λέγων. τοῦτο ἐστὶ κυρίως Ἴδιον, ὃ ἀντιστρέφει τῷ Εἴδει. οἷον γελαστικόν ἐστιν, ἅτε ἄνθρωπος.

Περὶ Συμβεβηκότος.

Οὐκ ἀλόγως ὁ Πορφύριος ἕκατον πάντων τὸ Συμβεβηκὸς ἐκτίθεται. τοῦτο γὰρ ἐκεῖνο ἐκ τῆς οἰκείας ἀποκεκλήρωται φύσεως, διὰ τὸ πάντων τῶν τῆς οὐσίας κατηγορουμένων ἕκατον εἶναι τῇ φύσει, καὶ τούτης κεχωρισμένον. τέτταρα δὲ ποιεῖ ἐν τῷ παρόντι Κεφαλαίῳ. πρῶτον ἀφορίζεται τὸ συμβεβηκός. δεύτερον διαιρεσίν τινα τούτου ἐκτίθησιν ἐναντίων ~~τοῖς~~ ~~ἀνωτέρω~~ περὶ γὰρ παντὸς συμβεβηκότος αὐτῷ ὁ λόγος ἐπὶ τοῦ παρόντος. τρίτον τινὰ ἀπορίαν ἀνακύπτουσαν ἐπιλύεται. καὶ τελευταῖον δύο ὑπογραφὰς τοῦ Συμβεβηκότος παρατίθησι πρώτην ἐπιφέρει

Ἵνα δὲ σαφὲς γένηται τὸ λεγόμενον, εἰδέναι δεῖ. ὅτι τὸ Συμβεβηκὸς διχῶς λέγεται, τὸ μὲν ἴδιον, τὸ δὲ κοινόν. καὶ ἴδιον μέν ἐστι, τὸ

μὴ

μὴ ἐκτεινόμενον ἐπὶ πολλὰ Εἴδη, ἀλλὰ προερχόμενον ἀπὸ τῆς Οὐσίας αὐτοῦ τοῦ Εἴδους οὗ ἔστιν ἴδιον. περὶ οὗ εἴρηται ἐν τῷ οἰκείῳ Κεφαλαίῳ. κοινὸν δέ ἐστι, τὸ ἀδιαφόρως πλείοσιν ἐπιγινόμενον φύσεσι, περὶ ἃ ἐνταῦθα ὁ λόγος. ἐνδέχεται δὲ τὸ κοινὸν συμβεβηκὸς θεωρηθῆναι ξιχῶς. πρῶτον κατὰ τὴν οἰκείαν φύσιν, ὃν ξόπον θεωρεῖται ἐν τοῖς Μεταφυσικοῖς. δεύτερον ἐπὶ τῆς οἰκείας κατηγορίας, ἐφ' ἧς τὰ ἀνωτέρω τῶν κατωτέρω κατηγορεῖται καθ' αὑτό. οἷον ἡ ποιότης κατὰ τῆς ἕξεως, καὶ αὕτη κατὰ τῆς Ἐπιστήμης, ὃν ξόπον θεωρηθήσεται ἐν τῷ περὶ Κατηγοριῶν Βιβλίῳ. τρίτον θεωρεῖται τὸ Συμβεβηκὸς, καθ' ὅσον ἐνυπάρχει τῇ πρώτῃ Οὐσίᾳ, ἐφ' ἧς κατὰ Συμβεβηκὸς ἐπιγίνεται, καὶ καθ' ἧς ὁμοίως κατὰ συμβεβηκὸς κατηγορεῖται. ὃν ξόπον ἐνταῦθα περὶ αὐτοῦ ἡ διάσκεψις γίνεται. ὅπερ ὁ Πορφύριος ἀφορίζων φησίν. ὅτι συμβεβηκός ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. ὡς τὸ ἵζασθαι, τὸ καθῆσθαι, τὸ αὐίζασθαι, καὶ τὰ ὅμοια. ἅπερ χωριζόμενα, οὐ παραβλάπτει τὸ ὑποκείμενον.

Δεύτερον μέρος.

Διαιρεῖται τὸ Συμβεβηκὸς ὁ Πορφύριος λέγων. ὅτι τὸ μὲν αὐτοῦ χωριστόν ἐστιν, τὸ δὲ ἀχώριστον. καὶ χωριστὸν μὲν, οἷον ἐστὶ τὸ περιπατεῖν, τὸ καθεύδειν. ἀχώριστον δὲ, οἷον τὸ ἐν Αἰθίοπι μέλαν, ἢ τὸ ἐν Κύκνῳ λευκὸν, καὶ τὰ τοιαῦτα.

Τρίτον.

Ἐξ ἧς διαιρέσεως ἀπορία τις ἀναφύεται, ὅτι ἐν μὲν τῇ ὑπογραφῇ εἴρηται τὸ Συμβεβηκὸς γίνεσθαι καὶ ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, ὅπερ ἐστὶ ταυτὸν τῷ χωρίζεσθαι, πῶς οὖν διαιρῶν τοῦτο εἴρηκεν, ὅτι τὸ μὲν χωριστόν ἐστι, τὸ δὲ ἀχώριστον; λύω ἁπλουμενός φησιν, ὡς εἰ καί τινα τῶν συμβεβηκότων μὴ τυγχάνει χωριζόμενα πράγματι, ἀλλὰ τῇ ἐπινοίᾳ πάντως δυνάμεθα πάντα κεχωρισμένως νοῆσαι, μηδὲν τῆς τῶν ὑποκειμένων φύσεως λυμαινομένης. δυνατὸν γὰρ τῇ ἐπινοίᾳ ἐννοῆσαι καὶ τὸν Αἰθίοπα λευκὸν, καὶ τὸν Κύκνον αὖθις λευκόπτερον, οὐδὲν λυμαινομένης τῆς τούτων φύσεως.

Τέ-

Τέταρτον.

Ἐν δὲ τῷ τελευταίῳ μέρει δύο ὑπογραφὰς παρὰ τὴν πρώτην ἀποδίδωσιν ὁ Πορφύριος τοῦ Συμβεβηκότος, μίαν μὲν δι' ἀποράσεως. Συμβεβηκός ἐστιν, ὃ οὔτε Γένος ἐστὶν, οὔτε Διαφορὰ, οὔτε Εἶδος, οὔτε Ἴδιον, ἀεὶ δὲ ἔστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον. ἑτέραν δὲ ἐκ τῆς αὐτοῦ φύσεως. ὅτι Συμβεβηκός ἐστιν, ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν, καὶ μὴ ὑπάρχειν. ἔστι δὲ καὶ παρὰ τῷ Φιλοσόφῳ ἐν τοῖς προλεγομένοις τῇ κατηγοριῶν, ὑπογραφὴ τοῦ Συμβεβηκότος τοιαύτη. Συμβεβηκός ἐστι τὸ ὅτινι μὴ ὡς μέρος ὄν, ἀδύνατον εἶναι χωρὶς τοῦ ἐν ᾧ ἐστίν.

Ἀπορία.

Ἐκ τῶν ἀποδοθεισῶν ὑπογραφῶν ἀπορίαι τινὲς ἀναφύονται. πρώτη, ὅτι ἐπὶ τῆς πρώτης ὑπογραφῆς εἴρηται τὸ Συμβεβηκὸς γίνεσθαι καὶ ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, τοῦτο δὲ ἐδόκει μὴ ἀληθὲς, διὰ τὸ πολλὰ τῶν συμβεβηκότων ἀχώριστα τοῦ ὑποκειμένου ὑπάρχειν, ὡς τὸ μέλαν ἐν Αἰθιόπι, καὶ τὸ λευκὸν ἐν Κύκνῳ. ᾧ ἐπιλυόμενος ὁ Πορφύριος ἔλεγεν, ὅτι οὐ πάντα τὰ Συμβεβηκότα χωρίζεσθαι τοῦ ὑποκειμένου φράγματι, ἀλλὰ τινὰ τούτων τῇ ἐπινοίᾳ ὡς τὰ εἰρημένα. ἐφ' ἧς λύσεως ἠδυνάτει τις ἀπορῆσαι τοῦτον τὸν τρόπον· ὅτι εἰ τοῦτο ἀληθὲς, ἕπεται καὶ τὸ ἴδιον, Συμβεβηκὸς κοινὸν εἶναι, δυνατὸν γὰρ κἀκεῖνο τοῦ ὑποκειμένου χωρισθῆναι τῇ ἐπινοίᾳ.

Λύσις.

Πρὸς ὃ ῥητέον, ὅτι εἰ καὶ τὰ ἀχώριστα συμβεβηκότα τῇ ἐπινοίᾳ χωρίζεσθαι εἴρηται, ὡς τὰ ἰδίως λεγόμενα συμβεβηκότα, ἀλλ' οὐ τὸ κυρίως σημαινόμενον τοῦ ἰδίου κατὰ τὸν τέταρτον τοῦτον τρόπον, ἀδύνατόν ἐστι χωρισθῆναι τἄ ἔστιν ἴδιον, τὸ δὲ ἴδιον ἕπεται προσεχῶς τῇ φύσει τοῦ φράγματος, ἃ ἐστιν ἴδιον, ἧς σωζομένης, ἀδύνατον χωρισθῆναι, ὥσπερ ἐν Ἀνθρώπῳ τὸ λογικόν. ἐγκλείεται γὰρ ἐν τούτῳ τὸ γελαστικὸν, καὶ ἀδύνατον εἶναι καὶ μένειν ἄνθρωπον, μὴ ὄντα γελαστικόν. τὰ δὲ λοιπὰ τρία σημαινόμενα τοῦ ἰδίου τρόπον τινὰ, οὔτε τοῖς Εἴδεσιν ὧν ἐστὶν ἴδια ἐγκλειόμενα, ὡς καὶ ἐφ' ἑτέροις ἐκτεινόμενα, οὔτε ὡς ἀεὶ ὄντα, καί πως

τοῖς

τοῖς κοινῶς συμβεβηκόσιν ὁμοιούμενα, εἰ καὶ τῷ κυρίως ἰδίῳ συγκατριθμῶνται, διὰ τὸ δοκεῖν πως ἰδίως τισὶ προσεῖναι, ἀλλ' οὖν τῇ ἐπινοίᾳ χωρίζονται, καὶ τὰ ἐν οἷς εἰσὶν οὐ λυμαίνεται. οὐδὲν γὰρ λυμαίνεται Ἄνος πολιὸς, ἢ μελανόθριξ ἐπινοούμενος. Ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, Ἰστέον. ὅτι ὅτε πράγματι καὶ ἐνεργείᾳ τῷ ὑποκειμένῳ τὸ Συμβεβηκὸς ἀπογίνεσθαι λέγομεν, οὐ τὴν μετάβασιν τούτου ἀπὸ ὑποκειμένου εἰς ὑποκείμενον ἐννοοῦμεν, ἀλλὰ τὴν κατάπαυσιν, ἢ λῆξιν, ἢ φθορὰν τούτου. ἐνδέχεται δὲ τὸ Συμβεβηκὸς χωρισθῆναι, ἤτοι παύσασθαι τοῦ ὑποκειμένου τειχῶς· ἢ μεταβαλλομένου τοῦ Συμβεβηκότος ὑπὸ τοῦ ἐναντίου, ὡς τὸ θερμὸν ὑπὸ τῆς ψυχρότητος, ἢ ἡ κλίσις ὑπὸ τῆς ὀρθώσεως, ἢ τὸ καθεύδειν ὑπὸ τῆς ἐξυπνήσεως, καὶ τὰ τοιαῦτα. ἢ τῇ ἀναιρέσει τῆς οἰκείας αἰτίας, ὡς ὁ φωτισμὸς ἐν τῷ Ἀέρι, ἀναιρεθέντος τοῦ φωτιστικοῦ σώματος. ἢ ἡ θέρμανσις ἐν τῷ Ὕδατι, ἀναιρεθέντος τοῦ Πυρός. ἢ ἀφαιρεθέντος τοῦ αἰτιατικοῦ, ὡς ἀναιρεθέντος τοῦ πατρὸς, σωναναιρεῖται καὶ ὁ υἱὸς, ἢ τεθνηκότος τοῦ φίλου, λύει τὸ εἶναι φίλος ὁ ἐναπολειφθείς. καὶ οὕτω μὲν χωρίζεται τὸ Συμβεβηκὸς τοῦ ὑποκειμένου πράγματι. ὅσα δὲ εἰσὶ τοῦ ὑποκειμένου πραγματικῶς ἀχώριστα, τῇ ἐπινοίᾳ χωρίζεσθαι δυνάμενα, πλὴν τοῦ τέρτου τρόπου τοῦ σημαινομένου τοῦ ἰδίου.

ἐγρηγορ:

Κἀκεῖνο εἰδέναι δεῖ, ὅτι τὸ χωρίζεσθαί τι τῷ πράγματος, διχῶς ἐνοεῖται. ἢ ψιλητικῇ ἀφαιρέσει, ἢ θετικῇ. δυνάμεθα οὖν κατὰ μὲν τὴν ψιλητικὴν ἀφαίρεσιν τὸν Ἄνθρωπον ἐννοῆσαι οὐδένα λόγον τοῦ γελαστικοῦ ποιούμενοι, τῇ δὲ ἐπινοίᾳ τοῦτο χωρίσαι θετικῇ ἀφαιρέσει ἀδυνάτον, δηλαδὴ νοῆσαι τὸν Ἄνθρωπον ἀνεπιδεόπτα, ἢ ἀδυναμίαν τοῦ γελᾶν ἔχειν, Ἄνον ὄντα. τὰ δὲ λοιπὰ πάντα Συμβεβηκότα, καὶ ψιλητικῇ & θετικῇ ἀφαιρέσει χωρίσαι δυνάμεθα. ἐπινοουμένου δηλαδὴ τοῦ ἐναντίου τῷ συμβεβηκότι ἐκείνῳ ἐν τῷ ὑποκειμένῳ, ὡς τὸ λευκὸν ἐν τῷ Κόρακι, καὶ τὸ μελὰν ἐν Κύκνῳ, οὐδετιοῦν τῆς οὐσίας αὐτῷ παραβλαβείσης.

Ἀπορία.

Προσέτι κἀκεῖνο ἀπορηται, ὅτι ἐπὶ τῆς δ'. ὑποχαφῆς ἐλέγετο ὑπάρχειν ἀεὶ τὸ Συμβεβηκὸς ἐν ὑποκειμένῳ, καὶ ἀδυνατον εἶναι χωρὶς τοῦ ἐν ᾧ ἐστὶ, πῶς οὖν ἐπὶ τῆς δευτέρας εἴρηται τὸ Συμβεβηκὸς ἐνδέχεσθαι τῷ αὐτῷ ὑπάρχειν καὶ μὴ ὑπάρχειν.

Λύ-

Λύσις.

Ὅτι ἐπὶ μὲν τῆς τετάρτης ὑποθέσεως ὁ Φιλόσοφος ἐννοεῖ τὸ Συμβεβηκὸς καθ' ἐνεργείᾳ ὑπάρχει τῷ ὑποκειμένῳ, οὗ ἀδύνατον εἶναι χωρὶς. ἐπὶ δὲ τῆς δευτέρας ὁ Προφύριος τὴν φύσιν τοῦ Συμβεβηκότος ἐννοεῖ, καθ' ἣν ἐνδεχομένως γίνεται καὶ ἀπογίνεται.

Ἀπορία.

Πρὸς τί οἱ δι' ἀποφάσεως Ὁρισμοὶ διαβέβληνται τῷ Φιλοσόφῳ ἐν τοῖς Τοπικοῖς, ὡς οὐδὲν ὁρισμένως δηλοῦντες. πῶς οὖν ἐνταῦθα δι' ἀποφάσεως ὁ Πορφύριος ὑπέγραψε τὸ Συμβεβηκὸς, ὥς περ δηλῶν ται ἐπὶ τῆς τείτης ὑποθέσεως;

Λύσις.

Ἀληθὴ ἡ ἀπορία λύεται διαιρέσει χρωμένοις, ὅτι οἱ δι' ἀποφάσεως Ὁρισμοὶ διαβεβλημένοι εἰσὶν, ἰδίνα ἐπὶ ἀδιορίστων, καὶ ποσότητι ἀπεριλήπτων γίνεται. ὁπλοίνα δὲ δι' ἀνελλιπῶς ἀπαριθμήσεως τῶν ὁμοειδῶν καὶ συζύγων σωάγεταί τι ὁρισμένον ἐν τούτοις, αἱ ἀποφάσεις κατάφασιν ὁρισμένως δηλοῦσι. Τοίνυν ἐπὶ τοῦ παρόντος ~~ἀπαριθμησάμενος~~ ὁ Πορφύριος τὸν ἀριθμὸν τῶν φωνῶν διὰ τῆς ἀποφάσεως τῶν τεττάρων, τί ὄζι τὸ ἐ÷δήλωσε, λέγων. ὃ μήτε Γένος ἐστὶ, μήτε Εἶδος, μήτε Διαφορὰ, μήτε Ἴδιον. μὴ ὂν δὲ οὐδὲν τούτων, ἔσαι ἄρα Συμβεβηκός. μεθ' ἃ ἐπιφέρει. ἀεὶ δὲ ἐν ὑποκειμένῳ ὑφισάμβον, ἵνα τῷ ἐν τῇ ἐπινοίᾳ ὑφισαμένων τοῦτο χωρίσῃ, ὡς Τραγέλαφος, Κένταυρος, καὶ τὰ ὅμοια τῇ ἐπινοίᾳ ὑφισάμβα, οὐκ ἐν ὑποκειμένῳ.

Εἶχε δέ τις εἰπεῖν πρὸς τὰ τοιαῦτα, τί μὴ καὶ τὰς λοιπὰς φωνὰς διὰ τοιαύτης ὑποθέσεως ἀποδέδωκεν, ἐπείπερ πρότερον τὸν ἀριθμὸν τούτων ἐδήλωσεν; ἢ ὅτι ἐδήλωσε μὲν τὸν ἀριθμὸν, οὐ μὴν ἐδίδαξε τί ὄζι τούτων ἕκασον, μετὰ δὲ τὸ διδάξαι τὰ τέτταρα, εἶπε, συμβεβηκός ἐσιν, ὃ μηδενί ἐσι τούτων. ὅπερ εἰ πρότερον ἐπὶ τῶν ἄλλων ἐποίησεν, ἀμφιβολίαν ἐδώκει τὴν ὁποίας φύσεως ἂν εἴη τὸ ὑποτεθέμενον.

Ἀπορία.

Ἐπὶ μὲν τῆς πρώτης ὑποθέσεως εἴρηται τὸ Συμβεβηκὸς ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, ἐμπρησμὸς δὲ καὶ θάνατος, καὶ ὅσαι ἄλλαι διαφθοραὶ, συμβεβηκότα μὲν εἰσὶν, οὐκ ἀπογίνονται δὲ ἄνευ τῆς τοῦ ὑποκειμένου φθορᾶς.

Λύσις.

Πρὸς ταῦτα, πρῶτον μὲν εἰπεῖν ἔξεσιν, ὡς ὁ Πορφύριος ἐνταῦθα, οὐ περὶ τῆς στερητικῶν Συμβεβηκότων ποιεῖται τὸν λόγον, οἷαι εἰσὶν αἱ ῥηθεῖσαι διαφθοραὶ, ἀλλὰ περὶ τῆς θετικῶν. δεύτερον εἰπεῖν ἔχομεν, ὡς αἱ τοιαῦται διαφθοραὶ ἐ συμβαίνουσι τοῖς φθειρομένοις ὑποκειμένοις, ἀλλὰ τῇ ἐκείνων ὕλῃ, ἥτις καὶ διαμένει τοῦ Εἴδους ἀναιρεθέντος. φέρε εἰπεῖν, ὡς ἐπὶ τῆς χορδῶν ἡ ἄνεσις προσγινομένη, τὴν ἐπίτασιν διέλυσε, καθ' ἣν ἡ ἁρμονία ἐγίνετο, αἱ μέντοι χορδαὶ, οὐδὲν ἧττον ἀνάπελείφθησαν. ἢ τὸ Πῦρ προσγεγονὸς τῇ Οἰκίᾳ τὴν τοιάνδε θέσιν μὲν, καὶ τὴν ἐν τοῖς ξύλοις διὰ τοῦ Εἴδους πύκνωσιν διέλυσεν, ἡ ὕλη μέντοι τούτων μετὰ τὴν καῦσιν διέμεινεν.

Ἀπορία.

Ἔως δ' αὖτις καὶ πρὸς τὰ εἰρημένα ἐνστῶμεν, φέρε εἰπεῖν, ὡς τῷ πυρετῷ ὑποκείμενόν ἐστιν οὐχ ἁπλῶς τὸ σῶμα, ἀλλὰ τὸ τοιῶς δὲ κεκραμένον τοῦ Ζώου σῶμα, ὅπερ φθείρεται, ἀμέσως αὐτῷ ἢ πυρετοῦ, ἢ ψύξεως ἐπιγινομένων. πῶς οὖν εἴρηται ὅτι διαμένει;

Λύσις.

Πρὸς ταῦτα ῥητέον. ὅτι ἡ μεταβολὴ ἐν τέτρασι κατηγορίαις θεωρεῖται; (ὡς εἰσόμεθα) ἐν τῇ Ποῦ, ἐν τῷ Ποσῷ, ἐν τῷ Ποιῷ, καὶ ἐν τῇ Οὐσίᾳ. καὶ ἡ μὲν κατ' οὐσίαν μεταβολὴ, εἰ μὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν ἐστὶ, λέγεται γένεσις, εἰ δὲ ἐναντίως, λέγεται φθορά. εἰ τοίνυν ἡ γένεσις ἐστὶν οὐσιώδης μεταβολὴ, καὶ ἡ ἀντικειμένη ἄρα ταύτῃ φθορὰ, ἔσται οὐσιώδης μεταβολή. ὥς τε ὁ Πυρετὸς εἰ φθείρει τὸ ὑποκείμενον οὐκ ἔσται

Συμ-

Συμβεβηκὸς, ἀλλὰ κατ' Οὐσίαν μεταβολὴ, ἤτοι φθορά. ἐπειδὴ δὲ ἡ γένεσις καὶ ἡ φθορὰ ἀλλοιώσεις μὲν οὐκ εἰσὶν, αὗται δὲ ἀλλοιώσεως οὐ γίνονται, ὅταν μεξία γίνεται θερμασία, ἢ ψύξις, ὥστε μὴ φθείρειν τὴν συμμετρίαν τοῦ Ζώου, συμβεβηκὸς λέγεται, ἥτις καὶ ἀπογίνεται μὴ φθείρουσα τὸ ὑποκείμενον. ὅταν δὲ ἐπὶ πλεῖσον ἐκταθῇ, ὡς τε τὴν συμμετρίαν τῆς κράσεως τοῦ ὑποκειμένου φθαρῆναι, τότε οὐκ ἔτι κατὰ συμβεβηκὸς μεταβολὴ, ἀλλ' αὐτῆς τῆς Οὐσίας φθορὰ, ἥτις καὶ οὐσιώδης λέγεται. καὶ ταῦτα περὶ τῆς πέντε Φωνῶν.

Ἡ τάξις τῆς προεκτεθείσης διαιρέσεως τοῦ σωματίου τοῦ Πορφυρίου, πάντως ἀπήτει μετὰ τὴν ἔκθεσιν τῆς πέντε Φωνῶν, ἐκθέσθαι τὴν σύγκρισιν καὶ παραβολὴν τούτων, ἀλλ' ἐκ τῆς εἰρημένων, δύχρηής ἐστι τοῖς ἀναγινώσκουσιν ἡ τοῦ Συγγραφέως ἐν ἐκείνοις ἔννοια. διὸ εἰς τὸ περὶ Κατηγοριῶν μεταβῶμεν Βιβλίον.

α. ἀφορίζει τὸ συμβεβηκὸς λέγων, Συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ὑπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς.

β. διαιρεῖ τὸ συμβεβηκὸς λέγων.
- Τὸ μὲν αὐτοῦ χωριστόν ἐστιν, ὡς τῷ περιπατεῖν, τὸ καθεύδειν.
- Τὸ δὲ ἀχώριστον, ὡς τὸ ἐν Αἰθιόπων μέλαν, ἢ τῷ Κύκνῳ λευκόν.

γ. τινὰ ὑπεῖαν αἰακύπτουσαν ὑπλύεται.

δ. δύο ὑπογραφὰς τοῦ Συμβεβηκότος παρὰ τὴν πρώτην ὑπφέρει.
- Συμβεβηκός ἐστιν, ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν, καὶ μὴ ὑπάρχειν.
- Συμβεβηκός ἐστιν, ὃ οὔτε Γένος, οὔτε Εἶδος, οὔτε Διαφορὰ, οὔτε Ἴδιον, ἀεὶ δὲ ἐν ὑποκειμένῳ ὑφιστάμενον.





ΥΠΟΜΝΗΜΑ

Εἰς τὰς Ἀριστοτέλους Κατηγορίας.

Τῷ μέλλοντι συγγραμμάτων Φιλοσόφων βάθεσιν ἐμβατεύειν, ἔργον ἐστὶν εἰδέναι τίς ποτ' ἦν οὗ τὸ σύγγραμμα εἰς ἀπάντυξιν προχειρίζεται, ὅθεν τε, καὶ ἐκ τίνων, καὶ ἐπὶ τίνων ἥκμασε χρόνων. τὰ γοῦν κατὰ Ἀριστοτέλη ἄλλοις τε συγγέγραπται διεξοδικώτερον, Πλουτάρχῳ, ἢ Διογένει τῷ Λαερτίῳ, ἡμῖν δὲ ἀποχρήσει τόγε νῦν ἔχον σιωπᾶν μνημενως, ὅσον παρανύξαθαι τὴν τοῦ ἀνδρὸς πολιτείαν, ἵνα μὴ παντάπασιν ἀήκοοι ὦμεν τῆς περὶ αὐτοῦ λεγομένων, ~~τοσαῦτα εἰπεῖν.~~

Ἀμέλει τὸ μὲν γένος ἀναμφισβήτως Ἕλλην ὑπῆρξεν Ἀριστοτέλης ἀπὸ τῆς ἐπισήμου τῆς Ἀσκληπιάδων συγγενείας καταγόμενος. Παιδίδος τυχὼν Σταγύρων τῆς ἐν Μακεδονίᾳ Πόλεως, τῆς ἐν τῇ Ἐλλάδι. Πρὸς δὲ προῆλθε Νικομάχου Ἰατροῦ, Ἀμύντα τοῦ τῆς Μακεδόνων Βασιλέως, καὶ Μῆς Φαιστίδος. ἔτει τῷ πρώτῳ τῆς ἐννενηκοστῆς ἐνάτης Ὀλυμπιάδος γεννηθείς. προὔλαβε δὲ τὴν τοῦ Χριστοῦ γέννησιν περίπου τὰ ὀγδοήκοντα ἐπὶ τοῖς ἑξακοσίοις ἔτη. ὃς ἐν τῷ ἑπταικαιδεκάτῳ ἔτει ἐλθὼν, ἔρωτι φιλοσοφίας Ἀθήναζε παραγίνεται. ἔνθα Σωκράτει πρόσεισι, οὗ μετὰ ἓξ ἔτη τετελευτηκότος, φοιτᾷ Πλάτωνι, καὶ ὁμιλήσας ἐκείνῳ ἐπιπόνως, μετὰ εἰκοστὸν ἔτος παιδείας ἁπάσης ἐγκρατὴς γέγονεν. ὃς διάτε τὴν ὑπεροχὴν τῆς διδασκαλίας, καὶ μεγαλονοίας δημοσίᾳ διδάσκειν πρὸς Ἀθηναίων ἠξίωται. ἐπεὶ δὲ κατὰ Πλάτωνα εἴωθε περιπατῶν τοῖς ἀκροωμένοις ὁμιλεῖν, πρῶτος τὴν προσηγορίαν τῆς Περιπατητικῆς αἱρέσεως ἀπηνέγκε, καὶ τοῖς κατ' ἐκεῖνον φιλοσοφοῦσι τῆς προσκλήσεως γέγονεν αἴτιος. ἐβίωσε δὲ ἐπ' Ἀλεξάνδρου τοῦ μεγάλου, οὗ καὶ καθηγητὴς ἐχρημάτισε. μετὰ δὲ τὴν τελευτὴν Ἀλεξάνδρου, Ἀθήνηθεν εἰς Χαλκίδα τῆς Εὐβοίας μεταβὰς τῷ ἕκτῳ τῆς ἑκατοστῆς καὶ δεκάτης τετάρτης Ὀλυμπιάδος ἔτει, ἐν αὐτῇ τὸ χρεὼν ἐξεμέξησε, (ἕξ ἐπὶ τοῖς ἑξήκοντα ἔτη βιώσας). ἐν ᾗ διατείβαντες αἰτίαν

τοι-

τοιαύτῳ τῳ τελευτῳ αὐτοῦ ἀναφέρουσι. Προβληθέντος γάρ φασιν αὐτῷ περὶ τῆς παλιρροιῶν Εὐρίπου τὸ αἴτιον ἀποδοῦναι, καὶ μὴ δυνηθέντι ξυῦσαι τοῦτο, αἰδοῦς ἅμα καὶ λύπης ὑπερβολῇ τελευτᾷ. ἀλλὰ ταῦτα μυθώδη.

Διαίρεσις τῆς Ἀριστοτελικῶν συγγραμμάτων.

Πολλὰ περὶ διαφόρων φέρεται καταλελοιπέναι τοῦτον συγγράμματα. τὰ δὲ εἰς ἡμᾶς σωζόμενα ξυμερῆ δέχεται τὴν διανομήν. τὰ μὲν δὴ τούτων εἰσὶν Ὀργανικὰ, ὡς τὰ εἰς Ῥητορικὴν, καὶ Λογικὴν ἀνήκοντα, τὰ δὲ τῆς πρακτικῆς Φιλοσοφίας, οἷα εἰσὶ τά τε Ἠθικὰ ἰδίως ἐπιγραφόμενα, Οἰκονομικά τε καὶ Πολιτικά, οἷς ἡ πρακτικὴ ἀπαρτίζεται Φιλοσοφία, τὰ δὲ παρὰ ταῦτα τοῦ θεωρητικοῦ μέρους εἰσίν. ὧν τὰ μὲν Μεταφυσικὰ καὶ Θεολογικὰ ἐπιγράφεται, ὡς τὴν πρώτην ἀνήκοντα Φιλοσοφίαν, ἥτις, καὶ Σοφία λέγεται. τὰ δὲ περὶ φύσεως πραγματεύεται. ὧν τὰ μὲν εἰσὶν Ἀκροαματικὰ, διδασκαλίας δεόμενα εἰς κατάληψιν, καὶ μόνοις τοῖς ἀκροωμένοις σωζόμενα. τὰ δὲ καὶ τῆς ἔξω σχολῆς, καὶ τοῦ χοροῦ τῆς ἀκροωμένων λιπαρὰ γίνεται. διὸ καὶ Ἐξωτερικὰ λέγεται. ἔτι δὲ καὶ τὰ περὶ ἀδιαιρέτων γραμμῶν, γνήσιον ἐστὶ τοῦ Ἀριστοτέλους, καὶ τὰ Μηχανικά. τοσαῦτα δὲ συνεγράψατο ταύτης ἕνεκεν τῆς αἰτίας. τῷ γὰρ Φιλοσοφίας ἀσκοῦντι, τέλος ἡ τῷ Θεῷ ὁμοίωσις κατὰ τὸ δυνατόν, τοῦτο δὲ οὐχ οἷόν τέ τινα κτήσασθαι, χωρὶς τῆς τῶν ὄντων γνώσεως, καὶ τῆς τῶν πράξεων ἀκριβοῦς ὀρθότητος. ἀμφοτέρων δὲ τούτων δυσχερῶν ὄντων, καὶ σχεδὸν ὑπὲρ αὖον, χωρὶς ὀργάνου κτηθῆναι, τῆς ἀποδείξεως ὁ φιλοσοφεῖν μέλλων τὰ πλεῖστα δέεται, ὡς ὀργάνου ἐπιτηδειοτάτου πρὸς τὴν ὑπόκτησιν τούτων. συνεγράψατο τοίνυν ὁ Φιλόσοφος τὰ Ὀργανικὰ, ἐν οἷς περὶ ἀποδείξεως ὅρους τε καὶ κανόνας ἐξέθετο. τὰ δὲ Πρακτικὰ, δι' ὧν τὰς πράξεις, τοτὲ μὲν τὰς μετὰ λόγου ἐνεργείας διώκειν ἐδίδαξε. τὰ δὲ Θεωρητικὰ, δι' ὧν τὴν τῶν ὄντων γνῶσιν θαυμαστῷ τῷ βάθει, καὶ θείᾳ τινὶ ἀποκαλύπτει σοφίᾳ.

Τὰς μὲν οὖν λογικὰς βίβλους ἃς ὀργανικὰς εἶναι ἔφημεν, εἰς τρία διαιροῦσι μέρη, οἱ τὰ Φιλοσόφου γνησιώτεροι ὑπομνηματισταί. ὧν τὸ μὲν πρῶτον τὰ τῆς ἀποδεικτικῆς μεθόδου περιέχει ἡγούμενα, ἅπερ εἰσὶ τὰ πρότερα Ἀναλυτικὰ, τὸ περὶ Ἑρμηνείας, καὶ ἡ προκειμένη τῶν Κατηγοριῶν βίβλος αὐτη. τὸ δεύτερον τὰ περὶ αὐτῆς τῆς μεθόδου διαλαμβάνει, ἅπερ ἤκουσεν ὕστερα Ἀναλυτικά. τὸ δὲ τρίτον περιέχει τὰ ἑπόμενα ταύτης, ἅ-

περ

περ εἰς δικαιοτέραν κατάληψιν ἐκείνοις συμβάλλεται. οἷά εἰσιν ἡ Τοπικὴ πραγματεία, καὶ τὸ περὶ σοφιστικῶν Ἐλέγχων.

Ἐπεὶ δὲ πρὸ πάσης τέχνης καὶ Ἐπιστήμης τὰ ὄργανα προλαμβάνειν ὀφείλομεν, ἵνα τὰ οἷς διακονεῖται, δι' αὐτῶν διϊέναι ἔχωμεν, ὡς τῷ σάθμῳ πρὸ τῆς τοῦ τείχου οἰκοδομῆς, καὶ ἡμεῖς ἀπὸ τῶν ὀργανικῶν βιβλίων τὴν ἀρχὴν τῆς Φιλοσοφίας δεῖν ἔγνωμεν, καὶ τούτων ἀπὸ τοῦ ἡγουμένου μέρους τῆς ἀποδείξεως.

Προλεγόμενα εἰς τὰς δέκα τοῦ Ἀριστοτέλους Κατηγορίας.

Μέγα τι συμβάλλεται εἰς κατάληψιν τῶν ζητουμένων ἑκάστου ἡ καθόλου διδασκαλία τῆς κατὰ μέρος προλαμβανομένη. ὡς ἐν τύπῳ γὰρ τὴν ὅλην τοῦ πράγματος γνῶσιν, μᾶλλον δὲ ὡς χαλινὸν τοῦ ὅλου λόγου, (εἰ χρὴ κατ' Ἀριστοτέλη εἰπεῖν) ἐγχειρίζεται τοῖς ἀκροωμένοις. διὸ καὶ εἴθισαι τοῖς φιλοσοφοῦσι Κεφάλαια ἅττα προλέγειν ἐφ' ἑκάστου τῶν Ἀριστοτελικῶν συγγραμμάτων, γνησιώτερον ὑποτυποῦντα τὸ σύγγραμμα, καὶ τὴν ἔννοιαν τῶν ῥηθησομένων ἐξυμαείζοντα. ἃ καὶ διὰ τοῦτο προλεγόμενα παρ' ἐκείνοις ἤκουσεν. ἔστι δὲ τὰ τοιαῦτα οἷς μὲν ὀκτὼ, οἷς δὲ πλείω. ἡμῖν δὲ ἐπὶ τοῦ παρόντος ἀρκέσει προθεωρῆσαι, τίς ὁ σκοπὸς τοῦ Φιλοσόφου, τί τὸ ὑποκείμενον περὶ οὗ ὁ λόγος, τὸ αἴτιον τῆς ἐπιγραφῆς τῷ βιβλίου, τὸ χρήσιμον τούτου, εἰ γνήσιον τοῦ Ἀριστοτέλους, ἡ τάξις τούτου πρὸς ὅλην τὴν πραγματείαν, καὶ ἡ διαίρεσις τοῦ αὐτοῦ. ἀρξόμεθα δὲ ἀπὸ τοῦ τί τὸ περὶ οὗ ὁ λόγος· ὅπερ ἐστὶ τὸ δεύτερον. συμφώνως δὲ καὶ ὁ σκοπὸς τοῦ Φιλοσόφου (ὅπερ ἦν πρῶτον ~~πεῦτον~~) δῆλος γενήσεται.

Τί τὸ περὶ οὗ ὁ λόγος ἐνταῦθα, καὶ τίνα τρόπον ἡ Λογικὴ Μεταφυσικῆς Διαφέρει, ἀμφοῖν περὶ πράγματα γινομένων.

Εἰς δικαιοτέραν κατάληψιν τῆς ὕλης τῆς Λογικῆς, περὶ ἧς ἐπὶ τὸ παρόντος ἡ διδασκαλία, καὶ (1) τῆς Ἀριστοτελικῆς προθέσεως ἐν αὐτῷ, ἐκεῖνο εἰς μνήμην ἀναληπτέον, ὅπερ ἐν ἀρχῇ τῆς πραγματείας εἴρηται περὶ τῆς προκειμένης ἕξεως, ὅτι ἐστὶ Τέχνη περὶ λόγον καταγινομένη, εἰ καὶ μὴ πάντα, ἀλλὰ τὸν ἀποφαντικὸν, ὃς καὶ συλλογιστικὸς λέγεται. ὅ-

ὃν

(1) Καὶ εἰς κατάληψιν τῆς Ἀριστοτελικῆς προθέσεως, ἤτοι τοῦ σκοποῦ ἐν αὐτῷ τῷ Βιβλίῳ.

θεν ὁ Φιλόσοφος ἐν ἀρχῇ τῆς Τοπικῶν, καὶ Ἀλέξανδρος μετ' ἐκεῖνον μέθοδον συλλογισικὴν ταύτην ἀπέδωκαν. ὁ δὲ συλλογισμὸς οὐ μόνον ἐν φωνῇ καὶ γράμμασι πέφυκε σχηματίζεσθαι, ἀλλὰ πολὺ πρότερον ἐν τῇ ψυχῇ, ὃς καὶ ἐννοηματικὸς ἤκουσεν, οὗ τινος τὴν γνῶσιν καὶ ἀκριβῆ σωΐθεσιν ὁ μέλλων ἑαυτῷ περιποιήσασθαι, ἀνάγκη πρότερον εἰδέναι τὰς ἄλλας τῆς ὄντων ἐννοίας, ὅπως τε τάττεται καὶ σωτίθεται, ἢ διαιρεῖται, ὡς ἐξ ἑτέρᾳ ἕτερον ἐπιφέρειν δύνασθαι, κατὰ συλλογισικὰς κανόνας. τάττει δὲ ὑγιῶς τὰς ἐννοίας τε καὶ σημαντικὰς τούτων φωνὰς, ὁ τὴν τάξιν τῆς ὄντων ὀρθῶς
σωθήσθε εἰδὼς, σωθέτειτε ἅμα, καὶ διαιρεῖ κατὰ λόγον, ὁ τὸν τρόπον ἐπισάμενος
τοῖς ἐν τοῖς οὖσι διαιρέσεως, ἢ σωθέσεως. καὶ ἐπιφέρει ἀσφαλῶς, ὃς ἀσφαλῶς σωσῶν ἔχει τὰς φυσικὰς τῆς ὄντων ἀκολουθίας τε καὶ οἰκειότητας.
δένα Ὅθεν ὁ Φιλόσοφος πρὶν ἢ παραδῷη τὴν τοιαύτην τάξιν σωΐθεσίν τε καὶ διαίρεσιν ἐν ταῖς σημαντικαῖς τῆς ὄντων φωναῖς, τὴν τάξιν καὶ σωΐθεσιν, ἅμα καὶ διάκρισιν τῆς ὄντων ἡμῖν προτίθεται ἐπὶ τοῦδε τοῦ πρώτου τῆς πραγματείας βιβλίου, γενικῶς τε καὶ παχυλῶς, καὶ οὐδὲ καθ' αὑτὸ, ἀλλ' ἐφ' ὅσον εἰς γνῶσιν καὶ σωΐθεσιν συλλογισμοῦ καὶ ἀποδείξεων συντελοῦσιν. Ὧ δὴ λόγῳ καὶ τοῦ πρώτου Φιλοσόφου οἱ λογικεύομενοι διενεύοχασιν. ἐκεῖνος γὰρ τὰς Οὐσίας τῆς ὄντων καθ' ἑαυτὰς θεωρεῖ, καὶ τὰ Γένη τῆς ὄντων διασκέπτεται, ἅπερ ὄντα εἰσί. παρὰ δὲ τοῖς λογικεύομένοις ἡ τάξις καὶ διαίρεσις τῆς ὄντων γενικώτερον παραδίδονται, οὐχ ἁπλῶς, ἀλλ' ἐφ' ὅσον ἕτερον ἑτέρου πέφυκε κρίνεσθαι, καὶ ἄλλο κατ' ἄλλου κατηγορεῖσθαι. ὅθεν ὁ μὲν λογικὸς θεωρεῖ τὸ ὄν, μάλιστα δὲ τὸ ὅλον, ἅπερ ἐστὶ διαιρετὸν εἰς διάφορα Γενῆ, καὶ τὴν τάξιν τῆς ἐν ἑκάστῳ γένει κατηγορουμένων, ἅπερ εἰσὶ καθολικώτερα, καὶ ἧττον καθόλου. ὁ δὲ μεταφυσικὸς περὶ τοῦ ὄντος πραγματεύεται καθ' αὑτὸ, ἅπερ ἐστὶν ὄν, θεωρῶν τὴν οὐσίαν τῆς ὑπ' αὐτὸ Γενῶν. ἐντεῦθεν καὶ ὁ σκοπὸς τοῦ Φιλοσόφου ἐπὶ τοῦ παρόντος γίνεται δῆλος. πρόθεσιν γὰρ ποιεῖται ἀναπτύξαι τε καὶ δοῦναι ἡμῖν διαίρεσιν γενικωτέραν τοῦ ὄντος εἰς διαφόρους κλάσεις, ἤτοιν κατηγορίας, καὶ τάξιν τῆς οὐσιωδῶς καὶ σωνωνύμων σωμπτωμένων ἑκάστᾳ, καθ' ἣν τὰ μὲν εἰσὶ καθολικώτερα, τὰ δὲ ἧττον καθόλου. κἀκεῖνα μὲν κατηγορεῖται, ταῦτα δὲ ὑπόκειται.

Τὸ αἴτιον τῆς Ἐπιγραφῆς.

Ἐπιγέγραπται δὲ περὶ Κατηγοριῶν τὸ βιβλίον δικαίως, ὅτι ἐν ἑκάστῳ τῆς δέκα Γενῶν, περὶ ὧν ἐνταῦθα ὁ λόγος, ἢ κλάσεων, τὰ καθολι-

θολικώτερα κατηγορήματα, πέφυκε κατηγορεῖσθαι ἀεὶ, κατὰ τῆς ἧττον καθόλου, ἀμέσως ἢ ἐμμέσως, μέχει τῆς ἐσχάτων καὶ ἀτόμων. ὅθεν τὰ καθολικώτερα ἀεὶ πρὸς τὰ ἧττον καθόλου, κατηγορουμένων ἔχηκε λόγον, καὶ κατηγορήματα λέγεται ἀναφερόμενα πρὸς τὰ ἧττον καθόλου. διὸ καὶ πᾶσα ἡ τάξις τῆς τοιούτων κατηγορημάτων, ἐφ' ἑκάστου Γένους κατηγορίαν ἔχουσιν οὐκ ἀπεικότως.

Περὶ τοῦ Χρησίμου.

Χρήσιμος δὲ γίνεται τοῖς λογικβλομένοις ἡ τῆς κατηγοριῶν πραγματεία, ἐπειδὴ ὕλη τῆς λογικῆς πραγματείας, ὡς εἴρηται, τὰ ὄντα εἰσὶν, ἅπερ ἐννοούμενα πέφυκε διὰ φωνῶν σημαίνεσθαι. τῆς δὲ ὕλης ἡ γνῶσις προλαμβανομένη τῆς περὶ ταύτην καταγινομένῳ, οὐ μικρόντι συμβάλλεται εἰς ἐπίδοξιν τῆς κατὰ τὴν τέχνην ἔργων. μᾶλλον δὲ ἀναγκαίως ὑποτίθεται πρὸ τῆς ἐργασίας, ἐφ' ὅσον ἀνήκει εἰς κατασκευὴν τῆς ἔργων. ἀμέλει ἡ τοιαύτη τῆς ὄντων γνῶσις, ἐπὶ τῆς παρούσης ἡμῖν παραδίδοται πραγματείας, ἀναγκαία ἔσα πρὸς κατασκευὴν τῆς τῆς Λογικῆς ἔργων, Συλλογισμῶν φημὶ, Ἀποδείξεως, καὶ τῆς λοιπῶν.

Ὅτι Γνήσιον.

Ὅτι δὲ γνήσιον τοῦ Φιλοσόφου τὸ βιβλίον πάντες μαρτυροῦσι. δηλοῖ δὲ καὶ ἡ φράσις, καὶ τὸ τὸν Φιλόσοφον ἐν ἄλλαις πραγματείαις μεμνῆσθαι τοῦ συγγράμματος.

Ἡ Τάξις.

Ἔστι δὲ πρῶτον ἐν τῇ τάξει τῆς περὶ τῆς Λογικῆς πραγματείας βιβλίων, τουτὶ τὸ περὶ Κατηγοριῶν, ὅτι περὶ τῆς ὕλης διαλαμβάνει τῆς ὅλης Τέχνης. ἡ δὲ γνῶσις τῆς ὕλης ὡς εἴρηται, ἐπὶ πάσης Τέχνης ὑποτίθεται πρὸ τῆς ἐργασίας τοῦ τεχνικοῦ περὶ αὐτήν.

Περὶ τῆς Διαιρέσεως.

Διαιρεῖται δὲ εἰς μέρη τρία. ὧν τὸ μὲν πρῶτον προθεωρίαν τινῶν περιέχει συμβαινόντων τοῖς ἐν ταῖς Κατηγορίαις ῥηθησομένοις. τὸ

δὲ δεύτερον τὴν ἐξήγησιν καὶ παράδοσιν τῆς δεκα Γενῶν περιέχει, ἃ καὶ δεκα Κατηγορίαι λέγονται. ἐν δὲ τῷ τείτῳ περὶ φωνῶν τινῶν ὁ Φιλόσοφος διδάσκει, ὧν ἔτυχε μνηθεὶς ἐν ταῖς κατηγορίαις, εἰς πλήρεσέραν κατάληψιν τῆς Κατηγοριῶν.

Τούτων αὖθις τὸ πρῶτον, δηλαδὴ τὸ πρὸ τῆς κατηγοριῶν, τεμεροῦς τετύχηκε διαιρέσεως. ὧν ἐν μὲν τῷ πρώτῳ κεφαλαίῳ τρεῖς ὁρισμὺς ἀποδίδωσιν ὁ Φιλόσοφος, ὁμωνύμων, συωνύμων, καὶ παρωνύμων. ἐν δὲ τῷ δευτέρῳ δύο διαιρέσεις τῆς ὄντων. ἐν δὲ τῷ τείτῳ καὶ τελευταίῳ, τρεῖς ἐκτίθησι κανόνας περὶ τῆς κατηγορουμενῶν καὶ ὑποκειμενῶν. ὧν εἰς σαφήνειαν, ἀναλιπτέον τῇ μνήμῃ τὰ περὶ διαιρέσεως ἐν τοῖς ἔμπροσθεν εἰρημένα. ἀλλ' ἵνα μὴ μακρους ἀποτείνωμεν λόγους, ταυτολογεῖν πειρώμενοι περὶ ὧν ἱκανῶς εἴρηται, διὰ βραχέων τὰ γενὴ τῆς διαιρέσεως ἀναμνησόμεθα.

Ἡ τοίνυν διαίρεσις διανομή ἐστι τοῦ ἔχοντος μέρη εἰς αὐτὰ ταῦτα. αὖτη δὲ ὡς ἐλέγετο, θεωρεῖται τειχῶς, τὸ Γένος εἰς Εἴδη, τὸ ὅλα εἰς μέρη, τῆς ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα. ἡ γὰρ πρὸς ἄτομα τὸ εἴδους διαίρεσις, ὡς ἄχρηστος τοῖς Φιλοσόφοις παραλειπαίεται. ἀμέλειτοι ἡ τοῦ Γένους εἰς Εἴδη διαίρεσις, δίχως ἐνδέχεται γίνεσθαι, ἢ κυρίως, ὡς ὅτε τὸ ζῶον διαιροῦμεν εἰς τὰ οἰκεῖα εἴδη. ἢ κατὰ συμβεβηκός, (1) ὡς ὅτε τὸ ὑποκείμενον διαιρεῖται, κατὰ τὸ διάφορον τῆς συμβεβηκότων. (2) ἢ τὸ συμβεβηκὸς, κατὰ τὸ διάφορον τῆς ὑποκειμένων. ὁμοίως καὶ ἡ τὸ ὅλου διαίρεσις δίχως γίνεται. ἢ εἰς μέρη οὐσιώδη, ἢ εἰς μέρη ποσοτικά. καὶ τὰ ποσοτικὰ ὁμοίως, ἢ εἰς ἀνομοιομερῆ, ἢ εἰς ὁμοιομερῆ.


Διαίρεσις τῆς σημαντικῶν Φωνῶν.

Τῆς δὲ τῆς ὁμωνύμων φωνῆς οὐχ ἁπλῶς ἡ διάληψις τῷ Φιλοσόφῳ γίνεται. διὸ μικρὸν ἀνωτέρω τὸν λόγον ἀναβιβάσαντες, τὰ σημαινόμενα τῆς ὀνομαπώδους φωνῆς διέλωμεν.

Τειχῶς ἓν τὰ ὀνόματα θεωρεῖσθαι ἐνδέχεται. Ἢ καθ' ὅσον εἰσὶ μόνον λέξεις, καὶ φωναὶ ἔναρθροι ἀφωρισμέναι πραγμάτων. Ἢ καθ' ὅσον εἰσὶ πράγματα μόνον, ὧν εἰσὶ σημαντικαὶ αἱ φωναί. Ἢ καθὸ εἰσὶν ἅμα φωναὶ σημαντικαὶ πραγμάτων, καθὸ δηλαδὴ σχέσιν ἔχουσι πρὸς τὰ πράγματα, ὧν τυγχάνουσι σημαντικαί. ἐνταῦθα τοῦ Φιλοσόφου κατὰ τὸν τρί-

(1) Ὡς τὸ Ζῶον τὸ μὲν λευκὸν, τὸ δὲ μέλαν. (2) Καὶ πάλιν ὡς τὸ λευκὸν τὸ μὲν Χιόνος, καὶ Ψιμυθίου.

» τοῦ ἐναρθρων δὲ ἐκ σημαντικῶν λέξεων, ἔστι μὲν ὃ, φωνὴ
φωνὴ δίνος φωνῶν δηλωτικὴ ἐστιν, ἔστι δ' ἡ πλόκης αὐθις φωνὴ.
ἐξ δὲ φωνὴ φωνῶν, ἡ μὲν ἐστι κοινὴ, ἡ δὲ ἰδία· ἡ δὲ φω-
νὴ. ἐκ παθόλου μὲν ἄσος, ἡ μὲν σημαινόμενα πράγματα, σημαί-
νουσα ἀλλήλοις λέγει, ἡ δὲ σημαίνουσα λέξις συμφώνους, ἡ δὲ
συμφωνίας δηλωτική. μερικοῦ δὲ δηλόσις, ἡ μὲν σημαίνουσα
λέξις πρῶτον ὄνομα ἔστω, ἡ δὲ σημαινόμενον πράγμα, ἄνθρωπον,
ἢ ἐν ἀριθμῷ· μιᾶς δὲ ἄσος αὐθις ἐκ λέξεως, ἢ πλείω σημαί-
νει, ἡ μὲν σημαινόμενα πράγματα ὁμώνυμα λέγει, αὐτὴ δὲ ἡ
λέξις ὁμώνυμος, ὡς ὁμωνύμων δηλωτική, ὡς ὅτε λέγει φῶος ὃ,
ἥ τε ἀνὸς, ἢ ὁ γραμματεύς. ἰσαυτὰ μὲν δὴ ἐκ μιᾶς λέξεως
πόλλα, ἢ ἐκ μερῶν σημαινόμενα πράγματα. τὰ δὲ ἀπὸ πλόκων δη-
λούμενα, ἢ μιᾶς φωνῆς ἐστιν, ἢ πλόκων. ἐκ μὲν μιᾶς μόνης
λεγομένης φύσει σημαντικοῦ, ἀπὸ μὲν σημαινόμενον πράγμα, πρῶτ-
νυμον ἁπλοῦς ἔστω, ἀπὸ δὲ ὀνόματα ὁμωνύμως δὲ σημαινομέ-
νη πράγματα, πολυώνυμα λέγει, ἢ πολλοῖς ἐνίοις ἐνυπάρχει·
νεκρὸν σημαίνει. ἐκ δὲ σημαινομένων πλόκων ὄντων, ὁμοί-
νυμα μὲν ἅμα ἀλλήλοις, διαφέρει δὲ κατὰ τὸ ὄνομα ἢ τὸν λόγον,
ὡς ἀπὸ μὲν ἀσπίδιον, ἀπὸ δὲ ἀνθρώπιον, πολύωνυμα ὁμοίως λέγει,
καὶ τὰ ὀνόματα, ἢ τὰ σημαινόμενα πράγματα. ἐκ δὲ τὰ σημαινόμενα ἀπὸ
τῶν ὀνομάτων, ἢ ἐκ μὲν ἀπολελυμένων ἐστὶ καὶ τὰ, ἢ τὸ λόγου φέρουσι,
ἐκ δὲ συμπεπλεγμένων ἐστὶ καὶ τὰ, ἢ τὸ λόγου φέρουσι, ἐκ δὲ
πράγματα ἢ τὰ ὀνόματα, καὶ κατὰ τὸ ὄνομα ἢ τὸν λόγον·



τείτον τῆς θεωρίας τρόπον ἐκλαμβάνονται, ἂς εἰς ἓξ, ἢ ἑπτὰ τὰ πλείω διέλοι τις εἴδη.

α. Ἡ γὰρ μία λέξις μιᾶς φύσεως ἐστὶ δηλωτικὴ, ἥτις εἰ μὲν κοινὴ εἴη, τὰ μὲν σημαινόμενα πράγματα, συνώνυμα ἀλλήλοις λέγεται, καὶ ἡ σημαίνουσα λέξις συνώνυμος, ἥτοι συνωνύμου (1) δηλωτική.

β. Εἰ δὲ μερική τις εἴη ἡ σημαινομένη φύσις, ἡ μὲν σημαίνουσα λέξις κύριον (2) ὄνομα ἤκουσε, τὸ δὲ σημαινόμενον πρᾶγμα, ἄτομον, καὶ οὐ ἀριθμῷ.

γ. Ἡ μία λέξις διαφόρων τυγχάνει σημαντικὴ φύσεων, ἢ τὰ μὲν σημαινόμενα πράγματα ὁμώνυμα λέγεται, αὕτη δὲ ἡ λέξις ὁμώνυμος, ὡς ὁμωνύμων δηλωτική, ὡς ὅτε λέγεται Ζῶον ὅ, τε Ἄνθρωπος, καὶ τὸ γεγραμμένον.

δ. Ἡ πλείους λέξεις μιᾶς καὶ τῆς αὐτῆς τυγχάνουσι δηλωτικαὶ φύσεως, καὶ κατὰ τοῦτο, τὸ σημαινόμενον πρᾶγμα πολυώνυμον κυρίως ἤκουσε, τὰ δὲ ὀνόματα (3) ὁμωνύμως τῷ σημαινομένῳ πράγματι, πολυώνυμα λέγεται, καὶ παρ' ἐνίοις τῷ μεταγενεστέρων συνώνυμα.

ε. Ἡ πλείω ὀνόματα, πλείω σημαίνει φύσεις καὶ πράγματα. ἅπερ εἰ μὲν κοινωνεῖ ἅμα ἀλλήλοις, διαφέρει δὲ κατά τε τὸ ὄνομα καὶ τὸν λόγον, ὡς τὸ μὲν ἁπλοῦν εἶναι, τὸ δὲ ἀπ' ἐκείνου συγκεκειμένον, (4) παρώνυμα ὁμοίως λέγεται κατὰ ὀνόματα, καὶ τὰ σημαινόμενα πράγματα.

ς. Εἰ δὲ τὰ σημαινόμενα διὰ τῶν ὀνομάτων τῷ ὑποκειμένῳ εἴη ταυτὰ, τῷ λόγῳ δὲ διάφορα, ἑτερώνυμα προσαγορεύεται, ὡς καρπὸς, καὶ στόρος.

ζ. Ὁμοίως καὶ τὰ πράγματα, καὶ τὰ ὀνόματα, ἐὰν κατά τε τοὔνομα καὶ τὸν λόγον παντάπασι τυγχάνει διαφωνοῦντα, ἕτερα λέγεται, ὡς Βοῦς, Ἀρετὴ, Ἐπιστήμη.

Τούτων τῶν εἰρημένων εἰδῶν τὰ ὁμώνυμα πολυχειδῶς τέμνεται, ὡς ἔστιν ἰδεῖν παρὰτε ἄλλοις, καὶ Ἀμμωνίῳ. ἡμεῖς δὲ ἑροῦμεν ἃ μᾶλλον εἶναι φαίνεται τῆς προκειμένης θεωρίας. ἀμέλει τὰ ὁμώνυμα εἰς δύο γενικώτατα τέμνεται. τὰ μὲν γὰρ λέγεται τούτων ἀπὸ τύχης, τὰ δὲ ἀπὸ διανοίας. κυριώτερον δὲ ὁμώνυμα ῥηθείη τὰ παντάπασιν ἀπὸ τύχης λεγόμενα. ὧν ἐστὶ μὲν τοὔνομα κοινὸν, οὐδὲ μία δὲ ὁμοιότης αὐτοῖς πρόσεστι κατὰ τὸ κοινὸν ὄνομα, ὡς Κύων τό, τε χερσαῖον Ζῶον, καὶ ὁ Ἀστήρ. ὁ Ἀλέξανδρος ὁ τῶν Περσῶν, καὶ ὁ τῶν Μακεδόνων Βασιλεύς. οἷς κοινὸν ἐγένετο παντάπασιν ἀπὸ τύχης τοὔνομα, οὐδὲ διανοίας τινὸς, ἢ ὁμοιότητος. ὁμώνυμα δὲ ἀπὸ διανοίας λέγεται, ὅσα κοινῷ ὀνόματι προσαγο-

(1) Ω'ς Ζῶον. (2) Ω'ς Σωκράτης. (3) Ω'ς ἄορ, ξίφος. (4) Ω; γραμματικὸς, ὁ γραμματική.

ρθέται, ἢ δι' ὁμοιότητα, ἢ διὰ μνήμην τινὸς ἑτέρου, ἢ δι' ἐλπίδα. δι' ὁμοιότητα μὲν, ὡς ὅτε λέγομεν τὸν παῖδα λέοντα, διὰ τὸ ἐοικέναι λέοντι, ἢ τι τοιοῦτον. διὰ μνήμην δὲ, ὡς ὅτε τῷ τοῦ παιδὸς, ἢ τῷ πάππῳ ὀνόματι τὸν παῖδα καλοῦμεν, διὰ μνήμην ἐκείνων δηλονότι. δι' ἐλπίδα δὲ, ὡς ὅτε δεσποτικῷ τινι, ἢ ἡγεμονικῷ ὀνόματι τοὺς παῖδας προσαγορεύοντες, ἐλπίζομεν τοιούτους γενέσθαι.

Τούτοις συναριθμεῖται καὶ τὰ κοινότερον ἀπὸ ποιητικῆς τινος αἰτίας ὀνομαζόμενα, διαφορὰν σημαίνοντα μετάτινος τάξεως. καὶ τοῦτο διχῶς. ἢ γὰρ ἀφ' ἑνὸς τοῦ ποιητικοῦ, ὡς ἀπὸ τῆς Ἰατρικῆς τὰ ἰατρικὰ ὄργανα λέγεται. οἷον βιβλίον ἰατρικὸν, καὶ ἐργαλεῖον ἰατρικόν. ἢ πρὸς ὅ τι τέλος ἀναφερόμενα, καὶ ἀπὸ ἐκείνου προσαγορευόμενα, ὡς ὑγιεινὰ λέγεται ἀπὸ τῆς ὑγιείας, οὖρα, φάρμακα, δίαιτα, καὶ τὰ τοιαῦτα, ἅπερ ἀλλήλοις ὁμώνυμα τυγχάνει ἀπὸ διανοίας.

Προσέτι καὶ τὰ ἀναλόγως λεγόμενα, τουτέστι τὰ διαφορὰν σημαίνοντα μετάτινος λόγου, ἀπὸ διανοίας ῥηθέντα ὁμώνυμα, οὐ μικὴν κυρίως. οἱ νεώτεροι δὲ συγχέοντες εἰς ταυτὸ τάττουσι συνωνύμως λεγόμενα, καὶ τὰ ἀφ' ἑνὸς ἢ πρὸς ἓν τοῖς κατὰ ἀναλογίαν λεγομένοις, (πᾶσι γὰρ τούτοις ὁμοίως τὴν τῶν ἀναλόγων προσηγορίαν ἀπονέμουσι) μακρὸν ἀποτείνουσι λόγον, τὰ μὲν συνώνυμα, ἀνισότητος ἀνάλογα ὀνομάζοντες. τὸν γὰρ Ἐλέφαντα, φέρε εἰπεῖν, καὶ Κώνωπα ἀναλόγως οἴονται μετεσχηκέναι τῆς τοῦ Ζώου φύσεως, ὅτι μὴ ὁμοίως διμοίρησαν ἄμφω τῆς ζωτικῶν δυνάμεων.

Τὰ δὲ ἀφ' ἑνὸς ἢ πρὸς ἕν, ἀνάλογα κατὰ ἀπόδοσιν, ἢ ἀναφορὰν καλοῦσιν, ὅτι πάντα ἐπὶ τὸ αὐτὸ ἀναφερόμενα ἀποδίδονται, ἀφ' οὗ καὶ παρωνύμως λέγεται, ὡς τὰ ὑγιεινὰ πάντα ἐπὶ τὴν ὑγείαν. καίτοι κατὰ διαφόρους φύσεις. τὸ μὲν γὰρ ὡς δεκτικὸν τῆς ὑγείας ὑγιεινὸν ὄνομα ἔσχεν, οἷον τὸ ζῷον. τὰ δὲ ὡς αἴτια, ἢ σημεῖα τῆς αὐτῆς. ὡς φάρμακα, οὖρα, καὶ τὰ τοιαῦτα. ἀνάλογα δὲ, κατὰ ἀναλογίαν φασὶν, ὅσα κατὰ μεταφορὰν λέγεται, ὡς πόδες ἐπὶ ὄρους καὶ κλίνης, κατὰ μεταφορὰν ἀπὸ τοῦ ζώου λέγεται. καὶ τὸ γελᾶν δὲ ἀναλόγως φασὶ λέγεσθαι, ἐπὶ τε λειμῶνος ἀνθοῦντος, καὶ τοῦ ἀνθρώπου γελῶντος. ἀλλ' οὗτοι μὲν παραπταίουσι αὐταῖς αὐτῇ εἰσηγήσεσί τε καὶ διαιρέσεσιν.

τί

Τί ἐστιν ἀναλογία κυρίως καὶ ἀνάλογα.

Εἰς διάγνωσιν δὲ τῆς ἀναλόγων ἐκεῖνο λεπτέον. ὅτι ἀνάλογα εἰσὶ τὰ ἔχοντα ὁμοιότητά τινα ἐν τοῖς αὐτῆς λόγοις. ἀναλογία γάρ ἐστι παρ' Εὐκλείδει, ὁμοιότης τῶν λόγων μεταξὺ ζιῶν, ἢ τεττάρων ὅρων θεωρουμένη. διττὴ γὰρ ἡ ἀναλογία. ἡ μὲν συνεχής, ἡ δὲ διακεκριμένη. συνεχὴς μέν ἐστιν ἡ ἐν ζισὶν ὅροις θεωρουμένη, θατέρου τούτων δὶς λαμβανομένου. οἷον, ὡς τὰ δύο πρὸς τὰ τέτταρα, οὕτω τὰ τέτταρα πρὸς τὰ ὀκτώ. διακεκριμένη δέ ἐστιν, ἥτις τέσσαρσιν ἀπαρτίζεται ὅροις. οἷον, ὡς ἔχει τὰ ξύλα πρὸς τὴν κατασκευὴν τῆς κλίνης, οὕτως ἡ πρώτη ὕλη εἰς τὴν κατασκευὴν τοῦ φυσικοῦ σωθέτου. καὶ παρὰ τοῖς Μαθηματικοῖς, ὡς ἔχει τὰ τέσσαρα πρὸς τὰ ὀκτώ, οὕτω τὰ ἕξ πρὸς τὰ δυωκαίδεκα. ἐν ἀμφοτέροις γὰρ θεωρεῖται ὁ λόγος τοῦ ἡμίσεως πρὸς τὸ ὅλον, καὶ ἐναλλάξ. δῆλον οὖν ὅτι τὴν ἀναλογίαν ἡ ὁμοιότης τῶν λόγων σωίστησι, καὶ ἀνάλογα εἰσὶ, τὰ κοινωνοῦντα ἀλλήλοις κατὰ τὴν ἐν τοῖς λόγοις ὁμοιότητα.

Τὰ μὲν ὀργανικὰ λέγεται, ὡς τὰ εἰς Ῥητορικὴν καὶ Λογικὴν ἀνήκοντα.

Τὰ Ἀριστοτελικὰ συγγράμματα διαιρεῖται εἰς.

Τὰ δὲ τῆς πρακτικῆς φιλοσοφίας, οἷα εἰσὶ πάντε Ἠθικὰ ἰδίως ὀνομαζόμενα, Οἰκονομικάτε καὶ Πολιτικά.

Τὰ δὲ τῆς θεωρητικῆς μέρους. ὧν,

Τὰ μὲν Μεταφυσικὰ καὶ Θεολογικὰ ὀνομάζεται, ὡς εἰς τὴν πρώτην ἀνήκοντα φιλοσοφίαν, ἥτις καὶ σοφία λέγεται.

Τὰ μὲν εἰσὶν Ἀκροαματικὰ, διδασκαλίας δεόμενα εἰς κατάληψιν.

Τὰ δὲ περὶ φύσεως πραγματεύεται. καὶ τόπων,

Τὰ δὲ καὶ τῆς ἔξω σχολῆς λεπτὰ γίνεται, ἃ καὶ Ἐξωτερικὰ λέγεται.

Ἔτι καὶ τὸ περὶ ἀδιαιρέτων γραμμῆς, καὶ τὰ μηχανικὰ γνώσια εἰσὶ τούτου.

Τὰ

Τίς ὁ σκοπὸς τοῦ Φιλοσόφου.

Τί τὸ ὑποκείμενον περὶ οὗ ὁ λόγος.

Τὸ αἴτιον τῆς ὑπογραφῆς τοῦ βιβλίου.

—Τὸ χρήσιμον τούτου.

Εἰ γνήσιον τοῦ Ἀριστοτέλους.

Τί καὶ πόσα μέρη τῆς φιλοσοφίας.

Ἡ τάξις τούτου πρὸς ἄλλα τῶν πραγματειῶν.

Ἐν μὲν τῷ α. τρεῖς ὁρισμοὺς ὑποδίδωσιν ὁ Φιλόσοφος, ὁμωνύμων, συνωνύμων, καὶ παρωνύμων.

Τὸ μὲν α. προθεωρίαν τινῶν περιέχει τῶν ἐν ταῖς κατηγορίαις ῥηθησομένων. καὶ τοῦτο εἰς τρία διαιρεῖται κεφάλαια.

—Ἐν δὲ τῷ β. δύο διαιρέσεις τῶν ὄντων.

Ἐν δὲ τῷ γ. καὶ τελευταίῳ ζητεῖ ἐκτίθησι κανόνας, περὶ τῶν κατηγορουμένων καὶ ὑποκειμένων.

Καὶ ἡ διαίρεσις τοῦ ὅλου διαιρεῖται εἰς μέρη τρία.

Τὸ δὲ β. τὴν ἐξήγησιν καὶ παράδοσιν τῶν δέκα γενῶν περιέχει. ἃ καὶ δέκα Κατηγορίαι λέγονται.

Ἐν δὲ τῷ γ. περὶ φωνῶν τινῶν ὁ Φιλόσοφος διδάσκει, ὧν ἔτυχε μνησθεὶς ἐν ταῖς κατηγορίαις.

Αἱ λογικαὶ βίβλοι εἰς τέτταρα διαιροῦνται.

Τὸ μὲν α̅. τὰ τῆς ἀποδεικτικῆς μεθόδου περιέχει ἡγούμενα, ἅπερ εἰσὶ τὰ πρότερα Ἀναλυτικά, τὸ περὶ Ἑρμηνείας, τὸ περὶ Κατηγοριῶν.

Τὸ δὲ β̅. τὰ περὶ αὐτῆς τῆς μεθόδου διαλαμβάνει, ἅπερ ἤκουσιν ὕστερα Ἀναλυτικά.

Τὸ δὲ γ̅. περιέχει τὰ ἑπόμενα ταύτης, οἷα εἰσὶν ἡ Τοπικὴ πραγματεία, καὶ αἱ σοφιστικοὶ Ἔλεγχοι.

Τὰ μέρη τῆς διαιρέσεως τέτταρα.

α̅. Τὸ τῆς Γένους εἰς Εἴδη, ἐκ τούτου διχῶς.

Ἢ κυρίως, ὡς ὅτε τὸ ζῶον διαιρεῖται εἰς τὰ οἰκεῖα εἴδη.

Ἢ καπὶ συμβεβηκὸς, ἐκ τούτου διχῶς.

Ἢ τὸ ὑποκείμενον διαιρεῖται κατὰ τὸ διάφορον τῶν συμβεβηκότων.

Ἢ τὸ συμβεβηκὸς κατὰ τὸ διάφορον τῶν ὑποκειμένων.

β̅. Τὸ τοῦ ὅλου εἰς μέρη, καὶ τούτου διχῶς.

Ἢ εἰς μέρη οὐσιώδη,

Ἢ εἰς ἀνομοιομερῆ,

Ἢ εἰς μέρη ποσοτικά. ἐκ τούτου διχῶς.

Ἢ εἰς ὁμοιομερῆ.

γ̅. Τῆς ὁμωνύμου φωνῆς εἰς τὰ διάφορα σημαινόμενα.

Περὶ ὁμωνύμων.

Ὁ Μὲν οὖν Ἀριστοτέλης οὐ παντὸς φαίνεται μνείαν ἐνταῦθα πεποιηκὼς τῶν ἐκτεθεισῶν σημαντικῶν φωνῶν, ἀλλὰ τεττάρων μόνων,

νων, Ὁμωνύμων, Συωνύμων, καὶ Παρωνύμων, καὶ τούτων συλλόγως. ἐπειδὴ ταῦτα πρὸ τῆς ἄλλων εἰς τὴν τῆς Κατηγοριῶν διδασκαλίαν συμβάλλεται. τὰ γὰρ δέκα Γένη, ἃ καὶ Κατηγορίας ἔφημεν λέγεσθαι, διαφόροις λαμβανόμενα σχέσεσιν Ὁμώνυμα εἰσὶ, καὶ Συώνυμα, καὶ Παρώνυμα, κατ' ἄλλο καὶ ἄλλο δηλαδὴ θεωρούμενα. ἢ γὰρ κοινῷ ὀνόματι προσαγορεύεται, διαφωνεῖ δὲ κατὰ τὸν τῆς Οὐσίας λόγον, εἰς τὸ τῆς Ὁμωνύμων Γένος ἀνάγεται, ὡς καὶ τῷ Πορφυρίῳ ἀνωτέρω εἴρηται. πάντα γὰρ ὄντα λέγεται, εἰσὶ δὲ ὡς τὰ ἀφ' ἑνὸς ἢ πρὸς ἕν Ὁμώνυμα. οὐχ ὁμοίως γὰρ ἥτε Οὐσία, καὶ τὰ Συμβεβηκότα ὄντα λέγονται, ἀλλὰ πρώτως μὲν καὶ κυρίως ἡ Οὐσία, ὡς πρᾶγμα αὐθυπαρκτον, καὶ αὐθυπόστατον. δευτέρως δὲ τὰ συμβεβηκότα, ὡς ἐν αὐτῇ τὸ εἶναι ἔχοντα, ἀφ' ἧς καὶ τὸ ὄντα λέγεσθαι ἔχουσιν. οἱ δὲ νεώτεροι ταῦτα, ἀνάλογα ὄντα ἀποκαλοῦσιν, οὐκ ὀρθῶς γε μήν. ἀδημία γὰρ ἰσότης λόγων οὔτε τῇ Οὐσίᾳ καὶ τοῖς Συμβεβηκόσιν, οὔτε μεταφορά.

Καθὸ δὲ τῆς ἐν τῇ αὐτῇ σειρᾷ τεταγμένων τὰ ὁμογενῆ πρὸς ἄλληλα κείνεται, Συωνύμα εἰσίτε καὶ λέγεται. ὑπὲρ τοῦ αὐτοῦ Γένους μετέχουσι, καὶ συωνύμως τὸ αὐτὸ κατὰ τούτου λέγεται.

Καθ' ὅσον δὲ μιᾶς τινος Κατηγορίας τὰ Εἴδη ὑπόκειται τοῖς ἐν ἑτέρᾳ Κατηγορίᾳ τεταγμένοις, οἷον ἡ Οὐσία τοῖς Συμβεβηκόσι, παρωνύμως ἀπ' ἐκείνου τὸ ὑποκείμενον προσαγορεύεται. οἷον ἄνθρωπος λευκὸς, ἢ μέλας, ἢ δεκάπηχυς. τούτου χάριν τῆς τελείων μόνον ἐμνήσθη ὁ Φιλόσοφος τἄλλα παραλιπών. καὶ ἄλλως, ὁ εἰδὼς τὴν φύσιν τῆς Ὁμωνύμων, Συνωνύμων, καὶ Παρωνύμων, εἴσεται πάντως, τάτε Πολυώνυμα, Ἕτερα (1), καὶ Ἑτερώνυμα, εἰ ἀληθὲς τὸ τῆς ἐναντίων τὴν αὐτὴν εἶναι ἐπιστήμην. αὐτίκειται γὰρ τοῖς μὲν Ὁμωνύμοις τὰ Πολυώνυμα, τοῖς δὲ Συωνύμοις τὰ Ἕτερα, καὶ τοῖς Παρωνύμοις ἔσπον τινὰ τὰ Ἑτερώνυμα.

Κείμενον.

„ Ὁμώνυμα λέγεται ὧν τὸ μὲν ὄνομα μόνον κοινὸν, ὁ δὲ κατὰ τοῦ-
„ νομα λόγος τῆς οὐσίας ἕτερος, οἷον ζῶον ὅ,τε ἄνθρωπος καὶ τὸ
„ γεγραμμένον. τούτων γὰρ τοῦνομα μόνον κοινὸν, ὁ δὲ κατὰ τοῦνο-
„ μα λόγος τῆς οὐσίας ἕτερος. ἐὰν γάρ τις ἀποδιδῷ τί ἐστιν αὐτῶν ἑκατέ-
„ ρῳ τοῦ ζῴῳ εἶναι, ἴδιον ἑκατέρου λόγον ἀποδώσει.

Περὶ τῆς Ὁμωνύμων πρότερον ὁ Ἀριστοτέλης διαλαμβάνει, ἐπειδὴ

(1) Βοῦς, ἀρετή.

τὰ δέκα γλωκώτατα Γενη ὡς ἔφημεν ὁμώνυμα εἰσὶν ἢ ὄντα τυγχάνει. ἡ δὲ τοῦ ὄντος διαίρεσις εἰς τὰ δέκα γένη, προηγεῖται τῆς θεωρίας τῶν ἐν ἑκάστῳ ταττομένων, καὶ τῶν παρωνύμως κατηγορουμένων. παραδίδωσι δὲ τὴν γνῶσιν τῶν Ὁμωνύμων ὁ Φιλόσοφος ὁρισμῷ καὶ παραδείγματι. ἐν δὲ τῷ ὁρισμῷ δύο τίθησι τῶν Ὁμωνύμων συστατικά. τὸ μὲν ὅτι κοινὸν ἔχει τοὔνομα. θάτερον δὲ ὅτι τὸν τῆς οὐσίας λόγον τὸν κατὰ τὸ κοινὸν ὄνομα αὐτοῖς ἀποδιδόμενον, ἕτερον ἔσχηκε. τούτων τὸ μὲν πρῶτον χώραν ἐπέχει Γενῶν. κοινὸν γὰρ καὶ τοῖς Συνωνύμοις. τὸ δὲ λοιπὸν ἐστὶ τῶν ὁμωνύμων, καὶ ὡς συστατικὴ διαφορὰ ἐν τῷ λόγῳ παρείληπται. ἀναπτύσσει δὲ τὸν ὁρισμὸν ὁ Φιλόσοφος χρησάμενος παραδείγματι τῷ ἐμψύχῳ ἀνθρώπῳ, καὶ τῷ γεγραμμένῳ. ὅ,τε γὰρ ζῶν ἄνθρωπος, καὶ ὁ γεγραμμένος κοινωνοῦσιν ἀλλήλοις κατὰ τὸ τοῦ ζώου ὄνομα. ἑκάτερος γὰρ τούτων ζῶον λέγεται, ἐν μέν τοι τῷ ὁρισμῷ τοῦ ζώου διαφέρουσιν. ὁ γὰρ ζῶν ἢ ζῶον, ἐστὶν οὐσία ἔμψυχος αἰσθητική, οὐχ οὕτω δὲ καὶ ὁ γεγραμμένος, ἀλλὰ καθόσον μόνον εἰκονίζει τὸ ἀληθὲς ἔμψυχον, καὶ αἰσθητικὸν ζῶον τῆς ἐπωνυμίας μετέλαβε.

Ἀνάπτυξις ἑκάστης τῶν ἐν τῷ ὁρισμῷ φωνῶν.

Τὸ ὁριζόμενον ἐπὶ τοῦ ἐκτεθέντος ὁρισμοῦ εἰσὶ τὰ πράγματα, ἅτινα διάφορα ὄντα κατ' οὐσίαν τῆς αὐτῆς τετύχηκε προσηγορίας, ἢ κοινῷ ὀνόματι ὑποδηλοῦται. προσυπακούεται γὰρ ἐν τῷ ὁρισμῷ τὰ πράγματα, ἔπουν αἱ φύσεις, ἵνα ἢ τὸ λεγόμενον, ὁμώνυμα εἰσὶ τὰ πράγματα, ἢ αἱ φύσεις, ὧν τὸ οὔνομα κοινὸν, καὶ τὰ ἑξῆς. Τὸ δὲ ὄνομα διχῶς ἐκλαμβάνεται, τό,τε αὐτοδιασαφίζομενον τῷ ῥήματι, ὅπερ ὄνομα κυρίως λέγεται, καὶ πᾶσα λέξις ἐν ἢ ἄρθρον τι προτέθειται, οἷον τὸ ποιεῖν, τὸ ἔχειν, καὶ τὰ ὅμοια. ἐνταῦθα μὲν οὖν ὄνομα συγκεχυμένον καὶ αὐτὶ ῥήματος ἐννοεῖται. οὐ μόνον γὰρ ἐπὶ ὀνομάτων, ἀλλὰ καὶ ἐπὶ ῥημάτων θεωρεῖται ἡ ὁμωνυμία. ὡς τὸ ἔχω, ὅπερ σημαίνει, καὶ τὸ δύναμαι, καὶ τὸ κέκτημαι, καὶ τὸ ἐρῶ, καὶ ἄλλα. ἐν πληθωτικῷ δὲ ἀριθμῷ ὁρίζεται τὰ Ὁμώνυμα, ὅτι οὐδὲν αὐτὸ ἑαυτῷ ὁμώνυμον λέγεται, ἀλλὰ πρὸς ἕτερον, ᾧ κοινωνεῖ τοῦ ὀνόματος. ὅτι οὖν καὶ ταυτὸ ἢπερ ἐστὶν οὐ αὐτὸ πρὸς ἑαυτὸ, οὐδ' Ὁμώνυμον λέγοιτ' ἄν, οὔτε Συνώνυμον, ἀλλὰ πρὸς ἕτερον.

„ Ὠν ὄνομα μόνον κοινόν.

Ἰστέον ὅτι κοινὸν τεταχῶς λέγεται. Ἢ γὰρ σημαίνει τὸ μόνον μοὶ ἐν ἑαυτῷ ἀμέριστον, ὑπὸ πλειόνων δὲ μεθεκτὸν λεγόμενον, ὡς εἰ τύχοι τις πολλῶν δεσποτῶν δοῦλος. Ἢ τὸ διαιρούμενον, καὶ κατ' αὐτὸ τὸ διαίρεσιν ὑπὸ πολλῶν μετεχόμενον, ὡς ἀγρὸς, καὶ τὰ ὅμοια. Κατὰ τρίτον δὲ τρόπον κοινὸν λέγεται, ὃ τῷ προλαβόντι οἰκεῖον γίνεται. ὡς ὁ ἐν τῇ ἐκκλησίᾳ τόπος. Τέταρτον δὲ τὸ ἐξ ἴσου ὑπὸ πάντων μεταλαμβανόμενον, ὡς ἡ τοῦ κήρυκος φωνή. τῷ γὰρ αὐτῷ χρόνῳ ὑπὸ πάντων τῶν ἀκροωμένων πᾶσα καὶ ὁλόκληρος ἐξακούεται. ἐπὶ τοῦ παρόντος δὲ κοινὸν ἐννοεῖται τὸ ὄνομα τοῖς Ὁμωνύμοις, κατὰ τὸν τέταρτον τρόπον. πάντα γὰρ ἐξ ἴσου τῆς ὁμωνυμίας μεταλαμβάνουσι τὰ Ὁμώνυμα, καὶ ἐν τῷ αὐτῷ χρόνῳ.

Προσέτι ἰστέον ὅτι, τὸ μόνον διχῶς λέγεται, ἢ τὸ μοναδικόν, ὡς ὅτε λέγομεν μόνον τὸν Ἥλιον, καὶ μόνῃ τῇ Σελήνῃ. ἢ τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ σύζυγον καὶ ὁμογενὲς, ὡς ὅταν λέγωμεν, χιτῶνα μόνον ἔχει, καί τοι χεῖρας καὶ πόδας ἔχοντα, ἀλλὰ μόνον λέγεται πρὸς ἀντιδιαστολὴν τῶν συζύγου, τουτέστι τῶν λοιπῶν ἱματίων. Ὃ κατὰ τοῦτο τὸ δεύτερον σημαινόμενον τὸ μόνον ἐπὶ τοῦ παρόντος ἐκλαμβάνεται, πρὸς ἀντιδιαστολὴν δηλαδὴ τοῦ ὅρου. ὅτε λόγος, πολλαχῶς εἰώθασιν ἐν τοῖς σχολείοις ἐκλαμβάνεσθαι. ἐνταῦθα δὲ ἀντὶ τοῦ ὁρισμοῦ εἴλειπται. τὸν δὲ ὁρισμὸν ἀκουσέον κοινότερον ἀντὶ τῆς ὑπογραφῆς. κατὰ τοῦτο μα δὲ κεῖται ἐν τῷ λόγῳ τῶν ὁμωνύμων, ἐπειδὴ ὡς εἴρηται κατὰ διαφόρους προσηγορίας, τὰ αὐτὰ ὁμώνυμα καὶ συνώνυμα εἶναι δύναται. χρὴ οὖν ἐννοεῖν τὸν ὅρον ἐπὶ τῶν Ὁμωνύμων, καθόσον κοινωνεῖ τοῦ αὐτοῦ ὀνόματος, κατὰ δὲ τὸ σημαινομένῳ φύσιν ἄπο τοῦ κοινοῦ ὀνόματος διαφέρειν. οἷον φέρε εἰπεῖν ζῶον ὁμωνύμως, ὅτε ἄνθρωπος λέγεται, καὶ τὸ γεγραμμένον. κατὰ δὲ τὸ σημαινομένῳ οὐσίαν τῷ τοῦ ζώου ὀνόματι, ἕτερον ἐστὶ τὸ γεγραμμένον, τοῦ ἀνθρώπου. κατὰ τοῦτο γὰρ οὐδὲν ὄφελος κοινὸν αὐτοῖς πλὴν τοῦ ὀνόματος. καθὸ μέντοι ἑτέρῳ ὀνόματι προσαγορεύεται, οὐκ ἀναγκαίως σώζεται ἡ ὁμωνυμία. οἷον καθὸ (1) δίπηχυ, ἢ τρίπηχυ ἑκάτερον τούτων. ἢ ὡς ὁ χερσαῖος κύων, εἰ μὲν μετὰ τοῦ θαλαττίου συγκρίνοιτο, καθὸ τῷ τοῦ κυνὸς ὀνόματι σημαίνεται, ὁμώνυμός ἐστιν ἐκείνῳ, καθὸ δ

λ'

(1) Ἢ τοι ὁ ζῶν καὶ ὁ γεγραμμένος, καθὸ ἑκάτεροι τυχὸν εἰσὶ δίπηχες ἢ τρίπηχες συνώνυμοί εἰσι.

ζῶον σωώνυμος· οὐσίας δὲ εἴρηται, οὐ καθόσον τῆς συμβεβηκότων αὐτιδιαστέλλεται. τὰ γὰρ ὁμώνυμα, οὐ μόνον ἐν τῇ τῆς οὐσίας κατηγορίᾳ θεωρεῖται, ἀλλὰ καὶ ἐν τοῖς συμβεβηκόσιν, οἷον τὸ ὀξὺ ὅπερ ὁμωνύμως λέγεται κατά τε τῆς ὀξείας φωνῆς, καὶ τῆς ὀξείας μαχαίρας. διὸ δῆλον ὡς τὴν οὐσίαν ὁ Ἀριστοτέλης κοινότερον ἐνταῦθα ἐνόησεν, ἐφ' ὅσον καὶ ἐπὶ τῶν συμβεβηκότων ἐπτείνεται, τῷ καὶ ταῦτα λόγους ἔχειν ποπόν τινὰ οὐσιώδεις, ὡς τὴν ἐκείνων ὕπαρξιν ὑποδηλοῦντας. ἄλλως γὰρ ἐλλειπὴς ἂν εἴη ὁ ὁρισμὸς τῶν Ὁμωνύμων.

Τί τὸ ὁριζόμενον ἐν ἑκάστῳ τῶν Συωνύμων, Ὁμωνύμων, καὶ Παρωνύμων.

Ζητεῖται κοινότερον παρὰ τοῖς νεωτέροις τίποτε ὁρίζεται ὁ Φιλόσοφος ἐν τοῖς ἐκδοθεῖσιν ἐνταῦθα ὁρισμοῖς, πότερον τὰ πράγματα, ἢ τὰ ὀνόματα τῶν πραγμάτων; τῶν δὲ νεωτέρων οἱ πολλοὶ ὑποκείμενον τῆς λογικῆς πραγματείας, περὶ ὃ καταγίνεται, τὰς δευτέρας οὐσίας ὑποτιθέμενοι, ἃς καὶ κατ' ἐπίνοιαν ὂν ὑπολαμβάνουσι, τὰς φωνὰς ἐνταῦθα βούλονται καθὸ σημαντικὰς ὁρίζεσθαι. τὰς γὰρ οὐσίας τῶν σημαινουσῶν φωνῶν πρὸς τὰ σημαινόμενα πράγματα, τῆς ἐπινοίας ἀναπλάσματα εἶναι νομίζουσι. καὶ οὕτω σωώγουσι τὸ ὁριζόμενον ἐνταῦθα εἶναι τὰ κατ' ἐπίνοιαν ὄν. συμπεραίνεσιν αὐτὸ καὶ ἐκ τῆς σφῶν αὐτῶν ὑποθέσεως. ὁρίζεται γὰρ ἕκαστος τῶν ἐπισημόνων τοῦτο αὐτὸ ὃ θεωρεῖ, καθ' ὃν θεωρεῖ τρόπον. ἀλλὰ τὰ θεωρούμενον κατ' ἐκείνους ἐν τῇ λογικῇ πραγματείᾳ ἐστὶ τὸ κατ' ἐπίνοιαν ὄν, τοῦτο ἄρα καὶ ὁρίζεται.

Δευτέρον σωώγουσιν αὐτὸ τοῦτο διαιρέσει χρώμενοι τῶν Ὁμωνύμων, Συωνύμων, καὶ Παρωνύμων, τοιάδε. φασὶ δὴ τὰ μὲν εἶναι Ὁμώνυμα ὁμωνυμοῦντα, τὰ δὲ Ὁμώνυμα ὁμωνυμοῦντα. ἐννοοῦσι δὲ Ὁμώνυμα ὁμωνυμοῦντα τὰς φωνὰς, ἃς καὶ ὡς εἴδη συσατικὰ τῶν Ὁμωνύμων τίθενται. Ὁμώνυμα δὲ ὁμωνυμοῦντα αὐτὰ καλοῦσι τὰ πράγματα, ἃ καὶ ὕλης λόγον πως ἔχειν πρὸς τὰς φωνὰς οἴονται. ἐνταῦθα δὲ σωώγουσι τὸ βουλόμενον οὕτως.

Ὁ ὁρισμὸς ἑκάστου λόγος ἀποδίδοται κατὰ τὸ εἶδος ἑκάστου. ἐπὶ τῶν Ὁμωνύμων, Συωνύμων, καὶ Παρωνύμων, εἶδος εἰσὶν αἱ φωναὶ κατὰ τὴν χέσιν τῆς σημασίας· αἱ φωναὶ ἄρα κατὰ τὴν σημαντικὴν χέσιν ὁρίζονται.

Εἰπὼν ὅτι τὸ ὁριζόμενον κατά τινα πάντως κοινὸν ὁρίζεται λόγον, οὐ καὶ δηλωτικὸς γίνεται ὁ ὁρισμός. τὰ δὲ Ὁμώνυμα πράγματα διάφορα εἰσὶ

εἰσὶ, καὶ οὐδὲ κοινὸν ἔχει λόγον, ὡς ἐν τῷ ὁρισμῷ εἴρηται. οὐκ ἔστιν ἄρα ταῦτα ὁμοιθῶναι, ἀλλὰ τὸ κατ' ἐπίνοιαν ὄν, εἴποιμι αἱ φωναὶ καθόσον σημαντικαί, ὅπερ ἐστὶν εἷς καὶ τοῦ αὐτοῦ λόγου. Σωάγουσιν αὐτὸ τοῦτο καὶ ἀπὸ τῆς λέξεως τοῦ Φιλοσόφου. προλαμβάνει γὰρ τοὔνομα ἐν πᾶσι λέγων. ἐν μὲν τοῖς Ὁμωνύμοις, καὶ Συνωνύμοις, ὧν ὄνομα μόνον κοινὸν, ἐπὶ δὲ τῆς Παρωνύμων, ὅτι ἔχει τιὼ τοῦ ὀνόματος προσηγορίαν. δῆλον ἄρα ὅτι τὰ ὀνόματα μᾶλλον ὁρίζεται ὁ Φιλόσοφος ἐν ταῖς εἰρημέναις ὑπογραφαῖς, ἢ τὰ πράγματα.

Ἀναζοπὴ τῆς ἐκτεθείσης δόξης.

Ἀλλὰ τούτοις πολλὰ ἀντενεχθῶναι ἐστὶν, ὧν οὐ ῥᾴδια γίνεται ἡ ἐπίλυσις. καὶ Πρῶτον, ὁ σκοπὸς τοῦ Φιλοσόφου ἐν τοῖς τοιούτοις ὁρισμοῖς, ἐστὶ παραδοῦναι ἡμῖν γνῶσιν πραγμάτων, τίνα δηλαδὴ τρόπον διανέμεται τὰ ὄντα, καὶ τάττεται ἐν ταῖς κατηγορίαις. παραδίδωσι γὰρ τὸν ὁρισμὸν τῆς Ὁμωνύμων, ἵνα δηλώσῃ τὸν τρόπον τῆς διανομῆς τῶν ὄντος εἰς τὰ δέκα γενικώτατα Γένη, καὶ ὅτι τὰ ὄντα καθὸ Ὁμώνυμα, οὐ τάττεται ἐπὶ τῆς αὐτῆς κατηγορίας, ἀλλὰ καθὸ Συνώνυμα. ἀντέπιπτον ἄρα τῷ οἰκείῳ σκοπῷ ὁ Φιλόσοφος ὁριζόμενος ὀνόματα, ὧν ἡ γνῶσις οὐδὲν συμβάλλεται τῇ οἰκείᾳ προθέσει.

Δεύτερον, ἐκεῖνο ἐστὶ τὸ ὁριζόμενον ἐν ἑκάστῳ τῆς ὁριστικῶν λόγων, ὅπερ ἀναπτύσσει, καὶ καθ' οὗ κατηγορεῖται ὁ ὁρισμός. ἀλλ' ὁ τῆς Ὁμωνύμων ὁρισμὸς, οὔτε ἀναπτύσσει, οὔτε κατηγορεῖται τοῦ ὀνόματος τῆς Ὁμωνύμων, οὐκ ἔστιν ἄρα ὁριζόμενον τὸ ὄνομα, ἢ τὸ κατ' ἐπίνοιαν ὄν.

Δείκνυται ἡ ἐλάττων. εἴρηται γὰρ ἐν τῷ ὁρισμῷ τὸ μὲν ὄνομα κοινὸν ἔχειν, διαφόρους δὲ τοὺς κατὰ τιὼ οὐσίαν λόγους. τὸ δὲ ὄνομα, εἴποιμι ἡ κατ' ἐκεῖνο χέσις, οὐκ ἔστι τὸ ἔχειν ὄνομα κοινὸν, καὶ τοὺς λόγους τῆς οὐσίας διαφόρους, ἀλλὰ τὰ πράγματα. οὐκ ἄρα τὰ ὀνόματα ἢ ἡ χέσις ὁρίζεται, ἀλλὰ τὰ πράγματα, ἃ καὶ δηλοῦται τῷ ἀποδοθέντι λόγῳ, καὶ καθ' ὧν ὁ αὐτοὺς λόγος κατηγορεῖται.

Τέτον, τὰ Ὁμώνυμα πολλὰ δέον εἶναι. οὐ γὰρ αὐτὸ ἑαυτῷ τί ὁμώνυμον εἶναι δύναται, ἀλλὰ πρὸς ἄλλο, ὅθεν καὶ ἐν πληθωτικῷ ὁρισμῷ τῷ Φιλοσόφῳ ὥρισαι. τὸ δὲ τῆς Ὁμωνύμων ὄνομα, εἴποιμι ἡ χέσις ἐν τί ἔζιν, ὅθεν οὐδὲ κυρίως λέγεται ὁμώνυμον, ἀλλ' ὄνομα Ὁμωνύμων.

Παρὰ ταῦτα ἐν τῷ ὁρισμῷ (1) λέγεται, τοῦ ὁριζομένου διαφόρους εἶναι

(1) Τῶν Ὁμωνύμων.

εἶναι τοὺς λόγους. τὸ ὄνομα δὲ οὗ ὄν οὐ δύναται διαφόρους ἔχειν λόγους: τὸ ὄνομα ἄρα, εἴπωμεν τὸ κατ' ἐπίνοιαν ὄν, ὅπερ ἐστὶν οὗ, ἀδύνατον γίνεσθαι ὁριζόμενον ἐν τῷ ἀποδοθέντι λόγῳ. ὁρίζεται τοιγαροῦν τὰ πράγματα, οὐ κατὰ τὴν οἰκείαν ἑκάστου οὐσίαν, ἀλλ' ἥπερ κοινωνοῦσι τῷ ὀνόματι, διαφέρουσι κατὰ τὴν οὐσίαν. καὶ τοῦτο κοινόν ἐστι πᾶσι τοῖς ὁμωνύμοις, ὥσπερ τοῖς συνωνύμοις τὸ κατ' ἄμφω κοινωνεῖν ἀλλήλοις, τό, τε ὄνομα καὶ τὴν οὐσίαν. τὸ τελευταῖον ἐπὶ παντὸς ὁριστικοῦ λόγου, ὁριζόμενόν ἐστι, τὸ πρὸ τοῦ ἐστὶ συνδέσμου τασσόμενον κατὰ πτῶσιν εὐθεῖαν, ἢ ἐννοούμενον. γίνεται γὰρ τὸ ὁριζόμενον ἐν τῷ ὁριστικῷ λόγῳ ὑποκείμενον, καθ' οὗ ὁ ὁρισμὸς κατηγορεῖται. ἀλλ: ἐν τῷ ἀποδοθέντι λόγῳ οὐ τὸ ὄνομα, ἀλλὰ τὰ πράγματα ἐννοοῦνται τασσόμενα κατ' εὐθεῖαν πτῶσιν πρὸ τοῦ ἐστὶ συνδέσμου. λέγεται γὰρ, Ὁμώνυμά ἐστι (δηλαδὴ τὰ πράγματα) ὧν ὄνομα μόνον κοινόν, καὶ τὰ ἑξῆς. τὰ πράγματα ἄρα εἰσὶ τὰ ὁριζόμενα ὃν ἔμπροσθεν εἴρηται.

Λύσις τῶν ἐπιχειρημάτων τῆς προληφθείσης δόξης.

Τὸ μὲν πρῶτον ἐκείνοις προχειρισθὲν ἐπιχείρημα, μικρὰ, ἢ οὐδὲν δύναται πρὸς τοὺς μὴ ἀποδεχομένους τὰς ὑποθέσεις αὐτῶν. πρὸς τὸ δεύτερον ἀναιρετέα ἐστὶν ἡ διαίρεσις τῶν ὁμωνύμων, καθ' ἃ ὑποτιθέασι, τὰ μὲν ὁμώνυμα εἶναι ὁμωνυμούμενα, τὰ δὲ ὁμώνυμα ὁμωνυμούμενα. μόνα γὰρ τὰ πράγματα εἰσὶ κυρίως Ὁμώνυμα. ἡ δὲ φωνὴ εἴπωμεν τοὔνομα, οὐκ ἄλλως λέγεται ὁμώνυμος, ἢ καθόσον ἀπονέμεται τοῖς ὁμωνύμοις πράγμασι, καὶ ἐστὶν ἐκείνοις κοινόν. ὁμοίως καὶ ὅ φασιν, ὅτι τὸ κοινὸν ὄνομα ἐστὶν εἶδος τῶν Ὁμωνύμων. οὐ γὰρ σωίζεται τὰ Ὁμώνυμα ἥπερ εἰσὶν Ὁμώνυμα τῷ λόγῳ τῆς κοινότητος τοῦ ὀνόματος. ἦσαν γὰρ οὕτω καὶ τὰ Συνώνυμα ὁμώνυμα. κοινὸν γὰρ καὶ ἐκείνων τὸ ὄνομα. ἀλλ' ἡ ἑτερότης τῶν λόγων, ἐστὶ μᾶλλον συστατικὴ τῆς οὐσίας τῶν Ὁμωνύμων.

Πρὸς τὸ τέλος εἴρηται ἤδη, ὅτι τὰ Ὁμώνυμα οὐκ ὑποχράφεται, κατὰ τὸν ἴδιον ἑκάστου τῆς οὐσίας λόγον, ἀλλὰ τοιοῦτον, ἥπερ διαφόρων εἰσὶ λόγων ὁριστικῶν, τοῦ αὐτοῦ τετυχηκότα ὀνόματος, καὶ τοῦτο κοινὸν τοῖς ὁμωνύμοις. συνωνύμως γὰρ ἔχουσι τὸ εἶναι Ὁμώνυμα. ὅσα τῆς αὐτῆς τάξεως καὶ σημασίας εἰσὶν, ὡς τὰ ὁμώνυμα ἀπὸ τύχης, ἢ ἀπὸ διανοίας, καὶ ὅσ' ἄλλα.

Ὁ σκοπὸς δὲ τοῦ Φιλοσόφου δεδήλωται ἡμῖν ἀνωτέρω, ἐφ' ᾧ διϊσχυρίζονται, ὅτι προλαμβάνει τὰ ὀνόματα ἐν τοῖς ἀποδοθεῖσι λόγοις. τοῦτο δὲ

δὲ ποιεῖ ὁ Φιλόσοφος, ὅτι ὁρίζεται τὰ πράγματα ὡς ὑπὸ φωνῶν σημαινόμενα, ἥπερ διαφόρων οὐσιῶν ὄντα τῷ αὐτῷ ὀνόματι προσαγορεύεται. Θεωρεῖται γὰρ ὡς πολλάκις εἴρηται τοῖς λογικοδομοῦσι τὰ πράγματα, καθὸ ἐννοούμενα σημαίνονται διὰ φωνῶν.

Ἀπορία.

Ἐγώθασιν ἐνταῦθα οἱ νεώτεροι ἀπορεῖν, τίνα δόπτειν ἐπὶ τοῦ ἀποδοθέντος ὁρισμοῦ τῶν Ὁμωνύμων ἐννοεῖται εἶναι τὸ ὄνομα. τὸ γὰρ εἶναι ἑκάστου ἀπὸ τοῦ εἴδους λαμβάνεται, τὸ δὲ εἶδος τοῦ ὀνόματος, ἐστὶν ἡ σημασία τοῦ αὐτοῦ. ἐπεὶ τοιγαροῦν πολλὰ σημαίνει τὸ τῶν Ὁμωνύμων ὄνομα, ἐπόμενον ἐστὶ μὴ εἶναι, ἀλλὰ πολλὰ κατὰ τὸ πλῆθος τῶν σημαινομένων ὑπ' αὐτοῦ.

Ἀπάντησις.

Ἀπαντῶσι τινὲς αἱρούμενοι τὸ μεῖζον. φασὶ γὰρ ἐπὶ τῶν ὑλῶν σωθέντων εἴτε καθ' αὑτὸ, εἴτε κατὰ συμβεβηκὸς σωθέντα ὦσι, τὸ εἶναι ἀριθμῷ εἶναι κατὰ τὸ ὕλλο, ἀλλ' οὐ κατὰ τὸ εἶδος λεπτέον, ὅθεν εἰ καὶ πολλαί εἰσιν αἱ σημασίαι τοῦ ὀνόματος τῶν Ὁμωνύμων, (ἐπειδὴ ἔστι τὸ ὑποκείμενον τῶν τοιούτων σημαντικῶν φωνῶν, δηλονότι ἡ φωνὴ) οὐκ εἰσὶ πολλὰ τὰ ὀνόματα, ἀλλ' ἓν μόνον.

Ἀλλὰ τούτων ἀληθὴς μὲν ἡ ὑπόθεσις, ὅτι τὸ εἶναι ἀριθμῷ εἶναι, ἢ πολλὰ ἐπὶ τῶν ὑλῶν, μάλιστα τῶν εἰ γενέσει, ἀπὸ τῆς ὕλης λεπτέον, οὐ μὴν ὑγιῶς ἁρμόσουσι τὴν τοῦ ὀνόματος φύσιν. ἕπεται γὰρ κατ' αὐτοὺς πολλὰ εἶναι τὰ εἴδη τοῦ ὀνόματος τῶν Ὁμωνύμων, ὁμοίως οὐσιώδη καὶ συσατικά. Ὅθεν συμβαίνει πολλὰ ὀνόματα εἶναι κατ' οὐσίαν τὸ τῶν Ὁμωνύμων ὄνομα, εἶναι δὲ μόνον κατὰ τὴν ὕλην. ἔστι γὰρ τοῦτο σημαντικὴ φωνή. ὅθεν πολυπλασιαζομένης τῆς σημασίας, πολυπλασιαθήσεται καὶ τοῦτο. τοῦτο δὲ ὅτι ἄτοπον πρόδηλον. οὐ γὰρ ἔχει φύσιν πολλὰ εἶναι εἴδη ὁμοίως οὐσιώδη ~~εἰ εἰ καὶ τῷ αὐτῷ ἀριθμῷ.~~

ἐφ' ἑνὸς στασιμαρ καὶ δὲ οὐδὲ ἑνὸς δὲ ἀριθμῷ.

Ἀπάντησις, Δευτέρα.

Ἕτεροι δὲ ἀπαντῶντες φασὶν εἶδος μὲν εἶναι τοῦ ὀνόματος, τὸν σχηματισμὸν τῆς φωνῆς, τὴν δὲ σημασίαν μὴ εἶδος, ἀλλὰ τελειοποιητά

τά τινα εἶναι παρεπομένω τῷ ὀνόματι, ἥτις καὶ πολυπλασιαθεῖσα, οὐ πολυπλασιάζει τοὔνομα. δύναται γὰρ τοῦ αὐτοῦ ὀνόματος πολλὰς εἶναι τὰς σημασίας, ὥσπερ τοῦ αὐτοῦ φυσικοῦ σωθέτου πολλαὶ εἰσὶν αἱ τελειότητες.

Ἀλλ' ἔστιν εἰπεῖν πρὸς τοὺς ἁπαντῶντας οὕτως, ὅτι ἀναιρουμένης τῆς τελειότητος, οὐκ ἀναιρεῖται τὸ οὗ ἐστὶ τελειότης, ἀναιρουμένης δὲ τῆς σημασίας τοῦ ὀνόματος, ἀναιρεῖται τοὔνομα. οὐ γὰρ διαμένει ἔτι φωνὴ σημαντική, καὶ τὰ ἑξῆς,

Ἀπάντησις Τείτη.

Ὀρθότερον ἄρα ~~φαίνεται~~ ἔσον ἐστὶν, ὅτι διττή ἐστιν ἡ τοῦ ὀνόματος θεωρία. Ἢ γὰρ ὡς φωνὴ μόνον θεωρεῖται οὕτως, ἢ ἐκείνως ἐσχηματισμένη, Ἢ μετὰ τῆς σημασίας. κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον οὐκ ἂν ῥηθείη ὄνομα κυρίως. κατὰ δὲ τὸν δεύτερον κυρίως λέγεται ὄνομα. τοὺς δὲ σημασίαν φαμὲν, μὴ εἶδος εἶναι τῆς φωνῆς τοιῶσδε ἐσχηματισμένης, ἀλλὰ τέλος ἴδιον εἶναι τῆς αὐτῆς, καθὸ καὶ ὄνομα προσαγορεύεσθαι ἔσχηκε. καὶ ὥσπερ πολλὰ τῷ μέσου τινὸς τάξιν ἐχόντων, καὶ ἀπὸ τοῦ τέλους προσαγορεύόμενα ἀποτυχόντα τοῦ τοιούτου τέλους, συναποβάλλουσι καὶ τοὺς προσηγορίαν, οὓς ἀπ' ἐκείνου ἔσχηκασι, διασώζουσι μέντοι, οὓς ἀπὸ τοῦ εἰκείου εἴδους καὶ τῆς ὕλης σύστασιν ἔχουσιν. ὡσαύτως τοιγαροῦν καὶ τὰ ὀνόματα; ἐπειδὴ φωναί εἰσιν ἐπὶ τὸ σημαίνειν τεταγμέναι, ἀναιρεθείσης τῆς σημασίας αὐτῷ, ἀναιρεῖται μὲν καὶ ἡ ὁμωνυμία, οὓς ἀπὸ τοῦ τοιούτου τέλους ἔσχηκασι, διασώζεται μέντοι ἀπ' αὐτῆς ἡ σύστασις ἐκείνη, οὓς κατὰ τοὺς εἰκείαν ὕλλην, δηλαδὴ τοὺς φωνούς, καὶ τὸν κατ' ἐκείνους σχηματισμὸν ἔχουσιν. ἔστι γὰρ τοὔνομα σωθετόν τι τεχνικὸν, τεταγμένον ἐπὶ τὸ σημαίνειν ὡς ἐπὶ τέλος οἰκεῖον.

Ῥητέον οὖν πρὸς τοὺς ἀπορίαν, ὅτι ἡ μὲν σημασία τοῦ ὀνόματος τῷ Ὁμωνύμων πολυπλασιάζεται κατὰ συμβεβηκός, καί τοι καθ' αὐτὸ οὖσα μία, ὂν τρόπον καὶ τὸ τέλος τοῦ τεχνητοῦ, οἷον τοῦ πελέκεως. ἔστι μὲν οὖν καθ' αὐτὸ ῥηγνῦναι φέρε εἰπεῖν ξύλα, χρώμεθα δὲ τούτῳ οὐ μόνον ἐπὶ τὸ σχίζειν ξύλα, ἀλλὰ καὶ πρὸς τοὺς αὐτιπάλους, καὶ πρὸς ἑτέρας χρήσεις, διαμένοντι οὐδὲν ἧττον σὺν καὶ τῷ αὐτῷ.

Τούτων οὕτω προληφθέντων, κἀκεῖνο δέον εἰδέναι, ὅτι ἡ διαίρεσις τῷ Ὁμωνύμων εἰς Ὁμώνυμα ὁμωνυμοῦντα, καὶ Ὁμώνυμα ὁμωνυμούμενα, οὐ μόνον κατὰ τῆς Φιλοσοφίας μάχεται, ἀλλὰ καὶ τῷ τῆς Γραμματικῆς

κανό-

καινόνων. πῶς γὰρ τὰ ὀνόματα ὁμώνυμα κληθῆναι δύναιντο, ἕτερον κοινὸν οὐκ ἔχοντα ὄνομα, δι' οὗ σημαίνοιντο; ὅπερ εἰ καὶ δοθήσεται καὶ κατ' αὐτοῦ ὁμοίως εἰρήσεται, καὶ καθ' ἑξῆς εἰς ἄπειρον. πῶς δὲ καὶ γραμματικοὶ τοῦτο συγχωρήσειαν, ἀριθμῷ ἑνικῷ ὑσιασικοῦ ὀνόματος ἐπιθέτου πληθυντικὸν ἁρμοσθῆναι; φησὶ γὰρ ἐν τῷ ὅρῳ ὧν τὸ ὄνομα, οὐ τὰ ὀνόματα.

Προσέτι ἰστέον ὅτι τοῖς πυκνῶς ὁμωνύμοις, τάχα δὲ ἀναγκης ἀπαιτεῖται. Πρῶτον ὅτι τὰ ὄντα κατὰ τὸ πρᾶγμα πλείονα, κοινὸν ὄνομα κατ' αὐτῶν ἔχειν. Δεύτερον, ἵνα διαφόρους κατὰ τὸ πρᾶγμα ὅρους ἔχωσι. Τρίτον τὸ τὸν ὅρον διάφορον αὐτοῖς ἁρμόττειν, καθὸ τοιούτῳ σημαίνονται ὀνόματι.

Περὶ Συνωνύμων.

„ Συνώνυμα δὲ λέγεται ὧν τό, τε ὄνομα κοινὸν, καὶ ὁ κατὰ τοὔνομα
„ λόγος τῆς οὐσίας ὁ αὐτός. οἷον ζῶον ὅ, τε ἄνθρωπος καὶ ὁ βοῦς.
„ τούτων γὰρ ἑκάτερον κοινῷ ὀνόματι προσαγορεύεται, καὶ ὁ λόγος δὲ
„ τῆς οὐσίας ὁ αὐτός

Ὀφείζεται καὶ ἐπὶ τῶν Συνωνύμων, ὥσπερ καὶ ἐπὶ τῶν Ὁμωνύμων εἴρηται, τὰ πράγματα, ὅσα τῆς αὐτῆς οὐσίας ὄντα, ὀνόματι κοινῷ σημαίνεται, κατὰ τὴν κοινὴν αὐτῶν φύσιν. ὅθεν καὶ συνώνυμα προσαγορεύεται. Ὀφείζεται δὲ καθὸ τῷ αὐτῷ ὀνόματι σημαίνεται. οὐ γὰρ δήπου τὰ πράγματα κατὰ τὰς ἰδίας αὐτῶν φύσεις δηλοῦται. ὀφείζεται δὲ καὶ ταῦτα ὁμοίως ἐπ' ἀριθμοῦ πληθυντικοῦ, ὅτι οὐδὲν αὐτὸ ἑαυτῷ συνώνυμον λέγεται, ἀλλ' ἑτέρῳ τοῦ αὐτοῦ γένους ἢ εἴδους ὄντι. ὁ δὲ λόγος καὶ ταῦτα δηλοῖ καὶ οὐκ ἀντὶ τοῦ κυρίως ὁρισμοῦ τοῦ ἐκ γένους ἰδίου καὶ συσατικῆς διαφορᾶς συνεστηκότος, ἀλλ' ἀπὸ οἱασοῦν (1) ὑπογραφῆς, καὶ οὐ μόνον ἐπὶ τῶν κατ' οὐσίαν συνωνύμων, ὡς ζῶον ὁ ἄνθρωπος καὶ ὁ βοῦς, ἀλλὰ καὶ ἐπὶ τῶν κατὰ συμβεβηκός. εἰσὶ γὰρ πολλὰ καὶ τῶν συμβεβηκότων ἀλλήλοις συνώνυμα, ὅσα τυγχάνει ὄντα ὁμογενῆ, ἢ ὁμοειδῆ.

Αἱ δὲ λέξεις καὶ ἐπὶ τῆς τῶν Συνωνύμων ὑπογραφῆς τὸν αὐτὸν ζόπον ἐκλαμπτέαι, ὡς καὶ ἐπὶ τῶν Ὁμωνύμων εἴρηται, κατ' ἐκεῖνο μόνον διαφέρουσαι,

(1) Ἢ ἐκ γένους καὶ σωφρομῆς διαφόρων συμβεβηκότων,
Ἢ ἔκτινος γένες χῶρον ἔχοντος, καὶ συσατικῆς διαφορᾶς.

σαι, ὅτι τῶν Συνωνύμων οὐ μόνον τὸ ὄνομα ὑπάρχει κοινὸν, ἀλλὰ καὶ ὁ λόγος τῆς οὐσίας ὁ αὐτός. οὐσίωται γὰρ τὰ Συνώνυμα δυσὶ τούτοις, τῷ τε κοινωνεῖν τοῦ αὐτοῦ ὀνόματος, καὶ προσέτι τοῦ λόγου, τοῦ κατὰ τὸ κοινὸν ὄνομα ἀποδιδομένου. τῶν Ὁμωνύμων μόνον ἐχόντων τὸ ὄνομα κοινὸν, διαφερόντων δὲ τοῖς κατὰ τὸ κοινὸν ὄνομα λόγοις. ἐχρήσατο δὲ τῷ αὐτῷ παραδείγματι ὁ Φιλόσοφος ἐνταῦθα, ὥπερ ἐπὶ τῶν Ὁμωνύμων, ἵνα δηλώσῃ ὅτι τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο ἀναφερόμενον, Ὁμώνυμον εἶναι δύναται καὶ Συνώνυμον. τὸ γὰρ ζῶον ὁμωνύμως μὲν λέγεται κατὰ τοῦ ἀληθῶς ἀνθρώπου, καὶ τοῦ γεγραμμένου, συνωνύμως δὲ κατὰ τοῦ ἀνθρώπου καὶ βοός.

Ἀπορία.

Πρὸς ταῦτα ~~τοῦτοις~~ εἶχεν ἄτις ἀπορῆσαι, ὅτι τὰ εἰρημένα καὶ τοῖς Παρωνύμοις ὁμοίως προσήκει. τὸ γὰρ κεχρωσμένον παρώνυμον ὂν ἀπὸ τοῦ χρώματος, οὐδὲν ἧττον κατὰ τῶν ἐπὶ μέρους κεχρωσμένων συνωνύμως λέγεται. τὰ γὰρ καθ' ἕκαστα κεχρωσμένα, τοῦτε αὐτοῦ ὀνόματος μετέχουσι, καὶ τὸν λόγον ἔχει ὅπερ εἰσὶ κεχρωσμένα.

Ἀλλὰ πρὸς ταῦτα ἀπαντῆσαι οὐ χαλεπόν. οὐ γὰρ ἄπτων σῶ καὶ τὸ αὐτὸ κατ' ἄλλο καὶ ἄλλο συνώνυμον λέγεσθαι, καὶ παρώνυμον, ὥσπερ καὶ ὁμώνυμον, καὶ συνώνυμον. τὸ γὰρ γραμματικὸν πρὸς τὴν γραμματικὴν ἀναφερόμενον ἐξ ἧς παρωνόμασται, παρώνυμον λέγεται. πρὸς ἕτερον δὲ παραβαλλόμενον, συνώνυμον οὐκ ἀπεικότως λέγεται. ὁμοίως οὖν ἔχει καὶ ἐπὶ τοῦ κεχρωσμένου, καὶ ἄλλων πολλῶν.

Κἂν τοῖς ῥήμασι δὲ θεωρεῖται ἡ συνωνυμία, ὥσπερ καὶ ὁμωνυμία. τὸ γὰρ ἀλλοιοῦν, ῥῆμα συνώνυμόν ἐστι. λέγεται γὰρ ἀλλοιοῦν καὶ ὁ λευκαίνων, καὶ ὁ μελαίνων, καὶ τὸν αὐτὸν ὁρισμὸν ἐπιδέχεται, δηλαδὴ ἀρχὴν ἔχειν ἐν ἑαυτῷ μεταβλητικὴν, εἰς ἄλλο ἢ ἄλλο, ὅπερ ἁρμόζει ἐπ' ἀμφοτέρων.

Ἀπορία.

Ἀποροῦσι τινὲς λέγοντες τὸν συγκύπτοντα ἄνθρωπον μὴ εἶναι συνώνυμον τοῖς λοιποῖς, ἅτε μὴ ἄνω ὁρῶντα. εἰ γὰρ τέλος ἐστὶν ἡ σημασία τῶν ὀνομάτων, ὡς τοῦ ἄνθρωπος ὀνόματος, τέλος ἔχοντος τὸ σημαί-

μαίνειν τὸ ἄνω ὁρᾶν, ὁ δὲ συγκύπτων οὐχ ὁρᾷ ἄνω, ὥστε οὐδὲ ἄνθρωπος δυνάται λέγεσθαι.

Λύσις.

Τοῦτο ἐξ αὐτοῦ τοῦ προβλήματος ἐπιλύεται. ὡς γὰρ καὶ ἀνωτέρω ἐλέγετο, ὅτι τὰ μέσου τινός, ἢ ὀργάνου τάξιν ἔχοντα, εἰ καὶ τὸ τέλος ἀποβάλλωσιν, οὐ μὴν ὕλην καὶ τὸ εἶδος ἀποβαλοῦνται, οὕτω καὶ ἐνταῦθα. εἰ γὰρ ὁ ἄνθρωπος τὸ ὁρᾶν ἄνω ἀπεβάλλετο διὰ τὸ συγκύπτειν, καὶ διὰ τοῦτο μὴ κυρίως σημαίνεσθαι, ὑπὸ τοῦ ἄνθρωπος ὀνόματος, ἀλλὰ τὸ εἶδος οὐχ ἧττον ἐν ἑαυτοῖς σώζουσι, τό, τε ὄνομα, καὶ τὸ ὑποκείμενον τῷ ὀνόματι, δηλαδὴ ὁ ἄνθρωπος.

Ὅρος τῶν Παρωνύμων.

„ Παρώνυμα δὲ λέγεται, ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει τοῦ
„ κατὰ τοὔνομα προσηγορίαν ἔχει. οἷον ἀπὸ τῆς γραμματικῆς ὁ
„ γραμματικός, καὶ ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος.

Μετὰ τοὺς διδασκαλίαν τῶν Ὁμωνύμων καὶ Συνωνύμων, ὁ Ἀριστοτέλης ἐνταῦθα ἐκτίθησι τὸν τῶν Παρωνύμων ὁρισμόν, ὅτι χρήσιμος ἡ τούτων γνῶσις, διὰ τὸ τοὺς οὐσίαν ὡς ἔφημεν παρωνύμως λέγεσθαι ἀπὸ τῶν συμβεβηκότων. τοῦτο δὲ ἕκαστον συμβαίνει τῶν ἄλλων κατηγορημάτων τῆς οὐσίας. διάπερ τοῦτο ⊂ τοὺς ἐχάτους εἴληχε τάξιν ὁ περὶ τῶν Παρωνύμων λόγος. καὶνταῦθα ἐστὶ τὸ ὁριζόμενον τὰ πράγματα, οὐ καθὸ πρὸς ἄλληλα ἀναφέρεται, ὡς τὰ Ὁμώνυμα, καὶ Συνώνυμα, ἀλλὰ πρὸς ἐκεῖνο ἐξ οὗ τοὺς προσηγορίαν ἔχει. οἷον δυοῖν λευκοῖν φέρε εἰπεῖν Ψιμμυθίου καὶ Χίονος, οὐ θάτερον ἐκ θατέρου εἴρηται, εἰπεῖν παρωνόμασαι, ἀλλ' ἀπὸ τῆς λευκότητος ἀμφότερα.

Τρία δὲ ἐξ ἀνάγκης ζητεῖται ἐφ' ἑκάστης παρωνυμίας. Τὸ εἶδος, φέρε εἰπεῖν ἡ γραμματικὴ, ἐξ οὗ κατὰ μετοχὴν λέγεται τὸ παρώνυμον. ὅπερ παρωνυμοῦν τοῖς νεωτέροις καλονομάζεται. Δεύτερον τὸ ὑποκείμενον, φέρε εἰπεῖν ὁ ἄνθρωπος ὁ δεκτικὸς τῆς γραμματικῆς. ὅπερ παρωνυμούμενον τοῖς αὐτοῖς ἀποκαλεῖται, ⊂ αὐτὸ δὴ τὸ Παρώνυμον ἐκ τοῦ εἴδους καὶ τοῦ ὑποκειμένου συνεστηκός. ὅθεν οὐ δοκεῖ ἀναγκαῖον ἐπὶ τῶν Παρωνύμων παρεῖναι τὰ τέτταρα ἐκεῖνα, ἅπερ ὡς ἀναγκαῖα ἐκτίθησιν ὁ

Ἀμμώνιος, κοινωνίαν πράγματος, καὶ διαφορὰν πράγματος, κοινωνίαν ὀνόματος, καὶ διαφορὰν περὶ τὴν τελευταίαν συλλαβήν. τῷ δὲ τὰ ὀνόματα κοινωνίαν, ἔστιν ἃ τῆς παρωνύμων οὐκ ἔχοντα, οὐδὲν ἧττον μέντοι τοῖς πράγμασιν αὐτοῖς τυγχάνει παρώνυμα. οἷον ὁ σπουδαῖος ἀπὸ τῆς ἀρετῆς παρωνύμως λέγεται. μετέχει γὰρ τοῦ εἴδους τῆς ἀρετῆς, καὶ κατὰ μέθεξιν ἐκείνης σπουδαῖος ἤκουσεν, οὐ μὴν ἀρεταῖος. ὥστε οὐκ ἔστιν οὐδεμία κοινωνία τοῦ ὀνόματος τῆς ἀρετῆς τῷ σπουδαίῳ. ἔστι δ' ὅτε καὶ μετέχοντα τὰ αὐτὰ ὀνόματος οὐ διαφέρει κατὰ τὴν λῆξιν. οἷον ἡ γραμματικὴ γυνὴ ἀπὸ τῆς γραμματικῆς ἕξεως λεγομένη. εἰ δὲ κατὰ τὰ πράγματα καὶ τὸ ὄνομα καὶ τὴν φωνὴν εἶναι δεῖ τὴν παρωνυμίαν, ἀναγκαίως ζητεῖται τὰ ἐκτεθέντα τῷ Ἀμμωνίῳ, καθ' ὃν τρόπον καὶ ὁ Ἀριστοτέλης φαίνεται παραδοὺς ἐνταῦθα τὸν λόγον τῆς Παρωνύμων, καθ' ὅσον διαφέρει τε ἅμα καὶ κοινωνεῖ, κατά τε τοὔνομα καὶ τὸ πρᾶγμα. οὐδὲν δ' ὅμως κωλύει ἡμᾶς ἐκτεῖναι τὸν λόγον, καὶ ἐπὶ τῆς μὴ κοινωνούντων ὅλως κατὰ τοὔνομα.

Ὅτι δὲ οὐχὶ αἱ φωναὶ ἀλλὰ τὰ πράγματα εἰσὶν ἐνταῦθα τὰ ὁριζόμενα, καὶ ἐξ αὐτῆς τῆς λέξεως μάλιστα γίνεται δῆλον. Παρώνυμα γάρ φησι λέγεται. τὸ δὲ λέγεσθαι κυρίως καὶ πρώτως τοῖς πράγμασιν ἐφαρμόττει, ὥσπερ καὶ τὸ σημαίνεσθαι. εἶτα τὸ ἀποτίνος οὐκ ἐπὶ τοῦ ὀνόματος μόνον ἐννοεῖται, ἀλλὰ πολὺ μᾶλλον ἐπὶ τοῦ πράγματος, ἀπὸ τοῦ εἴδους δηλαδὴ οὗ κατὰ μετοχὴν τὸ παρώνυμον λέγεται. οὐ γὰρ μόνον ἀπὸ τῆς γραμματικὴ ὀνόματος φέρε εἰπεῖν ὁ γραμματικὸς ἄνθρωπος, λέγεται παρωνύμως, ἀλλὰ πολὺ μᾶλλον ἀπὸ τῆς κατὰ γραμματικὴν ἕξεως. ἄλλως γὰρ ἄν οὔτε ὁ δίκαιος ἀπὸ τῆς δικαιοσύνης, οὔτε ὁ σοφὸς ἀπὸ τῆς σοφίας, οὔτε ὁ σώφρων ἀπὸ τῆς σωφροσύνης παρώνυμα εἶεν. παρὰ γὰρ τοῖς γραμματικοῖς οὐκ ἀπὸ τῆς δικαιοσύνης ὁ δίκαιος, οὐδὲ ὁ σοφὸς ἀπὸ τῆς σοφίας, ἢ ὁ σώφρων ἀπὸ τῆς σωφροσύνης παράγεται, ἀλλὰ τοὐναντίον ἀπὸ τοῦ δικαίου ἡ δικαιοσύνη, καὶ ἀπὸ τοῦ σώφρονος ἡ σωφροσύνη. τὰ μέντοι πράγματα ἐναντίως ἔχει, κἂν τῇ περὶ ποιότητος λόγῳ ὁ Φιλόσοφος τὸν σώφρονα τίθεται παρωνύμως λέγεσθαι ἀπὸ τῆς σωφροσύνης, καὶ τὸν δίκαιον ἀπὸ τῆς δικαιοσύνης, ὥστε τὸ ἀπό τινος, τὸ εἶδος μᾶλλον σημαίνει, ἢ τὸ ὄνομα.

Παρὰ ταῦτα ἐπὶ τοῦ ὁρισμοῦ φησι, τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχειν. προσαγορεύεται δὲ ἃ τὰ ὀνόματα, ἀλλὰ τὰ πράγματα διὰ τῶν ὀνομάτων. ὥστε πρόδηλον καὶ ἐνταῦθα ὁρίζεσθαι τὰ πράγματα, ὡς καὶ ἐν

τοῖς

τοῖς ἀνωτέρω. ἀλλὰ καὶ ἐκ τῆς παραδειγμάτων τῆς ἐν τῷ ὅρῳ οὐχ ἧττον γίνεται δῆλον. ὁ γραμματικὸς καὶ ὁ ἀνδρεῖος οὐκ εἰσὶν ὀνόματα ἀφωρισμένα, ἀλλὰ πράγματα.

Περὶ τῆς διαιρέσεως.

Κεφάλαιον.

„ Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ δὲ αὖθ' „ συμπλοκῆς. τὰ μὲν οὖν κατὰ συμπλοκὴν, οἷον ἄνθρωπος „ ἔχει, ἄνθρωπος νικᾷ. τὰ δὲ αὖθ' συμπλοκῆς, οἷον ἄνθρωπος, „ βοῦς, ἔχει, νικᾷ.

Μετὰ τὸ διδάξαι τὸν Φιλόσοφον ἡμᾶς τὴν ἔννοιαν τῆς Ὁμωνύμων, Συνωνύμων, καὶ Παρωνύμων, δι' ὧν τὸ τελικὸν τοῦ βίου τῆς κατηγορίας ἐπὶ τῆς ὄντων, ἡμῖν γέγονε δῆλον, ἵν' λοιπὸν μεταβῶμεν ἐπὶ τὴν διαίρεσιν τοῦ ὄντος. ἀλλ' ἐπειδὴ ἡ εἰς ὁλοχερέστερα μέρη διαίρεσις ἑκάστου, φρονεῖται τῆς εἰς πλείονα μέρη γινομένης, ὥσπερ καὶ τὰ καθόλου τῆς κατὰ μέρος, τούτου χάριν πρὸ τοῦ διελεῖν τὰ ὄντα ὁ Φιλόσοφος εἰς δέκα, εἰς δύο, καὶ αὖθις εἰς τέτταρα διανεῖμαι προβάλλεται. ἀλλὰ καὶ πρὸ τούτου τίνα εἰσὶν ἃ δέχεται τὴν διανομὴν ταύτην ἐπὶ τοῦ παρόντος διδάσκει. τὰ γὰρ ὄντα καὶ κατὰ συμπλοκὴν ἑρμηνεύεται, καὶ αὖθ' συμπλοκῆς. τὰ μὲν οὖν κατὰ συμπλοκὴν, ἅτε δὴ σωθέντως ἑρμηνευόμενα, καὶ ἐκ διαφόρων συμπεπλεγμένα, εἰς τὸν περὶ προτάσεων λόγον ἀναπέμπεται ὁ Φιλόσοφος. οὐ γὰρ ἐν ταῖς κατηγορίαις πέπτεται, ὅτι μὴ τὰ ἁπλᾶ τῆς ὄντων, καὶ αὖθ' συμπλοκῆς.

Τεταχῶς τοιγαροῦν τῆς συμπλοκῆς θεωρουμένης, ἡ μὲν ἐν ταῖς φωναῖς μόνον θεωρεῖται, οὐκ ἔστι δὲ καὶ ἐν τοῖς πράγμασιν, οἷον ἄκρα πόλις, ἄρειος πάγος, καὶ τὰ τοιαῦτα. αὗται γὰρ αἱ φωναὶ σώθεσι εἰσὶ προφανῶς, τὰ δὲ σημαινόμενα πράγματα ἁπλᾶ, ἥτε μεσαιτάτη περιοπὴ τῆς πόλεως, καὶ τὸ δικαστήριον. ἡ δὲ ἐν μόνοις τοῖς πράγμασι θεωρεῖται, ἀλλ' οὐκ ἐν ταῖς φωναῖς, ὡς λαλῶ, ἀκούω. ἐν τούτοις γὰρ συννοεῖται ἡ ἐνεργοῦσα οὐσία, καί τοι τῆς φωνῶν ἁπλῶν οὐσῶν, ἀλαλῶν δηλονότι, καὶ ὁ ἀκούων.

Τέλος ἡ συμπλοκὴ θεωρεῖται ἐν ἀμφοτέροις, τοῖς τε πράγμασι, καὶ φωναῖς, οἷον Δημοσθένης δημηγορεῖ, καὶ Ἀριστοτέλης περιπατεῖ. ἐν οἷς ἅτε λέξεις εἰσὶ διάφοροι, καὶ τὰ σημαινόμενα ὁμοίως, ὁ δημηγορῶν δῆλαδὴ, ἢ ὁ περιπατῶν ἄνθρωπος, καὶ ἡ κατὰ δημηγορίαν ἐνέργεια, καὶ ὁ περίπατος. καὶ τελευταῖον ἀμφότερα ὡς ἁπλᾶ, ἥτε φωνὴ, καὶ τὰ πράγ-

πράγματα. τὰ μὲν οὖν ἐπὶ τοῦ παρόντος τῆς Ἀριστοτέλει διαιτησόμενα, ἃ καὶ ταχθήσεται ἐν τῇ σειρᾷ τῆς κατηγοριῶν, εἰσὶν ὅσα ἐκτὸς τυγχάνει συμπλοκῆς ἐν τοῖς πράγμασι θεωρουμένης, ὅπως δήποτε τῆς φωνῶν ἐχουσῶν εἴτε ἐν συμπλοκῇ, εἴτε ἄνευ συμπλοκῆς.

Ἰστέον ὅτι ὁ Ἀριστοτέλης ἐχρήσατο τισὶ ῥήμασι δηλωτικοῖς τινῶν τοῦ ὄντος γενῶν, ὡς τὸ ποιεῖν, τὸ πάσχειν, καὶ τὰ τοιαῦτα, ἅπερ ἔστιν τινὰ μετὰ συμπλοκῆς πράγματα ὑποδηλοῦσιν, ἀλλὰ τοῦτο πεποίηκε διὰ τὸ μὴ ὁρισμένως ἐμφαίνεσθαι τὴν ἐνεργοῦσαν οὐσίαν. διὸ καὶ δι' ἀπαρεμφάτου δεδήλωκε, καὶ ὡς ἁπλᾶ ἐν τῇ ἀπαριθμήσει τῆς ὄντων παρείληφε.

Προσέτι εἰδέναι δέον, ὅτι, τὸ λέγεται πρώτως μὲν ἁρμόττει τοῖς πράγμασι, ταῦτα γὰρ διὰ λόγου σημαίνονται, δευτέρως δὲ καὶ τοῖς νοήμασι, καὶ ταῖς λέξεσιν. ἐκείνοις μὲν ὡς ἑρμηνευομένοις, ταύταις δὲ ὡς προφερομέναις. τὸ μὲν οὖν ἐν τῷ παρόντι χωρίῳ, λέγεται, νοῆσαι δυνάμεθα καὶ περὶ πραγμάτων, καὶ περὶ φωνῶν. περὶ φωνῶν μὲν, καὶ γὰρ προβαίνων ὁ Ἀριστοτέλης φησὶ, τῆς κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον, ἤτοι Οὐσίαν σημαίνει, ἢ Ποσὸν, ἢ Ποιὸν, καὶ τὰ λοιπά. τὸ δὲ, σημαίνειν, λέξεσιν ἁρμόζει σημαινούσαις, καὶ σημαινομένοις πράγμασι. περὶ πραγμάτων δὲ, ὅτι διὰ τούτου (1) χωρίζονται τὰ μὴ ἐν τῇ κατηγορίᾳ τιθέμενα τῆς ἐν αὐτῇ τασσομένων, ἅπερ πράγματα εἰσὶ προφανῶς. ἔτι δὲ ἰστέον, ὅτι καὶ τὸ ἕτερον μέρος ὅπερ ὁ Φιλόσοφος τυγχάνει ὑποδιαιρῶν, εἰς πράγματα καὶ οὐκ εἰς λέξεις διαιρεῖται. διαιρεῖ τοίνυν ὁ Φιλόσοφος ἐνταῦθα τὰ ὄντα θεωρούμενα ὡς διὰ φωνῶν σημαινόμενα. ἐπὶ δὲ τῆς ἑξῆς διαιρέσεων καθ' αὑτό (2).

Δευτέρα διαίρεσις. Κείμενον.

„ Τῶν ὄντων τὰ μὲν, καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκει-
„ μένῳ δὲ οὐδενί ἐστιν. οἷον ὁ ἄνθρωπος. καθ' ὑποκειμένου λέ-
„ γεται τοῦ τινὸς ἀνθρώπου, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστι καὶ τὰ ἑξῆς.

Ἀφορισάμενος ἀνωτέρω ὁ Φιλόσοφος τῆς κατὰ συμπλοκὴν λεγομένων, ὅσα ἄνευ συμπλοκῆς λέγεται, ταῦτα νῦν ἀναλαβὼν πρῶτον μὲν διαιρεῖ εἰς δύο, εἰς οὐσίαν καὶ συμβεβηκός. τὰ γὰρ ὄντα, ἢ καθ' αὑτὰ ὑπάρχουσι, καὶ λέγονται Οὐσίαι, ἢ ἐν ἄλλῳ τὸ εἶναι ἔχουσι, καὶ λέγονται Συμβεβηκότα. εἶτα ἑκάτερον ὑποδιαιρεῖ μέρος, τὴν Οὐσίαν δηλαδὴ εἰς

(1) Τοῦ λέγεται, χωρίζεται τὰ μετὰ συμπλοκῆς λεγόμενα. (2) Ἤτοι καθ' ἑαυτὸ πράγματα.

εἰς μερικὸν καθόλου, καὶ τὸ Συμβεβηκὸς ὁμοίως εἰς μερικὸν καὶ καθόλου. ὧν ἕκαστον ὑπογράφει καὶ διὰ παραδείγματος σαφηνίζει. κέχρηται δὲ οὐ τοῖς ἰδίοις ἑκάστου ὀνόμασιν, ἀλλὰ ταῖς τύπων ὑπογραφαῖς, ἵνα οἰκειότερον τῇ φύσιν αὐτῆς παρασήσῃ.

Ἐπειδὴ γὰρ τῶν ὄντων τὰ μὲν ἀνθυπόστατα εἰσὶ μηδενὸς ἄλλου δέομενα εἰς ὕπαρξιν, ἃ καὶ οὐσίας καλοῦμεν, τὰ δὲ ἐν ἄλλοις ὑφέστηκεν, ἃ καὶ συμβεβηκότα δι' αὐτὸ τοῦτο λέγεται, τὰ μὲν συμβεβηκότα, διὰ τὸ ἐν ὑποκειμένῳ εἶναι ἐδήλωσε. τὰς δὲ οὐσίας διὰ τὸ μὴ ἐν ὑποκειμένῳ. καὶ τούτων ἑκάτερον, τὰ μὲν καθόλου, διὰ τὸ καθ' ὑποκειμένου λέγεσθαι ὑπογράφει, τὰ δὲ κατὰ μέρος, διὰ τὸ μὴ καθ' ὑποκειμένου. τὴν μὲν οὖν καθόλου οὐσίαν φησὶν εἶναι, τὴν καθ' ὑποκειμένου μὲν λεγομένην, ἐν ὑποκειμένῳ δὲ οὐδενὶ οὖσαν. οἷον ἄνθρωπος, ζῶον, καὶ τὰ ὅμοια. τὴν δὲ μερικὴν, μήτε καθ' ὑποκειμένου λεγομένην, μήτε ἐν ὑποκειμένῳ οὖσαν ἀλλὰ μόνον ὑποκείμενον, ὡς Σωκράτης, Πλάτων, καὶ τὰ ὅμοια. τὸ δὲ καθόλου συμβεβηκὸς ὑπογράφει λέγων, τὸ καθ' ὑποκειμένου τε λεγόμενον, καὶ ἐν ὑποκειμένῳ ὄν, ὡς ἡ τῆς γραμματικῆς ἕξις, ἔστι μὲν καὶ ἐν τῇ τοῦ γραμματικοῦ ψυχῇ, λέγεται δὲ καὶ κατὰ τῆς ἕξεως τῆς γραμματικῆς τοῦ Κωνσταντίνου, ἢ Τρύφωνος, καὶ τῶν λοιπῶν ἕξεων τῶν κατὰ μέρος γραμματικῶν. μερικὸν δὲ συμβεβηκὸς, τὸ ἐν ὑποκειμένῳ μὲν ὄν, καθ' ὑποκειμένου δὲ οὐδενὸς λεγόμενον. ὡς τοῦτο τὸ λευκὸν μερικῶς ὑπάρχει τούτῳ τῷ τοίχῳ.

Διδάσκει δὲ ὁ Φιλόσοφος ὅτι ἐν ὑποκειμένῳ ἐκεῖνο λέγεται εἶναι, ὅπερ μὴ ὄντινι ὡς μέρος ὑπάρχων, οὐ δυνάται εἶναι χωρὶς ἐκείνου ἐν ᾧ ἐστὶ, τουτέστιν οὐκ ὑπάρχον οὐσιωδῶς τῷ ὑποκειμένῳ, χωρὶς τούτου ἀδύνατον εἶναι. πρὸς δὲ τὴν τῆς λέξεως κατανόησιν ἰστέον, ὅτι τὸ λέγεσθαι καθ' ὑποκειμένου, συνωνύμως τε, καὶ οὐσιωδῶς λαμβάνεται, εἴτε οὐσίαι εἶησαν, εἴτε συμβεβηκότα. καὶ τοῦτο ὑποδηλοῖ ὁ Φιλόσοφος, τῇ τῆς γραμματικῆς παραδείγματι, τὸ καθόλου συμβεβηκὸς μὴ κατηγορεῖσθαι κατὰ τῶν ἐχόντων τὴν τῆς γραμματικῆς ἕξιν, ἀλλὰ κατὰ τῶν ἕξεων τῆς γραμματικῆς τέχνης. ὅθεν δῆλον ὅτι τὸ καθόλου κατηγορεῖται κατὰ τῶν ὑποτεταγμένων ἐπὶ τῆς αὐτῆς σειρᾶς τῶν κατηγοριῶν, οὗ ἕνεκεν τὸ ζῶον κατηγορεῖται κατὰ τοῦ ἀνθρώπου, καὶ τῶν λοιπῶν.


Ἵνα δὲ καὶ τὸ ὄντινι μᾶλλον ἡμῖν γνωστὸν γένηται, ἰστέον, ὅτι ὀκταχῶς λέγεται τὶ εἶναι ὄντινι, ὡς ἐν τῷ τετάρτῳ τῶν φυσικῶν φέρεται. Πρῶτον μὲν ὡς μέρος ἐν ὅλῳ, ὡς ὁ δάκτυλος ἐν τῇ χειρὶ, ἢ ἡ χεὶρ ἐν τῷ σώματι. Δεύτερον δὲ ὡς ὅλον ἐν τοῖς μέρεσιν, ὡς τὸ ἀνθρώπειον σῶμα, ἐν κεφαλῇ,

λῆ, χερσὶ, ποσὶ, καὶ τοῖς λοιποῖς μέρεσιν. Τέταρτον ἢ ὡς γένος ἐν εἴδεσι, ὡς τὸ ζῶον ἐν ἀνθρώπῳ, ἵππῳ, καὶ τοῖς λοιποῖς εἴδεσιν. Τέταρτον ἢ ὡς εἶδος ἐν γένει ὡς ἐν τῷ ζώῳ ὁ ἄνθρωπος. Πέμπτον ἢ ὡς εἶδος ἐν ὕλῃ. Ἕκτον ἢ ὡς τὰ τῷ ἀρχομένων ἐν τῷ ἄρχοντι, ὡς τῷ Βασιλεῖ τὰ τῷ ἑλλήνων ἐλέγετο πράγματα, ἢ ὅλως ἐν τῷ κοινοῦντι, ἢ ποιοῦντι, ὡς ἐν ἐξουσίᾳ, καὶ διοικήσει. Ἕβδομον δὲ ὡς τὰ τοῦ τέλους ἕνεκεν ἐν τῷ τέλει, ὡς αἱ ἀρεταὶ ἐν τῇ εὐδαιμονίᾳ. Ὄγδοον δὲ τὰ ἐν ἀγγείῳ, καὶ ὅλως τὰ ἐν τόπῳ, ὡς τὸ ὕδωρ ἐν τῇ λεκάνῃ, καὶ τὰ σώματα ἐν τῷ πρώτῳ περιέχοντι τόπῳ. τοιγαροῦν ὁ Ἀριστοτέλης φησὶ, τὰ συμβεβηκότα ἐν ὑποκειμένοις εἶναι ἐν οἷς ὑπάρχει, καὶ μήτε μέρος ἐκείνων εἶναι, ἀλλὰ καὶ χωρὶς τούτων ὑπάρχειν ἀδύνατον. ὡς ἡ ἐν τῷ τοίχῳ λευκότης, ὃ διαφέρει ἀπὸ τοῦ ἀνωτέρω τοῦ αὐτίνι ζώου. διαφέρει δὲ ἀπό τε τοῦ α. καὶ β. καὶ γ. καὶ δ. καὶ ε., ἐπειδήπερ λέγεται μὴ εἶναι μέρος, μήτε μέν οὐσιῶδες, καὶ ὑπάρχειν. ἐκεῖνα δὲ καὶ μέρη εἰσὶ, καὶ οὐσιώδη, καὶ ἀπάντη ἀλλόζια, μήτε ὑπάρχει, ὡς ἡ λευκότης ἡ ἐν τῷ τοίχῳ. τινὲς δὲ τῷ ἐξηγητῶν τὸ ἐν ὑποκειμένῳ συμβεβηκὸς τιθέασιν εἰς τὸ ε. τοῦ αὐτίνι ζώου. καὶ δοκεῖ μὲν ἀληθεύειν αὐτισιν, ἀλλ' οὐχ ἁπλῶς. τὰ γὰρ συμβεβηκότα τῇ ὕλῃ οὐκ εἰδοποιεῖ, εἰ μήπως. τοτὲ μὲν κατὰ συμβεβηκός. μᾶλλον δὲ τῷ ἡ. ζώῳ τοῦ αὐτίνι προσαρμόσειε. Αὖτη δὲ ἡ διαίρεσις τοῦ ὄντος, ὑπὸ τὴν διαίρεσιν τῆς ὁμωνύμου φωνῆς, εἰς τὰ οἰκεῖα σημαινόμενα ὑπάγεται. τὸ γὰρ ὂν ὅπερ ἐστὶ τὸ διαιρούμενον ἐνταῦθα, ὁμωνύμως λέγεται κατά τε τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος.

Προσέτι δὲ ἰστέον ἐν ταῖς κατηγορίαις μηδὲν ἄλλο ἐνεῖναι ὡς ἀπὸ τῷ ἐκτεθεισῶν ὑποφορῶν σωάξαι δυνάμεθα, εἰμὴ κατηγορούμενον, ἢ ὑποκείμενον, ἢ ἑκάτερον διαφόροις χρόνοις, καὶ οὐ κατὰ ταυτὸ λαμβανόμενον. ἀποδίδονται δὲ αἱ τόπων ὑποφοραὶ, διὰ τὸ καθ' ὑποκειμένου λέγεσθαι, ἢ ὑποκείμενον εἶναι, τοτὲ μὴ καθ' ὑποκειμένου. διὰ δὲ τὸ ἐν ὑποκειμένῳ, καὶ μὴ ἐν ὑποκειμένῳ, ἡ οὐσία καὶ τὸ συμβεβηκὸς ὑποδηλοῦται.

Καθ'

Καθ' ὑποκειμένου. — Ἀσύμβατον. — Καὶ μὴ καθ' ὑποκειμένου.



Ἐν ὑποκειμένῳ. — Ἀσύμβατον. — Μὴ ἐν ὑποκειμένῳ.

Τέσσαρα ἢ φωνῆς σημαντικὰ στοιχεῖα.

Ἡ μὲν ἐν ταῖς φωναῖς μόνον θεωρεῖται, οὐχὶ δὲ καὶ ἐν τοῖς πράγμασιν, οἷον ἄκρα πόλις, ἄρσις πάγος.

Ἡ δὲ ἐν μόνοις τοῖς πράγμασιν, ἀλλ' οὐκ ἐν ταῖς φωναῖς, ὡς λαλῶ, ἀκούω.

Ἡ δὲ ἐν ἀμφοτέροις τοῖς τε πράγμασι, καὶ φωναῖς, οἷον Δημοσθένης ἀγορεύει, καὶ Ἀριστοτέλης περιπατεῖ.

Καὶ τελευταῖον ἀμφότερα, ὡς ἁπλᾶ, ἥτε φωνὴ, καὶ τὰ πράγματα.

Περὶ τῆς Κανόνων. Πρῶτος.

Κείμενον.

„ Ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται, ὡς καθ' ὑποκειμένου, ρ3
„ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ
„ ὑποκειμένου ῥηθήσεται.

Ἐπὶ τῇ παρόντος, μετὰ τὴν ἔκθεσιν τῆς διαιρέσεων, τρεῖς κανόνας ὁ Φιλόσοφος ἡμῖν παραδίδωσιν. ὧν πρῶτος ἐπὶ τοῦ παρόντος παύτα τὰ ἑ-

παναβεβηκότα κατὰ τῶν ὑποβεβηκότων κατηγορεῖσθαι ἀπὸ τοῦ γένους μέχρι τῶν ἀτόμων διδάσκει, οἷον τὸ ζῶον κατηγορεῖται κατὰ τοῦ ἀνθρώπου, τοῦ δὲ ζώου κατηγορεῖται τὸ ἔμψυχον, ἢ σῶμα, ἢ οὐσία, ἢ πᾶν τὰρα πάντα κατηγορηθήσεται κατὰ τοῦ ἀνθρώπου. ἐννοεῖται δὲ τὸ καθ' ὑποκειμένου, οὗ ἔστιν τὰ γένη κατηγορεῖται τῶν εἰδῶν, ἢ τὰ εἴδη τῶν ἀτόμων. συμβάλλεται δὲ ὁ τοιοῦτος κανὼν εἰς διάγνωσιν τῶν τεττομένων ἐπὶ τῆς αὐτῆς σειρᾶς τῶν κατηγοριῶν. ὧν τὰ ἀνώτερα ἀεὶ κατηγορεῖται τῶν ὑποτεταγμένων, μέχρι τῶν ἀτόμων. τύπῳ γὰρ τῷ ἔστιν οὐ δυνάται κατηγορεῖσθαι ἀλλότρια τινά, εἰ μὴ τὰ συνωνύμως ἢ οὐσιωδῶς λεγόμενα.

Ἀλλ' εἶχεν εἰπεῖν τις πρὸς τὰ εἰρημένα. ὅτι τὸ ζῶον λέγεται γένος, ὁ δὲ ἄνθρωπος ὑπὸ τὸ ζῶον ὤν, οὐ λέγεται γένος, ἀλλ' εἶδος, οὔτε μὴν ὁ Σωκράτης ὑπὸ τὸν ἄνθρωπον, λέγεται εἶδος, πῶς οὖν ὁ κανὼν ἀληθεύει;

Πρὸς ὃν ῥητέον, ὅτι τὸ Γένος οὐχ ὡς καθ' ὑποκειμένου κατηγορεῖται τοῦ ζώου, ὥσπερ οὐδὲ τὸ εἶδος τοῦ ἀνθρώπου, ἀλλὰ κατὰ συμβεβηκός. συμβέβηκε γὰρ τῇ φύσει τοῦ ζώου πολλοῖς εἴδεσιν ὑπάρχειν, καθ' ὃ γένος ἤκουσεν, ὥσπερ καὶ τῇ τοῦ ἀνθρώπου, ἐν πολλοῖς ὑπάρχειν τοῖς καθ' ἕκασα. ὅθεν τῷ κατὰ συμβεβηκὸς λέγεσθαι τὸ ζῶον, γένος, ἐμπαδίδωσι τοῦ ὀνόματος τοῖς καθ' ὧν κατηγορεῖται.


Δεύτερος κανών.

Κείμενον.

„ Τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων, ἕτεραι τῶν εἰδῶν
„ καὶ αἱ διαφοραὶ, οἷον ζώου καὶ ἐπιστήμης. ζώου μὲν γὰρ αἱ
„ διαφοραὶ τό, τε πεζὸν καὶ δίπουν, καὶ τὸ πτηνὸν, καὶ ἔνυδρον. ἐπι-
„ στήμης δὲ οὐδεμία τούτων. οὐ γὰρ διαφέρει ἐπιστήμη ἐπιστήμης τῷ δί-
„ πουν εἶναι.

Διχῶς ἑκάστης κατηγορίας θεωρουμένης, κατὰ βάθος, καὶ κατὰ πλάτος, κατὰ βάθος μὲν, καθὸ τὰ ἀνώτερα τῶν κατωτέρω κατηγορεῖται, κατὰ πλάτος δὲ καθὸ τὰ ἑτερογενῆ πρὸς ἄλληλα συγκείνεται. τοιγαροῦν διὰ τοῦ προλαβόντος κανόνος τὸν κατὰ βάθος κατηγορίαν ἐδήλωσεν ὁ Φιλόσοφος τίνα δεῖ ὀφείλει γίνεσθαι, καὶ τίνα κατὰ τίνων κατηγορεῖσθαι.

γίνεσθαι δὲ φθορὰ ἐστὶν ἀπορίαν δὲν δὲ ἀπαντήσει, μᾶλλον δὲν
σαφῆνος δυνατὸν ἐστὶ λαβεῖν δὲν ἀληθεστέρων, ἐπανερχόμενοι
δὲ ἐπὶ τὰ λεγόμενα, ἐξ ὧν ἐστὶν ἡ φθορὰ σκοπεῖν ἄδειαν, ὥσπερ δὲ ἐξ
ἐξ ἧς ἀπὸ ἀδήλου τινὸς καὶ ἀπροσδιορίστου ἐπὶ τὸ ὡρισμένον, καὶ ὅτι
δὲ ἀπροσδιόριστον ἀπὸ ἀδήλου ἐξ ἀδήλου λέγω δὲ τὰ μὴ καθ' αὐτὰ ἐν τοῖς,
καθ' ὑποκείμενόν τι ἐστὶν ἀπροσδιόριστον καὶ ἄδηλον τῶν ἄλλων, ἐξ ὧν ἐστὶν
ἡ ἀπὸ τοῦ ἀδήλου καὶ ἀπροσδιορίστου ἐπὶ τὸ ὡρισμένον καὶ δῆλον, ἐπὶ δὲ ἐξ ἀνάγκης
ἡ ἀπὸ τοῦ ὡρισμένου καὶ δήλου ἐπὶ τὸ ἄδηλον καὶ ἀπροσδιόριστον. ἐπὶ δὲ τὸ
ἀπροσδιόριστον δῆλον ἀπὸ δύο, ἢ ὑπὸ τινος τῶν ὄντων τὰ ποιοῦντα ἀπορούμενον,
ὡς ὕδωρ, ἢ ὑπὸ ἐξουσίας ἀπειλημμένον ἀπὸ τῆς καθ' αὑτὸ ἀπορίας:
καὶ ἐπὶ τὸ ὡρισμένον ὡσαύτως. ὑπὸ μὲν τῆς ἀπορίας, ὅτι ἐν τῷ ὄντι λέγω
γὰρ ὅτι ἐστὶν ἐν τοῖς ἀπορεῖν, ἢ τὸ ὑπάρχειν. ὑπὸ μὲν γὰρ τῶν ἀπείρων δῆλον
ὅτι, διὰ τὸ μὴ ὑπάρχειν ἐν τοῖς οὖσιν, ἀπορεῖν ἐστὶ τὸ ἄπειρον, ὑπὸ δὲ τῶν
ἀπείρων ἐν τοῖς οὖσιν ἀπορεῖν ἐστὶ τὸ ἄπειρον, ὅτι ἐν τοῖς οὖσιν ἐστὶν ἡ ἀπορία:
ἐπὶ δὲ τὸ ὡρισμένον ἐξ ἀνάγκης ἐστὶν ἡ ἀπὸ τοῦ ἀδήλου καὶ ἀπροσδιορίστου
ἐπὶ τὸ ὡρισμένον καὶ δῆλον, ὅτι ἐν τοῖς ἀπορεῖν ἐστὶ τὸ ἄπειρον, ὅτι ἐν τοῖς



»

σεσοφισμένου δὲ, ὅταν βλαπτόμενοι

ρεῖσθαι. διὰ δὲ τοῦ παρόντος οὐχ ἧττον χρησίμου ὄντος, αὐτὸ τοῦτο δείκνυσιν ἐκ τῆς διαφορᾶς. καὶ προσέτι τὰ μὴ ὑπὸ τὸ αὐτὸ γένος τασσόμενα διακρίνει. ὧν γάρ φησι τὰ γένη πάντη ἕτερα καὶ μὴ ὑπ' ἄλληλα τεταγμένα, τούτοις μὴ τῆς αὐτῆς ὄντα κατηγορίας, τούτων αἵ,τε συσατικαὶ καὶ διαιρετικαὶ διαφοραὶ, ἕτεραι τῷ εἴδει τυγχάνουσι, καὶ ἀνάπαλιν. ὧν ἕτεραι τῷ εἴδει αἱ συσατικαὶ, καὶ αἱ διαιρετικαὶ διαφοραὶ, ἕτεραι πάντως εἰσὶ καὶ αἱ κατηγορίαι, ὑφ' ἃς ἀνάγονται. εἰσὶ γὰρ ἑτερογενῆ, ὅσα ἐν διαφόροις κατηγορίαις τασσόμενα εἰσί. σαφηνίζει τοῦτο ὁ Φιλόσοφος διὰ παραδείγματος τοῦ ζώου, καὶ τῆς ἐπιστήμης. ὧν τὸ μὲν ζῶον ὑπὸ τὸ γένος τάττεται τῆς οὐσίας, ἡ δὲ ἐπιστήμη ὑπὸ τὴν ποιότητα. ἐπεὶ οὖν διάφορα γένη εἰσὶν ἥτε οὐσία καὶ ἡ ποιότης, καὶ μὴ ὑπ' ἄλληλα τεταγμένα, καὶ αἱ διαφοραὶ τούτων ἐξ ἀνάγκης ἕτεραι εἰσί. ζώου μὲν γὰρ συσατικαὶ διαφοραὶ τὸ ἔμψυχον, τὸ αἰσθητικόν. διαιρετικαὶ δὲ, τό,τε πεζὸν, καὶ πτηνὸν, καὶ τὸ ἔνυδρον. ἐπιστήμης δὲ διαφοραὶ, συσατικαὶ μὲν, ἕξις ἀληθευτικὴ ἐν ψυχῇ, καὶ τὰ τοιαῦτα. διαιρετικαὶ δὲ, θεωρητικὸν, πρακτικὸν, ποιητικόν. ὅθεν δῆλον ὅσα τῷ γένει πάντῃ ἀλλήλων κεχώρισται, τούτων καὶ αἱ διαφοραὶ ἀλλήλων πάντῃ κεχωρισμέναι εἰσί. τὰ δὲ τοιαῦτα οὐκ ἂν ἐπὶ τῆς αὐτῆς κατηγορίας [illegible].

Ἑτέρας δὲ τῷ εἴδει εἴρηκε τὰς διαφοράς, ἵνα τὰς εἰδοποιοὺς δηλώσῃ. τὰς γὰρ καθ' ὁμωνυμίαν, καὶ ὅλως κατὰ συμβεβηκὸς διαφοράς, ἐνδέχεται πολλάκις καὶ τῷ πάντῃ ἑτερογενῶν εἶναι τὰς αὐτὰς, οἷον δίπουν, ὅ,τε ἄνθρωπος καὶ τὸ γεγραμμένον. ὧν ὁ μὲν ἄνθρωπος τοῦ γένους ἐστὶ τῆς οὐσίας, τὸ δὲ γεγραμμένον ἐπὶ τὴν ποιότητα ἀναφέρεται.

Τέταρτος Κανών.

ΤΡίτον ἐπάγει ὁ Φιλόσοφος, τῷ δὲ ὑπαλλήλων γενῶν, (τοιαῦτα δὲ εἰσὶν, ὅσα ὑπὸ τὴν αὐτὴν τάττεται κατηγορίαν, ὡς θάτερον ὑπὸ θάτερον) οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι διαφοράς. πάντως γὰρ αἱ συσατικαὶ τοῦ ἀνωτέρω, καὶ τοῦ κατωτέρω εἰσὶν αἱ αὐταί. ὅσα γὰρ σωιζῶσι φέρε εἰπεῖν τὸ ἔμψυχον, καὶ ἐν τῷ ζώῳ εἰσὶ ταῦτα. αἱ μέντοι διαιρετικαὶ τῷ ἀνωτέρω, οὐ πᾶσαι ἐνυπάρχουσι τοῖς κατωτέρω, ἀλλ' ὅσαι οἰκεῖαι ἑκάστου. διαιρετικαὶ γὰρ τοῦ ἐμψύχου, τό,τε αἰσθητικὸν, καὶ ἀναίσθητον, οὐ μὴν ἀμφότεραι ἐν τῷ ζώῳ. ἀλλὰ τὸ μὲν αἰσθητικὸν, ὅπερ ἐστὶν οἰκεῖον τῷ ζώου, ἐστὶν ἐν τῷ ζώῳ. τὸ δὲ ἀναίσθητον ἐν τῷ φυτῷ. δῆλον οὖν ὅτι τὰ ἑτερογενῆ διχῶς ἐννοοῦνται, τὰ μὲν πάντῃ ἕτερα καὶ ὑπὸ διαφόρους κα-

πγορίας, ὡς τὸ Ζῶον καὶ ἡ Ἐπιστήμη. τὰ δὲ ὑπὸ τὴν αὐτὴν κατηγορίαν, ὡς ἡ Συκῆ καὶ ὁ Ἵππος. ἅπερ ἑτερωνύμως μὲν λέγεται διὰ τὸ τὴν μὲν Συκῆν ὑπὸ τὸ φυτὸν εἶναι, τὸν δὲ Ἵππον ὑπὸ τὸ Ζῶον. ὑπάλληλα δὲ τῷ ὑπὸ τὴν οὐσίαν εἶναι.

Κείμενον.

„ Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων, ἕκαστον ἤτοι οὐσίαν
„ σημαίνει, ἢ Ποσόν, ἢ Ποιόν, ἢ Πρός τι, ἢ Πού, ἢ Ποτέ, ἢ
„ Κεῖσθαι, ἢ Ἔχειν, ἢ Ποιεῖν, ἢ Πάσχειν. ἔστι δὲ Οὐσία μὲν ὡς ἐν
„ τύπῳ εἰπεῖν, οἷον Ἄνθρωπος, Ἵππος. Ποσὸν δὲ, οἷον δίπηχυ, τρί-
„ πηχυ. Ποιὸν δὲ, οἷον λευκόν, γραμματικόν. Πρός τι δὲ, οἷον δι-
„ πλάσιον, ἥμισυ, μεῖζον. Ποῦ δὲ, οἷον ἐν ἀγορᾷ, ἐν Λυκείῳ. Ποτὲ
„ δὲ, οἷον χθὲς, πέρυσι. Κεῖσθαι δὲ, οἷον ἀνάκειται, κάθηται. Ἔ-
„ χειν δὲ, οἷον ὑποδεδέσθαι, ὡπλίσθαι. Ποιεῖν δὲ, οἷον τέμνειν, καί-
„ ειν· Πάσχειν δὲ, οἷον τέμνεσθαι, καίεσθαι. ἕκαστον δὲ τῶν εἰρημένων αὐ-
„ τὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται, ἢ ἀποφάσει, τῇ
„ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις, ἢ ἀπόφασις γίνεται.
„ ἅπασα γὰρ κατάφασις, ἢ ἀπόφασις δοκεῖ, ἤτοι ἀληθὴς, ἢ ψευδὴς
„ εἶναι. τῶν δὲ κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων, οὐδὲν, οὔτε ἀ-
„ ληθὲς, οὔτε ψεῦδός ἐστιν, οἷον ἄνθρωπος, λευκόν, τρέχει, νικᾷ.

Τῆς προ τῶν κατηγοριῶν διδασκαλίας περαιωθείσης, νυνὶ αὐτῆς τῆς τῶν κατηγοριῶν διαιρέσεως ὁ Φιλόσοφος ἅπτεται, καὶ τοῖς προλαβοῦσιν ἤδη πανόσιν, εἰς τὴν δεκαδικὴν τῶν τῆς ὄντος γενῶν συνταξιν καὶ κατηγορίαν τὸν ἀκροατὴν ἀσφαλισάμενος, τῆς διαιρέσεως ταύτης τὰ μέρη ἀπαριθμεῖται, καὶ διὰ παραδείγματος ἕκαστον τυπικῶς ἐμφαίνει. μεθ' ὅ,τι ἁπλοῦν ἕκαστον τῶν εἰρημένων καθ' ἑαυτὸ λεγόμενον δείκνυσι, διὰ τὸ μήτε ἀλήθειαν, μήτε ψεῦδος σημαίνειν. τὰ γὰρ κατὰ συμπλοκὴν ἐν ἀποφάσει, ἢ καταφάσει λέγεται, καὶ ἀπολύτως ἀλήθειαν, ἢ ψεῦδος δηλοῖ.

Ἰστέον, ὅτι τῶν ὄντων ὅσα μέρος λόγου ἔχει, ὡς Ὕλη, καὶ Εἶδος, καὶ τὰ κατὰ Ποσὸν μέρη, καὶ ὅσα ὡς ὅροι ἐννοοῦνται ἑτέρῳ, ὡς ἔχει στιγμὴ πρὸς γραμμὴν, καὶ γραμμὴ πρὸς ἐπιφάνειαν, αἵτε κινήσεις, ἀτελῆ λεγόμεναι ὄντα, στερήσεις τε, ὡς τύφλωσις, καὶ θάνατος, καὶ αἱ ἀποφάσεις, ἃ τάττονται κατ' εὐθεῖαν σειρὰν ἐν ταῖς κατηγορίαις, ἀλλὰ πλαγίως ἀνάγονται. τὰ μὲν μέρη ἐπὶ τὴν κατηγορίαν τοῦ ὅλου, καὶ οἱ ὅροι ἐπὶ τὴν κατηγορίαν ὧν εἰσὶν ὅροι, ὁμοίως δὲ καὶ αἱ στερήσεις, ἀνάγονται ἐπὶ τὴν κατ-

κατηγορίαν, ὧν εἰσὶ στερήσεις, καὶ αἱ ἀποφάσεις, ὧν εἰσὶν ἀποφάσεις. ὡς ἡ τύφλωσις ἐις τὴν τῆς Ποιότητος κατηγορίαν, ὅπου ἡ ὅρασις, καὶ ὁ θάνατος ἐις τὴν Οὐσίαν, ὅπου τὸ ζῶον, ὥσπερ καὶ ἡ ὕλη καὶ τὸ εἶδος. ἡ δὲ μονὰς, σημεῖόν τε καὶ τὸ νοῦν ἐπὶ τὸ Ποσὸν, οὗτινος ἀρχαί εἰσι, καὶ ὅροι. καὶ ὅλως τὰ πλαγίως ἀποδιδόμενά τινι, τῆς αὐτῆς εἰσὶ κατηγορίας ἐκείνῳ, εἰ μὴ σὺν ἑτέρῳ γένει καθ' ἑαυτὰ τάττεται.

Τὸ δὲ σὺν, καὶ ἀγαθὸν, καὶ τὸ τὶ, καὶ τὰ τοιαῦτα τῶν ὄντος παρεπόμενα, κοινὰ θατέρου ὁμωνύμως πασῶν τῶν κατηγοριῶν, ὥσπερ καὶ τὸ ὄν. ὧν ἐγνωσμένων ἡμῖν ὅπως, εὐσυνόχλητον ἔσται τὰ ἀμφισβητούμενα τῶν ἀριθμῶν τῶν δέκα γενῶν.

Προσέτι ἀμφιβάλλεται, πότερον αἱ νοεραὶ Οὐσίαι ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας εἰσὶ θεταὶ, ἢ οὔ; καὶ περὶ μὲν Θεοῦ, ἐν τῇ κατηγορίᾳ, πᾶσι δῆλον, μὴ σωνέχεσθαι. ἔστι γὰρ ἁπλοῦς ἅπτε, καὶ ἀπειρεσάπτε Οὐσία, καὶ οὐδεὶς λόγον Γένους, ἢ Διαφορᾶς ἐν ἑαυτῷ φέρειν δύναται. οὐδεμίαν γὰρ κέκτηται ἀτελειότητα, οὔτε μὴν τελικοῦ τινος δέεται. περὶ δὲ τῶν Νόων ἀμφιβάλλεται πλεῖστα, ἀλλ' ἀλλότριον τῆς ἡμετέρας προθέσεως, περὶ τούτων τὰ νῦν μακρὰς ἐπαναλίσκειν λόγους. τοῦτο δὲ μόνον ἐπὶ τοῦ παρόντος ὑποτιθέσθω, ὕστερον δὲ καὶ πλατυτέροις λόγοις τὸν Φιλόσοφον δείξομεν, οὐ περὶ τῶν νοερῶν Οὐσιῶν πραγματεύεσθαι, ὅπερ τῷ τε ζητοῦντι τῆς ὑπογραφῆς, τοῖς τε ἰδιώμασιν, ἃ ταῖς οὐσίαις ἀπένειμεν, ὡς οὐδετιοῦν ταῖς νοεραῖς Οὐσίαις προσήκει, δῆλον καθίσταται. ἔτι δὲ καὶ ὅτι ἐνταῦθα, περὶ τῆς οὐσίας ἐκείνης πραγματεύεται, ἥτις ἐστὶ βάσις τῶν ἄλλων κατηγοριῶν, Ποσότητος δηλαδὴ, Ποιότητος, καὶ τῶν λοιπῶν, ὁποία οὐκ ἔστιν ἡ νοερὰ οὐσία. ὥστε ἡ σωματικὴ οὐσία ἐνταῦθα θεωρεῖται τῷ Φιλοσόφῳ, καὶ τὰ ἐν αὐτῇ θεωρούμενα συμβεβηκότα, ἐξ ὧν ὁ δεκαδικὸς ἀριθμὸς ἀπαρτίζεται.

Εἴ δὲ ἡ διαίρεσις (ὡς καὶ ἀλλαχόθι εἴρηται) τοῦ ὄντος εἰς τὰ δέκα γένη ταῦτα, τῆς ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα. τῶν δὲ ὁμωνύμων ἐκείνου τοῦ ὅπου ἐστὶν ἡ διαίρεσις, τοῦ ἀφ' οὗ, ἢ πρὸς ὃ λεγομένα. ὥσπερ γὰρ τὸ ὑγιεινὸν λέγεται ἐπί τε ζώου, διαίτης, φαρμάκου, οὔρων, καὶ τῶν ὁμοίων, ἐν οἷς κυρίως καὶ πρώτως τὸ ζῶον ὑγιεινὸν λέγεται, τὰ λοιπὰ δὲ, ἐφ' ὅσον ἀνήκει ἐπὶ τὴν ὑγιείαν τοῦ ζώου, ὑγιεινὰ ἤκουσιν. οὕτως ἡ οὐσία ἐστὶ τὸ πρῶτον καὶ κυρίως σημαινόμενον τοῦ ὄντος, αἱ δὲ λοιπαὶ κατηγορίαι, οἷον Ποσότητες, Ποιότητες, καὶ ὅσα ἄλλα ὄντα λέγονται, ἐφ' ὅσον ἐπὶ τὴν οὐσίαν ἀναφέρονται, καὶ εἰσὶν ἐκείνης ἐκπάσεις, καὶ πάθη, καὶ περιεξάσεις. συμβαίνει τοίνυν, ὅτι ὥσπερ καὶ τὸ ὑγιεινὸν, οὐ κατηγορεῖται συνωνύμως κατὰ πάντων τῶν λεγομένων

μενων ὑγιεινῶν, ὅθεν οὐδὲ γένος ἐκείνων ἐστίν, οὕτω καὶ τὸ ὂν οὐ κατηγορεῖται συωνύμως κατὰ πάντων τῶν τοῦ ὄντος γενῶν. διὸ οὐδὲ γένος ἐστὶ τῶν αὐτῶν.

Περὶ τῆς ἀριθμῆς τῶν τοῦ ὄντος γενῶν.

Ἀμφισβητοῦσι δὲ οὐκ ὀλίγοι, εἰ ἀποχρῶσα ἐστὶν, ἡ τῶν ὄντων ἐνταῦθα διαίρεσις. ὧν οἱ μὲν πλεονασμὸν ἐγκαλοῦσιν, οἱ δὲ ὡς ἐλλειπῆ καταμέμφονται. φαίνεται γὰρ ὁ Φιλόσοφος ἐν διαφόροις τόποις ἀπαριθμῶν τὰς κατηγορίας, ἐλάττω ἀποδιδόναι τοῦ δεκαδικοῦ ἀριθμῆς. πολλάκις γὰρ τὸ Ἔχειν, καὶ τὸ Κεῖσθαι ὑπὸ τούτου καταλιμπάνεται. αἴτιον δὲ, ὅτι οὐ πανταχοῦ πρόκειται αὐτῷ ἡ ἀκριβὴς ἀπαρίθμησις τῶν τοῦ ὄντος γενῶν. ἔστι δὲ οὐκ ἄλλος ἀριθμὸς ἀληθέστερος, ἢ ὁ δεκαδικός. ὃν ἐπί τε τῶν παρόντος, καὶ τῷ πρώτῳ τῶν Τοπικῶν κεφαλαίῳ ἐννάτῳ ἀκριβῶς παραδίδωσιν ὁ Φιλόσοφος, οἵ, τε ἐξηγηταὶ τούτου Συμπλίκιός τε καὶ Ἀμμώνιος, καὶ οἱ λοιποὶ ἀποδέχονται. ἀλλὰ καὶ ἀπὸ τῆς διαιρέσεως τοῦ ὄντος τοῦτον σωζῆαι δυνάμεθα τρόπῳ τοιῷδε. τῶν ὄντος, τὸ μὲν ἔξιν ἀυθύπαρκτον καὶ οὐδενὸς ἑτέρου δεόμενον πρὸς σύστασιν, ὡς ἡ Οὐσία. τὸ δὲ ἐν ἄλλῳ τὸ εἶναι ἔχει, ὅπερ ἐστὶ Συμβεβηκός. καὶ ἡ μὲν Οὐσία σωίστησι τὴν πρώτην κατηγορίαν, ἥτις κυρίως καὶ καθ' αὑτὸ ὂν λέγεται. ἀφ' ἧς καὶ αἱ λοιπαὶ ἐννέα κατηγορίαι τὸ ὄντα λέγεσθαι ἔχουσι. πάλιν δ' αὖ τοῦ Συμβεβηκότος, τὸ μὲν ἐστὶν ἀπόλυτον, ἤτοι ἄχετον, τὸ δὲ χετικὸν καὶ πρός ἄλλο ἀναφερόμενον. ☾ εἰ μὲν ἀπόλυτον εἴη, ἢ ἀπὸ τῆς ὕλης προέρχεται συμπαραμαρτοῦν ἐκείνῃ, ☾ ἀχώριστον καθ' ἑαυτὸ ἀπ' ἐκείνης τυγχάνον, ὅπερ ἐστὶν ἡ Ποσότης. ἢ ἀπὸ τῆς Εἴδους προέρχεται καὶ τῇ Εἴδει κατακολουθεῖ ἀχώριστον ἐκείνῃ τυγχάνον, ☾ τοῦτο ἐστὶν ἡ Ποιότης. τῶν δὲ χετικὸν ἢ, ἢ κυρίως καὶ φύσει ἐστὶ πρός ἄλλο ἀναφερόμενον, ἢ μὴ κυρίως. ☾ εἰ μὲν κυρίως καθ' αὑτὸ εἴη, τὴν κατηγορίαν τῶν χετικῶν ἀποτελεῖ καὶ ταῦτα εἰσὶ τὰ τέσσαρα κυριώτερα γένη τοῦ ὄντος. τὸ δὲ μὴ καθ' αὑτὸ χετικὸν, διαιρεῖται καὶ ἀναπληροῖ τὰς λοιπὰς ἓξ τῶν κατηγοριῶν μέχει τοῦ δεκαδικοῦ ἀριθμῆς. ταῦτα δὲ τὰ λοιπὰ ἓξ, ἥττον κύρια γένη τοῖς λογικοδομένοις ἀποκαλοῦνται, διὰ τὸ ὑπάγεσθαι τρόπον τινὰ ὑπὸ τὰ χετικά. εἰ γὰρ καὶ ὡς ἀπόλυτα ληφθείη, ἀλλ' οὐκ ἄνευ χέσεως ἐννοεῖται. θεωρεῖται γὰρ ἐφ' ἑκάστῳ τῶν ἡ Οὐσία μετὰ χέσεως πρὸς ἕτεροντι τῶν ἐκτὸς ταύτης. θεωρουμένη γὰρ ὡς ἐν χρόνῳ οὖσα ἀποτελεῖ τὸ Ποτὲ, ὡς δὲ ἐν τόπῳ τὸ Ποῦ, κατὰ δὲ τὴν ἐν τόπῳ θέσιν, τὸ Κεῖσθαι, καὶ ὡς μὲν κινοῦσα τὸ Ποιεῖν,

ὡς

ὡς δὲ κινεμένη τὸ Πάσχειν. καθὸ δέτις ἑτέρα πρὲι ἑτέραν οὐσίαν θέσιν ἔχηκε, τὸ Ἔχειν ἀποτελεῖται. δῆλον οὖν, ὅτι τῆς οὐσίας σχετικῶς πρὸς ἕτερα θεωρεμένης ἀποτελοῦνται αἱ ἐξ ὕστερας τῶν κατηγοριῶν. ἐξ ὧν ἡ μὲν Ποτὲ, (1) ἢ ἡ Ποῦ θεωρῦνται κατὰ τὴν σχέσιν τῆς ἐν τῇ Οὐσίᾳ ποσότητος. ἡ δὲ Ποιεῖν, καὶ Πάσχειν κατὰ τὴν σχέσιν τῆς ἐν τῇ οὐσίᾳ ποιότητος. τινὲς δὲ καὶ τὸ Ἔχειν, καὶ τὸ Κεῖσθαι ἐπὶ τὴν σχέσιν τῆς ἐν τῇ Οὐσίᾳ ποσότητος ἀναφέρεσιν. ἔστι δὲ ὡς ἐν τύπῳ εἰπεῖν Οὐσία, οἷον Σωκράτης, Ποσὸν δὲ, οἷον τετράπηχυς. Ποιὸν δὲ, οἷον Φιλόσοφος, φαλακρός. Πρός τι δὲ, οἷον υἱὸς Σωφρονίσκου. Ποῦ δὲ, οἷον ἐν Λυκείῳ. Ποτὲ δὲ, οἷον χθὲς, πέρυσι. Κεῖσθαι, οἷον ἵσταται, κάθηται, Ἔχειν, οἷον ὑποδεδέσθαι. Ποιεῖν, οἷον ῥητορεύειν. Πάσχειν, οἷον τύπτεσθαι, καὶ τὰ ὅμοια. ταῦτα δὲ πάντα δυνατὸν ἐφ' ἑκάστης οὐσίας λέγειν, καὶ μάλιστα ἐπ' ἀνθρώπων, περὶ ὧν κατὰ μέρος ἐρούμενοι ἀπὸ τῆς οὐσίας ἀρξάμενοι.

(1) Ἡ οὐσία ὡς ἐν χρόνῳ οὖσα σχέσιν ἔχει πρὸς τοῦτον, καὶ ἀποτελεῖται τὸ Ποτὲ, καθὸ δὲ ἐν τόπῳ, ἡ Ποῦ. ὅτι δὲ τῇ ποσότητι ὑπάγονται τό, τε Ποῦ καὶ Ποτὲ, δῆλον ἐκ τῆς τοῦ Φιλοσόφου λέξεως ἀναριθμοῦντος τὰ εἴδη τοῦ ποσοῦ γραμμὴν, ἐπιφάνειαν, καὶ σῶμα, καὶ παρὰ ταῦτα φησὶ τόπος καὶ χρόνος, ὧν τὲ μὲν τὸ Ποτὲ, τοῦ δὲ τὸ Ποῦ.

Τὸ μὲν ἐστὶν ἀὐθύπαρκτον, οὐδενὸς ἑτέρου δεόμενον πρὸς σύστασιν, ὡς ἡ Οὐσία, ἥτις τὴν πρώτην κατηγορίαν σωίζησιν.

Τῶν Ὄντων.

Ἢ ὑπὸ τῆς ὕλης προέρχεται συμπαρομαρτοῦσα ἐκείνῃ, καὶ ἀχώριστον καθ' αὐτὸ ἀπ' ἐκείνης τυγχάνον, ὅπερ ἐστὶν ἡ Ποσότης.

Τὸ μὲν ἐστὶν ἄχετον, καὶ τύπου.

Ἢ ὑπὸ τοῦ εἴδους προέρχεται, καὶ τῷ εἴδει κατακολουθεῖ ἀχώριστον ἐκείνου τυγχάνον, ὅπερ ἐστὶν ἡ Ποιότης.

Τὸ δὲ ἐν ἄλλῳ τὸ εἶναι ἔχει, ὅπερ ἐστὶ τὸ Συμβεβηκός. καὶ τέτταρα,

Ἢ κυρίως καὶ φύσει ἐστὶ πρὸς ἄλλο ἀναφερόμενον, ὅπερ τὴν κατηγορίαν τῶν πρός τι ἀποπληροῖ.

Τὸ δὲ σχετικὸν, ἓν τέτταρα.

Θεωρουμένη μὲν ὡς ἐν χρόνῳ, ἀποτελεῖ τὸ Ποτέ.

Ὡς ἐν τόπῳ δὲ, τὸ Πῦ.

Κατὰ τὴν ἐν τόπῳ θέσιν, τὸ Κεῖσθαι.

Οὐσία, ἄνδρες	Ποσὸν, δύο	Ποιὸν, λευκοί
Πρόσται, ἀδελφοὶ	Ποῦ, ἐν ἀγυιαῖς	Ποτὲ, πέρυσι
Ποιεῖν, τύπτον	Πάσχειν, καὶ ἐτύπτοντο	Κεῖσθαι, ἑστῶτες
	Ἔχειν, ὁπλοις.	

Ἢ μὴ κυρίως, ὅπερ διαιρεῖται καὶ ἀναπληροῖ τὰ λοιπὰ ἓξ τῶν κατηγοριῶν.

Ὡς καιόμενα δὲ, τὸ Ποιεῖν.

Ὡς καιόμενη, τὸ Πάσχειν.

Καθὸ δέ τις ἑτέρᾳ πρὸς ἑτέραν οὐσίαν, θέσιν ἔχηκε, τὸ Ἔχειν ἀποτελεῖται.

Περὶ

„Ἔστι μὲν οὖν φιλία, ἔστι δ' οὐχ ἁπλῶς ἀεὶ δ' ἐν τῇ τραπέζῃ παρόντα σοι ὁ φιλόσοφος. ἐν μὲν γὰρ ἡδονικῇ διαίτῃ, φίλα φάγε μόνα σοι, ἀσφαγῆν, ἐρμινόλαν, ἢ ἄθδεν ὧν ἐν τῇ ἁπλῇ παρασκευῇ. ἐν γὰρ ταύτῃ ἐννοία ἁπλᾶ ἐστιν. ἡ γὰρ χωρὶς μὲν σαρκὸς, χωρὶς δὲ ἀσφάγου, οὐκ ἀπλῆ δὸν συμφορᾶς δίδεν σαλίνου ἐν ἀκονδι-νοοῦ σίδωνι, ἀπαραδέσμῳ ἀχόν, ἢ ὧν μεταφερούλων ἀρνοῖα ἐκνί-σαμβάδινος, ἀλλ' ἅμα ἐν τῇ τραπέζῃ ἐν δαίτεσι ἁπλᾶ ἀσφαγ-ῆ, ἢ ἁλμυρὸς ἀκόλις σωσαναφάνῃ, ὡς αὖν ὑπέμενεν κλω. ἐν τῇ-σδε, ἐκνίδις τραπέζῃ ἐστίν, αὖδε δαίτεσι. ἐν τραπέζῃ μὲν κλᾶδε ἐστὶν, ἢ πυριδιδάσκαλε ἐν τραπέζῃ, ἐν μαίχαι λεγομένῃ, ἐν μέλῃ πολὺ ἀκολούθῳ ἕνὸς λέγει, μέλε δὲ ἀκολούθῳ ἕνί ἐστιν, οἷον ὁ ἐνὶς ἄνας, ἢ ὁ ἐνὶς ἵππος. δαίτεσι δὲ ἅδε ἁπλᾶ, ἐν οἷς ἄθδεν ἀν τραπέζῃ ἅδε ἁπλᾶ, ἢ ἐκ ἑνὸς ὕδατος ἕνὸς γένη, ὡς ὁ ἄνας ἐν ᾧ σωμφάγ-ει ἢ κλῶν ἐστι, ἢ θλῶσον ἐν ᾧ ὁ ἄνας. μεταδὲ ἐν ἐπιθείσεσι ἀκο-μεσθῆν, ἢν ἀναπλωθῆν ἐρίδον ὁ φιλόσοφος ἐκθέμενον, ἢ ἐν ἄθδεν ἐσθλὸν ἐν τῇ τραπέζῃ ἐδωμάτῳ.

Περὶ Οὐσίας.

„ Οὐσία ἐστὶν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη,
„ ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ
„ τινὶ ἐστὶν, οἷον ὁ τὶς Ἄνθρωπος, ἢ ὁ τὶς Ἵππος.

Οὐχ ἁπλῶς ὁ Φιλόσοφος τῆς διδασκαλίας τῶν κατηγοριῶν ἀπὸ τῆς Οὐσίας ἄρχεται, ἀλλὰ τὸ αἴτιον τῆς τάξεως προφανές. ἡ γὰρ Οὐσία ὡς ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ Ζ τῶν Μεταφυσικῶν λέγεται, ἐστὶ πρώτη τῶν ἄλλων πάντων, καὶ λόγῳ, καὶ γνώσει, καὶ φύσει, καὶ χρόνῳ. τὰ γὰρ παρὰ τὴν Οὐσίαν ὄντα, ἐπὶ τῆς Οὐσίας ὑφέστηκε, καὶ ἀπὸ τῆς Οὐσίας τὸ εἶναι ἔχει. ἡ δὲ Οὐσία ἐστὶν οἷον τὶς βάσις καὶ κεῖται τῶν συμβεβηκότων ἁπάντων, καὶ μάλιστα ἡ πρώτη, ἥτις πᾶσιν ὑποκειται τοῖς τε καθ' ὑποκειμένου λεγομένοις, καὶ ἐν (1) ὑποκειμένῳ οὔσι.

Τέτταρα δὲ ποιεῖ ἐπὶ τῆ παρόντος κεφαλαίου ὁ Φιλόσοφος. Πρῶτον (2) διαιρεῖ, εἶτα ὑπογράφει, ἑρμηνεύει τε, καὶ ἅπερ ἔχει ἰδιώματα παράγει. καὶ ἐπὶ μὲν τοῦ πρώτου ὑποτίθησι τὴν Οὐσίαν διττὴν εἶναι, τὴν πρώτην, οἷον τὸν ἄτομον, καὶ τὴν δευτέραν, ἥτις ἐστὶν ἡ καθόλου, περιέχουσα ἅμα τά τε γένη καὶ τὰ εἴδη τῆς πρώτης. ἐπὶ δὲ τοῦ δευτέρου ὑπογράφει τὴν πρώτην Οὐσίαν ὁ Φιλόσοφος λέγων ὧδε. Οὐσία ἐστὶν ἡ κυριώτατά τε, καὶ πρώτως, καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ τινὶ ἐστὶν, οἷον ὁ τὶς ἄνθρωπος, καὶ ὁ τὶς ἵππος. τὰς δὲ δευτέρας Οὐσίας ὑπογράφει λέγων. δευτέραι δὲ Οὐσίαι εἰσὶ τὰ Εἴδη, ἐν οἷς εἴδεσιν αἱ πρῶται Οὐσίαι εἰσὶ, καὶ τὰ τῶν εἰδῶν τούτων γένη, ὡς ὁ ἄνθρωπος ἐν ᾧ Σωκράτης, καὶ Πλάτων ἐστὶ, καὶ τὸ ζῶον ἐν ᾧ ὁ ἄνθρωπος.

Ἐν δὲ τῷ τρίτῳ μέρει τέτταρα ποιεῖ ὁ Φιλόσοφος. Πρῶτον παραβάλλει τὰ συμβεβηκότα καὶ τὰς δευτέρας Οὐσίας ταῖς πρώταις. ὅθεν συμπέρασμα τὴν ὑπεροχὴν τῆς πρώτης Οὐσίας. Δεύτερον παραβάλλει πρὸς ἀλλήλας

Υ

(1) Εἰς τὰ Συμβεβηκότα. (2) Εἰ καὶ δοκεῖ πρῶτον ὁ Φιλόσοφος ὑπογράφειν τὴν πρώτην Οὐσίαν, ἀλλ' οὐδὲν ἧττον, ἐννοεῖται πρῶτον ἡ διαίρεσις τῆς πρώτης καὶ δευτέρας. πρῶτον γὰρ φησὶ τὰ ὁμώνυμα διαιρετέα, εἶτα ὁρισέα. ἐνταῦθα δὲ ἅμα τῇ ὑπογραφῇ τῆς Οὐσίας καὶ ἡ διαίρεσις δεδήλωται, καὶ ἀνέκυψεν. ἀλλ' οὐκ οἰκειότερον δοκεῖ φαῖναι, ὅτι ὁ Φιλόσοφος ὑποτίθησι τὴν διαίρεσιν τῆς Οὐσίας ἐν τοῖς πρὸ τῶν κατηγοριῶν, ἔνθα διεῖλε τὴν Οὐσίαν εἰς μερικὴν καὶ καθόλου, εἰπών. τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται (οἷον ὁ ἄνθρωπος,) ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστι. τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστὶν, οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται. οἷον ὁ τὶς ἄνθρωπος, ὁ τὶς ἵππος. ὅθεν ἐκεῖσε διαιρεῖ, ἐνταῦθα ὑπογράφει.

λας τας δευτέρας Οὐσίας κατὰ βάθος. Καὶ σωάγει τὰ εἴδη (1) μᾶλλον εἶναι οὐσίας, ἢ τὰ γένη. Τέτον παραβάλλει τάς τε πρώτας καὶ δευτέρας Οὐσίας πρὸς ἀλλήλας, οὐκ ἔτι κατὰ βάθος, ἀλλὰ κατὰ πλάτος, ὅθεν δείκνυσιν ἑτέραν τῆς ἑτέρας μὴ μᾶλλον εἶναι Οὐσίαν· Τελευταῖον τὰ γένη, καὶ τὰ εἴδη τῶν οὐσιῶν παραβάλλων τοῖς γένεσι καὶ εἴδεσι τῶν συμβεβηκότων, ἀντιδιαστέλλει ταῦτα ἀλλήλων. ἐπὶ δὲ τοῦ τετάρτου μέρους τοῦ προκειμένου τῆς Οὐσίας παρεπόμενα, ὧν τὰ μὲν κοινότερα τυγχάνει ὄντα, τὰ δὲ μᾶλλον ἴδια ταῖς δευτέραις Οὐσίαις, ἢ ταῖς πρώταις. τὰ δὲ ταῖς πρώταις Οὐσίαις ἰδιαίτατα, ἢ ταῖς δευτέραις.

Πρῶτον μέρος τοῦ κεφαλαίου ὅπερ περιέχει τὰς διαιρέσεις τῆς Οὐσίας.

Ἐπὶ τοῦ πρώτου μέρους τοῦ κεφαλαίου ζητεῖται πρῶτον τίς ἂν εἴη ἡ διαίρεσις αὕτη τῆς οὐσίας εἰς τὴν πρώτην τε καὶ δευτέραν. εἰς δὲ τὴν ἑτέραν μόνον καταλῆψιν τοῦ ζητουμένου, λεκτέον ἂν εἴη πρῶτον τὰ διάφορα σημαινόμενα τῆς Οὐσίας. ἔστι γὰρ αὕτη τῶν πολλαχῶς λεγομένων. καὶ οὐ μόνον παρὰ Ῥήτορσι διαφόρως τὸ τῆς Οὐσίας ὄνομα ἐκλαμβάνεται, ἀλλὰ καὶ παρὰ Φιλοσόφοις. καὶ γὰρ ποτὲ μὲν ἁπλῶς ὕπαρξιν σημαίνει, εἴτε οὐσιώδη, τουτέστι τῶν αὐθυποστάτων, καὶ καθ' αὐτὸ ὑπαρχόντων, εἴτε κατὰ συμβεβηκός, τῶν ἐν ὑποκειμένῳ δηλαδὴ συμβεβηκότων. Οὐσίας γὰρ καὶ τὰ Συμβεβηκότα καταχρηστικῶς διὰ τὸ ὑφεστάναι λέγομεν, ὡς ἐν τοῖς ὁρισμοῖς Ὁμωνύμων, καὶ Συνωνύμων φαίνεται ἐξειληφὼς ὁ Φιλόσοφος. Ποτὲ δὲ τὸ αὐθύπαρκτον μόνον καὶ καθ' αὐτὸ ὄν, ὅπερ αὐτιδιαστέλλεται τῷ ἐν ὑποκειμένῳ, ὅπερ εἰ μὲν τοῖς Μεταφυσικοῖς εἰς ζήτησιν τῷ Φιλοσόφῳ διανενέμηται, ὕλην, εἶδος, καὶ τὸ συναμφότερον. ἐπὶ δὲ τῶν παρόντος τειχῶς ἐννοεῖται, Ἢ ὡς ἐν τῷ γενικωτάτῳ τοῦ ὄντος γενῶν, ὑφ' ἑαυτὸ

(1) Ὡς πλησίον μᾶλλον ὑπάρχοντα τοῖς ἀτόμοις, ἢ τὰ γένη.

Διαίρεσις.
Γραφή.
Ἑρμηνεία.
Ἰδιώματα.

τὴν γένη ⁊ εἴδη μέχει τῆς ἀτόμων, ⁊ σωθέντων οὐσιῶν ἐξηρτημένα ἔχουσα, ἥτις ἀντιδιαστέλλεται τῇ ὑφ' αὐτὴν τεταμένων. Ἢ τὴν ὅλων σειρὰν ἀπὸ τῆς γενικωτάτων μέχει τῆς ἀτόμων δηλοῖ. Ἢ τὸ τελευταῖον ἐννοεῖται, καθὸ πᾶσι τοῖς ἄλλοις ὑποκειται, οἷα ἐστὶ μάλιστα ἡ μερικὴ, ⁊ ἄτομος Οὐσία, ἥτις ⁊ πρώτην ἐνταῦθα οὐκ ἀπεικότως ἔλαχε τάξιν, οὐ μόνον ὅτι πρῶτον ἐν τοῖς οὖσι ⁊ κυριώτατον ὂν ἐστὶν, ἀλλ' ὅτι ⁊ τὰ λοιπὰ περὶ αὐτὴν, ἢ ἐν αὐτῇ τὴν ὕπαρξιν ἔχηκε, ὡς ⁊ αὐτὸς προϊὼν ἐρεῖ ὁ Φιλόσοφος. τὰ γὰρ ἄλλα πάντα ἥτοι παθ' ὑποκειμένων τῶν ἀτόμων Οὐσιῶν λέγεται, ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστὶ, βάσεως οἷον λόγον, ⁊ κειπίδος πρὸς αὐτὰ ἐχηκυίας, ὧν ⁊ ἀναιρεθεισῶν, ἀδύνατον τῶν ἄλλων τι εἶναι.

Εἰσὶ μέντοι οἱ ἐκλαμβάνοντες τὴν οὐσίαν κατὰ τὸ τέλειον σημαινόμενον, τὴν ἐπὶ τοῦ παρόντος αὐτῆς διαίρεσιν, ὡς ὅλον εἶναι εἰς μέρη δύνασθαι ὑπέλαβον, ὡσανεὶ ἔλεγεν ὁ Φιλόσοφος, τῶν τεταμένων ἐν τῇ κατηγορίᾳ τῆς Οὐσίας ἐπ' εὐθείας, τὰ μὲν εἶναι πρώτας Οὐσίας, τὰ δὲ δευτέρας. Ἀμμώνιος δὲ μετά τινων ἄλλων μὴ διαίρεσιν εἶναι βούλεται τὴν παραδιδομένην ἐνταῦθα τῷ Φιλοσόφῳ διαίρεσιν, ἀλλ' ὑποζύμησιν μόνον τῶν τεταμένων ἐπ' εὐθείας ἐπὶ τῆς προκειμένης κατηγορίας. ὡς ἔστιν εἰπεῖν τῶν τοῦ λόγου μερῶν, τὰ μὲν εἶναι στοιχεῖα, τὰ δὲ συλλαβὰς, ⁊ παρὰ ταῦτα λέξεις. βέλτιον δὲ φαῖεν τὴν Οὐσίαν ἐνταῦθα θεωρεῖσθαι καθὸ τοῖς τε καθ' ὑποκειμένου λεγομένοις ὑποκειται, ⁊ ἐν ὑποκειμένῳ οὐσι. τοῦτο δὲ ⁊ πάσαις προσήκει ταῖς Οὐσίαις, ἀλλὰ κυριώτατα μὲν τῇ πρώτῃ, δευτέρῳ δὲ λόγῳ, ⁊ διὰ τὴν πρώτην, προσήκει ⁊ ταῖς δευτέραις. ὅθεν ἡ πρώτη Οὐσία, προτέρα ἐστὶν Οὐσία τῶν ἄλλων κατὰ τοῦτον τὸν λόγον, οὗ χάριν ἡ Οὐσία οὐ συνωνύμως λαμβάνεται, ἐπὶ τῆς παραδεδομένης διαιρέσεως, ἀλλ' ὁμωνύμως, ὡς τὰ ἀφ' ἑνὸς ἢ πρὸς ἕν, ὥσπερ ⁊ τὸ ὂν ἐλέγετο διανέμεσθαι εἰς τὰ δέκα γένη. ἔστι δὲ προφανὴς ἡ τῶν λεγομένων ἀλήθεια ἐπ' αὐτῆς τῆς λέξεως τοῦ Φιλοσόφου. ἡ γὰρ ἄτομος Οὐσία λέγεται, ὅτι ἐστὶν ἡ κυριώτατα ⁊ πρώτως ⁊ μάλιστα λεγομένη, οὐχ ἕπου δὲ αἱ δευτέραι Οὐσίαι.

Προϊὼν δὲ διδάσκει τὰς Οὐσίας λέγεσθαι, ἀπὸ τοῦ ὑφίστασθαι τοῖς ἄλλοις. ⁊ τὰς μὲν πρώτας Οὐσίας μάλιστα εἶναι Οὐσίας, ὅτι πᾶσιν ὑφίστανται τοῖς ἄλλοις. ὅθεν ⁊ τὰ εἴδη ⁊ τὰ γένη τῶν πρώτων Οὐσιῶν, δευτέραι ἤκουσαν Οὐσίαι, ὅτι δευτέρῳ λόγῳ ὑφίστανται τοῖς ἄλλοις, ⁊ διὰ τὴν πρώτην.

Πότερον ὑπὸ τὴν κατηγορίαν τῆς Οὐσίας περιέχονται καὶ αἱ ἄϋλοι Οὐσίαι, ἢ μή;

Τῆς προτεθείσης ζητήσεως διττὴν ἐνδέχεται γενέσθαι τὴν ἔννοιαν, ἁπλῶς δηλαδὴ, ἢ κατά τι. κατά τι μὲν ληφθείη, εἴπερ ἡ ζήτησις γίνηται περὶ τῆς ἐπὶ τοῦ παρόντος διδασκαλίας τοῦ Φιλοσόφου, εἴγε δηλαδὴ ὁ Φιλόσοφος ἐνταῦθα περὶ ἀμφοτέρων ποιεῖται τὸν λόγον, τῆς ὑλικῆς δηλαδὴ καὶ ἀΰλου Οὐσίας. ἁπλῶς δὲ γένοιτ' ἂν ἡ θεωρία, εἴγε ζητήσαιμεν, εἰ ὅλως ἐνδέχεται τὰς ἀΰλους Οὐσίας κατὰ τόπον κατηγορίας τετάχθαι. ὡς εἶναι τὰς μὲν αὐτῶν γένη, τὰς δὲ εἴδη.

Κατὰ μὲν οὖν τὴν πρώτην ἔννοιαν, ἀναμφισβήτητόν ἐστιν ἐπὶ τοῦ παρόντος μὴ γίνεσθαι τὴν διάσκεψιν τῷ Φιλοσόφῳ περὶ τῶν ἀΰλων Οὐσιῶν, οὔτε μὴν τετάχθαι ἐν τῇ προκειμένῃ κατηγορίᾳ. ἀνάντιῤῥητον γὰρ, ὅτι θεωρεῖται τῷ Φιλοσόφῳ ἐνταῦθα ἡ Οὐσία τῷ λόγῳ τοῦ ὑποκεῖσθαι, ἥπερ δηλαδὴ ὑποκειται τοῖς Συμβεβηκόσιν. αὗται γὰρ αἱ ἄϋλοι Οὐσίαι οὐδενὶ ὑποκειται Συμβεβηκότι κατὰ τὸν Φιλόσοφον, οὐκ ἄρα περιέχονται ἐν τῇ προκειμένῃ τῆς Οὐσίας θεωρίᾳ.

Δεύτερον Οὐσία ἐνταῦθα λέγεται πυριώτατα καὶ πρώτως, καὶ μάλιστα ἡ ἄτομος καὶ ὑλικὴ, ὡς ὁ τὶς ἄνθρωπος, καὶ ὁ τὶς ἵππος. εἰ δὲ καὶ ἐπὶ τῶν ἀΰλων Οὐσιῶν ἐξετείνετο ἡ διάσκεψις, οὐκ ἂν ἐλέγετο ἡ ὑλικὴ Οὐσία πυριώτατα καὶ πρώτως, καὶ μάλιστα Οὐσία. πυριώτατα γὰρ καὶ πρώτιστα Οὐσίαι εἰσὶν αἱ χωριστὰ, οἷά εἰσι τὰ ἄϋλα εἴδη, ὡς ὁ Φιλόσοφος ἐν πρώτῳ κεφαλαίῳ τοῦ ἐλάττονος Α, διδάσκει ἐν τοῖς Μεταφυσικοῖς. ἡ παροῦσα ἄρα διάσκεψις, οὐκ ἐκτείνεται ἐπὶ τὰς ἀΰλους Οὐσίας.

Τέλος, ἃ προχειρίζεται ὁ Φιλόσοφος ἐνταῦθα παρεπόμενα τῆς Οὐσίας, ὡς πάσαις προσήκοντα ταῖς περὶ ὧν ὁ λόγος Οὐσίαις, ἀλλότρια εἰσὶ τῶν ἀΰλων Οὐσιῶν, οὐκ ἄρα θεωροῦνται ἐνταῦθα αἱ ἄϋλοι Οὐσίαι.

Κατὰ τὴν δευτέραν ἔννοιαν.

Ἁπλῶς δὲ θεωρουμένων τῶν ἀΰλων Οὐσιῶν πότερον ἐνδέχεται ταύτας ἐπὶ κατηγορίας τετάχθαι; ὡς εἶναι τὰς μὲν αὐτῶν γένη, τὰς

τὰς δὲ εἴδη, ἀμφισβητήσιμόν ἐστι. τῷ δὲ νεωτέρων οἱ πολλοὶ, καὶ μάλιστα τῷ ἐπιγραφομένων θεολόγων, διϊσχυρίζονται ἐπὶ τῷ χωριστῶν εἰδῶν, πλὴν τοῦ πρώτου, γενητὰ εἶναι καὶ εἴδη, καὶ προχειρίζονται εἰς βεβαίωσιν πολλὰ τῷ λεγομένων παρὰ τοῖς παλαιοῖς, καὶ αὐτὸν δὴ τὸν Ἀριστοτέλη μάρτυρα τῆς σφῶν αὐτῷ εἰσάγουσι δόξης ἐν τοῖς Μεταφυσικοῖς, ἔνθα πολλάκις τὴν Οὐσίαν διαιρεῖ εἰς ὑλικὴν καὶ ἄυλον, καὶ λόγῳ κέχρηται εἰς δεῖξιν τοῦ αὐτοῦ. φασὶ γὰρ τὸ χωριστὸν εἶδος, φέρε εἰπεῖν τὸ κινητικὸν τῆς ἡλιακῆς σφαίρας, καὶ τὸ κινητικὸν τῆς σελληνιακῆς σφαίρας, καθ' αὑτὸ κινωνοῦσιν ἐν τῷ εἶναι ἀμφότερα νοερὰ εἴδη, καὶ διαφέρειν ἅμα καθ' αὑτὸ, καθότι καὶ αἱ κινούμεναι σφαῖραι ὑπ' αὐτῷ διεσχωρίσθησαν, ἀλλ: ἐν οἷς ἂν ᾖ κοινωνία οὐσιώδης, καὶ διαφορὰ οὐσιώδης, ἔστι καὶ γένος καὶ εἶδος. ἐν οἷς δ' ἂν ᾖ γένος καὶ εἶδος, ταῦτα ἐπὶ κατηγορίας τάχθαι οὐδὲν κωλύει, τὰ νοερὰ ἄρα εἴδη τετάχθαι ἐπὶ κατηγορίας οὐδὲν κωλύει.

ἀναλεσθὲ ἡ ἐκλεθάσαι

Ἀντικειμένη (1) δόξα.

Κατὰ μὲν οὖν τὴν Ἀριστοτελικὴν διδασκαλίαν, οὐ δοκεῖ λόγου ἐχόμενον, τὰ νοερὰ Εἴδη ἐπὶ Κατηγορίας τάττεσθαι, οὐδὲ γένη καὶ εἴδη εἶναι τούτοις. ὅτι καὶ συνθέσεως παντοίας ἀπήλλακται, καὶ οὐδεμιᾷ ὑπόκειται μεταβολῇ, διὰ τὸ μὴ θεωρεῖσθαι αὐτοῖς τὸ δυνάμει ὡς παντοίας ὕλης κεχωρισμένα. τὰ δὲ τακτόμενα ἐπ' οὐσίας ἐν ταῖς κατηγορίαις ἔχει τινὰ σύνθεσιν, τὴν ἐκ γένους γοῦν καὶ διαφορᾶς. παρὰ δὲ τῷ Φιλοσόφῳ τὰ νοερὰ Εἴδη ἁπλούστατα λέγεται ἐν τοῖς Μεταφυσικοῖς, καὶ μάλιστα ἐν ἑκτῷ κεφαλαίῳ τοῦ Ζ, καὶ ἐν δωδεκάτῳ κεφαλαίῳ δυοκαιδεκάτῳ. κατὰ τὸν Ἀριστοτέλη ἄρα τὰ νοερὰ εἴδη οὐ τακτέα ἐν κατηγορίᾳ. ἔπειτα τὸ γένος ἀεὶ ἐν δυνάμει θεωρεῖται, ἀλλ: ἐν τοῖς ἀϊδίοις, οἷά εἰσι τὰ νοερὰ εἴδη, οὐδαμῶς θεωρεῖται τὸ δυνάμει, ὡς ἐν τῷ Θ τῶν μεταφυσικῶν, κεφαλαίῳ ὀγδόῳ διδάσκει ὁ Φιλόσοφος. οὐδὲν ἄρα ἐστὶν αὐτοῖς γένος, καὶ ἀκολούθως οὐδὲ κατηγορία.

Ἐπί-

(1) Ἀντικειμένη δόξα τῶν νεωτέρων φιλοσόφων.

Ἐπίλυσις τῶν ἐπιχειρημάτων τῆς προλειφθείσης δόξης.

Ἡ νῦν δέ φασι διαιρεῖσθαι τῷ Φιλοσόφῳ τὴν Οὐσίαν εἰς ὑλικὴν καὶ ἄϋλον, ῥητέον εἶναι τὴν διαίρεσιν ὁμωνύμου φωνῆς, ὁποῖά ἐστιν ἡ τοῦ ὄντος εἰς Οὐσίαν καὶ Συμβεβηκός. εἰ γὰρ τοῖς ἀϊδίοις καὶ φθαρτοῖς οὐκ ἀποδίδωσιν οὖ, καὶ τὸ αὐτὸ γένος ὁ Φιλόσοφος, ὡς ἐν τῷ δεκάτῳ τῆς Μεταφυσικῶν, κεφαλαίῳ ἑχάτῳ λέγων, τὸ φθαρτὸν τοῦ ἀφθάρτου γένει διαφέρει, πολὺ μᾶλλον οὐ τὸ αὐτὸ γένος τοῖς ὑλικοῖς καὶ ἀΰλοις ἀποδίδωσι. τὸν αὐτὸν δ' ὅπον καὶ πρὸς τὸν ἐκτεθέντα λόγον ἀπαντητέον, ὅτι τὸ νοερὸν εἶδος δι' οὗ ἡ σελληνιακὴ σφαῖρα κινεῖται, καὶ τὸ κινοῦν τὴν ἡλιακὴν σφαῖραν, οὐ συνωνύμως εἰσὶ νοεραὶ Εἴδη, ὡς εἶναι ὑπὸ τὸ αὐτὸ εἶδος, οὔτε διαφορᾶς ἀντικειμένας κεῖνται, ὡς τὰ ὑλικὰ (1) εἴδη. ἀλλὰ καθ' ἑαυτὰ εἰσὶν ἀλλήλων ἕτερα, ὡς τὰ γενικώτατα γένη. διὸ οὐδενὶ ὑπόκειται κοινῷ γένει.

Δεύτερον μέρος τοῦ κεφαλαίου.

Ἐπὶ τοῦ δευτέρου μέρους ἐκεῖνο ἐστὶν ἄξιον ἀποσημειώσεως, ὅτι ἡ Οὐσία ὡς ἐπὶ τοῦ παρόντος λαμβάνεται ὁμωνύμως λεγομένη, οὐκ ἐπιδέχεται ὁρισμὸν κυρίως ἐκ γένους καὶ συστατικῶν διαφορῶν, ὅθεν ὑπογράφεται ὑπ' ὄπον καὶ ἀνωτέρω ἐπὶ τῆς πρώτης τοῦ ὄντος διαιρέσεως. καὶ τὰς δευτέρας δὲ Οὐσίας ὁμοίως ἰῶ ὑπογράψαι ὑπ' ὄπον καὶ ἀνωτέρω, ὅτι εἰσὶ δηλαδὴ αἱ καθ' ὑποκειμένου λεγόμεναι, καὶ ἐν ὑποκειμένῳ μὴ οὖσαι. σαφεστέρας μέντοι διδασκαλίας χάριν, καὶ εἰς τελειοτέραν διάγνωσιν, τῆς κατὰ τὴν πρώτην Οὐσίαν ὑπεροχῆς, ὁ Φιλόσοφος πάντας ἐπὶ τῆς πρώτης Οὐσίας ἀνήγαγεν εἰπών.

Δεύτεραι δὲ Οὐσίαι εἰσὶ τὰ εἴδη, ἐν οἷς εἴδεσιν αἱ πρῶται λεγόμεναι οὐσίαι ὑπάρχουσι, καὶ τὰ τούτων τῶν γενῶν ἔτι ὅπου δὲ ὅλως ἐξάνωσε τὰς δευτέρας Οὐσίας διὰ τῶν γενῶν, καὶ εἰδῶν. οὐδὲν γὰρ ἄλλο αἱ δεύτεραι Οὐσίαι εἰσὶν, ἢ αἱ γενικαὶ, καὶ εἰδικαὶ φύσεις, ἐπὶ τῆς πρώτης Οὐσίας ὑπάρχουσαι. καὶ ἅμα ἐδήλωσε μηδὲν ἄλλο τίθεσθαι ἐπ' ὀυθείας ἐν τῇ σειρᾷ τῶν Κατηγοριῶν, ἢ τὰ γένη καὶ εἴδη ἑκάστης κατηγορίας.

Εἰς τελειοτέραν δὲ κατάληψιν τῆς ἀποδοθείσης ὑπογραφῆς προσκείσθωσαν καί τινα ἐπιχειρήματα ἀποράδην φερόμενα παρὰ τοῖς ἐξηγηταῖς. καὶ

(1) Ὡς λογικὸν καὶ ἄλογον.

καὶ πρῶτον ἀπορεῖται διατὶ μὴ εἶπεν ἁπλῶς δευτέραι Οὐσίαι λέγονται τὰ γένη καὶ τὰ εἴδη, ἀλλ' ἐν οἷς εἴδεσιν αἱ πρῶται οὐσίαι ὑπάρχουσιν εἴρηκεν;

Λύσις.

Πρὸς ὃ ῥητέον, ὅτι εἰ ἁπλῶς τὰ γένη, καὶ τὰ εἴδη δευτέρας ἔλεγεν, ἐπειδὴ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις εἰσὶ γένη, καὶ εἴδη, οἷον ἐν τῷ ποσῷ, γένος μὲν τὸ ποσὸν, εἶδος δὲ τὸ σωρεχὲς, καὶ τὸ διωρισμένον, ὑπειλήφαμεν ἂν δευτέρας οὐσίας, καὶ ἐν τοῖς συμβεβηκόσιν εἶναι. διὰ τοῦτο οὐ τὰ τυχόντα γένη καὶ εἴδη εἴρηκεν, ἀλλ' ἐν οἷς αἱ πρῶται οὐσίαι ὑπάρχουσιν.

Ἀπορία, Δευτέρα.

Προσέτι περὶ τῆς ἀποδοθεῖσαν ὑπογραφῆς τῆς πρώτης οὐσίας διαφόρως οἱ ὑπομνηματισαὶ ἀπορῦσι. πρῶτον ὅτι δὶ ἀποφάσεως ἀποδιδόμενος ὁ ὁρισμὸς, οὐχ ὑγιῶς ἀποδίδοται, τοιοῦτος ἐστὶν ὁ ἀποδοθεὶς τῷ Φιλοσόφῳ περὶ τῆς πρώτης οὐσίας, ἆρα οὐχ ὑγιῶς ἀποδέδοται. ἢ ἐλάττων πρόδηλος, οὐδὲ ἡ μείζων ἀμφισβητήσιμος. σκοπὸς γὰρ ἐστι τῷ ὁρισμῷ ἡ δήλωσις τῆς Οὐσίας τοῦ ὁριζομένου. διὰ δὲ τῆς ἀρνήσεως οὐδὲν δηλοῦσθαι πέφυκεν ὅτι ἐστὶ, καὶ τὰ ἑξῆς.

Ἀπάντησις.

Πρὸς ὃ ῥητέον, ὅτι ἀνάγκη ἐστὶν ἐνίοτε καὶ διὰ τῆς ἀρνήσεων ἀποδιδόναι τοὺς λόγους, ὡς ὁ Φιλόσοφος διδάσκει ἐν τῷ ἕκτῳ τῶν Τοπικῶν, κεφαλαίῳ τετάρτῳ περὶ τῆς Στερήσεων. πέφυκασι γὰρ αἱ στερήσεις, διὰ τῆς κατὰ τὰς ἕξεις ἀρνήσεων δηλοῦσθαι. καὶ προσέτι ἐφ' ὧν αἱ ἀποφάσεις τῶν καταφάσιν συνάγουσι τοῦ ἀντικειμένου καθ' αὐτὸ ὑφεστῶτος, καὶ καθ' ἕκασα ὄντος, ὡς ἐπὶ τοῦ παρόντος, ἡ ἀπόφασις τοῦ μὴ καθ' ὑποκειμένου λέγεσθαι, εἰσάγει τῶν κατάφασιν καὶ θέσιν τῆς ἀτομότητος, καὶ ἡ ἄρνησις τοῦ μὴ ἐν ὑποκειμένῳ εἶναι, εἰσάγει τὸ καθ' αὐτὸ ὂν, ὅπερ καὶ ἔστιν ἐν ὑποκειμένῳ. ὅθεν ἡ ἀποδοθεῖσα ὑπογραφὴ ταὐτὸν δύναται, ὡσεὶ ἔλεγεν, Ἡ Οὐσία ἡ πρώτη, ἡ μάλιστα καὶ κυριώτατα Οὐσία;

ἐστὶν

ἐστὶν ὃν καθ' αὑτὸ καὶ ἄτομον. Προσέτι οἱ δι' ἀποφάσεως ὁρισμοὶ μᾶλλον σημαίνουσι τὰ ὑποκείμενα, ἀποφάσκοντες τὰ μὴ ὄντα, ὡς ὅτε τὸ θεῖον σημᾶναι βουλόμενοι, οὐ καταφάσκομέν τι περὶ αὐτοῦ, ἀλλ' εἰς ἀποφάσεις ἐρχόμεθα, οὕτω καὶ τῆς ὕλης τὸν ὁρισμὸν, οἱ Φιλόσοφοι δι' ἀποφάσεως ἀποδιδόναι εἰώθασι. διὸ καὶ φασὶ τὴν ὕλην ἀνομοίως ὁμοιοῦσθαι τῷ Θεῷ. ὁμοιοῦσθαι μὲν ὅτι δι' ἀποφάσεως ἑκάτερον σημαίνεται. ἀνομοίως δὲ, ὅτι ὁ μὲν κρείττων ἐστὶν, ἢ πάντα τὰ ὄντα, ἡ δὲ χείρων, ἢ πάντα τὰ ὄντα.

Ἀπορία Τρίτη.

Ἀπὸ τῆς εἰρημένης διδασκαλίας, ἕπεται τὴν ὑπογραφὴν τῆς πρώτης Οὐσίας ἐπὶ πλέον εἶναι τοῦ ὁρισοῦ, ὅπερ ἐστὶν ἄποπον. δείκνυται τὸ ἐπόμενον. ἡ γὰρ ἀποδοθεῖσα ὑπογραφὴ κατὰ τὴν εἰρημένην διδασκαλίαν, προσήκουσα φαίνεται, καὶ τῇ πρώτῃ πάντων ἀρχῇ τῷ Θεῷ. οὔτε δὲ ἐν ὑποκειμένῳ ἐστὶ τὸ Θεῖον, οὐσία γάρ. οὔτε καθ' ὑποκειμένου λέγεται. καί τοιγε τοῦτο, οὔτε πρώτη Οὐσία ἐστὶν, οὔτε δευτέρα. πρώτη μὲν Οὐσία οὐκ ἔστιν, οὐ γὰρ ὑφίσταται συμβεβηκότι τινὶ, ἀλλ' οὐδὲ δευτέρα. οὔτε δὲ γένος ἐστὶν, οὔτε εἶδος.

Λύσις.

Ρητέον, ὅτι τὰς λύσεις ἀπὸ τοῦ Συγγραφέως παραλαμβάνειν ὀφείλομεν ἐφ' ἑκάστου τῶν ἀπορουμένων. ὅθεν ἐπὶ τοῦ παρόντος σκοπὸς τῷ Φιλοσόφῳ περὶ τῶν ὑλικῶν Οὐσιῶν, ὡς ἀνωτέρω εἴρηται διδασκαλίαν ἡμῖν παραδοῦναι. δεδήλωκε δὲ τοῦτο ὁ Φιλόσοφος τοῖς παραδείγμασιν οἷς ἐχρήσατο, καὶ τοῖς παρεπομένοις οὐχ ἧττον. ἰδίκα γὰρ πρώτην Οὐσίαν φαμὲν, ἐννοοῦμεν τὸν ἄτομον καὶ ὑλικὸν Οὐσίαν, τὸ δὲ Θεῖον οὐ τοιαύτη Οὐσία ἐστὶ, δηλαδὴ ὑλικὴ.

Ἀπορία, Τετάρτη.

Προσέτι ἀπορεῖται περὶ τοῦ προσώπου, ὑποστάσεως, ἀτόμου, καὶ τῶν τοιούτων. ταῦτα γὰρ πρῶται οὐσίαι ὄντα, καί τοι μὴ ἐν ὑποκειμένῳ τυγχάνοντα, καθ' ὑποκειμένου μέντοι λέγεται. καὶ ὅτι μὲν Οὐσίαι εἰσὶ, δῆλον ἐκ τῶν ἀποδιδομένων αὐτοῖς ὁρισμῶν. ἀφορίζονται γὰρ, τὸ πρὸ-

πρόσωπον λέγοντες, ὅτι ἐστὶν Οὐσία ἄτομος λογικῆς φύσεως. ὁμοίως καὶ τὴν ὑπόστασιν φασὶν εἶναι Οὐσίαν ἄτομόν τε, καὶ συνθετον, φύσεως καθ' ἑαυτὴν ὑφεστώσης. ἐπεὶ τοιγαροῦν ἀμφότερα ἄτομον Οὐσίαν δηλοῦσι, πρῶται Οὐσίαι εἰσίν. οὐδὲν δὲ ἧττον καὶ καθ' ὑποκειμένου λέγεται τὰ αὐτά. κατηγορεῖται γὰρ τὸ πρόσωπον κατὰ τοῦδε, καὶ ἐκείνου τῶν ἐπὶ μέρους προσώπων. καὶ ἡ ὑπόστασις ὁμοίως, κατὰ τῶν καθ' ἕκαστα ὑποστάσεων καθ' αὑτό. οὐκ ἄρα ὑγιῶς εἴρηται τὴν πρώτην Οὐσίαν μὴ ἐν ὑποκειμένῳ εἶναι, μήτε καθ' ὑποκειμένου λέγεσθαι.

Ἀπάντησις.

Ἀπαντητέον πρὸς ταῦτα, ὅτι τὸ πρόσωπον καὶ ἡ ὑπόστασις τῶν καθόλου εἰσὶ φωνῶν, σημαντικαὶ τοῦ τρόπου τῆς ὑπάρξεως τῶν ἀτόμων, καὶ λογικῶν φύσεων, καὶ τῶν καθ' αὑτὰς ὑφισαμένων. καί τοι ἡ ὑπόστασις ἐνίοτε, καὶ τὴν ἁπλῶς ὕπαρξιν σημαίνει, εἴτε αὐθυπάρκτου τινὸς, εἴτε ἐν ἑτέρῳ ὑφισαμένου. ὅθεν ἅτε δὴ καθόλου, κατηγορεῖται τῶν καθ' ἕκαστα λογικῶν φύσεων, καὶ τῶν καθ' ἑαυτὰ ὑφεστώτων, οἷαι εἰσὶν αἱ ἄτομοι καὶ συνθετοι Οὐσίαι. ὅθεν οὐδὲν κωλύει τὴν ὑπογραφὴν τῆς πρώτης καὶ ἀτόμου Οὐσίας κατὰ πλειόνων λέγεσθαι τῶν καθ' ἕκαστα προσώπων, καὶ ἀτόμων Οὐσιῶν. τὸ γὰρ εἶναι ἄτομον Οὐσίαν καὶ πρώτην, πᾶσιν ὁμοίως ἐφαρμόττει, προσώποις τε, καὶ καθ' αὐτὸ ὑφεστηκυίαις Οὐσίαις. καί τοι τὸ μὲν πρόσωπον κατὰ μόνων λέγεται (ὡς εἴρηται) τῶν λογικῶν ἀτόμων Οὐσιῶν. ἡ δὲ καθ' αὐτὸ ὑπόστασις, ἐπὶ πάντων ἐκτείνεται τῶν καθ' αὐτὸ ὑφεστηκότων, οἷαί εἰσιν αἱ συνθετοι καὶ καθ' ἕκαστα πᾶσαι Οὐσίαι τῶν λογικῶν φύσεων, καὶ ἀλόγων, ἐμψύχων τε ἅμα καὶ ἀψύχων. τὸ δὲ ἄτομον ὅτι πλατύτερον ἢ ταῦτα λέγεται, δῆλον. δηλοῖ γὰρ πάντα ἁπλῶς τὰ καθ' ἕκαστα, Οὐσίας τε, καὶ Συμβεβηκότα.

Ἀπορία Πέμπτη.

Τὰ μέρη τῆς πρώτης Οὐσίας, οἷον ἥδε ἡ ὕλη, καὶ τὸ δὶ τὸ εἶδος, οὔτε καθ' ὑποκειμένου λέγεται, ὅτι οὐκ εἰσὶ γένη, καὶ εἴδη, οὔτε ἐν ὑποκειμένῳ εἰσίν. οὐ γάρ εἰσι συμβεβηκότα. οὐδὲν μὴν ἧττον ταῦτα πρῶται Οὐσίαι τυγχάνουσιν, ὁ ἀποδοθεὶς ἄρα λόγος τῆς Οὐσίας, ἐπὶ πλέον ἐστὶν ἐκείνης, εἴγε καὶ ἄλλοις παρὰ ταῦτα προσήκει.

Λύσις.

Η Ἀπάντησις πρὸς ταῦτα πρόδηλος ἐκ τῆς εἰρημένων εἰς ἐπίλυσιν τῆς τρίτης ἀπορίας. ὁ γὰρ λόγος ἐνταῦθα περὶ τῆς σωθέντου, καὶ ἐντελοῦς Οὐσίας ἐστὶν, οἷαι οὐκ εἰσὶ τὸ ἐπὶ μέρος εἶδος καὶ ἡ ὕλη.

Ἀπορίαι περὶ τῶν ὑπογραφῶν τῆς δευτέρας Οὐσίας.

Ἀπορεῖν ἔτι διαφόρως εἰώθασι, καὶ περὶ τῶν ὑπογραφῶν τῆς δευτέρων Οὐσιῶν. Πρῶτον ὅτι ἡ οὐσία ἐνταῦθα ~~παθέντι~~ ἐπὶ τῆς δευτέρων Οὐσιῶν λέγεται, ἀπὸ τοῦ ὑφίσασθαι τοῖς συμβεβηκόσιν εἴληπται. ἀλλ᾽ ἡ Οὐσία τῷ λόγῳ τοῦ ὑφίσασθαι, οὔτε γένος, οὔτε εἶδός ἐστὶ, (σωέστηκε γὰρ ὁ τοῦ γένους καὶ εἴδους λόγος ἐν τῷ κατηγορεῖσθαι κατὰ πλειόνων, οὐκ ἐν τῷ πλείοσιν ὑφίσασθαι,) ἐκ ἄρα ὑγιῶς αἱ δεύτεραι Οὐσίαι διὰ τοῦ γένους, καὶ εἴδους ὑπογράφονται.

Ἀπάντησις.

Ἀπαντητέον πρὸς ταῦτα, ὅτι αἱ αὐταὶ φύσεις, ἅπερ ὡς γένη καὶ εἴδη κατηγοροῦνται, καὶ δεύτεραι Οὐσίαι εἰσὶν, ἃς δίφυῶς ὁ Φιλόσοφος διὰ τῆς τοῦ γένους καὶ εἴδους φωνῆς ἀποδέδωκεν, ὡς διὰ γνωριμοτέρων. διχῶς γὰρ αὐταὶ θεωρεῖσθαι πεφύκασιν. ἢ μὲν ἐν πλείοσιν ὑπάρχουσι, καὶ κατὰ πλειόνων κατηγοροῦνται, γένη καὶ εἴδη λέγονται. ἢ δὲ τοῖς συμβεβηκόσιν ὑφίστανται, δευτέρῳ λόγῳ καὶ Οὐσίαι ἤκουσαν. ὅθεν διὰ τοιούτων ὀνομάτων ταύτας ὑπέγραψεν, ὡς διὰ γνωριμωτέρων. ἐννοεῖται γὰρ ἐκ τῆς εἰρημένης ὑπογραφῆς, ὅτι αἱ δεύτεραι Οὐσίαι αἱ αὐταὶ φύσεις εἰσὶν, ἅπερ γένη καὶ εἴδη τῆς πρώτης Οὐσίας τυγχάνουσιν. οὐ γὰρ ἐκεῖνο βούλεται λέγειν ὁ Φιλόσοφος, ὡς ὁ τοῦ γένους λόγος, ἢ ὁ τοῦ εἴδους, ἐστὶν ὁ τῆς δευτέρας Οὐσίας λόγος. ἀλλ᾽ ὅτι τὰ γένη καὶ τὰ εἴδη τῷ λόγῳ τοῦ ὑφίσασθαι, δεύτεραι Οὐσίαι εἰσίν.

Ἡμῖν δὲ ἔξεσιν ἐνταῦθα ἐκ τῆς εἰρημένων σωαγαγεῖν, ὅτι τὰ γένη καὶ τὰ εἴδη δεύτεραι Οὐσίαι ὄντα, τοῖς συμβεβηκόσιν ὑφίστανται, καὶ ὑποκειμένου λόγον πληροῖ. τοῦτο δὲ οὐκ ἂν ἄλλως εἶχε ποιεῖν, ὅτι μὴ ἐν ταῖς πρώταις Οὐσίαις ὑπάρχοντα. τὰ γένη ἄρα καὶ εἴδη, ταυτὸν εἰπεῖν τὰ

τὰ καθόλου πάντα, τῷ ὑφεστηκόταν ἐστὶν ἐν τοῖς ἀτόμοις, καὶ οὐ κατ' ἐπίνοιαν ὄντα.

Ἀπορία Δευτέρα.

Δεύτερον ἀπορεῖται, τὰ γένη καὶ τὰ εἴδη τῆς πρώτης Οὐσίας, πρῶται Οὐσίαι εἰσὶν, ὅταν οὐχ ὑγιῶς λέγεται τῷ Φιλοσόφῳ δευτέρας εἶναι Οὐσίας. τὸ ἡγούμενον πρόδηλον ἐκ τῶν λεγομένων ἐν τῷ περὶ προτέρου κεφαλαίῳ· πρότερον γὰρ λέγεται τὸ τοιοῦτον, ἀφ' οὗ μὴ ἀντιστρέφει ἡ τοῦ εἶναι ἀκολούθησις. οὕτως δ' ἔχει ἀπὸ τοῦ γένους καὶ εἴδους, ἡ ἐπὶ τὰς ἀτόμους οὐσίας μετάβασις· οὐ γὰρ δοθέντος εἶναι ζῷον, ἢ ἄνθρωπον, ἕπεται ἀναγκαίως, τὸν, τὸν Σωκράτην εἶναι, ἢ Πλάτωνα, ἀλλὰ τοὐναντίον. πρότερα ἄρα τὰ γένη εἰσὶ τῶν καθ' ἕκαστα, καὶ ἀτόμων Οὐσιῶν.

Λύσις.

Πρὸς ὃ ῥητέον, ὅτι τὸ πρότερον καθ' ὃ ἡ τοῦ εἶναι ἀκολούθησις μὴ ἀντιστρέφει, κατὰ τὴν χέσιν λέγεται τῶν καθολικωτέρων πρὸς τὰ ἧττον καθόλου. ἐνταῦθα δὲ ἡ Οὐσία λέγεται πρώτη, τῷ λόγῳ τοῦ ὑφίστασθαι πᾶσι τοῖς ἄλλοις. τοῦτο δὲ ταῖς συνθέτοις καὶ καθ' ἕκαστα Οὐσίαις, κυριώτατα καὶ μάλιστα ᾗ φησὶν ὁ Ἀριστοτέλης ὑπάρχει. αὗται γὰρ πρώτως ὑφίστανται οὐ μόνον τοῖς συμβεβηκόσιν ὑποκειμένου λόγον ἔχουσαι, ἀλλὰ καὶ ταῖς δευτέραις Οὐσίαις, ὧν εἰς κατηγορίαν ὑπόκεινται. καὶ ὡς προϊὼν ἐρεῖ ὁ Φιλόσοφος βάσεως λόγον ἔχουσαι καὶ κριτηρίου πρὸς πάντα, αἷς καὶ συναναιρεῖται, καὶ συνεισάγεται τὰ πάντα.

Ἀπορία Τρίτη.

Ἀπορεῖται παρὰ ταῦτα, εἰ τῷ λόγῳ τοῦ ὑφίστασθαι τὸ πρότερον ἐπὶ τῆς Οὐσιῶν ἐνταῦθα λέγεται, τὰ πλείοσιν ὑφεστηκότα πρότεραι Οὐσίαι ῥηθήσονται. ἀλλ' αἱ καθόλου Οὐσίαι εἶναι εἰσὶ τὰ γένη, καὶ τὰ εἴδη πλείοσιν ὑφεστήκασιν, ἢ αἱ καθ' ἕκαστα Οὐσίαι, ἄρα πρότεραι Οὐσίαι τὰ γένη καὶ τὰ εἴδη. δείκνυται ἡ ἐλάττων. ὁ γὰρ ἄνθρωπος, φέρε εἰπεῖν, ὑπόκειται τοῖς συμβεβηκόσι πᾶσι, τοῖς καθ' ἕκαστα ἀτόμοις. ὁ δὲ Σωκράτης μόνοις ὑπόκειται τοῖς ἰδίᾳ αὐτῷ συμβεβηκόσιν. οὕτω καὶ Πλάτων τοῖς ἑαυτοῦ, καὶ τὰ λοιπὰ καθ' ἕκαστα ὁμοίως.

Λύσις.

Πρὸς ὃ ἀπαντητέον, ὅτι αἱ γενικαὶ καὶ εἰδικαὶ φύσεις, εἴπερ τὰ γένη, καὶ τὰ εἴδη κατάγε τὸν λόγον τοῦ ὑφίσασθαι παραβλητάϊαι εἰσὶ, πρὸς πάσας τὰς καθ' ἕκασα Οὐσίας τὰς ὑπὸ τὸ αὐτὸ γένος ἢ εἶδος. ὡς καὶ ἀνάπαλιν αἱ καθ' ἕκασα ἐπὶ μέρους Οὐσίαι, παραβλητάϊαι εἰσὶ τῷ λόγῳ τοῦ ὑφίσασθαι πρὸς τὰς εἰδικὰς αὐτῷ, ἢ γενικὰς φύσεις, ὃν ξόπον θεωρούμθμαι οὐ πλείοσιν ὑφίστανται αἱ τοῦ γένους ἢ εἴδους φύσεις, ἢ πᾶσαι αἱ καθ' ἕκασα, καὶ ἄτομοι Οὐσίαι. αὗται γὰρ πᾶσιν ὑποκεινται, οἷς καὶ αἱ δεύτεραι Οὐσίαι. καὶ παρὰ ταῦτα καὶ αὐταῖς ταῖς δευτέραις Οὐσίαις. ἀλλὰ ταῦτα μὲν περὶ τοῦ πλήθους, οἷς ὑποκεινται. ἡμῖν δὲ ὁ λόγος οὐ περὶ τοῦ πλήθους ἐσὶν, ἀλλὰ περὶ τοῦ προτέρου κατὰ τὸ ὑφεσάναι. ὃν ξόπον καὶ ἑκάση τῷ καθ' ἕκασα Οὐσιῶν προτέρα καὶ κυριωτέρα ἐσὶ τῷ γενῶν καὶ εἰδῶν, ὅτι πρώτως καὶ κυριώτατα ὑποκειται τοῖς ἄλλοις.

Ἀπορία Τεταρτη.

Ἔτι ἀπορεῖται ὅτι αἱ δεύτεραι Οὐσίαι, πρότερον ὑφίσασθαι δοκοῦσι τοῖς συμβεβηκόσιν, ἢ αἱ καθ' ἕκασα, διὸ καὶ πρότεραι. ἐκεῖνο γὰρ πρότερον ὑφίσαται τοῖς συμβεβηκόσιν, ὃ καὶ πρότερον λαμβάνεται ἐν τῷ λόγῳ τῷ συμβεβηκότων, ὡς ἴδιον ὑποκείμθμον. τοιοῦτον δὲ οὐκ ἔσιν ἡ καθ' ἕκασα Οὐσία, ἀλλ' ἡ κοινότερον λαμβανομένη, ἥπερ ἀντιδιαιρέλεται τῷ συμβεβηκότων, καὶ ἔσι καθ' αὐτὸ ὄν. τὸ δὲ μὴ ἐν ἄλλῳ εἶναι, καὶ καθ' αὐτὸ εἶναι, οὐκ ἔχει λαβόντα (1) τὸ γένος καὶ τὸ εἶδος ἀπὸ τῷ καθ' ἕκασα Οὐσιῶν, ἀλλὰ μᾶλλον αἱ καθ' ἕκασα Οὐσίαι ἀπὸ τοῦ γένους καὶ εἴδους τοῦτο ἐχήκασι. τῷ γὰρ εἶναι τὸν ἄνθρωπον Οὐσίαν καὶ ὂν καθ' αὐτὸ, ὁ Σωκράτης Οὐσία, καὶ ὂν καθ' αὐτὸ λέγεται. πρότερον ἄρα τὰ γένη, καὶ τὰ εἴδη ὑφίσαται τοῖς συμβεβηκόσιν, ἢ αἱ καθ' ἕκασα Οὐσίαι. ἡ μείζων δείκνυται. ὁρίζεται γὰρ τὸ συμβεβηκὸς ἁπλῶς ἀναφερόμθμον ἐπὶ τὴν Οὐσίαν ὡς πρὸς ἴδιον ὑποκείμθμον.

: θεόδωρος
: ἢ ἐλάττων

(1) Οὐκ ἔχει λαβόντα, ἀντὶ τοῦ οὐκ ἔλαβεν.

Λύσις.

Τ Αὐτης τῆς ἀποσίας οὐκ ἀποδεκτέα ἐστὶν ἡ λέγουσα πρόταsις, ὅτι πρότερον ὑποκειται τοῖς συμβεβηκόσιν ὁ ἄνθρωπος, ἢ ὁ Σωκράτης. ὁ ἄνθρωπος γὰρ οὐκ ἄλλως τοῖς συμβεβηκόσιν ὑποκειται, ἢ τῷ λόγῳ τῷ ἀτομικῶν διαφορῶν. αἵτινες πρώτως ταῖς ἀτόμοις Οὐσίαις προσήκουσιν, ἃς καὶ σωιζῶσιν. ὅθεν καὶ πρώτως αἱ ἄτομοι Οὐσίαι, δικαίως ὑποκεῖσθαι λέγονται τοῖς συμβεβηκόσι. πρὸς δὲ τὴν δεῖξιν, ὡίκα φασὶ τὴν Οὐσίαν κοινότερον ἐννοεμένω, ἤπερ αὐτιδιαστέλλεται τοῦ συμβεβηκότος, παραλαμβανέσθαι ἐν τῷ ὁρισμῷ τῷ συμβεβηκότων, καὶ διὰ τοῦτο παύτὴν ὑποκεῖσθαι τοῖς συμβεβηκόσι κοινότερον ἐννοεμένω, καὶ οὐχὶ τὴν καθ' ἕκασα καὶ ἄτομον, ῥητέον. ὅτι ἐν τῷ ὁρισμῷ τῷ συμβεβηκότων παραλαμβανομένη ἡ Οὐσία, καίτοι συγκεχυμένως αὐτὴ πάσης Οὐσίας ἐννοουμένη, πρώτης δηλαδὴ καὶ δευτέρας, κυρίως μέντοι καὶ μάλισα ἐννοεῖται περὶ τῆς πρώτης καὶ ἀτόμου Οὐσίας, ἥτις κυρίως καὶ μάλισα ὑποκειται τοῖς συμβεβηκόσιν, οὐ μόνον τοῖς κοινοῖς, ὡς τὸ γελᾶν καὶ τὸ διανοεῖσθαι, καὶ ἄλλα, ἀλλὰ καὶ τοῖς ἰδίοις, ὡς τὸ ὁ δεῖνος ἰᾶς, καὶ ἄλλα. ἔτι καὶ αὐταῖς ταῖς δευτέρες Οὐσίαις, εἰς κατηγορίαν ὡς εἴρηται, ἐφ' ἧς καὶ αἱ εἰδικαὶ ἰδιότητες. τὸ γὰρ ἐνεργεῖν κατὰ φύσιν ἔχουσιν. οὐ γὰρ γελᾷ ὁ ἄνθρωπος, οὔτε ἐπιπδείως ἔχει πρὸς τὸ γελᾶν, ἐκτὸς τῆς πρώτης καὶ ἀτόμου Οὐσίας.

Τέλον μέρος τοῦ κεφαλαίου.

Ε Πὶ δὲ τοῦ τέλου μέρους ὁ Φιλόσοφος πρῶτον παραβάλλει τὰς δευτέρας Οὐσίας, καὶ τὰ συμβεβηκότα ταῖς πρώταις, καὶ παύτὴν ἐντεῦθεν λαμβανει τὴν διαφοραν. ὅτι αἱ μὲν δευτεραι Οὐσίαι, καὶ κατ' ὄνομα καὶ κατὰ λόγον κατηγορουῦται τῆς πρώτης. ἐπειδὴ γὰρ οὐσιωδῶς κατηγορουῦται παύτης, ἅμα καὶ συωνύμως κατηγορουῦται. τῷ δὲ συωνύμων ἡ φύσις ἐστὶν, ἵνα καὶ ὄνομα τὸ αὐτὸ, καὶ λόγον παύτὴν τὸν αὐτὸν ἔχωσι, τὸν κατὰ τὸ αὐτὸ ὄνομα τούτοις προσήκοντα, οἷον ὁ ἄνθρωπος ἐπὶ Πλάτωνος καὶ Σωκράτους κατηγορούμενος, μεταδίδωσιν αὐτοῖς τὸ αὐτὸ ὄνομα, καὶ τὸν οἰκεῖον αὐτοῦ λόγον. ἑκάτερος γὰρ καὶ ἄνθρωπος λέγεται, καὶ Ζῶον ἐστὶ λογικὸν θνητὸν, οἷον ἐστὶν ὁ ἀνθρώπου ὁρισμός. τὰ δὲ συμβεβηκότα, ἢ μόνον τοῦ ὀνόματος μεταδιδόασιν αἷς ὑπάρχουσι πρώταις

Οὐσί-

Οὐσίαις, ὡς τὰ συγκειμένα συμβεβηκότα, οἷον λευκὸν, γραμματικὸν, καὶ τὰ τοιαῦτα, ἢ οὔτε τοῦ ὀνόματος, οὔτε τοῦ λόγου μεταδιδόασιν, ὡς τὰ ἐξ ἀφαιρέσεως, οἷον λευκότης, ἄπειρον, καὶ τὰ ὅμοια, ὅσα δηλονότι εἰσὶν ἀφῃρημένα. ἄνθρωπος γὰρ λευκότητα ἔχων, οὔτε λευκότης λέγεται, οὔτε χρῶμα διακριτικὸν ὄψεως, ὅπερ ἐστὶν † ὁ τῆς λευκότητος ὁρισμός. αἴτιον δὲ τούτου, ὅτι τὰ ἐν ὑποκειμένῳ ὄντα οὐ κατηγορεῖται ὑσιωδῶς τῆς ἐν οἷς ὑπάρχουσιν ὑποκειμένων, ~~τὰ δὲ συμβεβηκότα, ὡς ἐν ὑποκειμέναις ταῖς πρώταις Οὐσίαις ὑπάρχουσι~~, διὸ οὐδὲ συνωνύμως τούτων κατηγορεῖται. τὰ δὲ μὴ συνωνύμως κατηγορούμενα, οὔτε τοῦ ὀνόματος, οὔτε τοῦ λόγου μεταδιδόασιν ὧν κατηγορεῖται. οὐδὲν μέντοι κωλύει τινὰ τῆς συμβεβηκότων μεταδιδόναι τῷ ὀνόματος αἷς ὑπάρχουσι πρώταις Οὐσίαις, ὡς εἴρηται. ἐντεῦθεν ἐπιφέρει ὁ Φιλόσοφος τὴν ὑπεροχὴν τῆς πρώτης Οὐσίας, λέγων, μὴ οὐσῶν τῶν πρώτων οὐσιῶν, ἀδύνατον τῶν ἄλλων τί εἶναι. σωζει δὲ τὴν ὑπερβολὴν ταύτην ἑξῆς τοιῶδε.

Ὅ,τι ἐστὶν ὑποκείμενον πάντων τῶν ἄλλων, ἀνάγκη τούτου οὐδὲν τῶν ἄλλων εἶναι δύνασθαι. αἱ πρῶται Οὐσίαι εἰσὶν ὑποκείμενον πάντων τῶν ἄλλων. ἄρα τούτων ἀνάγκη οὐδὲν τῶν ἄλλων εἶναι δύνασθαι. δείκνυται ἡ ἐλάττων. τὰ γὰρ ἄλλα πάντα ἢ λέγεται καθ' ὑποκειμένου τῶν πρώτων Οὐσιῶν, οἷον αἱ δεύτεραι Οὐσίαι, ἢ ἐν ὑποκειμέναις αὐταῖς εἰσὶν ὡς τὰ συμβεβηκότα. ἐξ ἀνάγκης ἄρα πάντα τὰ παρὰ τὴν πρώτην Οὐσίαν, δέεται τῆς πρώτης Οὐσίας, τὰ μὲν εἰς ὕπαρξιν, τὰ δὲ εἰς κατηγορίαν.

Δεύτερον παραβάλλει κατὰ βάθος ὁ Φιλόσοφος τὰς δευτέρας Οὐσίας, ὅτι τὰ γένη, καὶ τὰ εἴδη πρὸς ἄλληλα καὶ οὐ κατὰ πλάτος. καὶ πρῶτον δείκνυσι δυσὶ τούτοις ὧδε. Τὸ ἐγγύτερον τῇ πρώτῃ Οὐσίᾳ μᾶλλον Οὐσία, τὰ εἴδη ἐγγύτερα τῇ πρώτῃ Οὐσίᾳ, ἢ τὰ γένη. τὰ εἴδη ἄρα μᾶλλον Οὐσίαι, ἢ τὰ γένη. δείκνυται ἡ ἐλάττων. τὸ γὰρ σαφέστερον καὶ οἰκειότερον σημαῖνον τὴν πρώτην Οὐσίαν, ἐγγύτερον τῇ πρώτῃ Οὐσίᾳ, τὰ δὲ εἴδη σαφέστερον καὶ οἰκειότερον σημαίνουσι τὴν πρώτην Οὐσίαν, ἢ τὰ γένη. ἄρα τὰ εἴδη ἐγγύτερα τῇ πρώτῃ Οὐσίᾳ, ἢ τὰ γένη. ἡ ἐλάττων τοῦ συλλογισμοῦ τούτου φανοῦται διὰ παραδείγματος. ὁ γὰρ ἄνθρωπος σαφέστερον καὶ οἰκειότερον δηλοῖ τὸν Σωκράτην, ἢ τὸ ζῶον. τῷ γὰρ ἐρωτήσαντι τί ἐστὶ Σωκράτης, σαφέστερον καὶ οἰκειότερον ἀποκρινόμεθα ὅτι ἐστὶν ἄνθρωπος, ἢ ὅτι ἐστὶ ζῶον, ὅπερ καὶ ἐπὶ τῶν λοιπῶν ἔχει. Τὸ δεύτερον ἐπιχείρημα τοιοῦτόν ἐστι. τὸ ὁμοιότερον τῇ πρώτῃ Οὐσίᾳ, μᾶλλον Οὐσία, τὸ εἶδος ὁμοιότερον τῇ πρώτῃ Οὐσίᾳ, ἢ τὸ γένος. τὸ εἶδος ἄρα μᾶλλον Οὐσία, ἢ τὸ γένος. δείκνυται ἡ ἐλάττων. ὥς περ γὰρ αἱ πρῶται Οὐ-

εἶναι

σίαι ὑποκεινται πᾶσι τοῖς ἄλλοις, οὕτω καὶ τὰ εἴδη ὑποκεινται τοῖς γενεσιν. οὐχ οὕτω δὲ καὶ τὰ γενη τοῖς εἴδεσιν ὑποκεινται. ὅθεν τὰ εἴδη διασώζουσι τὴν ὁμοιότητα ταύτην πρὸς τὰς πρώτας Οὐσίας, οὐκ ἔτι δὲ καὶ τὰ γενη.

Τρίτον παραβάλλει ὁ Φιλόσοφος τάς τε πρώτας Οὐσίας, καὶ δευτέρας πρὸς ἀλλήλας κατὰ πλάτος, καὶ δείκνυσι τοῖς αὐτοῖς λόγοις περὶ ἀμφοτέρων, παραπλησίως εἶναι Οὐσίας. τοῖς γὰρ εἴδεσι πᾶσιν ἐξίσου ὑποδίδοται τὸ τῆς Οὐσίας ὄνομα, καὶ πάντα τὰ εἴδη ὁμοίως σημαίνουσι τὰς ἑαυτῶν πρώτας Οὐσίας, καὶ τὸν αὐτὸν τρόπον ὑποκειται τοῖς οἰκείοις ἕκασον γενέσιν. ὡσαύτως δ' ἔχει καὶ τὰ γενη πρὸς ἄλληλα, ἐπὶ τὰς πρώτας Οὐσίας ἀναφερόμενα, ἃς ἕκασον περιέχειν πέφυκεν. ὁμοίως δὲ καὶ αἱ πρῶται Οὐσίαι ὑποκεινται πᾶσι τοῖς τε καθ' ὑποκειμένου λεγομένοις, οἷαί εἰσιν αἱ δεύτεραι Οὐσίαι, καὶ τοῖς ἐν ὑποκειμένῳ συμβεβηκόσι, κοινοῖς τε καὶ ἰδίοις.

Εἰ δὲ κατὰ βάθος παραβολὴ τῆς Οὐσιῶν, ὁπωσοῦν τεταγμένων ἐπ' ἀρετῆς ἐν τῇ τάξει τῆς κατηγορίας, τὰ ἀνωτέρω παραβάλλεται τοῖς κατωτέρω, ᾧ δὴ λόγῳ ἀεὶ τὰ κατωτέρω μᾶλλον Οὐσίαι τῆς ἀνωτέρω εἰσὶν, οἷον τὸ ἔμψυχον, ἐστὶ μᾶλλον Οὐσία, ἢ τὸ σῶμα. καὶ τὸ ζῶον, μᾶλλον, ἢ τὸ ἔμψυχον, καὶ οὕτως ἑφεξῆς. τὰ γὰρ κατωτέρω ἀεὶ περιεκτικώτερα εἰσὶ κατὰ συνθεσιν τῆς ἀνωτέρω, τῷ λόγῳ τῆς συνθέσεως. Ἡ δὲ κατὰ πλάτος παραβολὴ τῆς Οὐσιῶν γίνεται ὁπόσα παραβάλλεται πρὸς ἄλληλα τὰ εἴδη, ~~εἴτ' οὖν~~ γένη τῆς αὐτῆς τάξεως. προσέτι δὲ καὶ αἱ πρῶται Οὐσίαι πρὸς ἀλλήλας παραβαλλόμεναι, ὧν τρόπον αἱ δεύτεραι Οὐσίαι, οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον, ὡς ῥηθήσεται κατωτέρω ἐπὶ τοῦ πέμπτου παρεπομένου. εἰμή τις φαίη, ἕτερον ἑτέρου κατ' ἀξίαν ὑπερέχεσθαι, ὡς ἵππος, ἄνθρωπος, καὶ τὰ τοιαῦτα.

Τέταρτον δείκνυσιν ὁ Φιλόσοφος ὅτι μόνα τὰ εἴδη, καὶ τὰ γενη τῆς πρώτης Οὐσίας, εἰσὶ δεύτεραι Οὐσίαι, τοῖς αὐτοῖς χρώμενος ἐπιχειρήμασι. μόνα γὰρ τὰ εἴδη, καὶ τὰ γενη τῆς πρώτης Οὐσίας, δηλοῦσι τὴν φύσιν τῆς πρώτης Οὐσίας, καὶ ταῦτα μόνα τυγχάνουσιν ὅμοια ταῖς πρώτας Οὐσίαις. διαξανοῖ τέτο ὁ Φιλόσοφος ἀπὸ τῆς ἐτυμολογίας τοῦ ὀνόματος τῆς Οὐσίας. ἡ γὰρ Οὐσία ἀπὸ τοῦ ὑφίσασθαι τοῖς συμβεβηκόσι λέγεται, οἷον ὑπόστασις καὶ ὑποβάθρα. ὅθεν αἱ πρῶται Οὐσίαι μάλιστα Οὐσίαι λέγονται, ὅτι μάλιστα ὑφίστανται ὡς πᾶσιν ὑποκείμεναι. ὅθεν καὶ τὰ εἴδη καὶ γενη τῶν πρώτων Οὐσιῶν, δεύτεραι λέγονται Οὐσίαι, ὅτι κατὰ

δεύ-

δεύτερον λόγον ὑποκεινται τοῖς συμβεβηκόσι, τὰ δὲ γένη καὶ εἴδη τῶν συμβεβηκότων οὐχ ὑποκειται ἑτέροις πρὸς ὕπαρξιν, ἀλλ' ἐνυπάρχουσιν ὡς ἐν ὑποκειμέναις ταῖς Οὐσίαις.

Ἐνσαίη δέ τις, ὅτι καὶ τὰ συμβεβηκότα ὑποκειται τοῖς ἰδίοις γένεσι, καὶ εἴδεσιν, οἷον ἡ γραμματικὴ ὑπόκειται τῇ τέχνῃ, καὶ ἡ λευκότης τῷ χρώματι.

Πρὸς ὃ ἀπαντητέον, ὅτι τὰ συμβεβηκότα ὑπόκειται τοῖς ἰδίοις γένεσιν εἰς κατηγορίαν, οὐχὶ εἰς ὕπαρξιν. ὅθεν καὶ ὑποκείμενα λέγεται τὰ συμβεβηκότα, (1) καθ' ὧν κατηγορεῖται τὰ οἰκεῖα ἑκάστου γένη καὶ εἴδη, οὐκ ἐν οἷς ὑπάρχει ταῦτα. τῶν γὰρ συμβεβηκότων ὑποκειμένων ἐνυπάρξεως, μόνη ἐστὶν ἡ Οὐσία. ὁ δὲ Φιλόσοφος ἐπὶ τοῦ παρόντος ποιεῖται τὸν λόγον περὶ τοῦ ὑποκειμένου, ἐν ᾧ ὑπάρχει τὰ συμβεβηκότα, οὐ καθ' οὗ κατηγορεῖται. ᾧ δὴ λόγῳ αἱ Οὐσίαι εἰσὶν ὑποκείμενα τοῖς συμβεβηκόσιν, οὐ μὴν δὲ καὶ ἀνάπαλιν.

Ἔτι δ' ἀπορήσειέ τις, ὅτι τὸ συμβεβηκὸς ἐφ' ὅτε γίνεται ὑποκείμενον τοῦ ἐνυπάρχειν. τὸ γὰρ εἶναι τινὰ λευκότητα διακριτικὸν ὄψεως χρῶμα, ἢ τὸ μέλαν συγκριτικὸν τῆς αὐτῆς, καὶ ἁπλῶς αἱ ἰδιότητες τῶν συμβεβηκότων κατηγορέμεναι κατὰ τῶν αὐτῶν, δοκοῦσι πάντως ἐνεῖναι τούτοις.

Πρὸς ὃ ἀπαντητέον, ὅτι ταῦτα πάντα ἀποδίδοται τοῖς συμβεβηκόσιν, οὐχ ὡς ὑποκειμένοις ἐνυπάρχοντα, ἀλλ' ὡς ἀρχαῖς καὶ αἰτίαις οἰκείαις, αἷς ἕπονται. κέκτηται γὰρ καὶ τὰ συμβεβηκότα ἰδιώματα, δι' ὧν ἀπ' ἀλλήλων διακρίνονται, ἅπερ οὐχ ὡς ἐν ὑποκειμένοις ὑπάρχουσιν, ἀλλ' ὡς ἐπόμενα τούτοις.

Πότερον αἱ καθ' ἕκασα Οὐσίαι μᾶλλα Οὐσίαι εἰσὶ, καὶ αἱ δεύτεραι Οὐσίαι ἐπιδέχονται τὸ μᾶλλον, καὶ τὸ ἧττον ὡς Ἀριστοτέλης παρέδωκεν, ἢ οὔ;

Ἡ Πόριται καὶ ἀνωτέρω, ἐν οἷς εἴρηται (κατὰ τὸ δεύτερον μέρος τοῦ κεφαλαίου) περὶ τοῦ προτερήματος, καὶ ὑπεροχῆς τῆς πρώτης Οὐσίας, νῦν δ' αὖ λαβόντες τὰς ἀφορμὰς ἐξ ὧν εἴρηται τῷ Φιλοσόφῳ, τὴν μὲν πρώτην Οὐσίαν, ἤτοι τὴν καθ' ἕκασα, μᾶλλα εἶναι Οὐσίαν, καὶ τῶν δευτέρων Οὐσιῶν μᾶλλον εἶναι Οὐσίαν τὸ εἶδος, ἢ τὸ γένος, ἀπορροῦσιν ἐπιεικῶς ὧδε.

Πρῶτον, ὅτι ἡ Οὐσία οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ὡς ἂν τοῖς παρε-

(1) Ἐκεῖνα δηλαδή.

παρεπομένοις τῇ Οὐσίᾳ προϊὼν ἐρεῖ ὁ Φιλόσοφος. ἀλλ' τὸ, τε γένος καὶ εἶδος Οὐσίαι τῷ ὄντι εἰσὶν, οὐκ ἔσιν ἄρα μᾶλλον Οὐσία ἑτέρα ἑτέρας.

Δεύτερον, αἱ δεύτεραι Οὐσίαι οὐσιωδῶς καὶ συνωνύμως εἰσὶν Οὐσίαι· τάττονται γὰρ ἐπ' ἀληθείας ἐν τῇ σειρᾷ τῆς κατηγορίας τῶν Οὐσιῶν, καθ' ὧν τὸ γνωικώτατον γένος ἡ Οὐσία, οὐσιωδῶς κατηγορεῖται· ὁ δὲ οὐσιώδης λόγος, πρότερον ἐφαρμόττει τοῖς εἴδεσι, καὶ γένεσιν, ἢ ταῖς ἀτόμοις Οὐσίαις. διὰ τοῦτο γὰρ ὁ Σωκράτης ἐστὶ κατ' οὐσίαν ζῶον, ὅτι ἐστὶν ἄνθρωπος. ὁ λόγος ἄρα τῆς Οὐσίας, πρότερον ἐφαρμόττειν δοκεῖ ταῖς δευτέραις Οὐσίαις, ἢ ταῖς πρώταις. σημεῖον δὲ τοῦτο ἐστὶν, ὅτι καὶ τὰ ἴδια συμβεβηκότα ἐπόμενα τῇ φύσει τῆς Οὐσίας, πρότερον προσήκουσι ταῖς δευτέραις Οὐσίαις, ἢ ταῖς πρώταις. διὰ τοῦτο δὴ ὁ Σωκράτης γελαστικὸς ἐστὶν, ὅτι τῷ ἀνθρώπῳ καθόλου πρόσεστι τὸ γελαστικὸν εἶναι. ὅθεν ἕπεται οὐ μόνον τῷ λόγῳ τῆς Οὐσίας ἁπλῶς, ἥπερ ἐστὶν ὃν καθ' αὑτὸ, ἀλλὰ καὶ τῷ λόγῳ τοῦ ὑφίσασθαι τοῖς ἄλλοις πρότερας Οὐσίας εἶναι τὰς δευτέρας, ~~τῶν πρώτων~~. ἀλλ' γὰρ σχόλιον.

Ἀπάντησις κατὰ τὸν γνώμιμον τῶν νεωτέρων.

Εἰσὶν οἱ τὸν Οὐσίαν θεωροῦντες διχῶς, ἢ τῷ λόγῳ τοῦ ὑφίσασθαι τοῖς συμβεβηκόσιν, ὃν χάριν φασὶ πρώτην εἶναι τὸν καθ' ἕκασα καὶ σωτῆρα, ὅτι καὶ πρώτως ἐκείνη προσήκει τοῖς συμβεβηκόσιν ὑφίσασθαι· ἢ τῷ λόγῳ τοῦ ἀνυποκατάτου, ὃν χάριν προτέρας εἶναι βούλονται τὰς δευτέρας Οὐσίας. τὸ γὰρ ἀνυπόκατον εἶναι, πρώτως ἰδιάζειν φασὶ τῇ Οὐσίᾳ, ἥπερ ἐστὶν ὄν, καὶ καθ' αὑτὸ τοῦ συμβεβηκότος ἀντιδιαστελλόμενον. ὅθεν καὶ πρώτως ταῖς δευτέραις Οὐσίαις προσήκει, αἵπερ καὶ ἰδιαζόντως ὄντα καθ' αὑτὸ, καὶ ἀμεταβλητα εἰσὶν, οἷα οὐκ ἔσιν ἡ πρώτη Οὐσία, ἐν συνεχεῖ καὶ παντοίᾳ μεταβολῇ ὑπάρχουσα.

Ἀναζοπὴ τῆς ἐκτεθείσης δόξης.

Οἱ πρεσβεύοντες οὕτω, τὸ τε Πλάτωνος περὶ Ἰδεῶν εἰσάγουσι δόγμα. ἐκεῖνος γὰρ τὰ γένη, καὶ τὰ εἴδη τῶν ὄντων, ᾤετο καθ' αὑτὰ ὑπάρχειν πάσης ἀπηλλαγμένα ὕλης. κατὰ μέντοι τὸν Ἀριστοτέλη, καὶ τὸν ὀρθὸν λόγον, οὐδὲν ὑπάρχειν πέφυκεν ἐκτὸς τῆς ἀτόμου Οὐσίας, ἥ πρώτως ἐστὶν, οὐ μόνον ὑποκεῖσθαι τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐθύπαρκτον εἶναι. τί γὰρ ἄλλο ἐστὶ τὸ ὑφίσασθαι καθ' αὑτὸ, ἢ τὸ καθ' αὑτὸ ὑπάρ-

χειν, καὶ ἐνεργεῖν. ᾧ δὲ πρώτως προσήκει καθ' αὑτὸ ὑπάρχειν καὶ ἐνεργεῖν, τούτῳ καὶ πρώτως καθ' αὑτὸ τὸ ὑφίσασθαι προσήκει. ἀλλ: τὸ καθ' αὑτὸ ὑπάρχειν καὶ ἐνεργεῖν, πρώτως προσήκει τῇ ἀτόμῳ Οὐσίᾳ, (ὡς ἐν τῷ πρώτῳ τῆς Μεταφυσικῶν, καὶ τῆς περὶ Ψυχῆς ἐν τῷ πρώτῳ, καὶ ἀλλαχοῦ διδάσκει ὁ Φιλόσοφος) καὶ τὸ ὑφίσασθαι ἄρα πρώτως προσήκει τῇ ἀτόμῳ Οὐσίᾳ, ἀλλ' οὐ ταῖς δευτέραις. ὅθεν καὶ ὑπογράφεται τὸ αὐθύπαρκτον, εἶναι ἄτομος καὶ συνθετος Οὐσία.

Λύσις τῶν ἐκτεθειμένων ἀντιθέσεων.

Καὶ πρῶτον μὲν πρὸς τὸ ἠπορημένον, ἀπὸ τοῦ φιλοσοφικοῦ ῥητοῦ ῥᾳδία ἡ ἀπάντησις. αἱ γὰρ Οὐσίαι οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἥπερ εἰσὶν αὐθύπαρκτοι, καὶ πρὸς τὰ συμβεβηκότα ἀντιδιαστελλόμεθα, καὶ προσέτι κατὰ πλάτος παραβαλλόμεθα, ὡς ἤδη εἴρηται. κατὰ βάθος μέντοι, καὶ τῷ λόγῳ τοῦ τοῖς συμβεβηκόσιν ὑφίσασθαι, ἐπιεικῶς λέγονται μᾶλλον καὶ ἧττον Οὐσίαι. ὁ γὰρ λόγος τοῦ ὑφίσασθαι, οὐ συνωνύμως πάσαις προσήκει ταῖς Οὐσίαις, ἀλλὰ κυρίως καὶ μάλιστα τοῖς ἀτόμοις. κατὰ δεύτερον δὲ λόγον τοῖς εἴδεσι, καὶ μετ' ἐκεῖνα προσέτι καὶ τοῖς γένεσι.

Πρὸς δὲ τὴν δευτέραν ἀντίθεσιν ῥητέον, ὅτι αἱ δεύτεραι Οὐσίαι, εἰσὶ μὲν συνωνύμως Οὐσίαι, καθὸ ἡ Οὐσία τὸ αὐθύπαρκτον σημαίνει Ὄν, δηλαδὴ τὸ μὴ ἐν ἄλλῳ ὡς ἐν ὑποκειμένῳ ὑπάρχειν, ᾗ δὲ ὑφίσαται τοῖς συμβεβηκόσιν ἡ Οὐσία, τὰ εἴδη καὶ τὰ γένη δεύτεραι Οὐσίαι εἰκότως ἤκουσαν, ὡς δευτέρῳ λόγῳ τοῖς ἄλλοις ὑποκείμεναι, δηλονότι διὰ τῆς πρώτης.

Πρὸς δὲ τὸ λεγόμενον περὶ τῶν ἰδίων συμβεβηκότων, εἴρηται ἡμῖν ἤδη καὶ ἀνωτέρω, καὶ νῦν ἀπαντητέον, ὅτι τῷ λόγῳ τῆς ἀναγκαίας συναφείας καὶ ἀκολουθίας, τὰ ἴδια συμβεβηκότα λέγεται ἐφαρμόττειν ταῖς δευτέραις Οὐσίαις, τῷ δὲ λόγῳ τοῦ ὑπάρχειν ὡς ἐν ὑποκειμένῳ, ἀεὶ πρώτως ἀποδίδοται τῇ πρώτῃ Οὐσίᾳ. ἡ γὰρ τοῦ γελᾶν φέρε εἰπεῖν ἐπιτηδειότης, ἐν τῷ Σωκράτει καὶ τοῖς κατὰ μέρος ἀνθρώποις τὸ εἶναί τε καὶ ἐνεργεῖν ἔσχηκε. φαμὲν γὰρ τὸν Σωκράτη γελαστικὸν εἶναι, ὅτι ἐστὶν ἄνθρωπος, δηλοῦντες τὴν ἰδιότητα κοινὴν ἔχειν τοῦ γελᾶν σὺν τοῖς λοιποῖς ἀνθρώποις, ἥπερ εἰσὶν ἄνθρωποι, ἀλλὰ καὶ αὐτὸ τοῦτο τὸ εἶναι ἄνθρωπον, ἐν ταῖς καθ' ἕκασα Οὐσίαις ἐστὶν, ὧν ἀναιρεθεισῶν, τὰ πάντα συναναιρεῖται. ἀεὶ γὰρ πρῶτον ἐστὶ τὸ συνεισάγον, καὶ συναναιρούμενον

τὰ

κοινὸν δὲ πᾶν τὸ σχῆμα ἢ ὅλον, τὸ μὲν ἐν ἀσυμβάτῳ ὅλον. ἓν δὲ ἀδιαφόρως. ἀκίνητον δὲ ὅλον ἢ μέρος, ἀλλὰ μὴ ἡ διαφορὰ τῶν μὲν ἐν ἀσυμβάτῳ ἐστὶν, ὁ δὲ ἡ ἀλλοιωτικὴ ἢ ἀπὸ σχήματος ὅλον ὡδί. τὸ μὲν ἐν ἀσυμβάτῳ οὖν, ἢ ἔστι συμβεβηκός. ἡ διαφορὰ τῶν μὲν ἐν ἀσυμβάτῳ ὅλων ἐστὶν, ἡ διαφορὰ γὰρ ἔστιν ἄφρα συμβεβηκός. οἷον δὲ ἢ ὅλον ἀνὴρ αἱ διαφοραὶ, ἢ τῶν δώδεκα ἀνδρῶν. τὰ σχῆμα ἓν ὅλα, ἢ αἱ ἀπὸ ἓν ὅλαν ἀναγόμεναι. ἀλλὰ μὲν ἡ διαφορὰ σχῆμα ἓν ὅλαν ἐστὶν, ἡ ἄφρα διαφορὰ ἢ αἱ ἀπὸ ἓν ὅλαν ἀναχθεῖσα. ἡ ἡμικύκλων τετράγωνος. ἡ μείζων δώδεκα. τὰ διαφόρως ὀνομασθήσεται, ἢ σχήματι αἱ δὲν ἡ ἐννοίᾳ διάφορα. ἀλλὰ μὲν ἓν ὅλα ἡ ἓν διαφορὰ διαφόρων ἐστὶ τὸ ὄνομα, ἡ ὅλα ἄφρα ἡ ἡ διαφορὰ, διάφορα ἐστὶ σχήματα.,, τὰ σχήματι διαφόρων τα, ἢ αἱ ἀπὸ ἓν ἀνίσων ἀναχθέντων πλευρῶν. ἀλλὰ μὲν ἡ ὅλα ἡ ἡ διαφορὰ σχήματι διαφέρουσι, ἢ αἱ ἄφρα ἀπὸ ἓν ἴσων ἀναχθέντων πλευρῶν.

τὰ ἄλλα. τοῦτο δὲ τῷ λόγῳ τοῦ αὐθυποστάτου πρώτως ταῖς καθ' ἕκαστα προσήκει Οὐσίαις, εἰ καὶ τῷ λόγῳ τοῦ καθόλου ἀνάπαλιν φαίνεται ἔχον.

Περὶ τῶν παρεπομένων τῇ Οὐσίᾳ. Τέταρτον μέρος τοῦ κεφαλαίου.

„ Κοινὸν δὲ ἐστὶ πάσῃ Οὐσίᾳ τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι.

Εἰς τελεωτέραν κατάληψιν τῆς κατὰ τὴν Οὐσίαν ἐννοίας, μετὰ τὸ ὑποχάψαιτε, καὶ διελεῖν ταύτῃ, καὶ διαφόρως ταύτῃ παραβαλὼν, προχειρίζεται διασαφῆσαι ὁ Φιλόσοφος καί τινα τῶν ἐκείνῃ παρεπομένων, ἅπερ εἰ καὶ μὴ πάντα ἰδίως εἰσὶ τῇ Οὐσίᾳ, (οὐ γὰρ πάντα μόνῃ, καὶ πάσῃ ἐφαρμόττει τῇ Οὐσίᾳ,) συμβάλλεται μέντοι πάντα εἰς γνῶσιν τῆς Οὐσίας. ἄρχεται δὲ ἀπὸ τῶν κοινοτέρων. ἔστι δὲ ὃ προχειρίζεται πρῶτον, κοινὸν εἶναι πάσῃ Οὐσίᾳ τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. τοῦτο παρείληφεν ὁ Φιλόσοφος ἀνωτέρω ἀπὸ τῆς πρώτης διανομῆς τοῦ ὄντος, καὶ ἐν οἷς τὴν πρώτην Οὐσίαν ὑπέγραφεν. ἐπὶ τοῦ παρόντος δὲ τοῦτο δείκνυσι πάσῃ ἐνεῖναι Οὐσίᾳ διάτε ἐπαγωγῆς, καὶ συλλογισμοῦ. ὅτι γὰρ αἱ πρῶται Οὐσίαι οὐκ εἰσὶν ἐν ὑποκειμένῳ, προφανές. ἀλλ' οὐδὲ αἱ δεύτεραι. οὐ γὰρ φαμὲν τὸν ἄνθρωπον ἔντινι ἀνθρώπῳ εἶναι, οὐδὲ τὸ ζῶον ἔντινι ζώῳ. παρὰ ταῦτα, τὰ ἐν ὑποκειμένῳ ὄντα, οὐ μεταδιδόασι τοῖς ἐν οἷς ὑπάρχουσιν ὑποκειμένοις τὸν ἴδιον τῆς Οὐσίας λόγον, αἱ δεύτεραι δὲ Οὐσίαι, ὡς ὁ ἄνθρωπος καὶ τὸ ζῶον, μεταδιδόασι τῶν οὐσιωδῶν σφῶν αὐτῇ λόγων τῷ ἐν ᾧ ὑπάρχουσιν. ὁ γὰρ Σωκράτης ζῶον λογικὸν λέγεται, καὶ Οὐσία ἔμψυχος καὶ θνητική.

Ἐπιφέρει δὲ ὁ Φιλόσοφος ὅτι τὸ προχειρισθὲν τῆς Οὐσίας παρεπόμενον, οὐ μόνον τῇ Οὐσίᾳ προσήκει, ἀλλὰ καὶ ταῖς διαφοραῖς ὑπάρχει κοινόν. ὅθεν ἀναφύεται ἀπορία παρὰ τοῖς ἐξηγηταῖς. δοκεῖ γὰρ ὁ Φιλόσοφος τὰς διαφορὰς πασῶν ἀποκλείειν τῶν κατηγοριῶν. εἰπὼν γὰρ ὅτι οὐκ ἐν ὑποκειμένῳ εἰσὶ, διασέλλει ταύτας τῶν συμβεβηκότων, ὡς ἐν ὑποκειμένῳ ὄντων, τὸ δὲ αὖθις λέγειν μὴ μόνον ταῖς Οὐσίαις εἶναι τοῦτο κοινὸν, ἀλλὰ καὶ ταῖς διαφοραῖς προσήκειν, ἐναργῶς ἀποκλείει τὰς διαφορὰς, τῆς κατὰ τὴν Οὐσίαν κατηγορίας, ἐφ' ἧς ἀνακτέον ἐστὶ ταύτας.

Λύσις Πρώτη.

Περὶ ταύτης τῆς ἀποείας, ἐπὶ τοῦ παρόντος ὁ Ἀμμώνιος διασκεπτόμενος, εἰσάγει τοὺς κατ' ἐκεῖνο καιροῦ φιλοσοφοῦντας, οἳ τειχῶς διανέμονται τὰς διαφοράς. τὰς μὲν γὰρ ἔφασαν εἶναι μᾶλλον Οὐσίας, ἢ Συμβεβηκότα, ὡς τὸ λογικὸν καὶ ἄλογον, καὶ τὰ τοιαῦτα. τὰς δὲ ἀνάπαλιν μᾶλλον Συμβεβηκότα, ἢ Οὐσίας. καὶ ταύτης τῆς τάξεως παραδείγματα προχειρίζεται, τὴν ἐν Αἰθίοπι, φέρε εἰπεῖν, μελανίαν, καὶ Κόρακι, τὴν ἐν Κύκνῳ λευκότητα, καὶ ὅσα ἄλλα ὁμοίως ἔχουσι. Τρίτης δὲ κλάσεως διαφορὰς ἐτίθεσαν, ἃς μέσην τάξιν ἐχούσας ἐβούλοντο, ἐφ' ὅτε μὲν, Οὐσίας λόγον ἐπέχειν, ἐνίοτε δὲ καὶ Συμβεβηκότος. ὧν καὶ παραδείγματα προχειρίζεται ὁ Ἀμμώνιος τὰς πρώτας τῶν ἁπλῶν σωμάτων ποιότητας, θερμὸν δηλονότι καὶ ξηρὸν, ψυχρόν τε καὶ ὑγρόν. αὗται γὰρ πρὸς μὲν τὸ ἁπλῶς, ἤτοι τὸ τειχῆ διαστατὸν θεωρούμεναι, συμβεβηκότων ἐπέχουσι λόγον. τοῖς δὲ στοιχείοις οὐσιωδῶς ὑπάρχουσι, συμπληρωτικαὶ τῆς Οὐσίας αὐτῶν οὖσαι. ἐπεὶ τοιγαροῦν οὐχ ἓν εἶδος τῶν διαφορῶν, διὰ τοῦτο φησὶν ὁ Φιλόσοφος πρὸς πάσας ἀπιδὼν τὰς ἐν αὐταῖς ἑτερότητας, εἰκότως ταύτας οὐχ ἁπλῶς ἐν ταῖς οὐσίαις ἔταξεν, οὔτ' αὖ ἐν τοῖς συμβεβηκόσι.

διανέμονται

Ἀναίρεσις τῆς εἰρημένης ἐπιλύσεως, καὶ θέσις ἑτέρας.

Πρὸς τούτους αὐτὸς ἀντεπάγει ὁ Ἀμμώνιος, πρῶτον τὴν τοῦ ὄντος διαίρεσιν, δίχα διῃρημένου κατὰ τὸν Φιλόσοφον, ἀμέσως, εἰς Οὐσίαν καὶ Συμβεβηκός, κατὰ δὲ τὴν ἐκείνων διδασκαλίαν, ἔδει καὶ τρίτον δίδοσθαι γένος τοῦ ὄντος μεταξὺ Οὐσίας καὶ Συμβεβηκότος, ἐφ' ᾧ ἀναχθεῖσαι αἱ διαφοραί. Εἶτα ὅτι Οὐσίαι εἰσὶν αἱ διαφοραὶ, αὐτὸς κατασκευάζει, ἐκ τοῦ εἶναι ταύτας συμπληρωματικὰς τῶν εἰδῶν, καὶ κατ' ἐκείνων κατηγορεῖσθαι οὐσιωδῶς. Ἐπιλυόμενος δὲ αὐτὸς τὴν ἐξ ἀρχῆς ἀποείαν φησί. χυδαιότερον ἐνταῦθα, καὶ ὡς πρὸς εἰσαγομένους τὸν λόγον γενέσθαι τῷ Φιλοσόφῳ.

Ἀνα-

Ἀναίρεσις τῆς ἐπιλύσεως, καὶ θέσεως.

Ὁ Μέντοι Φιλόσοφος ὁ μόνον ἐπὶ τὸ παρόντος, ἀλλὰ καὶ ἐπὶ πολλῶν ἄλλων τὰς οὐσιώδεις διαφορὰς, καὶ ποιότητας προσαγορεύει. ἐν ᾧ τῷ πέμπτῳ τῆς Φυσικῶν, ἐδαφίῳ δεκάτῳ ὀγδόῳ ταῦτα κατὰ λέξιν φησί. λέγω δὲ τὸ ποιὸν τὸ ἐν τῇ οὐσίᾳ. καὶ ἀναπτύσσων τὸ λεγόμενον ἐπάγει, καὶ γὰρ ἡ διαφορὰ ποιόν. ἐν δὲ, τῷ Ε. τῆς Μεταφυσικῶν ἐν τῷ περὶ Ποιοῦ κεφαλαίῳ ἐν ταῖς ποιότησι καταριθμεῖ τὰς οὐσιώδεις διαφορὰς, καὶ ἐν πολλοῖς ἄλλοις κέχρηται τῷ τῆς ποιότητος ὀνόματι ἐπὶ τῆς κατ' οὐσίαν διαφορῶν. ἔμπης δὲ ὅτι οὐ κυρίως εἰσὶν ἐν τῇ κατηγορίᾳ τῆς ποιότητος αἱ οὐσιώδεις διαφοραὶ, δηλοῦσι καὶ τὰ προχειρισθέντα τῷ Ἀμμωνίῳ ἀνωτέρω, καὶ παρὰ ταῦτα ὅτι αἱ ποιότητες ὡς παρὰ Πορφυρίῳ ἐλέγετο, προστιθέμεναι τοῖς οὖσι, ἀλλοῖον ποιοῦσι, αἱ δὲ οὐσιώδεις διαφοραὶ, οὐκ ἀλλοῖον, ἀλλὰ ἄλλο ποιοῦσι. καὶ ὁ Φιλόσοφος παρακατιὼν, μέρη τῆς Οὐσίας τὰς διαφορὰς ὀνομαλεῖ. Ὅθεν βέλτιον οἶμαι λέγειν, τὰς οὐσιώδεις διαφορὰς, καθ' αὑτὰς μὲν θεωρουμένας, μὴ ἀξιοῦσθαι τῆς κατὰ τὸν οὐσίαν ἐπωνυμίας παρὰ τῷ Φιλοσόφῳ, ἐμάλιστα κατὰ τὸν προκειμένην θεωρίαν. οὔτε γὰρ πρῶταί, οὔτε δεύτεραι Οὐσίαι εἰσὶν, ἀλλὰ ποιότητες οὐσιώδεις. συναπτόμεναι δὲ τοῖς γένεσι, μέρη γίνονται τῶν οὐσιῶν, ἤ δηλαδὴ συνιστῶσι τὰ εἴδη. ὅθεν καθ' αὑτὰς, ἐν οὐδεμιᾷ τάττονται κατηγορίᾳ, (ἐννοουμένης τῆς κατηγορίας, ἥπερ ἐστὶ τάξις τις καὶ σειρὰ τῶν κατηγορουμένων καὶ ὑποκειμένων, γενῶν δηλονότι εἰδῶντε καὶ ἀτόμων.) διὰ μέσου τὰ εἴδη καὶ αὗται εἰς τὸν Οὐσίαν ἀνάγονται, ὡς μέρη οὖσαι συστατικὰ τῶν εἰδῶν. τὸν αὐτὸν τρόπον ἀναφέρονται ἐπὶ τὸν κατηγορίαν τῆς Οὐσίας ἡ Ὕλη καὶ τὸ Εἶδος, καθὸ δηλαδὴ συνιστῶσι τὸν συνθέτον Οὐσίαν.

Εἰ δέ τις φαίη τὰς διαφορὰς μέρη εἶναι τῆς Οὐσίας, καὶ γὰρ συστατικαὶ τυγχάνουσι τῆς αὐτῆς, τὰ δὲ μέρη τῆς Οὐσίας, εἰσὶν Οὐσίαι. τίνι λόγῳ ἄρα ὁ Φιλόσοφος ὀνομαλείει ταύτας τῆς κατηγορίας τῶν Οὐσιῶν; Ῥητέον οὕτως, ὡς ὁ Φιλόσοφος ἐνταῦθα Οὐσίας ἐννοεῖ τὰς συνθέτους καὶ ἐντελεῖς, οἵαι οὐκ εἰσὶν αἱ διαφοραί.

Ἅπαν

Τὸν αὐτὸν ζόφον ἐπιλύεται ἡ παρ' Ἀμμωνίῳ ἀντίθεσις, περὶ τῆς τοῦ ὄντος διαιρέσεως ἀμέσως, εἰς Οὐσίαν καὶ Συμβεβηκός. ἐννοεῖται γὰρ ἡ διαίρεσις τοῦ ὄντος εἰς Οὐσίαν, ὡς εἰς αὐθύπαρκτον Ὄν, καὶ Συμβεβηκός, ὡς ἐν ἄλλῳ ὑπάρχον, ὃν ζόφον οὐδὲν δίδοται μεταξὺ τῆς Οὐσίας (οὕτως ἐννοουμένης) καὶ Συμβεβηκότος. τοῦτο δὲ οὐ κωλύει τὸ δύνασθαι ἡμᾶς τῇ ἐπινοίᾳ χωρίζειν τὰς οὐσιώδεις διαφορὰς, αἵπερ οὕτω κεχωρισμέναι, οὔτε Οὐσίαι εἰσὶν ἐντελεῖς, οὐ γὰρ ὑφίστανται καθ' αὑτὰς, οὔτε Συμβεβηκότα, οὐ γὰρ ὑπάρχουσιν ὡς ἐν ὑποκειμένοις τοῖς εἴδεσιν, ἀλλ' ὡς μέρη. ὅθεν οὐκ ἀπεικότως ἤκουσαν ποιότητες οὐσιώδεις, καὶ διαφέρουσί πως, τῆς τε Οὐσίας καὶ τῆς Συμβεβηκότων, τὸν εἰρημένον ἐννοούμεναι ζόφον. ᾧ δὴ λόγῳ καὶ ὁ Φιλόσοφος ἐνισάσας ταύτας ἐπὶ τοῦ παρόντος διέσειλε, τῆς τε Οὐσίας καὶ τῆς Συμβεβηκότων.

Ἐφεξῆς ὁ Φιλόσοφος ἀπορίαν τοιαύτην ἀνακύπτουσαν ἐπιλύεται. ἐπιχειρεῖ γὰρ αὖτις εἰπεῖν, τὰ μέρη τῆς Οὐσίας φέρε εἰπεῖν τοῦ ἀνθρώπου, χεῖρες, πόδες, καὶ τὰ τοιαῦτα, Οὐσίαι εἰσί. ταῦτα δὲ ἐν ὅλῳ εἰσὶ, δηλαδὴ τῷ ἀνθρώπῳ. αἱ Οὐσίαι ἄρα ἐν ὅλῳ, ὡς ἐν ὑποκειμένῳ εἰσίν.

Ἐπιλύεται τοιγαροῦν ὁ Φιλόσοφος εἰπὼν, τὰ μέρη τῆς Οὐσίας μὴ ἐνυπάρχειν τῷ ὅλῳ, οἷον χεῖρες καὶ πόδες καὶ τὰ τοιαῦτα τῷ ἀνθρώπῳ ὡς ἐν ὑποκειμένῳ. τὸ γὰρ ἐν ὑποκειμένῳ εἶναι ὡς κοινότερον ὁ Φιλόσοφος ὁρίζεται ἐστὶν ἐν ἄλλῳ εἶναι, μὴ ὡς μέρος ἐκείνου ἐν ᾧ ἐστί· τὰ δὲ μέρη τῆς Οὐσίας ἐνυπάρχουσι τῷ ὅλῳ συμπληροῦντα τοῦτο.

Δεύτερον παρεπόμενον.

„ Ὑπάρχει δὲ ταῖς Οὐσίαις καὶ ταῖς διαφοραῖς, τὸ πάντα συνωνύμως „ ἀπ' αὐτῶν λέγεσθαι, καὶ τὰ ἑξῆς.

Δεύτερον παρεπόμενον ἐπάγει τῆς Οὐσίας ὁ Φιλόσοφος, ὅπερ ἐστὶ συνωνύμως κατηγορεῖσθαι καὶ τῶν ὑποτεταγμένων. δεδήλωται δὲ πῦτο κατωτέρω, ἐν οἷς μετὰ τοῦ Φιλοσόφου ἔφημεν, τὰς δευτέρας Οὐσίας κατηγορεῖσθαι τῶν πρώτων κατὰ τὸ συνώνυμα, καὶ λόγον τὸν αὐτόν. τῶν δὲ Συμβεβηκότων τὰ πλεῖστα, οὔτε τὸ ὄνομα, οὔτε τὸν λόγον μεταδιδόναι τοῖς ἰδίοις ὑποκειμένοις. ἔμπης δ' ἔνια μηδὲν κωλύει μεταδιδόναι τοῦ ὀνόματος τῷ ὑποκειμένῳ, τοῦ λόγου δὲ οὐδενί. πυτὶ δὲ τὸ ἴδιον,

εὖτε

οὔτε μόνῃ προσήκει τῇ Οὐσίᾳ, οὔτε πάσῃ. οὐ μόνῃ μὲν, ὅτι καὶ ταῖς διαφοραῖς ὑπάρχει κοινόν. κατηγορεῖται γὰρ κἀκεῖναι συωνύμως, ὥσπερ τὰ γένη κατὰ τῶν εἰδῶν καὶ ἀτόμων Οὐσιῶν. τὸ γὰρ αἰσθητικὸν φέρε εἰπεῖν, ἀποδίδωσιν ἀνθρώπῳ τε καὶ Σωκράτει, καθ' ὧν κατηγορεῖται, τό,τε ὄνομα, καὶ τὸν λόγον τὸν αὐτόν. λέγεται γὰρ ὅ,τε ἄνθρωπος αἰσθητικὸς, καὶ ὁ Σωκράτης ὁμοίως, καὶ ἔστιν ἑκάτερος οὐσία ἔμψυχος αἰσθητική. ἐπὶ γὰρ τῶν συωνύμως κατηγορουμένων, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα & κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. οὐ πάσῃ δὲ προσήκει τῇ Οὐσίᾳ τὸ αὐτὸ παρεπόμενον, ὅτι ταῖς πρώταις Οὐσίαις ἀοίκειόν ἐστιν. ἀπὸ γὰρ τῆς πρώτης οὐσίας οὐδὲ μία πέφυκε κατηγορία γίνεσθαι καθ' αὑτό. κατ' οὐδενὸς γὰρ ὑποκειμένου ἡ πρώτη Οὐσία κατηγορεῖται καθ' αὑτό.

Εἰδέ τις φαίη, ὅτι καὶ τὰ συμβεβηκότα κατηγορεῖται συωνύμως κατὰ τῶν ὑφ' αὑτὰ, ὡς ἡ ἕξις κατὰ τῆς Ἐπιστήμης καὶ Τέχνης, καὶ ἡ Τέχνη κατὰ τῆς Μουσικῆς καὶ Γραμματικῆς, καὶ τῶν ὁμοίων, Ῥητέον. ὅτι ἐπὶ τοῦ παρόντος θεωρεῖται τὰ συμβεβηκότα, καθὸ κατηγορεῖται τῶν Οὐσιῶν αἷς ἐνυπάρχουσιν, οὐ καθ' ὅσον πρὸς τὰ ὑφ' αὑτὰ τακτόμενα ἀναφέρεται.

Τέταρτον παρεπόμενον.

„ Πᾶσα δὲ Οὐσία δοκεῖ τὸ δέ τι σημαίνειν. καὶ τὰ ἑξῆς.

Τρίτον προστίθησι παρεπόμενον τῆς Οὐσίας ὁ Φιλόσοφος, ὅτι πᾶσα δοκεῖ Οὐσία τὸ δέ τι σημαίνειν. κέχρηται ὁ Φιλόσοφος τῇ φωνῇ ταύτῃ, τὸ δέ τι σημαίνειν ἐφ' ὅτε πλατύτερον, ὡς ἐν τῷ Α. τῶν Φυσικῶν κεφαλαίῳ ἑβδόμῳ, ἔνθα οὐ μόνον εἰς δήλωσιν τῆς Οὐσίας εἴληπται, ἀλλὰ καὶ τῶν Συμβεβηκότων, ἅπερ τῶν στερήσεων καὶ ἀποφάσεων ἀντιδιαστέλλονται. ἐπὶ τοῦ παρόντος δὲ ἰδιαίτερον ταύτῃ κέχρηται, καθὸ σημαντική ἐστιν οὐσίας ὡρισμένως μιᾶς τῷ ἀριθμῷ, καὶ διακτύλῳ ὥς φασι δεικνῦσθαι πεφυκυίας, ἥτις ἀνυπάρκτος εἴη καὶ ἐντελὴς Οὐσία. ἔνθεν εἰκότως φησὶν ὁ Φιλόσοφος, τοῦτο μόναις ταῖς πρώταις οὐσίαις, μόνως καὶ καθ' αὑτὸ προσήκει. αἱ γὰρ δεύτεραι Οὐσίαι εἰ καὶ κατὰ τὸ σχῆμα τῆς προσηγορίας δοκοῦσί πως τὸ δέ τι σημαίνειν, ὡς εἴτις φαίη ἄνθρωπον, ἢ ζῶον, οὐ μέντοι ὁμοίως ὡς αἱ πρῶται Οὐσίαι τὸ δέ τι σημαίνουσιν, ἀλλὰ κατὰ πολλῶν, καὶ ὁ ἄνθρωπος, καὶ τὸ ζῶον κατηγορεῖται.

Μη-

Μηδεὶς δ' ὑπολάβῃ, λέγοντος ἐνταῦθα τοῦ Φιλοσόφου, τὰ γένη καὶ τὰ εἴδη, ποιότητι σημαίνειν, ἐν τοῖς Συμβεβηκόσι ταῦτα καταριθμήσασθαι. τὸ γὰρ Ποιὸν, ὃ κοινότερον λέγεται, καὶ ἰδιαίτερον. λαμβάνεται μὲν ἰδιαίτερον ὁπλίτικα μόνα σημαίνει τὰ ἀναγόμενα ἐπὶ τὴν κατηγορίαν τῆς Ποιότητος, κοινότερον δὲ εἰλημμένον, πάντα σημαίνει τὰ καθόλου κατηγορούμενα, οὐ μόνον Συμβεβηκότα, ἀλλὰ καὶ τὰς Οὐσίας. λέγεται γὰρ Ποιὸν, εἴπουν ποιότης, ὅτι ποτ' ἔχει λόγον μετεχομένου πρὸς μετέχον. τὸ γὰρ εἶναι τῆς Ποιότητος, ἐν τῷ μετέχεσθαι ὡς εἰδοποιοῦ, οὐσίωται. ὅθεν τῷ λόγῳ τῆς μεθέξεως ὀφείλεται τῷ Φιλοσόφῳ λέγοντι ποιότητα εἶναι, καθ' ἣν ποιοίτινες εἶναι λεγόμεθα. πάντα δὲ τὰ καθόλου, λόγον ἔχει μετεχομένου πως καὶ εἰδοποιοῦντος πρὸς τὰ καθ' ὧν κατηγορεῖται. ποιοῦσι γὰρ ἐκεῖνα τοιαῦτα, ἢ μὴ τοιαῦτα, οὐσιωδῶς, ἢ ἐπουσιωδῶς. Ὅθεν ὁ Φιλόσοφος ἐν τῷ Ε τῆς μεταφυσικῶν, κεφαλαίῳ περὶ Ποιοῦ διδάσκων, τὰς οὐσιώδεις διαφορὰς φησὶ κυριώτατα λέγεσθαι ποιότητας.

Τέταρτον παρεπόμενον.

„ Ἔστι δὲ ταῖς Οὐσίαις, καὶ τὸ μηδὲν ἐναντίον αὐταῖς εἶναι.

Τέταρτον παρεπόμενον τῆς Οὐσίας ἐστὶ τὸ μὴ ἔχειν ἐναντίωσιν, τουτέστιν Οὐσίαν Οὐσίᾳ μὴ ἐναντίαν εἶναι. ἐννοεῖται δὲ τὰ ἐναντία ἐνταῦθα κυρίως, ἅπερ εἰσὶν εἴδη ἀπολύτως θεωρούμενα, ἐνεργοῦντα εἰς ἄλληλα, καὶ ἀμοιβαδὸν ἐξωθοῦντα τοῦ αὐτοῦ δεκτικοῦ. σερητικῶς δὲ καὶ ταῖς Οὐσίαις ἐστὶν ἐναντίωσις, ὡς ἐν τῷ Α. τῆς Φυσικῶν ὁ Φιλόσοφος πλατύτερον διδάσκει. δεῖ δὲ τὴν ἰδιότητα ταύτην ἐννοεῖν, πρώτως καὶ καθ' αὑτὸ προσήκουσαν τῇ σωθέτῳ Οὐσίᾳ, καὶ μάλιστα διὰ τὴν Ὕλην, οὐχ ὁμοίως δὲ καὶ ταῖς διαφοραῖς, ὅπερ ἔστι μὲν καὶ παρὰ τῷ Φιλοσόφῳ εὑρεῖν ἐπὶ πολλῶν, καὶ ὁ λόγος πείθει σαφῶς.

Ἀλλ' οὐδὲ τοῦτο μόνῃ προσήκει τῇ Οὐσίᾳ, ἔστι γὰρ καὶ τῷ Ποσῷ κοινόν. τῷ γὰρ διπήχει, ἢ τριπήχει, ἢ τῷ δεκαδύῳ ἀριθμῷ καὶ τοῖς ὁμοίοις, οὐδὲν δοκεῖ ἐναντίον εἶναι.

Ἀντιφέρει ἐφεξῆς ὁ Φιλόσοφος, ὅτι δοκεῖ τις ἐνεῖναι τῷ Ποσῷ ἐναντιότης. Δείκνυσι δὲ τοῦτο παραδείγματι τοιῷδε. Τὸ πολὺ καὶ ὀλίγον, μέγα καὶ μικρὸν, ποσάτε εἶναι δοκοῦσι καὶ ἐναντία ἀλλήλοις, διὸ οὐκ ἀληθὲς ἔδει λέγειν τῷ Ποσῷ μηδὲν ἐναντίον εἶναι.

Ταύτῃ τῇ αἰτιάσει ὑπολύεται ὁ Φιλόσοφος, χρώμενος διαιρέσει τοιᾷδε.

τοιᾶδε. τοῦ Ποσοῦ, τὸ μὲν ἐστὶν ὡρισμένον, ὡς τὰ δύο, τρία, δέκα, τεσσαράκοντα. τὸ δὲ ἀόριστον, ὡς τὸ μέγα καὶ μικρὸν, καὶ πολὺ καὶ ὀλίγον. ταῦτα γὰρ οὐ σημαίνει ποσὸν ὡρισμένον. ταύτης οὖν τῆς διαιρέσεως ὑποτεθείσης, ἐπάγει ὁ Φιλόσοφος, καὶ δοίημεν ὅπῃδέχεσθαι ἐναντιότητα τὸ Ποσὸν, ὅσον ἐστὶν ἀόριστον, τοῖς ὡρισμένοις μέντοι ποσοῖς, οὐδὲν ἐστὶν ἐναντίον. ὅθεν ἀληθὲς ἐστὶ μὴ μόνον τῇ Οὐσίᾳ προσήκειν τὸ μηδὲν ἐναντίον ἔχειν, ἀλλὰ καὶ τῷ Ποσῷ ὑπάρχειν κοινόν. καίτοι ἐν τῷ περὶ Ποσοῦ κεφαλαίῳ δείκνυσιν ὁ Φιλόσοφος, τὸ μέγα & μικρὸν, τὸ πολὺ καὶ ὀλίγον, μὴ εἶναι ποσὰ καθ' αὑτό. διὸ καὶ σημαίνει παντὶ τῷ Ποσῷ, ἴδιον εἶναι τὸ μηδὲν ἐναντίον ἔχειν.

Τίνα τρόπον χρὴ ἐννοεῖν μηδὲν ἐναντίον εἶναι τῇ οὐσίᾳ.

Περὶ τὸ τέταρτον τοῦτο παρεπόμενον τῆς Οὐσίας, οὐχ ἧττον δύσληπτος, ἢ δημόσιος ἐπὶ τῶν φιλοσοφούντων ἐστὶν ἀμφισβήτησις. ἔστι δὲ τὸ τῆς μάχης καὶ ἀντιλογίας αἴτιον, ἡ τῆς Οὐσίας γένεσις. οὐδὲν γὰρ ἄλλως φαίνεται πως γενέσθαι, μὴ διδομένης ἐναντιώσεως τῇ Οὐσίᾳ. οὐδὲν γὰρ ποιεῖ, ὅτι μὴ εἰς τὸ ἐναντίον, καὶ πάσχει ὁμοίως οὐδὲν, πλὴν ἀπὸ τοῦ ἐναντίου, ὡς ἐν τῷ Α. τῶν Φυσικῶν, κεφαλαίῳ πέμπτῳ, καὶ ἐν τῷ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς κεφαλαίῳ ἑβδόμῳ διδάσκει ὁ Φιλόσοφος.

Ἀμέλειπτον εἰ ἀναγκαῖον ἐστὶν εἰς γένεσιν τῆς Οὐσίας τὸ ποιητικὸν ἐνεργεῖν, ἐνέργεια δὲ οὐδεμία πέφυκε γίγνεσθαι, οὗπερ μὴ ἐστὶν ἐναντίωσις, ἕπεται ἀναγκαίως ἐπὶ τῆς Οὐσίας ἐνεῖναι ἐναντίωσιν. δεῖ γὰρ ἐναντίον εἶναι τῇ Οὐσίᾳ τὸ ποιητικὸν, ὑφ' οὗ ἡ μὲν φθείρεται τῶν Οὐσιῶν, ἡ δὲ γίγνεται. ὁ δὲ Φιλόσοφος οὐ μόνον ἐπὶ τοῦ παρόντος ἀποφαίνεται τῇ Οὐσίᾳ μὴ ὑπάρχειν ἐναντίον, ἀλλὰ καὶ ἐπὶ πολλῶν ἄλλων, τοῦτο ὡς ἀρχὴν ἀναντίῤῥητον ὑποτίθησι, τῇ Οὐσίᾳ δηλαδὴ μηδὲν ἐναντίον εἶναι. Ὅθεν ἐν τῷ Ε. τῶν Φυσικῶν ἐβδόμῳ δεκάτῳ κίνησιν (1) μὴ ὑπάρχειν τῇ Οὐσίᾳ διδάσκει, ἐκ τοῦ μηδενὸς αὐτῇ ἐναντίον εἶναι.

Δόξα τῶν νεωτέρων.

Τῶν νεωτέρων σχεδὸν πάντες, βούλονται μὲν τὴν γένεσιν καὶ φθοράν, τῷ λόγῳ τῆς ἐναντιώσεως γίγνεσθαι, τὴν μέντοι ἐναντίωσιν,

(1) Ἐν τῷ Ποσῷ, Ποιῷ, & τῷ Ποῦ.

οὐκ ἐν τοῖς εἴδεσι τῆς Οὐσίας, ~~εἰτ' οὖν~~ διαφορᾶς ἀνέχονται συνυπάρχειν, ἀλλ' ἐν ταῖς ποιότησι τίθενται, ταῖς διατιθεμέναις καὶ παρασκάζουσαις τὴν ὕλην, εἰς γένεσιν τῆς Οὐσίας, ἀναιρούσαις τὰς ἰδιότητας τοῦ προϋπάρχοντος εἴδους, καὶ τὰ διασώζοντα τοῦτο συμβεβηκότα. ὑποτίθενται γὰρ κοινότερον οὗτοι, ὡς ἀξίωμα ἀναμφισβήτητον τὴν ὑλικὴν Οὐσίαν, εἶπον τὸ σύνολον εἶδος, μηδὲν ἀμέσως, καθ' αὑτὸ παιεῖν, ἀλλὰ διὰ τῶν ἰδίων συμβεβηκότων, οἷς διατιθεμένης τῆς ὕλης, ἐν ᾧ ἕκαστον ἡ φθορὰ τοῦ προϋπάρχοντος εἴδους ἀπολήγει, ἐν τῷ αὐτῷ νῦν ἀναφύεσθαι, καὶ οἷον ἀνακύπτειν τὸ γενόμενον εἶδος ἐπὶ τῆς αὐτῆς ὕλης.

Εἰσάγουσι δὲ εἰς δεῖξιν τούτου τὸν Φιλόσοφον, ἐν οἷς φησὶ τῇ Οὐσίᾳ μηδὲν ἐναντίον εἶναι, καὶ ἀπὸ τοῦ τετάρτου κεφαλαίου τοῦ περὶ Αἰσθήσεως „ καὶ Αἰσθητῶν βιβλίου, ὅθεν φησὶν ὁ Φιλόσοφος. τὸ μὲν πῦρ ἢ πῦρ, „ καὶ ἡ γῆ ἢ γῆ, οὐδὲν πέφυκε ποιεῖν, ἢ πάσχειν, οὐδ' ἄλλο οὐδέν. ἢ „ δὲ ὑπάρχει ἐν αὐτοῖς ἐναντίότης, ταύτῃ πάντα ποιοῦσι καὶ πάσχουσιν. Ἐπιχειροῦσι δὲ ὡδίπως. Τὸ πῦρ οὐδὲν ποιεῖ, ἥπερ ἐστὶ πῦρ, οὐδὲ ἡ γῆ, ἢ γῆ, τὸ δὲ μὴ ποιοῦν ἢ τοιοῦτον, οὐ ποιεῖ τῷ οἰκείῳ εἴδει. οὐκ ἄρα τῷ οἰκείῳ εἴδει ποιεῖ, οὔτε τὸ πῦρ, οὔτε ἡ γῆ. ἔστι δὲ τὸ πῦρ αὐτὸ τοῦτο πῦρ, διὰ τὸ οἰκεῖον εἶδος, ὥσπερ καὶ ἡ γῆ. λείπεται ἄρα τὰς ὑλικὰς Οὐσίας ποιεῖν διὰ τῶν παρεπομένων τοῖς οἰκείοις εἴδεσι συμβεβηκότων, ἀλλ' οὐκ ἀμέσως αὐτοῖς τοῖς εἴδεσι. Φέρουσι δὲ εἰς ἐμπέδωσιν τοῦ λόγου τὸν Φιλόσοφον, ὃς πρῶτον μὲν τὰς ἀποδιδομένας ταῖς ὑλικαῖς Οὐσίαις δραστικὰς δυνάμεις τοῖς συμβεβηκόσιν ἀπαριθμεῖ. πάντες γὰρ ταύτας ἐν τῇ κατηγορίᾳ τῆς ποιότητος, ~~ἄλλως τε καὶ~~ ὅτι δοῦναι τῆς οὐσίας δυσκινήτους, πρόδηλον. ἐπιτείνονται γὰρ καὶ αὐίσονται, σωζομένου τοῦ αὐτοῦ οὐσιώδους εἴδους. διαφόρως γὰρ τοῦ σώματος διατιθεμένου, κατά τε διαφόρους ἡλικίας (1) καὶ νόσους, ἐπιτείνονται καὶ αὐίσονται αἱ δυνάμεις, μένοντος ἀεὶ τοῦ αὐτοῦ εἴδους.

Ἀντίθεσις πρὸς τὴν ἐκτεθεῖσαν δόξαν.

Τὸ μάλιστα ἔπονται ἄτοπα τῷ τοιῷδε φιλοσοφεῖν δόπῳ περὶ τῆς τῶν ὄντων γενέσεως, τὸ μὲν (2) ὅτι ἀπὸ ἀγενοῦς καὶ ἀτελοῦς αἰτίας δυσγενὲς καὶ ἀτελὲς ἀποτέλεσμα προέρχεσθαι διατάττεται, τὸ δὲ (3) ὅτι τὴν οὐσίαν καὶ τὸ οὐσιῶδες εἶδος, ἀργὸν ἀποφαίνεται, καὶ οὐδὲν δρῶσαν. ἅπερ

(1) Ὡς τὸ βρέφος μᾶλλον θερμὸν, ἢ ὁ γηρεός. (2) Οἷον ἀπὸ τὸ ποιὸν ἡ οὐσία. (3) Οἷον πῦρ Η, πῦρ.

ἅπερ ὅσης ἔχεται τῆς ἀποπίας, καὶ ὅσον εἰσὶν ἀλλότρια τῆς ὀρθῆς ἐν φιλοσοφίᾳ μεθόδου, πρόδηλα καθ' αὑτά. τὸ γὰρ καθ' αὑτὸ αἴτιον τοῦ γενναῦν, καὶ προβάλλειν, ἢ τῆς αὐτῆς τάξεως, καὶ τελειότητος τῷ ἀποτελέσματι χρεὼν εἶναι, ἢ τελεώτερον τοῦ ἀποτελέσματος, ὡς ἐπὶ τῶν τεχνητῶν καθορῶνται. ἀπὸ δὲ ἀτελεστέρας καὶ ὑποβεβηκυίας αἰτίας, τελεώτερόν τε καὶ ὑπερέχον ἀποτέλεσμα προελθεῖν, τῷ ἀδυνάτων φαίνεται εἶναι. αἴτιον γάρ, ὅτι οὐδὲν πέφυκεν ἐνεργεῖν, ἢ ποιεῖν ὑπὲρ τὸν ἰδίαν αὐτοῦ τελειότητα, ὅτι οὐ δύναται δοῦναι ὅπερ οὐκ ἔχει, καὶ ἀναιρεθείη ἐντεῦθεν ἡ κυριωτάτη τοῦ φιλοσοφεῖν μέθοδος εἰς ἀναζήτησιν καὶ εὕρεσιν τῶν ἀρχῶν, ἥτις ἐστὶ προϊέναι καὶ μεταβαίνειν ἀπὸ τῶν αἰτιατῶν καὶ ἡμῖν γνωρίμων, ἐπὶ τὰ αἴτια καὶ ἀρχὰς τὰ τῇ φύσει γνώριμα, ᾗ ἐν προοιμίῳ τοῦ Α. τῶν Φυσικῶν παραδίδωσιν ὁ Φιλόσοφος. οὐ γὰρ αὖ ᾗ ἡμῖν σωάγειν ἀπὸ τῆς διαφορᾶς καὶ τελειότητος τῶν ἀποτελεσμάτων, τὴν διαφορὰν καὶ τελειότητα τῶν ποιητικῶν, καὶ μάτην αὖ ᾗ θρυλλουμένη ἡ ἀποδεικτικὴ μέθοδος, εἰ τὸ συμβεβηκὸς θείημεν παρακτικὸν τῆς Οὐσίας; καὶ ἀπὸ τῆς ἀτελεστάτης αἰτίας, τὰ τελεώτατα τῶν ἀποτελεσμάτων προέρχεσθαι.

Οἱ πρεσβεύοντες τὴν ἀνωτέρω δόξαν, πολλαῖς ἐξηγήσεσι, καὶ τρόποις διαφόροις τοῦ λέγειν κέχρηνται, εἰς ἀναίρεσιν τῶν προτεθεισῶν ἀντιθέσεων. καὶ πρῶτον μὲν θεωροῦσι τὸ συμβεβηκὸς διχῶς, ἥπερ ἐστὶν ὄν, καὶ ἢ τυγχάνει ποιητικόν. καὶ ἢ μὲν ὂν θεωρούμενον, ἀτελέστερον εἶναι φασὶ τῆς Οὐσίας. ἢ δὲ ποιητικόν, ἐνδέχεσθαι εἶναι τελεώτερον τῆς Οὐσίας.

Ἀλλ' αὕτη ἡ διαίρεσις καὶ θεωρία τοῦ Συμβεβηκότος, μικρὰ τούτοις συμβάλλεται. ἡ γὰρ δυνάμις ᾗ φασὶν ὑπάρχειν τῷ συμβεβηκότι ἐν τῷ ἐνεργεῖν, παντὸς οὐδὲν ἄλλο ἐστὶ παρὰ τὴν οὐσίαν αὐτοῦ. συμπαρομαρτεῖ γὰρ τῇ τοῦ συμβεβηκότος Οὐσίᾳ, καὶ συνεκτείνεται ταύτῃ. οὐδὲ ἐστὶν ἄλλως ἐννοῆσαι ταύτην, τῆς τοῦ συμβεβηκότος διενεχθείσαι ὀντότητος, ὅτι μὴ μόνῳ τῷ λόγῳ. ὅθεν οὐ δὲ φύσιν ἔχει τὸ συμβεβηκὸς, τελεώτερον λέγεσθαι μὲν ἐν τῷ ἐνεργεῖν, ἐν δὲ τῷ εἶναι ἀτελέστερον τῆς οὐσίας τυγχάνειν: εἰ γὰρ ἐν τῷ εἶναι, ἀτελέστερόν ἐστι τῆς Οὐσίας, καὶ ἐν τῷ ἐνεργεῖν ὁμοίως ἀτελέστερον ἔσται.

Δευτέρῳ δὲ τρόπῳ τοῦ λέγειν κέχρηνται οἱ αὐτοὶ πρὸς ἀναίρεσιν τῶν αὐτῶν αἰτιάσεων. φασὶ γὰρ τὸ συμβεβηκὸς κατὰ μὲν τὴν οἰκείαν αὐτοῦ φύσιν καὶ δύναμιν, ἀδύνατον εἶναι εἰς παραγωγὴν τῆς Οὐσίας, δυνάμει

δὲ τοῦ εἴδους τοῦ οὐσιώδους, οὗ ἐστὶ συμβεβηκὸς ἴδιον, δυνατὸν γίνεσθαι ἀμέσως εἰς παραγωγὴν τῆς Οὐσίας.

Ἀλλ' οὐ δὲ τούτῳ τῷ τρόπῳ τῆς ἀπαντήσεως ὀπωσοῦν ἐλαττοῦται τὸ κράτος τῆς ἡμετέρων (1) ἀντιθέσεων. ζητῆσαι γὰρ ἔξι καὶ παρὰ τοῦτο, τίς ποτ' ἂν εἴη ἡ τοιαύτη δύναμις τοῦ οὐσιώδους εἴδους, καθ' ἣν τὸ συμβεβηκὸς ἔχει λαβὸν τὸ δρᾶσικὸν εἰς παραγωγὴν τῆς Οὐσίας; ἢ γάρ ἔξι παρ' αὐτὸ τὸ συμβεβηκός, ἐκτὸς δηλαδὴ τῆς Οὐσίας ἐκείνου, ἢ οὔ. εἰ γὰρ μή ἔξιν ἐκτὸς τῆς Οὐσίας τοῦ Συμβεβηκότος, οὐδὲν πλέον λέγουσι· ταὐτὸν γάρ ἔξιν εἰπεῖν καὶ τὸ Συμβεβηκὸς καθ' αὐτὸ μόνον, ἐξ ἰδίας δυνάμεως, τῆς Οὐσίας εἶναι παραπτικόν. Εἰδὲ φαῖεν τὴν δύναμιν ταύτην εἶναι τοῦ οὐσιώδους εἴδους συμβεβηκός τι, διακεκριμένον τοῦ ποιητικοῦ συμβεβηκότος, προβαίνει ὁμοίως ὁ αὐτὸς λόγος τῆς ἀντιθέσεως. ἡ γὰρ οὐσία οὐδὲν ἕτερόν ἔξιν, ἢ τὸ οὐσιῶδες εἶδος.

Ὅθεν ἐπ' ἄλλον καταφεύγουσι τρόπον τοῦ λέγειν. φασὶ γὰρ ἐν τῇ παραγωγῇ τῆς οὐσίας, ὑπὸ ὑλικῆς δυνάμεως, ἅμα ἐνεργεῖν τό, τε οὐσιῶδες εἶδος, καὶ κατὰ συμβεβηκός, ὡς εἶναι τὴν αὐτὴν παραγωγὴν τῆς Οὐσίας, ὑπὸ μὲν τοῦ οὐσιώδους εἴδους, ὡς κυρίως καὶ πρώτως ποιητικοῦ, ὑπὸ δὲ τοῦ κατὰ συμβεβηκὸς εἴδους, ὡς ὑπὸ ὀργανικοῦ αἰτίου.

Ἀλλ' ἔστι ζητῆσαι καὶ παρὰ τοῦτο, εἰ ἀμέσως ἐννοοῦσι τὴν παραγωγὴν ταύτην τῆς Οὐσίας ἐξ ἑκατέρων προέρχεσθαι, ἢ ἀμέσως μὲν παρὰ μόνου τοῦ συμβεβηκότος παράγεσθαι τὴν Οὐσίαν, ὑπὸ δὲ τοῦ οὐσιώδους οὐκ ἄλλως, ἢ ὡς πορρωτέρου αἰτίου καὶ προκαταρκτικοῦ. ἐξαμφοῖν

Εἰ μὲν (2) δοῖεν τὸ πρῶτον, ὁμολογήσουσι τὸ οὐσιῶδες εἶδος ἄμεσον ἀρχὴν γίνεσθαι τῆς παραγωγῆς, καὶ γένεσεως τῆς Οὐσιῶν, καὶ οὕπως οὐκ ἔσται αὐτῷ ἀναγκαῖα εἰς γένεσιν τὸ συμβεβηκότα. διττὴ γὰρ φέρεται ἡ ἀρχὴ τῆς γενέσεως, ἡ μὲν προσεχὴς καὶ συνώνυμος τῷ γινομένῳ, ὡς ὁ ἄνθρωπος ἄνθρωπον γεννᾷ. ἡ δὲ ὁμώνυμος λέγεται τῷ γινομένῳ, οἷά εἰσι τὰ καθόλου αἴτια, ὡς ὁ ἥλιος γεννᾷ ἄνθρωπον. εἰ μὲν οὖν συνώνυμος ἡ ἀρχὴ τῆς παραγωγῆς εἴη, ἀμέσως ἐνεργοῦσα, καὶ παράγουσα τὸ γινόμενον, καταλλήλως τε πάντως, καὶ ἐντελῶς ἕξει εἰς παραγωγὴν τοῦ συνωνύμου εἴδους. οὐ γὰρ ἂν γένοιτο ἔλλειψις τοῦ ὁμοίου εἰς παραγωγὴν τοῦ ὁμοίου, προσεχὴς ὤν, καὶ καθ' αὐτὸ αἴτιον. καὶ τοῦτο συνάγεται σαφῶς καὶ τῆς τῶν ἀντιδοξούντων ὑποθέσεσιν. εἰ γὰρ τὸ ἐπουσιῶδες εἶδος ἀποχρήσει εἰς παραγωγὴν τοῦ ὁμοίου εἴδους, πῶς οὐχὶ τὸ προσεχὲς

(1) Τῶν ἡμετέρων δηλαδὴ ὧν ἔφθημεν εἰπόντες ἐν ἀρχῇ τῆς ἀντιθέσεως δύο ἄποπα ἔπεσθαι. (2) Τὸ ἐξ ἑκατέρων ἀμέσως.

σεχὲς ἢ οὐσιῶδες; τῆς δὲ ἀρχῆς ἐννοουμένης ὁμωνύμου, ὡς ὁ ἥλιος ἔχει πρὸς τὰ μικτὰ, πολλῷ μᾶλλον ἀποχρώντως ἕξει ἐν τῷ οἰκείῳ (1) γένει εἰς παραγωγὴν τῶν μικτῶν αὐτῆς.

Εἰ δὲ φαῖεν τὴν Οὐσίαν μὴ εἶναι αἴτιον ἄμεσον εἰς παραγωγὴν τῆς Οὐσίας, ἀλλὰ διὰ μόνου τοῦ κατὰ συμβεβηκὸς εἴδους, ἢ ὡς αἴτιον πορρωτέρω, ἀλλὰ μὴ προσεχὲς, οὐδὲ νοῆσαι ἔτι ἐστὶ δυνατὸν, τίνι λόγῳ τὸ μὲν συμβεβηκὸς τοσοῦτον ἀτελέστερον ὂν τῆς Οὐσίας, δυνάμει οἰκείᾳ, καὶ ἐμφύτῳ, παραπτικὸν γίνεται τοῦ τελειοτάτου εἴδους, οἷον ἐστὶ τὸ οὐσιῶδες. Τὸ γὰρ λέγειν ὅτι τὸ τοιόνδε συμβεβηκὸς δυνάμις ἑτέρου ἐστὶ δηλαδὴ τῆς Οὐσίας, οὐδὲν συμβάλλεται εἰς τελειότητα ὑπὲρ τὴν τῶ συμβεβηκότος φύσιν, ὁπώς ποτε δοθείη σωημμένον τῷ εἴδει τῆς Οὐσίας, εἴτ' οὖν διεζευγμένον. ἐντεῦθεν γὰρ οὐδὲν πλέον ἕξει τὸ ἐξ ἑτέρου παρημμένον εἶναι. ἐκ τούτου δὲ καὶ ἐπιτείνεται ἡ τοῦ συμβεβηκότος δυνάμις, ἀλλὰ διαμένει τοιαύτη οἵα ἐστὶν ἡ κατὰ φύσιν αὐτοῦ τελειότης, οὐχ οἵα ἐστὶν ἡ τοῦ ἀφ' ἧς παρῆπται. Εἰδὲ σωεζευγμένον τῷ εἴδει τῆς οὐσίας τὸ παράγον τὴν οὐσίαν συμβεβηκὸς δοθείη, ἀπεμφαῖνον καὶ ἄτοπον ἀεὶ τὸ αὐτὸ καθορᾶται. ὅπως τὸ ἀτελὲς εἶδος, οἷον τὸ συμβεβηκὸς, φύσιν ἔχει παράγειν τὸ ἐντελέστατον ἢ ὑπὲρ τὴν αὐτοῦ δύναμιν, οἷόν ἐστι τὸ οὐσιῶδες εἶδος. ὅθεν καὶ ἕτερον ἄτοπον ἐπακολουθεῖ, τὸ τὴν Οὐσίαν, καὶ τὸ οὐσιῶδες εἶδος ἀργὸν εἶναι, καὶ τὸ κυριώτατον τῆς οὗ ἕνεκα ἐν τοῖς Φυσικοῖς μάταιον ἀποτελεῖσθαι. ματαιοῦται γὰρ ἕκαστον ἀπογυμνούμενον τῆς προσηκούσης ἐνεργείας, ὡς ὁ Φιλόσοφος ἐν τοῖς περὶ Οὐρανοῦ παραδίδωσι ,, λέγων. ἕκαστα εἶναι τῶν ὄντων ἕνεκεν τῆς οἰκείας ἐνεργείας. εἰ δὲ τὸ οὐσιῶδες εἶδος καὶ ἡ Οὐσία τὸ σκοπιμώτατόν ἐστι τῶν οὗ ἕνεκα ἡ φύσις ποιεῖ, εἰμὴ ἐνεργὸν εἴη καὶ δραστικὸν, καὶ προβλητικὸν τῶν οἰκείων ἐνεργειῶν, μάταιον ἄν, εἴη ἀποπίπτον τοῦ οἰκείου τέλους, οἷαί εἰσιν αἱ προσήκουσαι αὐτῷ κατὰ φύσιν ἐνέργειαι. Οὐδὲ ἔστιν εἰπεῖν ὅτι τὸ τέλος καὶ ἔργον τοῦ κατ' οὐσίαν εἴδους, μόνον ἐστὶ τὸ εἰδοποιεῖν τὴν ὕλην, τὸ δὲ ἐνεργεῖν πράσσειν τῇ Οὐσίᾳ διὰ τῶν συμβεβηκότων.

Τοῦτο μηδὲν δύνασθαι φημὶ, ἐπεὶ ταυτὸν ἐστὶν ἀρχὴ καὶ αἴτιον τοῦτο εἶναι, καὶ ἐνεργεῖν. καὶ γὰρ ἕκαστον ἕνεκα τῆς οἰκείας ἐνεργείας ἐστὶν, ὡς εἴρη-

(1) Ἐν τῷ οἰκείῳ γένει, οἷόν τὴν οὐσίαν. ὁ γὰρ ἥλιος οὐσία, καὶ τὸ γινόμενον ὑπ' ἐκείνου οὐσία. ὅθεν τῷ γένει κοινωνεῖ ὁ γινόμενος ὑπὸ τοῦ ἡλίου ἀνθρωπος τῷ αὐτῷ ἡλίῳ, οὐ μὴν δὲ καὶ τῷ εἴδει. μᾶλλον δὲ μᾶλλον εἴρηται, ὅτι ὁ γεννῶν ἄνθρωπος, ἄνθρωπον ποιεῖ λαβὼν παρὰ τοῦ ἡλίου τὴν δύναμιν ὡς ἐκ τῶν καταρτικῆς αἰτίας. δὲ ὁ γὰρ ἕκαστον τοιοῦτον, ἐκεῖνο μᾶλλον τοιοῦτον.

ει ρηται. τὸ δὲ κατ᾽ οὐσίαν εἶδος, ἀρχὴ ὄζι καὶ αἴτιον τοῦ εἶναι τῇ ἀτόμῳ Οὐσίᾳ. ἆρα καὶ τῆς κατ᾽ ἐκείνων ἐνεργειῶν ἀρχὴ καὶ αἴτιον ἔσαι.

Οὐδ᾽ ἐκεῖνο λόγον ἔχει εἰπεῖν, ὅτι ἡ Οὐσία ἐνεργεῖ μὲν, ἀλλ᾽ ὡς ὕ, ἤτοι ὡς ὑφεσηκὸς καὶ ὑποκείμενον, τὸ δὲ συμβεβηκὸς, ὡς ᾧ, ἤτοι ὡς μέσον καθ᾽ ὃ ἀποτελεῖται ἡ ἐνέργεια. ἐπεὶ τὸ κατ᾽ οὐσίαν εἶδος ἐνεργεῖ ὡς ᾧ. προβάλλει γὰρ φέρε εἰπεῖν ὁ Σωκράτης τὰς προσηκούσας ἀνθρώπῳ ἐνεργείας διὰ τοῦ οἰκείου εἴδους.

Πρόσθες ὅτι, εἰ μὴ τὸ κατ᾽ οὐσίαν εἶδος καθ᾽ αὐτὸ ποιητικὸν ἦν, οὐδὲ φύσις ἂν ἦν καθ᾽ αὐτό. τοιοῦτον μέντοι ὁ Φιλόσοφος διδάσκει πολλαχοῦ, καὶ μάλισα ἐν κεφαλαίῳ πέμπτῳ τοῦ Β. τῆς Μεταφυσικῶν. Ἐκεῖνο γὰρ ὄζι φύσις καθ᾽ αὑτὸ, ὅπερ ἐσὶν ἀρχὴ καὶ αἴτιον κινήσεως καὶ ἐνεργείας καθ᾽ αὑτὸ, καὶ μὴ δι᾽ ἄλλο. ὅθεν εἰ τὸ οὐσιῶδες εἶδος μὴ ἦν δραστικὸν καθ᾽ αὑτὸ κινητικὸν, οὐκ ἂν ἐλέγετο φύσις καθ᾽ αὑτὸ, καὶ μὴ δι᾽ ἄλλο.

Ὅτι ἡ τῆς νεωτέρων δόξα, ἀντίκειται τῇ διδασκαλίᾳ τοῦ Φιλοσόφου.

Ἐκ τῆς εἰρημένων ἀνωτέρω δῆλον γέγονεν, ὅτι ἡ Οὐσία, εἴτουν τὸ κατ᾽ Οὐσίαν εἶδος, οὐκ ἐνεργεῖ εἰς γένεσιν τῆς Οὐσίας διὰ τῆς συμβεβηκότων, εἴτε σωρημένων, εἴτε διεζευγμένων. ὅτι δὲ οὐδὲ τῇ διδασκαλίᾳ τοῦ Φιλοσόφου σύμφωνός ὄζιν ἡ διαληφθεῖσα δόξα, δείκνυται ῥᾷσα. πολλαχοῦ γὰρ ὁ Φιλόσοφος τὸ κατ᾽ οὐσίαν εἶδος ἀρχὴν τίθεται τοῦ ἐνεργεῖν, καὶ ὅμοιον ὑπὸ τοῦ ὁμοίου κατὰ τὸ αὐτὸ εἶδος παράγεσθαι διδάσκει. ἐν γὰρ τῷ Ζ. τῆς μεταφυσικῶν, κεφαλαίῳ ἑβδόμῳ μέχει τῶ ἐννάτῳ δείκνυσι τὸ προσεχὲς αἴτιον ποιητικὸν ὅμοιον εἶναι κατὰ τὸ εἶδος τῷ ἀποτελέσματι, καὶ ἐν βιβλίῳ τῷ Θ. τῆς αὐτῆς πραγματείας, κεφαλαίῳ ὀγδόῳ τὸ αὐτὸ διδάσκει. ἐν δὲ τῷ δευτέρῳ τῆς περὶ ψυχῆς, κεφαλαίῳ πέμπτῳ δείκνυσι πᾶν τὸ γινόμενον, ὑπὸ τοῦ ὁμοίου γίγνεσθαι, κατ᾽ εἶδος δηλαδή. τοῦτ᾽ αὐτὸ καὶ ἐν τῷ πρώτῳ τῆς περὶ γενέσεως καὶ φθορᾶς κεφαλαίῳ ἑβδόμῳ παραδίδωσι. καὶ ἐν τῷ πρώτῳ τῆς περὶ ἀρχῶν, μετὰ πολλὰ σωάγει μετὰ τῶν παλαιοτέρων ἓξ εἶναι θετέον τὰς ἀρχὰς τῆς γινομένων, Ὑλὴν δηλονότι, Εἶδος, Στέρησιν. ἢν δ᾽ ἄλλο ἦσαν παρὰ τὸ εἶδος κατ᾽ Οὐσίαν αἱ διατεθέμεναι τὴν ὕλην ποιότητες ὡς αὐτοί φασιν, ἔδει καὶ τετάρτην ἀρχὴν παραδοῦναι παρὰ τὰς εἰρημέ-

ρημένας. ἀλλὰ καὶ ἐν Β. τῆς αὐτῆς πραγματείας κεφαλαίῳ ἑβδόμῳ κατὰ ξεῖς τρόπους αἴτιον εἶναι διδάσκει τὸ κατ' Οὐσίαν εἶδος, ὡς τέλος δηλαδὴ, καὶ ὡς αὐτὸ τοῦτο εἶδος. καὶ παρὰ ταῦτα ὡς ποιητικόν. εἰ δὴ (1) τὰ δύο τρῶτα ὑπτελεῖ καθ' αὐτὸ, καὶ τοῦ τέλους καθ' αὐτὸ ἔσαι ὑποτελεσικὸν, καὶ οὕτως καθ' αὐτὸ ποιητικὸν τῆς οἰκείων ἐνεργειῶν. Εἶτα πῶς δωνάμεθα λέγειν κατὰ τὸν Ἀριστοτελικὸν διδασκαλίαν, τὰς διαθέσεις ἐκείνας αἷς διατίθεται ἡ ὕλη, εἰς γενέσιν τοῦ ὁμοίου εἴδους, τὰ συμβεβηκότα; εἴπερ αὐτὸς βούλεται τὴν κίνησιν ἀπὸ τοῦ τέλους, καὶ τοῦ πρὸς ὃν ἀποδίδει ὅρου εἰδοποιεῖσθαι ἐν τῷ Ε. τῆς Φυσικῶν, ἐδαφίῳ τετάρτῳ, καὶ ἐν τῷ Β τῆς Φυσικῶν ἐδαφίῳ δεκάτῳ τετάρτῳ, καὶ ἐν πολλοῖς ἄλλοις. δῆλον γὰρ ἐκ τούτων, ὅτι ἡ τοῦ συμβεβηκότος κίνησις, οὐκ εἰς Οὐσίαν ἀποληγει, ἀλλὰ τὰς διαθέσεις τῆς ὕλης εἰς γένεσιν τῆς Οὐσίας δέον εἶναι οὐσιώδεις, ὥσπερ καὶ τὰ διατιθέμενα εἰς γένεσιν τοῦ συμβεβηκότος εἴδους δέον εἶναι συμβεβηκότα. αἱ καὶ παράγονται ἀπὸ τοῦ δυνάμει τῆς ὕλης ὑπὸ τοῦ αὐτοῦ ποιητικοῦ, κατὰ τὸ ὑπάρχον αὐτῷ εἶδος οὐσιῶδες, ἢ ἐπουσιῶδες, ὧν ἐστὶν οἷον ἀπαρτισμὸς καὶ συμπλήρωμα αὐτὸ τὸ γεγονὸς εἶδος. Εἰ δὲ τὰ διατιθέμενα τὴν ὕλην εἰς γένεσιν τοῦ οὐσιώδους, συμβεβηκότα ἦν, πάντως ὑπιγινομένου τοῦ εἴδους τοῦ οὐσιώδους, δυοῖν θάτερον, ἢ διαμένουσιν ἐπὶ τῆς αὐτῆς ὕλης, ἢ φθαρήσονται, καὶ ἀμφοτέρως παράλογον. εἰ μὲν γὰρ διαμενοῦσιν, ἐπειδὴ καὶ τὸ ἐπιγινόμενον εἶδος ἕτερα ἐπιφέρει ἴδια τὰ αὐτὰ ἐκείνοις τῷ εἴδει, διπλασιαθήσονται ἐπὶ τῆς αὐτῆς Οὐσίας τὰ ἴδια συμβεβηκότα, καὶ παρὰ ταῦτα πρὸ τοῦ ἁπλῶς σὺ καὶ καθ' αὐτὸ σὺ εἶναι τὴν Οὐσίαν, ἔσαι κατάτι σὺ καὶ κατὰ συμβεβηκὸς σὺ, ὅπερ ἄποπον, ἵνα μὴ ἀδωνάτων εἰπωμεν. εἰ δὲ φθαρήσονται ἐπιγινομένου τοῦ εἴδους, οὐκ ἔστιν εἰπεῖν ὑποτινος. οὔτε γὰρ ὑπὸ τοῦ ἐπιγινομένου εἴδους. οὐ γὰρ εἰσὶν αὐτῷ ἐναντία, ἀλλ' οὐδὲ καθ' αὐτὸ ἐστὶ ποιητικὸν τὸ ἐπιγινόμενον εἶδος, ὡς αὐτοίγε οἱ ἀντιδοξοῦντες τιθέασιν. οὔτε μὴν ὑπὸ τῆς ποιοτήτων, ἃς μεθ' ἑαυτοῦ σωεισάγει τὸ ἐπιγινόμενον εἶδος. τοῦ γὰρ αὐτοῦ εἰσὶν εἴδους ἐκεῖναι καὶ ὅμοιαι. ὑπὸ δὲ τοῦ ὁμοίου εἰς τὸ ὅμοιον, οὐδὲ μία γίνεται φθαρτικὴ ποίησις.

Δήλω-

(1) Ἐπεὶ τὸ κατ' οὐσίαν εἶδος αἴτιον γίνεται τοῦ τελικοῦ καὶ εἰδικοῦ, καὶ τοῦ ποιητικοῦ φησὶν ἔσαι ὃ ἐστὶν τὸ ἐνταῦθα τεῖπον ῥηθὲν, καὶ ζητούμενον, εἰ ποιεῖ δηλαδὴ τὸ κατ' οὐσίαν εἶδος; τοῦτο γὰρ τοῖς νεωτέροις ἀπαρέσκει, ἀλλὰ διὰ τῆς συμβεβηκότων μόνων ποιεῖντε καὶ ἐνεργεῖν φασί. δείκνυται μέντοι ἐνταῦθα τοιοῦτον, ὅτι εἰ ὑποτελεσικὸν τὸ κατ' οὐσίαν εἶδος τοῦ ποιητικοῦ γίνεται, καὶ τοῦ ὑποτελέσματος πάντως. δι' ὃ γὰρ ἕκαστον τοιοῦτον, ἐκεῖνο μᾶλλον τοιοῦτον.

Δήλωσις τῆς ἀληθείας.

Τὰ μέχρι τοῦδε εἰρημένα ἀποχρώντως φαίνεται ἀποδεδειχότα τὴν Οὐσίαν μὴ εἶναι ποιητικὴν διὰ τὴν συμβεβηκότων εἰς παραγωγὴν τῆς Οὐσίας, οὐ μὴν οὕτως ἐννοητέον ταύτην ἁμέσως ποιεῖν, ὃν τρόπον τὰ κεχωρισμένα εἴδη ποιητικά εἰσιν. ἐκεῖνα γὰρ ὡς ἁπλούστερα τῇ σφῶν αὐτῶν Οὐσίᾳ ποιητικὰ γίνεται, ὧν χ᾽ ἡ ποίησις, ἡ αὐτὴ Οὐσία ἐστί. τὰ δὲ σύνολα εἴδη οὐχ οὕτως, ἀλλὰ ταῖς αὐτῶν οὐσιώδεσι ποιότησιν, ~~ποιητικὴν γίνεται~~, ~~ἢ τὸ~~ διαφοραῖς ~~φαίης~~ καὶ δυνάμεσιν, αἷς καὶ συνέσπεται, ~~τὸ~~ γὰρ σύνολον εἶδος οὐχ οὕτως ἐστὶν ἁπλοῦν, ὡς ἐκτὸς ἐννοεῖσθαι συνθέτεως. ἀλλ᾽ ἔστιν οἷον συνδρομὴ καὶ περίληψις τῶν κατ᾽ οὐσίαν διαφορῶν. ὡς ἐπὶ παραδείγματος. τὸ τοῦ πυρὸς εἶδος, οὐ μόνον ἐστὶ θερμότης, ἀλλὰ καὶ συμμετεία τις, ἐν μανότητι, κουφότητι, θερμότητι, καὶ ξηρότητι. ἀντίκειται δὲ τῷ ὕδατι, οὐ καθότι τοιαύτη ἐστὶ συμμετεία, οὐδὲ κατὰ πάσας τὰς εἰρημένας ποιότητας ἄκρως ἀντίκειται τῷ ὕδατι, ἀλλὰ μάλιστα κατὰ τὴν εἰδικὴν αὐτοῦ διαφοράν, ἥτις ἐστὶν ἡ θερμότης. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἑτέρας συζυγίας τὸ ὑγρὸν καὶ ξηρὸν ἐννοητέον, ἐπίτε τῆς γῆς καὶ ἀέρος. τουτωνὶ δὲ τῶν ποιοτήτων προηγεῖται ἐν τῇ ὕλῃ μανότης καὶ πυκνότης, ὡς ἐν τῷ Θ τῶν Φυσικῶν κεφαλαίῳ ἑβδόμῳ παραδίδωσιν ὁ Φιλόσοφος. προηγοῦνται δὲ οὐ χρόνῳ, ἀλλὰ τῇ φύσει, δι᾽ ὧν ἐννοεῖται τοῖς ἀρχαίοις συνεσικὸς τὸ τειχῖ διασατόν. ἐπεὶ δὲ αἱ τοιαῦται διασύσεις ἀόρισοι ἐννοοῦνται, διάτοι τοῦτο καὶ μέγα καὶ μικρόν, τὸ τειχῖ διασατόν, τοῖς ἀρχαίοις προσαγορεύεται, ὃ καὶ ὡς πρώτην ὕλην, ἐπὶ τῶν ἐν γενέσει ὁ Πλάτων ὑποτίθεται. τῇ τε διακείσει καὶ συγκείσει τῆς ὕλης συμπαρομαρτεῖν ἅμα ἐπὶ τῆς αὐτῆς ἐννοεῖται, θερμότης, ψυχρότης, ξηρότης τε, καὶ ὑγρότης. ταύτας δὲ τὰς ποιότητας, εἰ πρὸς τὸ τειχῖ διασατὸν ἀναφερομένας ἐννοείης, ἐπείσακτοι τούτῳ τυγχάνουσιν οὖσαι. ποιοῦσαι μέντοι τοῦτο, τὰ ἁπλᾶ σώματα ἀποτελοῦσιν. αἷς δήπου ποιότησιν εἰς ἄλληλα δρῶντα, μεταβάλλουσιν ἀμοιβαδὸν ἄλληλα καὶ συγκιρνῶνται εἰς γένεσιν τοῦ μικτοῦ. τὸ δὲ ἐξ αὐτῶν ἀποτελούμενον σύγκραμα, πρὸς μὲν τὴν ὕλην ἀναφερόμενον, ἥτις αὐτὰ ταῦτα ἐστὶ τὰ ἁπλᾶ σώματα, λόγον εἴδους ἐπέχει. ἀναφερόμενον δὲ ἐπὶ τὸ εἶδος τοῦ μικτοῦ, ὕλης πῶς ἔχει λόγον, ᾧ καὶ ὡς ἔχατος ἐντελέχεια ἐπιγίνεται τὸ τοῦ μικτοῦ εἶδος. καὶ οὕτω πᾶσα ἀλλοίωσις εἰς γένεσιν τοῦ ἐνύλου εἴδους, τῇ δυνάμει γίνεται

τῶνδε

τῶνδε τῆς ποιοτήτων, ὡς ὁ Φιλόσοφος ἐν τῷ δευτέρῳ τῆς περὶ Γεν: καὶ Φθ: Κεφαλαίῳ τεταρτῳ περὶ παντὸς γένους ἀλλοιώσεως διδάσκει, ἐξηρτῆθαι δηλαδὴ καὶ προέρχεθαι ἐκ τῆς πρώτων διαφορῶν, ἤτοι ποιοτήτων. ὅθεν καὶ σωλάγεται τὰς εἰρημένας ποιοτήτας ἐπὶ τῆς ἁπλῶν σωμάτων συσατικὰς εἶναι διαφορὰς, ἐπὶ δὲ τῆς μικτῆς, ζόπον μέν τινα ὑλικὰς εἶναι διαφορὰς, οὐσιώδεις μέντοι ἐν ἑκατέροις. ἂς εἰ καὶ δυνάμεις τῆς αὐτῆς φαίης, καθ' ἂς γίνεται δρασικὰ ταῦτα, οὐκ ἂν ἁμάρτης.

Α' πάντησις.

Οἱ ἀντικειμένως δοξάζοντες λόγοις οὐ παύ φαίνονται κεχρημένοι εἰς ἐμπέδωσιν τῆς οἰκείας δόξης, ἀλλὰ ῥητὰ τοῦ Φιλοσόφου προβάλλοντες διάφορα, οἴονται τούτοις κρατύνειν τὸ δοκοῦν. τεῖα δὲ μάλισα ἐπὶ τοῦ παρόντος ῥοῦχειρισάμεθα. ὧν ῥῶτον ἰῶ ὑπὸ τοῦ Φιλοσόφου εἰλημμένον, ἐν οἷς φησι τῇ Οὐσίᾳ μηδὲν ἐναντίον εἶναι. ὅθεν ἀνεφύετο καὶ ἡ προκειμένη πᾶσα ἀποεία.

Εἰς λύσιν δὲ τούτου, καὶ ὅπως χρὴ ἐννοεῖθαι τὸ λεγόμενον ἐπὶ τοῦ παρόντος, ἐκεῖνο ῥοληπτέον. ὅτι τὰ ἀποδιδόμενα ἐπὶ τοῦ παρόντος παρεπόμενα τῆς Οὐσίας, τὸν αὐτὸν ζόπον ἐννοεῖται, καθ' ὃν καὶ ἡ Οὐσία, καθὸ δηλαδὴ ὑφίσαται τοῖς συμβεβηκόσιν. ὅθεν ἐπειδὴ πρώτως, καὶ μάλισα ὑπόκειται τοῖς συμβεβηκόσιν ἡ πρώτη καὶ σώθετος οὐσία, ταύτῃ πρώτως καὶ μάλισα προσήκουσι τὰ ἐκτιθέμενα παρεπόμενα, δευτέρῳ δὲ λόγῳ καὶ ταῖς δευτέραις προσήκουσιν Οὐσίαις, αἳ κ᾽ κατὰ δεύτερον λόγον ὑφίσανται τοῖς συμβεβηκόσι. ταύτας γὰ μόνον ἐπὶ τοῦ παρόντος οὐσίας ἐξέλαβεν ὁ Φιλόσοφος, τὰ δὲ μέρη τῆς Οὐσιῶν, ὥσπερ καὶ τὰς διαφορὰς τῆς αὐτῆς, οὐκ ἀπαειθμεῖ τόγε νυῦ ἔχον ἐν ταῖς Οὐσίαις, ὅτι οὐδὲ τάττονται ἐπ' ἰδθείας ἐν τῇ σειρᾷ τῆς κατηγοειῶν. διὸ καὶ τὸ λεγόμενον νυῦ ὅτι οὐκ ἔσιν ἐναντίωσις τῇ Οὐσίᾳ, οὐ περὶ τῆς μερῶν ἐννοεῖται τῆς Οὐσίας, ὥσπερ οὐδὲ περὶ τῆς διαφορῶν τῆς αὐτῆς. αὗται γὰρ ἐνδέχεταί πως ἐναντίωσιν ἴχειν, οὐ μόνον κατὰ στέρησιν, ὥς τινες βούλονται, ἀλλὰ καὶ κατὰ θέσιν, ὥς περ ἐν τοῖς περὶ Γεν: Φ Φθ: ὁ Φιλόσοφος διδάσκει. ἄλλως γὰρ οὔτε γένεσις ἰῶ ἂν τῆς Οὐσιῶν, οὔτε φθορά. εἰς γὰρ τὴν στέρησιν, ἥπερ ἐσὶ Στέρησις, οὔτε ποίησίς ἔσιν, οὔτε ἀντιπάθησις. εἰς γένεσιν δὲ τῆς Οὐσίας ὑποκεῖθαι (1) ἀνάγκη, εἰς ὃ τὸ ποιητικὸν ποιεῖ, καὶ ὑφ' οὗ ἀντιπάσχει. καὶ τοῦτο ἀνάγκη ἐναντίον εἶναι,

(1) Ἐκεῖνο δηλαδή.

ὑπερ οὐδὲν ποιεῖ, ὅτι μὴ εἰς τὸ ἐναντίον, καὶ πάσχει ἀεὶ τὸ πάσχον ἐκ τοῦ ἐναντίου.

Ἔφημμ οὖν ἔσπον τινὰ ἐναντίωσιν εἶναι ἐν ταῖς διαφοραῖς τῆς Οὐσίας, ἀλλὰ μὴ (1) ἁπλῶς, ὅτι τὰ εἴδη τῆς Οὐσιῶν οὐ κυρίως εἰσὶν ἐναντία καθ' ἑαυτὰ, οἷά εἰσι τὰ περὶ τὸ αὐτὸ δεκτικὸν ἐναντία, εἰς ἄλληλα δρῶντα, καὶ ἀμοιβαδὸν ἐξωθούμενα τοῦ αὐτοῦ. αἴτιον δὲ ὅτι οὐ διαμένει τὸ αὐτὸ ὑποκείμενον αἰσθητὸν, ὑπὸ τὸ χωρίσιμον εἶδος, ὅπερ ὑπῆρχεν ὑπὸ τὸ φθαρέν. οὐδὲ καθ' ὅλην αὐτῆς τὴν Οὐσίαν τὰ εἴδη ἀντίκειται ἀλλήλοις, ἀλλὰ κατὰ τὰς οὐσιώδεις αὐτῆς ποιότητας, ἤτοι διαφορὰς, ὡς ἐλέγετο ἀνωτέρω.

Πρὸς τὸ ῥηθὲν δὲ τῷ Φιλοσόφῳ ἐν τῷ περὶ Αἰσθήσεως, καὶ Αἰσθητοῦ, ὅτι τὸ πῦρ οὐχ ἧ πῦρ δρᾷ, ἀλλ' ἧ θερμότητα ἔχον, ὅθεν ἐπιφέρουσι τὸ πῦρ μὴ τῷ οἰκείῳ εἴδει ποιεῖν, ἀλλὰ τῇ ποιότητι, δηλαδὴ δρᾷ τῆς θερμότητος, ῥητέον. ὅτι τὰ τοιαῦτα μόρια, ἅπερ, καθὸ, ἐφ' ὅσον, καὶ ὡς, καὶ ἄλλα, τοῦ προσεχοῦς αἰτίου γίνεται δηλωτικὰ ἐν οἷς ἂν παραληφθῇ. ἀλλὰ καὶ τὸ τοῦ πυρὸς ὄνομα, οὐ μόνον τὸ τοῦ πυρὸς εἶδος σημαίνει, ἀλλὰ καὶ ὁλοχερῆ τὴν ὑπόστασιν τούτου τὴν ἐκ τοῦ αὐτοῦ εἴδους καὶ ὕλης συγκειμένην. ὅθεν ὁπωσοῦν ἀποφάσκεται τῷ Φιλοσόφῳ τὸ πῦρ δρᾶν, ἅπερ ἐστὶ πῦρ, ἀποφάσκει μὲν τὰ ἁπλᾶ σώματα καθ' ὅλην αὐτῆς τὴν οὐσίαν εἰς ἄλληλα ποιεῖν, οὐ μὴν καὶ διὰ τῆς συσατικῆς αὐτῆς διαφορᾶς. ποιοῦσι γὰρ τῷ λόγῳ τῆς ἐναντιώσεως. διὸ καὶ κατιὼν εἶρηκε τὸ πῦρ ποιεῖν, ἧ ἐστὶ θερμόν· τὸ δὲ θερμὸν ἐπὶ τοῦ πυρὸς διαφορά ἐστιν οὐσιώδης καὶ συσατικὴ τοῦ οἰκείου εἴδους.

Πρὸς δὲ τὸ τέλος ἀπὸ τῶν περὶ Ποιότητος κεφαλαίων, ἐν ᾧ φαίνεται ὁ Φιλόσοφος τὰς δυνάμεις τῆς Οὐσιῶν καταριθμεῖν ἐν ταῖς ποιότησιν, οὐ χαλεπὸν ἀπαντῆσαι ἐκ τῆς προσεχῶς εἰρημένων. ἡ γὰρ ποιητικὴ δύναμις, οὐκ ἄλλως, ὅτι μὴ τῷ λόγῳ, διαιρεῖται τῆς Οὐσίας, ἧς ἔσται τυγχάνει δύναμις· ἥτις ἡ μὲν εἰδοποιεῖ τὴν ὕλην, εἶδος ἔχουσαν· ἡ δὲ ποιεῖ καὶ κινεῖ, ἀρχὴ λέγεται ποιητικὴ καὶ κινητική· ὁ ταὐτὸν ἐστι καὶ δύναμιν εἰπεῖν ποιητικήν.

Λέγεται δὲ τὸ εἶδος μὲν οὐ εἶναι τῷ ἀριθμῷ, διὰ τὴν εἰδοποιουμένην οὐσίαν, ἥτις ἐστὶ μία τῷ ἀριθμῷ. δυνάμεις δὲ τοῦ αὐτοῦ, πλείους εἶναι λέγον-

(1) Ἐν τοῖς ἁπλῶς ἐναντίοις μένει τὸ αὐτὸ αἰσθητὸν ὑποκείμενον, ἐν τοῖς μὴ ἁπλῶς οὐ μένει. ὅθεν καλῶς εἴρηται ἐν τοῖς εἴδεσιν τοῖς οὐσιώδεσι μὴ εἶναι ἁπλῶς ἐναντίωσιν. τῆς γὰρ ἁπλῶς ἐναντίων λέγεται ἀλλοίωσις, τῆς δὲ μὴ ἁπλῶς, γένεσις.

λέγονται, λαμβανομένης τῆς διαφορᾶς ἀπότε τῶν ὀργάνων δι' ὧν ἐνεργεῖ, καὶ τῶν ἀντικειμένων περὶ ἃ ἐνεργεῖ, καὶ αὐτῶν ἁπλῶς τῶν ἐνεργειῶν. ἐμπεδοῖ δὲ μάλιστα τὸ λεγόμενον ὁ Φιλόσοφος ἐν πολλοῖς, τὰ αὐτὰ καὶ δυνάμεις ψυχῆς, καὶ μέρη ψυχῆς, καὶ ψυχὰς ὁμοίως ἀποκαλῶν, ὡς ἐν τῷ δευτέρῳ περὶ ψυχῆς, ἐδαφίῳ κά. τὸν νοῦν ἅμα καὶ ψυχὴν, καὶ δύναμιν ψυχῆς προσαγορεύων. τὸν αὐτὸν δὲ καὶ μέρος ψυχῆς εἴρηκεν ἐν τῷ τρίτῳ τῆς αὐτῆς πραγματείας. ὅθεν ἰδιαίτερον ἄρχεται τῆς περὶ αὐτοῦ διασκέψεως. καὶ ἐν ἐδαφίῳ λδ'. τοῦ δευτέρου τῶν περὶ ψυχῆς, τὰ αὐτὰ διδάσκει περὶ τῆς θρεπτικῆς ψυχῆς. καὶ ἐν ἐδαφίῳ ὀγδόῳ τοῦ αὐτοῦ, καὶ ἐν πολλοῖς ἄλλοις ὁ Φιλόσοφος τὰς αὐτὰς δυνάμεις, καὶ ψυχὰς καὶ μέρη ψυχῶν ἀδιαφόρως ὀνομάζει. ὅθεν κατὰ τὸν Φιλόσοφον αἱ δυνάμεις τὰ εἴδους, αὐτὸ τὸ εἶδος ἐστί.

Δοκεῖ δὲ ἀντιπίπτειν τοῖς εἰρημένοις, ὅτι μένοντος τοῦ αὐτοῦ εἴδους, ἡ κατ' ἐκεῖνο εἰδοποιημένη Οὐσία ποτὲ μὲν μᾶλλον, ποτὲ δὲ ἧττον δραστικὴ φαίνεται. ὅθεν αἱ δυνάμεις δοκοῦσιν ἀντιδιατέλλεσθαι τοῦ εἴδους, ἧπερ ἐπιδέχονται τὸ μᾶλλον, καὶ τὸ ἧττον.

Πρὸς ταῦτα ῥητέον, ὡς ἡ τοιαύτη διαφορὰ ἀπὸ τῆς ὕλης προέρχεται. ἡ γὰρ ἀπὸ τῆς ἐνεργητικῆς δυνάμεως, ἐπιτείνεσθαι καὶ ἀνίεσθαι πέφυκε κατὰ τὸν πλεονασμὸν, ἢ ἐλάττωσιν τῆς εἰδοποιουμένης ὕλης τοῦτε ἐμφύτου θερμοῦ, καὶ πνευμάτων, μένοντος τοῦ αὐτοῦ εἴδους. ᾧ δὴ λόγῳ καὶ τὰς δυνάμεις ἀνυπερθέτου ἐστὶν ἐπὶ τῶν ποιότητα, καθὸ δηλαδὴ καὶ ἐπιτείνεται, καὶ ἀνίεται ἡ ῥηθεῖσα ἀπὸ κατὰ τὰς ὑλικὰς διαφοράς. ἡ μέντοι δύναμις καθ' ἑαυτὴν οὐκ ἔστι συμβεβηκὸς οὕτως, ὡς εἶναι τὸ εἶδος καὶ τῇ οὐσίαν ἀργῷ. ὅτι δὲ ἡ κατὰ λόγον διάκρισις ἀπόχρη εἰς διάκρισιν τῶν κατηγοριῶν, δῆλον ἐστὶ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν, καὶ μάλιστα ἐν τῷ ποιεῖν καὶ πάσχειν, ἅπερ ἐστὶ μία καὶ ἡ αὐτὴ κίνησις.

Ἐκ τούτων οὖν πάντων τῶν εἰρημένων δέδεικται, ὅτι τὸ λέγειν τὸν Φιλόσοφον ἐναντίαν τῇ Οὐσίᾳ μὴ εἶναι, κυρίως καὶ πρώτως τῇ ἀτόμῳ Οὐσίᾳ προσήκει, διὰ ταύτην δὲ καὶ ταῖς δευτέραις. ἐναντίωσιν μέντοι ταύτην φαίνεται ἔχειν, διὰ τὴν προσοῦσαν αὐτῇ οὐσιώδη διαφορὰν, καθ' ἣν δρᾷ εἰς τὸ ἐναντίον, καὶ καθ' ἣν ποιητικὴ γίνεται. ὅθεν ὁ Φιλόσοφος ἐνταῦθα τὴν οὐσίαν οὐχ ὡς ποιητικὴν θεωρῶν, ἀλλ' ὡς αὐθύπαρκτον καὶ δακτύλῳ πεφυκυῖαν δείκνυσθαι, ἐναντίωσιν ταύτης ἀποφάσκει παντάπασιν.

Πέμπτον παρεπόμενον τῆς Οὐσίας.

Πέμπτον ἐπιθησι τῆς Οὐσίας παρεπόμενον ὁ Φιλόσοφος τὸ μὴ ἐπιδέχεθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, ἤτοι μὴ ἐπιτείνεθαι καὶ ἀνίεσθαι. ταῦτα δὲ ἀντικεῖθαι δοκεῖ τοῖς εἰρημένοις ἀνωτέρω περὶ τῆς δευτέρων Οὐσιῶν. παραβάλλων γὰρ ταύτας ἀλλήλαις, ἔλεγε μᾶλλον εἶναι Οὐσίας τὰ εἴδη τῆς γενῶν, ἀλλὰ καὶ τιὼ ἄτομον Οὐσίαν, πρώτιω, καὶ κυρίως καὶ μάλισα Οὐσίαν εἶναι ὠείζετο. ἀλλὰ πρὸς ταῦτα ῥαδία ἡ ἀπαίτησις. ἀνωτέρω γὰρ ὁ Φιλόσοφος τὰς Οὐσίας κατὰ βάθος παραβάλλων, τὰς ἀνωτέρω δηλαδὴ καὶ καθολικωτέρας, ταῖς κατωτέρω καὶ ἧττον καθόλου, τῷ τοιῷ δὲ λόγῳ, τὰς κατωτέρω μᾶλλον Οὐσίας τῆς ἀνωτέρω ἀποφαίνεται, ὅτι καὶ μᾶλλον ὑποκειμένου λόγον ἔχουσι. καὶ διὰ τοῦτο τοῦ γένους τὸ εἶδος μᾶλλον εἶναι οὐσίαν ἐλέγετο. νυνὶ δὲ παραβάλλει τὰς Οὐσίας κατὰ πλάτος, τὰς ἀτόμους δηλαδὴ ταῖς ἀτόμοις, καὶ τὰ εἴδη τοῖς εἴδεσι, τοῖς τε γένεσι τὰ γένη. μάλισα δὲ τὰ ὑπὸ τὸ αὐτὸ εἶδος ἄτομα, ἃ μόνον τοῖς ὑφ' ἑτέρῳ εἴδει ἀτόμοις, ἀλλὰ καὶ πρὸς ἄλληλα, καὶ αὐτὰ ἑαυτοῖς ἐν διαφόρῳ χρόνῳ θεωρούμενα παραβάλλει. ὃν τρόπον φησὶ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. ὁμοίως γὰρ ὅτι πρώτη Οὐσία, ὁ τὶς ἄνθρωπος, καὶ ὁ τὶς ἵππος, καὶ ὅπως ἐπὶ τῆς λοιπῶν τῆς ὐσίας ἀτόμων, καὶ τὰ ὑπὸ τὸ αὐτὸ εἶδος. οἷον πάντες ἄνθρωποι, ὁμοίως οὐσίαι εἰσὶ, καὶ ζῶα λογικὰ θνητὰ, οὐ δὲ λέγεται μᾶλλον καὶ ἧττον ὁ ἄνθρωπος, ἢ μᾶλλον ἢ ἧττον ζῶον, αὐτὸς ἑαυτοῦ κατὰ διαφόρους θεωρούμενος χρόνους. ἐνοεῖ γὰρ ὁ Φιλόσοφος τὸ προτεθὲν ἰδίωμα προσήκειν τῇ Οὐσίᾳ καθ' ἑαυτὴν, ὡς καὶ τὰ οὐσιωδῶς αὐτῆς κατηγορούμενα. οὐκ ἰδιάζει μέντοι τοῦτο ταῖς Οὐσίαις κατὰ τὸν τέταρτον τοῦ ἰδίου τρόπον. ἐπεὶ ἢ τῷ Ποσῷ ὑπάρχει κοινὸν, ὡς ἐν τῇ ἐφεξῆς κεφαλαίῳ ἐρεῖ ὁ Φιλόσοφος.

Ἡμῖν δὲ διώρισαι ἀνωτέρω ἐναντίωσιν ἐνυπάρχειν τοῖς εἴδεσι τῆς Οὐσιῶν, εἰ καὶ μὴ καθ' αὑτὰ, ἀλλὰ γοῦν τῷ λόγῳ (1) τῆς συγατικῶν διαφορῶν. ὅθεν (2) κατ' αὐτὰς ῥητέον ἐνεῖναι (3) τούτοις τὸ μᾶλλον καὶ τὸ ἧττον. (4) εἰ γὰρ καὶ τὰ κατ' ὐσίαν εἴδη, μάλισα δὲ καὶ αὐταὶ αἱ διαφοραὶ

(1) Τῇ ἑνώσει. (2) Τὰς συγατικὰς διαφοράς. (3) Τοῖς εἴδεσι. (4) Τὰ εἴδη καὶ αἱ διαφοραὶ καθ' ἑαυτὰ οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἀλλὰ τὰ μὲν προσθήσει, ὡς ὁ ἄνθρωπος μᾶλλον τοῦ ζώου λέγεται διὰ τὸ λογικὸν, αἱ δὲ διὰ τιὼ μέθεξιν, καὶ διὰ τιὼ ὕλιν. ἡ γὰρ δικαιοσυνὴ, φέρε εἰπεῖν, μία οὖσα καθ' ἑαυτιὼ ἐν τῷ αἱῷ, τῷ μὲν μᾶλλον, τῷ δὲ ἧττον ἐνεῖναι λέγεται.

Περὶ δὲ μάγγανον ἢ ξύλον · φύλ 20,

„ Ἔνθα μὲν οὖν ἡ ἀναπλώσις ὡς δὲ σαφὲς ἐκ τῶν ἄνω λόγων, ἄμεινον ἀφ' ὁδοῦ λόγου ἔσται ἢ διὰ ξύλου, ὡς δὲ βραχέως ἢ θαμινὸν ἐκεῖ δὲ ὕδατος ἢ ἀέρος ἔστιν ἐφ' ὧν μᾶλλον, ἢ μὴ ἔστι ἀναπλώσεως, παρὰ μέσης ἔστω γραμμή, ὡς ἐκεῖ δὲ φωλὸς φωλεύοιμεν ἂν ἐν ἀέρι, ἢ βορειοτέρω μᾶλλον, καθάπερ μὴ ἔχοντος ἐν τῷ φωλεῷ δὲ ἐκάστης χώρας τὸ ἐναντίον, ἀλλὰ δὴ τέρψεως οὕνεκα φωρᾶν) ἔτι δ' ἀνάσαιμεν ἄν, ἢ ἀναπλώσεως ὄντος, ὁ μάγγανον ἢ ξύλον ἢ μὴ ἔστι; ὡς δὲ συμβολὴν ἔχοντι ἢ ὄφελον ἐν τοῖς ἀριθμοῖς, ἐναντία μὲν ὄντα, οὐκ ἀναιρετέα δ' ὅλως ὄντα μάγγανον ἢ ξύλον φανήσεται · ἐπεὶ γε καὶ τοῖς ἐν ἀναπλώσει τῶν ἐναντίων ἐν ὕδατι, ἐν ὕδατος δὲ πάθεσιν ἐκεῖ δὲ ἐκφανοῦς, ἢ ἢ ὄλων συμφωνίαν ἐστί, οἷον ψιλότης δὲ ἢ ἐξωθεῖ, ἢ τοιοῦτόν ἔστι; θαμινὸν δὲ ἢ ἀραιὸν ἐστὶν ἀκριβῶς. ἐκεῖ μὲν γὰρ τοῦ χοιρίου, ὃ μὲν ἔστιν ἐκπεφραγμένος τῶν τοιούτων ὕλων, ὡς ἐκεῖ δὲ ὑγρὸς ὁ θαμινόβιος, ὁ δὲ ὑβρίζων, ὡς ὁ ἐναντίος βίος ἐστίν, ἐκπεφραγμένος μᾶλλον ἔστω τῶν ἐναντίων, ὡς δεῖ ἢ ἐκεῖ δὲ ἀέρος, ὁ μὲν ἐκεῖ δὲ ἐστὶν ὁ ὑγρόβιος, ὁ δὲ ἀναπνεῖ ὁ θαμινόβιος, καθάπερ τὸν ὑρβεβηκότος σοφιστοῦ ἐκεῖ δὲ φύλλα ἢ ἀνέμων ἐκδεχόμενα, ὡς ὁ θαμινόβιος δὲ ἢ ἐχθρὸς ἐκεῖ δὲ ἀέρος αὐδὶς ἢ ὕδατος · ὁ δὲ ἂν φήσαιμι δὲ ἢ ἀσυμφώνου ἄνω ἢ κάτω φθορᾶς, ὑρβεβηκότος ἔτι δέος.

ραὶ (ἢ καθ' ἑαυτὰς ἀδιαίρετοί εἰσι) τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχονται. (ὅπερ ὁ Φιλόσοφος ἐν τῷ περὶ Ποιοῦ κεφαλαίῳ, καὶ ἐπὶ τῆς Συμβεβηκότων, δικαιοσύνης φέρε εἰπεῖν, καὶ ὑγιείας, καὶ τῶν τοιούτων, χώραν δίδωσιν ἔχειν.) τῷ λόγῳ μέντοι τῆς μεθέξεως, ἐπιδέχονται τὸ σύντελές καὶ ἀτελὲς εἶναι, καὶ ἀκολούθως τὸ μᾶλλον καὶ τὸ ἧττον. οὐδὲν ἧττον μέντοι ὁ Φιλόσοφος ἐν πολλοῖς ἀποποιεῖται, οὐ μόνον ἐπὶ τοῦ παρόντος, ἀλλὰ καὶ ἔνθα τὴν κίνησιν, τῆς οὐσίας ἀποκλείει, ὡς ἐν τῷ πέμπτῳ τῆς Φυσικῶν, καὶ ἐν ἄλλοις, ἐν τῷ Η. τῆς Μεταφυσικῶν, ἐν ᾧ τὰ εἴδη τῆς ὄντων παραβάλλει τοῖς ἀριθμοῖς. ἀμέλειτοι ὥσπερ τὰ εἴδη τῆς ἀριθμῶν, δυὰς φέρε εἰπεῖν, ἢ τριὰς, οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, οὕτω καὶ τὰ ἕνυλα εἴδη τῆς Φυσικῶν ἔξει. λέγεται δὲ καὶ παρὰ Πορφυρίῳ ἐν τῷ περὶ Διαφορᾶς κεφαλαίῳ, τὰς εἰδοποιοὺς διαφορὰς μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. πολλὰ δὲ καὶ ἕτερα προχειρίζονται εἰς ἔνδειξιν τοῦ μηδενὰ τρόπον ἐγκειτέον εἶναι ἐπὶ τῆς οὐσιῶν τὸ μᾶλλον καὶ τὸ ἧττον οἱ ἀντιδοξοῦντες, & λόγοις δὲ ἐπιχειροῦσι τοιοῖσδε.

Ἡ τυχοῦσα παραλλαγὴ ἐν τοῖς κατ' οὐσίαν εἴδεσι μεταλλαγὴν ποιεῖται τοῦ εἴδους. ἀλλ: εἰ τὰ κατ' οὐσίαν εἴδη ἐπιδέχοιντο τὸ μᾶλλον καὶ τὸ ἧττον, ἦν ἂν παραλλαγὴ ἐν αὐτοῖς, καὶ τὸ μᾶλλον τοιοῦτον, ἦν διενωοχὸς τοῦ ἧττον τοιούτου, & οὕτως ἡ ὑφ' ἕνὶ καθόλου εἶδος τελοῦσα ἄτομος οὐσία, καὶ εἰς ἕτερον ἀναχθείη εἶδος, κατὰ τὸ μᾶλλον καὶ ἧττον, ὅπερ ἐπιδέχεται. μάλιστα δὲ διαφόρων εἰδῶν κατ' οὐσίαν ἦν ἡ αὐτὴ ἅμα δεκτική. εἰ γὰρ δοίημέν τι τῆς ὄντων ὑφειμένον μέχει ἡμίσεως τοῦ ἐν αὐτῷ εἴδους, μετεχηκὸς δὲ τοὐναντίου εἴδους τῷ αὐτῷ μέρῳ, τοῦτο ἐξὶ δυσὶν εἴδεσιν εἰδοποιούμενον, ὅπερ ἄτοπον. τελευταῖον, εἰ τοῦτο δοίημεν, τὰ κατ' οὐσίαν εἴδη ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, οὐκ ἂν εἴη διενωοχότα τῆς συμβεβηκότων, ὅπερ ἐξὶ τῆς ἀπεμφαινόντων.

Ἔκθεσις τῆς ἀληθείας.

Ἡμῖν δὲ πρῶτον λεπτέον τί τὸ μᾶλλον καὶ ἧττον σημαίνει, καὶ ὅθεν προέρχεται. μᾶλλον τοιγαροῦν τοιοῦτον, καὶ ἧττον τοιοῦτον, σημαντικόν ἐστιν εἴδους τινὸς κατὰ μέθεξιν ἐπὶ τῆς ὕλης μᾶλλον ἢ ἧττον, τελεώτερον δηλαδὴ ἢ ἀτελέστερον. τοῦτο δὲ ὡς ἐπὶ τὰ πολλὰ ἔπεται τῇ ἐναντιώσει, οὐ μὴν ἀεί. ἐνθ' ὅτε μὲν τὸ μᾶλλον καὶ ἧττον καὶ ἐφ' ὧν ἁδὲ μία ἐναντίωσις θεωρεῖται, ὡς ἐπὶ τοῦ φωτὸς τὸ μᾶλλον καὶ ἧττον συμβαίνει, δίχα ἐναντιώσεως. τῷ γὰρ φωτὶ οὐκ ἔξιν ἐναντίον κυρίως, ὅτι μὴ κατὰ στέρησιν,

σιν, ὁποῖον ἐστὶ τὸ σκότος. μᾶλλον δὲ καὶ ἀνάπαλιν ἔστιν ὅπου, οὔσης ἐναντιώσεως, τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἔστι. λέγεται γὰρ παρὰ τῷ Φιλοσόφῳ ἐναντία ἐν ἀριθμῷ τὸ περιττὸν καὶ ἄρτιον, ἅπερ τοῦ μᾶλλον καὶ ἧττον οὐ γίνεται δεκτικά, διὰ τὸ μὴ πεφυκέναι μίγνυσθαι ἀλλήλοις. ἐν οἷς μέντοι τὰ ἐναντία φύσιν ἔχει ἐπιμίγνυσθαι ἀλλήλοις, ἕπεται τούτοις καὶ τὸ μᾶλλον καὶ ἧττον ὡς τὰ πολλά. λέγεται γὰρ ἐπὶ τῆς τοιούτων εἶναι τὸ μᾶλλον τοιοῦτον, ὅτι ἧττον μετέχει τὸ ἀντικειμένου, ὡς λευκότερον λέγεται τὸ μᾶλλον λευκόν, ὅτι ἧττον μετέσχηκε τῆς ἐπιμιξίας τοῦ ἀντικειμένου, δηλαδὴ τοῦ μέλανος, ὡς ἐν ἐδαφίῳ ιθ. τοῦ Ε. τῆς Φυσικῶν παραδίδωσιν ὁ Φιλόσοφος. οὐ μέντοι ἀεὶ καὶ παντὶ τοῦτο ἀναγκαίως ἀληθεύει. ὁρῶμεν γὰρ ἐπὶ τῆς ἁπλῶν σωμάτων θατέραν τῆς ποιοτήτων, παρὰ πολὺ ἐλάττω τῆς ἑτέρας, ὡς τὴν θερμότητα ἐπὶ τοῦ ἀέρος. τοῦτο δὲ οὐ συμβαίνει διὰ τὴν ἐπιμιξίαν τοῦ ἐναντίου. ἄλλως γὰρ καὶ τὰ στοιχεῖα οὐκ ἂν εἶεν ἁπλᾶ σώματα.

Ἐκεῖνο δὲ ἐστὶν ἐπισάσεως ἄξιον, ὡς καὶ ἀνωτέρω εἴρηται, ὅτι αἱ ἀποδιδόμεναι παρὰ τοῦ Φιλοσόφου ἰδιότητες τῇ Οὐσίᾳ, κυρίως καὶ μάλιστα προσήκουσι τῇ πρώτῃ Οὐσίᾳ. οἰκειοῦνται γὰρ τῇ Οὐσίᾳ ἥπερ ὑπόκειται τοῖς συμβεβηκόσι. μάλιστα δὲ καὶ κυρίως ἡ ἄτομος καὶ πρώτη Οὐσία ὑπόκειται τοῖς συμβεβηκόσιν. ὅτι δὲ τὴν παραβολὴν ταύτην μεταξὺ τῆς Οὐσιῶν ὁ Φιλόσοφος ἐννοεῖ κατὰ πλάτος, παραβάλλων δηλαδὴ τὰ ἄτομα ταῖς ἀτόμοις Οὐσίαις, καὶ τὰ εἴδη τοῖς εἴδεσι, καὶ ἐφεξῆς ὡς εἴρηται, ὁμοίως δὲ καὶ ὃν τρόπον τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐπὶ τῆς Οὐσιῶν χώραν ἔχει, δεδήλωται διʼ ὃν ἐν ἀρχῇ τῆς προκειμένης ζητήσεως.

Ἀπάντησις πρὸς τοὺς ἐκτεθέντας ἀνωτέρω τῆς ἀντιδοξούντων λόγους.

Ἀλλὰ καὶ πρὸς τοὺς ἀντικειμένους λόγους, ἃ χαλεπὸν ἐστὶν ἁπαντῆσαι τοῖς ὀπωσοῦν ἐπισκεπτομένοις τὴν ἔννοιαν τῆς προβαλλομένων. καὶ πρῶτον μὲν τὰ ῥηθέντος ἐνταῦθα τῷ Φιλοσόφῳ, ὅτι ἡ Οὐσία οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ αὐτὸς ὁ Φιλοσόφος ἐδίδαξεν ὅπως ποτὲ ἐννοεῖ τοῦτο. βούλεται γὰρ τὰς Οὐσίας καὶ τὰ οὐσιώδη εἴδη μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, κατὰ τὸν προσήκοντα σφίσιν αὐτοῖς λόγον ὁρισικόν, ὡς τε μεταβάλλειν διὰ τῆς ἐπιτάσεως καὶ ἀνέσεως τὸ εἶδος ἢ συγκριτικῶς προσαγορεύεται. οὐ γὰρ ὡς περ φρονιμώτερον φέρε εἰπεῖν, ἢ λευκότερον, οὕτω καὶ μᾶλλον ἄνθρωπον, ἢ οὐσίαν ἔξεστι λέγειν. διὰ τὴν

τὸν μέντοι κατὰ πλάτος τι καὶ ἐπὶ τῆς Οὐσιῶν ἐννοεῖν, κατὰ τὰς αὐτῆς διαφορὰς, ἐφ' ὅσον ἐν τῇ ὕλῃ μετέχονται, ἄυτη μέντοι οὐδὲ μίαν παραλλαγὴν εἰδητικὴν ἐμποιεῖ.

Πρὸς δὲ τὸ δεύτερον τοῦ Φιλοσόφου ῥητὸν, ἐν οἷς φαίνεται ἀποφάσκων τῆς κατ' οὐσίαν γενέσεως τὴν κίνησιν, ῥητέον ἐστὶν, ὅτι ἐν ἐκείνοις θεωρεῖ τὴν γένεσιν τῆς ἐνύλων εἰδῶν τῆς Οὐσίας ἐν τῷ γεγενῆσθαι, ὃν ἕκαστον ἡ γένεσις οὐ κατὰ διαδοχὴν θεωρεῖται, καὶ διεξόδοις, οὔτε κίνησιν ἔχησιν ἡ γνωμένη Οὐσία, οὔτε μὴν τὸ μᾶλλον καὶ τὸ ἧττον. τὸ γὰρ γινόμενον ἰώτα γίνεται οὔπω ἐστίν. ἡ γένεσις μέντοι κατὰ τὸν προηγούμενον χρόνον, καὶ ἐν τῷ γίνεσθαι, κατὰ διαδοχὴν θεωρεῖται, καὶ διεξόδοις, καὶ κατὰ κίνησιν, καὶ διὰ κινήσεως ἡ Οὐσία γεννᾶται, ὃν ἕκαστον καὶ τὸ μᾶλλον, καὶ τὸ ἧττον ὑπιδέχεται κατὰ τὰς οὐσιώδεις ποιότητας, ὑφ' ὧν ἡ ὕλη προδιατίθεται.

Πρὸς δὲ τὸ τρίτον τὸ ἐκ τοῦ Η. τῆς Μεταφυσικῶν προχειρισθὲν ῥητέον, ὡς ὁ Φιλόσοφος ἐν ἐκείνοις, ἃ παραβάλλει τὰ εἴδη τῆς ὄντων τοῖς ἀριθμοῖσιν ἀριθμοῖς, ἀλλὰ τοῖς ἀριθμητοῖς, οἷς καὶ δείκνυται ὁμοίως ἔχειν. ὡς γὰρ ἡ ἑκάτη μονὰς σωίζησι τὸ εἶδος τοῦ ἀριθμοῦ ἐν τοῖς ἀριθμοῖς, ὅπως ἡ ἑκάτη διαφορὰ σωίζησι τὸ εἶδος τὸ σωθὲτο ἐν τοῖς σωθέτοις. καὶ προσιθεμένης ἢ ἀφαιρεμένης μονάδος, μεταβάλλεται τὸ εἶδος τοῦ ἀριθμοῦ, οὕτως προσιθεμένης ἢ ἀφαιρουμένης τῆς οὐσιώδους διαφορᾶς, μεταβάλλεται τὸ εἶδος τοῦ σωθέτου. καὶ ὥσπερ ἡ μονὰς ἀδιαίρετος ἐστὶ καθ' ἑαυτὴν, οὕτω καὶ ἡ οὐσιώδης διαφορὰ, ἀδιαίρετός ἐστιν εἰς ἑτέρας διαφορὰς συσατικὰς ἑτέρων εἰδῶν. καὶ ὥσπερ ἡ μονὰς τῷ λόγῳ τῆς ὕλης διαιρετή ἐστιν, οὕτως οὐδὲν κωλύει καὶ τὴν διαφορὰν ἐπὶ τῆς ὕλης ἅπασιν ἐπιδέχεσθαι, καὶ συσολὴν, ὡς μᾶλλον καὶ ἧττον τῆς ὕλης κρατεῖν. οἷά που περὶ τοῦ αὐτοῦ λόγου ὁ Συμπλίκιος ἀποφαίνεται. τοὺς γὰρ ἀνθρώπους ὁρῶμεν νοὸς ὀξύτητι ἀλλήλων, καὶ ἀγχινοίᾳ ἐ μικρὸν διενηνοχότας, καὶ τοι ὁμοίως ἀνθρώπους προσαγορευομένους καὶ λογικὰ ζῶα. ὡς τε ἡ τοιαύτη τῶ δραστικοῦ ἀκμὴ, καὶ τελειότης, προσγίνεσθαι ταῖς διαφοραῖς τῷ λόγῳ τῆς ὕλης.

Τὸν αὐτὸν ζόπον ἐστὶν ἀκουσέον καὶ τὸ τοῦ Πορφυρίου ἐν τῷ περὶ Διαφορᾶς κεφαλαίῳ, ἐν οἷς φησὶ τὰς καθ' αὐτὸ διαφορὰς, μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. ἐννοεῖ γὰρ τὰς διαφορὰς καθ' αὐτὰς θεωρουμένας, καὶ κατὰ τὸν ὁρισικὸν λόγον αὐτῶν. οὐ κατὰ τὴν μέθεξιν ἐν τῇ ὕλῃ καὶ κατὰ τὸ γίνεσθαι· οὕτω γὰρ ἐ ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχονται· οὐχ ὑπερβαίνουσι μέντοι τῷ μέτρῳ τῆς ἑαυτῶν συστάσεως.

Μετρίως

Ὅπως

Ὁπλοίκα δὲ φασὶ πᾶσα παραλλαγὴ ἐν τοῖς κατ' οὐσίαν εἴδεσιν, ἑτερότητα εἴδους ἀποτελεῖ, ῥητέον. ὅτι ἡ μὲν παραλλαγὴ καὶ διαφορὰ τῷ κατ' οὐσίαν εἰδῶν τῷ γεγρῆφθαι ἤδη καὶ ἐν τῷ εἶναι ταῦτα θεωρούμενα, ἑτερότητα εἴδους ποιεῖ. οὐκ ἔτι δὲ καὶ ἡ ἐν τῷ γίνεσθαι θεωρουμένη παραλλαγὴ, οἵαν ἡμεῖς τιθέμεθα μετὰ τῶν πάλαι φιλοσοφησάντων περιπατητικῶς ἐν τοῖς εἴδεσι καὶ ταῖς οὐσιώδεσι διαφοραῖς. οὐδὲ ἡ τοιαύτη ἑτερότης ἐστὶ διαφορὰ κατὰ τὸ εἶναι τῶν εἰδῶν, ἀλλ' οἷον διεξόδευσις καὶ ὁδὸς ἐπὶ τὸ παραγόμενον εἶδος.

Καὶ ἐπειδὰν προσιθέασιν ἕπεσθαι ἐκ τούτου μίαν καὶ τὴν αὐτὴν οὐσίαν ἅμα διαφόροις εἴδεσι μορφοῦσθαι, οὐκ ἀποδεκτέον. μένοντος γὰρ προτέρου εἴδους, οὐδέποτε τὸ αὐτὸ δεκτικὸν γίνεται ἑτέρου κατ' οὐσίαν εἴδους, οὐδ' ἕπεται τἀναντία ἅμα ἐν τῷ αὐτῷ ὑπάρχειν, ἀλλ' ἢ μεμιγμένα τε καὶ συγκεραμμένα, ὡς ἐπὶ τῶν μικτῶν καθορῶμεν. ἢ γοῦν κατὰ παράθεσιν συνυπάρχειν, ὡς ἐπὶ τῶν μεμιγμένων φαρμάκων συμβαίνει τῆς ἰατρικῆς.

Τὸ δὲ τελευταῖον προσειρήσθω, ὅτι οὐκ ἂν διαλυθείη τὸ κατ' οὐσίαν εἶδος τοῦ κατὰ συμβεβηκὸς, εἴπερ ἡ κατ' οὐσίαν γένεσις καταδιεξόδευσιν καὶ κίνησιν ἀπετελεῖτο, οὐκ ἀληθές. διχῶς γὰρ τὸν κατὰ κίνησιν διεξόδευσιν ἐννοεῖν ἔχομεν. ἢ γὰρ τὸ γινόμενον οὕτω κατὰ διεξόδευσιν καὶ κίνησιν ὑπάρχειν ἐνδέχεται, ἐν οἱῳδήποτε μέρει τῆς διεξοδεύσεως, καὶ κινήσεως μεσοδιαλαβηθείσης. καὶ ἔστιν ἡ τοιαύτη διεξόδευσις ἰδία τῆς γενέσεως τῶν κατὰ συμβεβηκὸς εἰδῶν. ἢ γίνεται μὲν τὸ γινόμενον κατὰ τὴν διεξόδευσιν, οὐ μὴν καὶ ἐνδέχεται ὑπάρχειν τὸ αὐτὸ, ἐν οἱῳδήποτε μέρει τῆς διεξοδεύσεως μεσοδιαλαβηθείσης, οὗ χρόνου παράγεται τὰ ὕλα τῶν οὐσιῶν εἴδη. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν, ἢ ὅτι ἀπὸ τοῦ ἧττον ἀεὶ ἐπὶ τὸ μᾶλλον προκόπτει, καὶ ἀπὸ τῆς ἀνέσεως εἰς ἐπίτασιν προέρχεται. ἕως τ' ἂν τὴν οἰκείαν ὁλόκληρον ἀπολάβοι ἐντέλειαν.

Ἕκτον καὶ ἑκατὸν ἴδιον τῆς Οὐσίας.

„ Μάλιστα δὲ ἴδιον τῆς Οὐσίας δοκεῖ εἶναι τὸ αὐτὸ καὶ ἓν ἀριθμῷ ὂν τῷ „ ἐναντίων εἶναι δεκτικόν.

Τελευταῖον ὁ Φιλόσοφος ἐπέθηκε τὸ ε'. ἰδίωμα τῆς Οὐσίας. ὅτι τῇ οὐσίᾳ προσήκει κατὰ τὸν τέταρτον τρόπον τοῦ ἰδίου. τουτέστι τὸ μίαν καὶ τὴν αὐτὴν Οὐσίαν, δεκτικὴν τῶν ἐναντίων γίνεσθαι παρὰ μέρος.

ἴσον

ὡς ὁ τὶς ἄνθρωπος, εἷς καὶ ὁ αὐτὸς ὤν, ποτὲ μὲν λευκὸς, ποτὲ δὲ μέλας γίνεται. τοῦτο δὲ τὸ ἰδίωμα μάλιστα τῇ Οὐσίᾳ προσήκει, οὐ μὴν πάσῃ ὁμοίως, ἀλλὰ κυρίως μὲν τῇ πρώτῃ Οὐσίᾳ, ταῖς δὲ δευτέραις διὰ τὴν πρώτην. ᾧ γὰρ λόγῳ ὑφίστανται τοῖς συμβεβηκόσι, τούτῳ πάντως καὶ δεκτικαὶ λέγονται τῆς αὐτῆς. ἐπειδὴ ἡ πρώτη οὐσία πρώτως καὶ κυρίως ὑφίσταται τοῖς συμβεβηκόσιν, αἱ δευτέραι δὲ διὰ τὴν πρώτην, τῷ αὐτῷ λόγῳ ἐστὶν ἡ πρώτη Οὐσία, πρώτως καὶ κυρίως δεκτικὴ τῆς ἐναντίων, κατὰ δεύτερον δὲ λόγον, καὶ αἱ δευτέραι. 82

Ἀντιφέρει δὲ ὁ Φιλόσοφος πρὸς ταῦτα. δοκεῖ γὰρ τὸ ῥηθὲν τῆς Οὐσίας ἴδιον, ὁμοίως καὶ τῷ λόγῳ προσήκειν καὶ τῇ δόξῃ. ὁ γὰρ λόγος καὶ ἡ δόξα ποτὲ μὲν ἀληθῆ, ποτὲ δὲ ψευδῆ γίνονται, διαμένοντα τὰ αὐτά. οἷον εἴτις φαίη, ἢ καὶ οἴεται τὸν Σωκράτην καθεῖδθαι. καθημένου μὲν τοῦ Σωκράτους, καὶ ὁ λόγος ἐστὶν ἀληθὴς, καὶ ἡ περὶ τούτου δόξα ὁμοίως, ἀνισταμένου δὲ ἄμφω ψευδῆ γίνονται. τοιγαροῦν ἐπεὶ τὸ ἀληθὲς καὶ ψευδὲς ἐν τοῖς ἐναντίοις εἰσὶν, ὁ λόγος καὶ ἡ δόξα δοκοῦσι τῆς ἐναντίων εἶναι δεκτικά. καίτοι μηδέτερον Οὐσία ὂν μήθ' ὁ λόγος, μήθ' ἡ δόξα. 83

Ἐπιλύεται ὁ Φιλόσοφος τὴν ἐπιτεθεῖσαν ἀντίθεσιν διχῶς. Πρῶτον μὲν εἰ δοίημι τὸν λόγον καὶ τὴν δόξαν ἐπιδέχεσθαι τὰ ἐναντία, οὐ μὴν τὸν αὐτὸν τρόπον ἐπιδέχονται ταῦτα καθ' ὃν ἡ Οὐσία. ἡ μὲν Οὐσία τῆς ἐναντίων γίνεται δεκτικὴ, μεταβαλλομένη καθ' ἑαυτήν. φέρε εἰπεῖν τῷ ὕδατι ἐκ ψυχροῦ θερμῷ γινομένῳ, μεταβολὴ γίνεται ἐν αὐτῷ, ἀντικειμένας ποιότητας δεχομένῳ. τοῦ δὲ λόγου καὶ τῆς δόξης ἀπὸ τοῦ ἀληθοῦς ἐπὶ τὸ ψεῦδος μεταβαλλομένων, ἡ μεταβολὴ οὐκ ἐν τῷ λόγῳ καὶ τῇ δόξῃ θεωρεῖται, ἀλλ' ἐπὶ τῆς σημαινομένων, ἢ δοξαζομένων πραγμάτων.

Ἐπιλύεται δεύτερον τὴν αὐτὴν ἀντίθεσιν ὁ Φιλόσοφος, εἰπὼν οὐ δ' ὅλως γίνεσθαι δεκτικὰ τῆς ἐναντίων τὸν λόγον καὶ τὴν δόξαν. τὸ γὰρ τὰ ἐναντία ἐπιδεχόμενον μεταβάλλει καθ' αὑτό, ὁ δὲ λόγος καὶ ἡ δόξα ἀπ' ἀληθῶν ψευδῆ γινόμενα οὐ μεταβάλλει καθ' αὑτά. οὐκ ἄρα δεκτικὰ γίνεται τῆς ἐναντίων ἡ ἀλήθεια καὶ τὸ ψεῦδος ἐπὶ τοῦ λόγου καὶ τῆς δόξης, σχέσιν δηλοῦσιν ὁμοιότητος ἢ ἀνομοιότητος πρὸς τὸ σημαινόμενον, ἢ δοξαζόμενον πρᾶγμα, καὶ ἡ ἀπὸ τοῦ ἀληθοῦς ἐπὶ τὸ ψεῦδος μεταβολὴ, καὶ ἀνάπαλιν, μεταβολὴν σημαίνει σχέσεων ἀπὸ τῆς ἐναντιώσεως προερχομένη, ἥτις ἐπὶ τῆς σημαινομένων καὶ δοξαζομένων πραγμάτων γίνεται.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Περὶ Ποσοῦ.

Περὶ τῆς τάξεως τοῦ κεφαλαίου, ὅτι ἀμέσως τῇ ἐνύλῳ Οὐσίᾳ ἕπεται ἡ Ποσότης, καὶ αὐτὴ ἡ φύσις προφανῶς πείθει τοὺς τὴν τάξιν θεωρουῦντας τῆς τῶν ὄντων γενέσεως. οὕτω γάρ ἐξι προσεχὲς τῇ φυσικῇ Οὐσίᾳ τὸ Ποσὸν, ὡς μὴ γίνεσθαι δεκτικὴν μηδενὸς τῶν ἄλλων συμβεβηκότων, ὅτι μὴ διὰ τῆς ποσότητος· μάλισα δὲ καὶ ἐννοεῖται πως προηγουμένως ἐν σωίσθαι ἐπὶ τῆς ὕλης, καὶ αὐτῶν τῶν κατ' οὐσίαν εἰδῶν ἡ ποσότης, ἢ σωίσασθαι εἴρηται τὸ τειχῆ διασατὸν παρὰ τοῖς παλαιοῖς, ὃ καὶ ἄποιον ἤκουσε σῶμα. ὁμοιοῦται δέ πως καὶ τῇ Οὐσίᾳ. ἐπέχει γὰρ καὶ αὐτὴ παρὰ τοῖς μαθηματικοῖς λόγον Οὐσίας, ἐπειδὴ καὶ ὑποτίθεται παρ' ἐκείνοις ὡς ἐπιστὴν γένος, καθ' ἧς πολλὰς ἐκεῖνοι ἀποδεικνύουσιν ἰδιότητας, διὰ τῶν οἰκείων ἀρχῶν τῆς αὐτῆς, καί τινων τῶν τῆς Οὐσίας παρεπομένων, ἢ ὁμοίως κοινωνεῖ ὡς ἀνωτέρω εἴρηται, οἷον τὸ μὴ ἐναντίον ἔχειν, καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. διὸ καὶ οὐκ ἀπεικότως δὴ θὺς μετὰ τὴν Οὐσίαν πέπακται ἡ περὶ Ποσοῦ διάσκεψις τῷ Φιλοσόφῳ.

Διαίρεσις τοῦ Κεφαλαίου.

Τρία δὲ ἐπὶ τοῦ παρόντος Κεφαλαίου ποιεῖ ὁ Φιλόσοφος. διαιρεῖ τὸ Ποσὸν, Ἀναπτύσσει ἕκασον τῶν διαιρεθέντων μερῶν, εἴτουν εἰδῶν, καὶ τελευταῖον τὰ παρεπόμενα ἐκτίθησι τοῦ αὐτοῦ.

Κείμενον.

„ Τοῦ Ποσοῦ τὸ μὲν ἐστὶ συνεχὲς, τὸ δὲ διωρισμένον.

Πρὸ τῶν ἄλλων ληπτέον, ὡς οὐδὲ τὸ Ποσὸν ἁπλῶς εἴωθε λέγεσθαι, ἀλλ' ἔστιν ὃν τῇ λεκτικῇ συνηθείᾳ, τὸ μὲν κατὰ συμβεβηκὸς Ποσὸν, τὸ δὲ καθ' αὑτὸ λεγόμενον, ὃ καὶ προϊὼν παραινεῖ ὁ Φιλόσοφος· κατὰ συμβεβηκὸς δὲ Ποσὸν, ἔστιν ὅτε καὶ τὸ ποιὸν ἤκουσεν. οὕτω γὰρ τὸ λευκὸν, ὅπερ ἐστὶ τῆς λευκότητος, εἴωθε λέγεσθαι πολὺ καὶ ὀλίγον, ὅτι ἡ ἐπιφάνεια ἐφ' ἧς ὑπάρχει, πολὴ ἢ ὀλίγη ἐστὶν, ὃν δὸ-

ξόπον καὶ μακρὰν πρᾶξιν, καὶ λόγον φαμεν διεξοδικὸν, ὅτι ἡ κίνησις, ἢ ὁ χρόνος ἐν οἷς ταῦτα γίνεται, τυγχάνει μακρὸς ὤν. ἔθισαι δὲ καὶ τοῖς νῦν σχολαστικοῖς τὸ Ποσὸν ἀποδίδοσθαι τῇ ποιητικῇ δυνάμει, καὶ τῷ δραστηρίῳ τῆς Οὐσίας. οὐ ξόπον τὸ Θεῖον λέγεται μέγα, ἢ πολυδυνάμον, ἢ ἀπειροδυνάμον, οὐχ ὅτι μετέχει ποσότητος ὁπωσοῦν, ἀλλ' ὅτι τὰ ἀποτελούμενα τῇ δυνάμει τούτου, τοιαῦτα εἰσὶν, οἷα οὐκ ἔχει φύσιν, ὅτι μὴ ὑπὸ μεγίστης καὶ ἀπείρου δυνάμεως παράγεσθαι. ἀλλὰ ταῦτα μεταφορικώτερον μᾶλλον ἢ κυριώτερον. κυρίως δὲ ποσότης ἐστὶ, καθ' ὃ κυρίως ἡ διαίρεσις τῶν ὄντων γίνεται.

Τί ἐστὶ κοινότερον Ποσότης, ἢ ποιὸν Ποσόν.

Διαιρεῖ ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος οὐ τὴν Ποσότητα καθ' αὐτὴν ἐξ ἀφαιρέσεως θεωρουμένην, ἀλλὰ τὸ Ποσὸν, ὃ τοῦτο τυχὸν ὅτι γνωριμώτερον ὡς ὑποπίπτον τῇ αἰσθήσει. παρέλιπε δὲ καὶ τὴν ὑπογραφὴν τοῦ ἀνωτάτω γένους τοῦ Ποσοῦ, ὅτι οὐδὲ ῥᾴδιος ἐστὶ λῆψις τὸ κοινὸν γένος τοῦ διωρισμένου καὶ συνεχοῦς Ποσοῦ. οὐδὲν ἧττον καὶ ἐν τῷ Δ. τῶν μεταφυσικῶν, ἔνθα ὁ λόγος περὶ Ποσότητος, οὐ τὴν ποσότητα κατὰ ἀφαίρεσιν, ἀλλὰ τὸ Ποσὸν ὑπογράφει, λέγων. „ Ποσὸν ἐστὶ τὸ διαιρετὸν εἰς ἐνυπαρχοντα, ὧν ἕκαστον αὖτι καὶ τόδε τί „ φυσει εἶναι. εἰδέσοι φίλον καὶ τὴν ὑπογραφὴν ἀποδοῦναι κατὰ ἀφαίρεσιν, ἐρεῖς, ὅτι ἐστὶ συμβεβηκὸς ἄχετον, καθ' ὃ τὰ μετέχοντα ἔχει τὸ εἶναι διαιρετά.

Ἔνθεσις τῆς πρώτης διαιρέσεως τοῦ Ποσοῦ.

Παραδίδωσι δὲ ὁ Φιλόσοφος τοῦ Ποσοῦ διαίρεσιν διττὴν. Πρῶτον φησὶ τοῦ Ποσοῦ τὸ μὲν ἐστὶ συνεχὲς, τὸ δὲ διωρισμένον. „ Προϊὼν δὲ ἑτέραν ἐπιφέρει διαίρεσιν εἰπὼν, ὅτι τοῦ Ποσοῦ τὸ μὲν „ ἐξ ἐχόντων θέσιν συνέστηκε τῶν ἑαυτοῦ μορίων, τὸ δὲ οὐκ ἐξ ἐχόντων. Ὑποδιαιρεῖ δὲ ἑφεξῆς ἑκάτερον μέρος ἑκατέρας διαιρέσεως. καὶ πρῶτον ἐπὶ τῆς πρώτης διαιρέσεως ἀποδίδωσι τοῦ διωρισμένου Ποσοῦ εἴδη δύο, τὸν ἀριθμὸν, καὶ τὸν λόγον. ταῦτα δὲ ἑφεξῆς ἀμφότερα ὅτι ἐστὶ Ποσὰ διωρισμένα, δείκνυσιν, ἔστι γὰρ ποσὸν διωρισμένον, οὗ τὰ μέρη κατ' οὐδενὰ κοινὸν ὅρον πρὸς ἄλληλα συνάπτει, τοιαῦτα δὲ τὰ μέρη τοῦ ἀριθμοῦ καὶ τοῦ λόγου, ἅπερ οὐδενὶ κοινῷ ὅρῳ συνάπτεται

: δὴ λέγων

ἀλλήλοις. ὥσε ὁ ἀριθμὸς καὶ ὁ λόγος εἴδη σωάγεται εἶναι τῦ διωρισμένου Ποσοῦ. Ἐκτίθησι τὶω ἐλάττονα ἐπὶ παραδείγματος ὁ Φιλόσοφος, τὰ γὰρ πέντε, καὶ πέντε, ὄντα μέρη τοῦ δεκαδικῦ ἀριθμοῦ, ἐπ' οὐδενὸς ὅρε σωάπτει πρὸς ἄλληλα, ἀλλὰ μένει κεχωρισμένα ἐπὶ τῆς δεκάδος. ἔτως τὰ ἑπτὰ καὶ τρία, οἵσπερ ὁμοίως σωτίθεται ὁ δεκαδικὸς ἀριθμὸς, κεχωρισμένα τελῦσιν ἐν τῷ αὐτῷ ἀριθμῷ, ὃ ἁπλῶς ἐπὶ παντὸς ἀριθμῦ τὰ μέρη οὐδενὶ κοινῷ ὅρῳ πρὸς ἄλληλα σωάπτει, ὥς τε ὁ ἀριθμὸς τῦ διωρισμένου παίτως ἐσί. τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ λόγος κεχωρισμένα ἔχει ἀλλήλων τὰ ἑαυτοῦ μέρη. μέρη γὰρ τοῦ λόγου εἰσὶν αἱ συλλαβαὶ, αὗται δὲ κατ' οὐδένα κοινὸν ὅρον σωάπτονται ἀλλήλαις ὥσε σωεχίζεθαι, ἀλλ' ἑκάστη καθ' ἑαυτὴν κεχωρισμένη ἐσίν.

Ἐπισῆσαι δὲ ἄξιον ὅτι ὁ Φιλόσοφος ἐν τοῖς Μεταφυσικοῖς, καὶ οἱ Μαθηματικοὶ παίτες, οἷ οἴδασι μόνον γένος τοῦ διωρισμένου Ποσοῦ, τὸν ἀριθμὸν, παραλείπεται δὲ ὁ λόγος ἐκείνοις, ὅτι τῇ τῦ ἀριθμοῦ προσηγορίᾳ, καὶ ὁ λόγος συμπεριείληπται. ἐφ' ὅσον γὰρ ἐπὶ τὸ Ποσὸν ἀναφέρεται, οὐδὲν ἄλλο δοκεῖ εἶναι ὁ λόγος, ἢ συλλαβῶν πλῆθος. ἐνταῦθα δὲ ὁ Φιλόσοφος, τὸν λόγον ἰδιαίτερον φαίνεται εἰληφὼς, ὑπερ καὶ τοῦ ἀριθμοῦ διενιώχε. τειχῶς γὰρ ἐννοουμένου τοῦ λόγου, ἢ καθὸ σχηματίζεται ἐν τῇ ψυχῇ, καὶ λέγεται ἐννοηματικὸς, ἢ ὡς ὁ ἐν τῇ φωνῇ, καὶ παρὰ τύποις ὁ ἐν τοῖς γράμμασιν. Ἐπὶ τοῦ παρόντος κατὰ τὸ δεύτερον σημαινόμενον ἐκλαμβάνεται, ὡς ἐν τῇ φωνῇ δηλαδὴ προφερόμενος, ὃν ῥόπον διχῶς ἐνδέχεται τύπον ἐννοεῖν. καταμερεῖται γὰρ ἑκάστη τύπων συλλαβὴ χρόνῳ μακρῷ τε καὶ βραχεῖ παρὰ Ποιηταῖς, ἅπερ εἰσὶ τοῦ σωεχοῦς Ποσοῦ. ὅλος δὲ ὁ λόγος τῷ ἀριθμῷ μερεῖται τῇ συλλαβῶν. ὃν ῥόπον προσήκει τῷ διωρισμένῳ Ποσῷ. Διὰ ταῦτ' ἄρα τυχὸν ὁ Φιλόσοφος τὸν λόγον εἶδος Ποσοῦ εἴρηκεν, αὐτιδιαστελλόμενον τοῦ ἀριθμοῦ, τῷ τὰ μέρη τύπου διαφόρως καταμερεῖσθαι παρὰ Ποιηταῖς ἢ ὁ ἀριθμός.

Διαίρεσις τοῦ σωεχοῦς Ποσοῦ.

Τοῦ δὲ σωεχοῦς Ποσὸς ὁ Φιλόσοφος μέρη, ~~εἶπεν~~ ἤγρι, εἴδη πέντε ἀπαριθμεῖ ἐπὶ τοῦ παρόντος, Γραμμὴν, Ἐπιφάνειαν, Σῶμα, καὶ παρὰ ταῦτα Τόπον, καὶ Χρόνον. Ὑπογράφει δὲ κοινότερον τὸ σωεχὲς Ποσὸν, ἀντικειμένως τῷ διωρισμένῳ, ὅτι ἐσὶ σωεχὲς Ποσὸν, ὃ τὰ μέρη κοινῷ τινὶ σωάπτεται ὅρῳ. ἀναπτύσσειτε καὶ ἐφεξῆς τὴν ὑποδοθεῖσαν ὑπογραφὴν παραδείγμασιν ἑφ' ἑκάστου τῶν ἐκτεθέντων εἰδῶν. τὰ γὰρ μέρη τῆς

γραμ-

γραμμῆς ὡς ὅροις κοινοῖς συνάπτεται ταῖς στιγμαῖς. τὰ δὲ τῆς ἐπιπέδων μέρη ταῖς γραμμαῖς, ὥσπερ καὶ τὰ τοῦ σώματος τοῖς ἐπιπέδοις. Παρὰ ταῦτα δὲ ὁ Φιλόσοφος, ὡς εἴρηται ἐν τοῖς τοῦ συνεχοῦς Ποσοῦ εἴδεσιν ἀπαριθμεῖ τὸν χρόνον. συνίζεται γὰρ καὶ τὰ μέρη τοῦ χρόνου, ὅρῳ κοινῷ τῷ νῦν, εἴπουν τῷ ἀκαιρεσίῳ τοῦ χρόνου συνδέσμῳ. τὸ γὰρ παρελπλυθὸς καὶ μέλλον ἄπερ ἐστὶ τοῦ χρόνου μέρη, τῷ ἐνεστῶτι συνάπτεται νυνῖ. ὅπερ ἐστὶ τοῦ χρόνου σύνδεσμος, ἀλλ' οὐ χρόνος. διάπερ τοῦτο καὶ ὁ χρόνος ἐν τοῖς εἴδεσι τοῦ συνεχοῦς κατατέτακται τῷ Φιλοσόφῳ. ὁμοίως δὲ καὶ ὁ Τόπος. συνάπτεται γὰρ τὰ μέρη τοῦ Τόπου κοινῷ ὅρῳ. ἔστι γὰρ Τόπος ὡς αὐτός που παραδίδωσιν ὁ Φιλόσοφος ἐν τῷ Δ. τῆς Φυσικῶν, Ἐπιφάνεια τοῦ περιέχοντος σώματος, τῆς δὲ Ἐπιφανείας τὰ μέρη, ὡς ὅροις κοινοῖς συνάπτεται ταῖς γραμμαῖς, ὥστε κατὰ ταῦτα καὶ ὁ τόπος ἔσται τοῦ συνεχοῦς Ποσοῦ.

Ἐνταῦθα ἐπισῆσαι ἄξιον, ὅτι ὁ Φιλόσοφος ἐπὶ τῷ Ε. τῆς Μεταφυσικῶν τὰ δύο παραλείπεται τοῦ συνεχοῦς Ποσοῦ, τὸν τόπον δηλαδὴ καὶ τὸν Χρόνον. ὁ γὰρ τόπος ὡς αὐτὸς δείκνυσιν ἐν τῷ Δ. τῆς Φυσικῶν, οὐδὲν ἄλλο ἐστὶν ὡς εἴρηται, ἢ Ἐπιφάνεια τοῦ περιέχοντος σώματος. ὅθεν καὶ περιέχεται ἐν τῇ Ἐπιφανείᾳ, ἥτις ἐστὶ τὸ δεύτερον τοῦ συνεχοῦς Ποσοῦ εἶδος. Καὶ τὸν Χρόνον δὲ ἐπὶ τοῦ αὐτοῦ βιβλίου ὁ Φιλόσοφος Ποσὸν εἶναι κατὰ συμβεβηκὸς διδάσκει. ἀνάγεται γὰρ ἐπὶ τὴν κίνησιν, ἡ δὲ κίνησις ἐπὶ τὸ διάστημα, ὃ τὸ πρῶτον κινούμενον διέρχεται. τὸ δὲ διάστημα μετρεῖται κατὰ μῆκος. ὅθεν οὐκ ἀπεικότως ὁ Χρόνος ἐπὶ τὴν Γραμμὴν ἀνάγεται τὸ πρῶτον οὖσαν εἶδος τοῦ συνεχοῦς Ποσοῦ. Ἐπὶ τοῦ παρόντος δὲ ὁ Φιλόσοφος, ἰδιαίτερον ἐξέλαβε τὴν Ἐπιφάνειαν καὶ Γραμμήν. ἐννοεῖ γὰρ τὴν Ἐπιφάνειαν καθὸ μόνον ἀποπερατεῖ τὸ οἰκεῖον σῶμα, καὶ καθὸ περιέχει ἔξωθεν τὸ ἀλλότριον σῶμα, ὃν τόπον λέγεται Τόπος. ὁμοίως δὲ καὶ ἡ γραμμὴ ἐνδέχεται διχῶς ἐκληφθῆναι, ἢ καθόσον ἐστὶν ὅρος τῆς ἐπιφανείας οὖσα ταύτην, ἢ καθόσον ἐπὶ τῶν διαστημάτων λογιζόμεθα τὸ μῆκος. ὁ δὲ Χρόνος θεωρεῖται, ἢ σωέστηκεν ἐκ παρελπλυθότος καὶ μέλλοντος, οὐδὲν ἄλλο ἐννοούμενον, ἢ τὸ μῆκος τὸ καταμεξούμενον τοῖς τοῦ χρόνου μέρεσι. λέγεται γὰρ ὁ αὐτὸς Χρόνος καὶ ἐπὶ τοῦ διαστήματος, ὥσπερ φαμὲν ὡραῖον, ἢ ἡμερινὸν διάστημα, τὸ ἀπὸ ἀνατολῶν εἰς δυσμάς. ὃν τόπον δοκεῖ πως ὁ Χρόνος ἀντιδιατέλλεσθαι

τῆς

τῆς γραμμῆς, ἐφ' ὅσον ἐκείνη, ὡς ὅρος καὶ πέρας ἐννοεῖται τῆς Ἐπι-
γεμὼν φανείας. οὐδὲν ἧττον ὅτι μὴ εἰσὶν εἴδη καθ' αὐτὸ τοῦ Ποσοῦ, ὅ,τε Τό-
πος καὶ ὁ Χρόνος, καὶ αὐτὸς πως ἠνίξατο ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόν-
τος τῇ προσλήψει τοῦ μορίου τοῦδε, & παρὰ ταῦτα, ὡσανεὶ βουλόμενος
δηλῶσαι, μὴ κατὰ τὸν αὐτὸν λόγον εἴδη τοῦ συνεχοῦς Ποσοῦ ὑπάρχειν
τὸν Τόπον καὶ τὸν Χρόνον τῇ Γραμμῇ τῇ Ἐπιφανείᾳ καὶ τῷ Σώματι. Ὁρί-
ζεται γὰρ ἡ Γραμμὴ παρὰ τοῖς Μαθηματικοῖς, ὅτι ἐστὶ μῆκος ἀπλατές,
ἥτις καὶ ἐφ' ἑαυτὴν διαστατὸν λέγεται. ἡ δὲ Ἐπιφάνεια ὅτι ποσὸν, μῆκος καὶ
πλάτος ἔχον, ἥτις καὶ διχῇ διαστατὸν λέγεται. τὸ δὲ Σῶμα λέγεται δι-
χῶς, καὶ ἐπὶ τοῦ φυσικοῦ σώματος, ὅπερ ἐξ ὕλης καὶ εἴδους συνέστηκε φυ-
σικοῦ, & προσέτι ἐπὶ τοῦ σώματος τοῦ μαθηματικοῦ, ὅπερ ἐστὶ ποσόν.
ἐπὶ τοῦ παρόντος αὖτε τοῦ μαθηματικοῦ σώματος λαμβάνεται, τοιοῦτο
διαστάσισι συνεστηκός. μῆκος γάρ τε ἔχει, βάθος, καὶ πλάτος. Ὁ δὲ
τόπος, ὅτι ἐστὶν ἐπιφάνεια τοῦ περιέχοντος σώματος καθὸ περιέχει τὸ
περιεχόμενον, ὅ,τε χρόνος ἐστὶν ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον
καὶ ὕστερον.

Διαίρεσις δευτέρα τοῦ Ποσοῦ.

Ἐπιδιαιρεῖ τὸ Ποσὸν ὁ Φιλόσοφος εἰς τὰ συνεστηκότα ἐκ μερῶν ἐχόντων
θέσιν πρὸς ἄλληλα, καὶ τὰ συνεστηκότα ἐκ μερῶν μὴ ἐχόντων θέ-
σιν πρὸς ἄλληλα. ὅθεν τοιαῦτα ζητεῖται ἀναγκαίως. Πρῶτον τὰ
μέρη ἐκείνου ἅμα πάντα διαμένειν. Δεύτερον ἕκαστον ἐκείνων κεῖσθαί πω,
ὡς δείκνυσθαι ἕκαστον οὗ θα κεῖται. Τρίτον ἅμα συνῆφθαι πρὸς ἄλληλα.

Τὰ τοιαῦτα ὑπάρχουσι τοῖς μέρεσι, γραμμῆς, ἐπιφανείας,
σώματος, & τόπου. ἑκάστου γὰρ τούτων τὰ μέρη, συνυπάρχουσί τε ἅ-
μα, καὶ ἕκαστον ἐστὶν ὅπου κεῖται, καὶ προσέτι ἀλλήλοις συνῆπται. ὅθεν
γραμμὴ, ἐπιφάνεια, σῶμα, & τόπος, εἰσὶ τῷ συνεστηκότων ἐκ μερῶν
ἐχόντων θέσιν πρὸς ἄλληλα. τοῦ δὲ ἀριθμοῦ & τοῦ λόγου, καὶ προσέτι
τοῦ χρόνου τὰ μέρη οὐκ ἔχει θέσιν πρὸς ἄλληλα. τοῦ γὰρ ἀριθμοῦ τὰ
μέρη, οὔτε κεῖται ποῦ ἕκαστον, ὡς δυνατὸν δείκνυσθαι δακτύλῳ, οὔτε
συνῆπται ἀλλήλοις. διότι τοῦτο ὁ ἀριθμὸς οὐκ ἔστι τῷ συνεστηκότων
ἐκ μερῶν ἐχόντων θέσιν πρὸς ἄλληλα. ἀλλ' οὐδὲ ὁ χρόνος. οὐ γὰρ ἅμα
συνυπάρχει τὰ μέρη τοῦ χρόνου. συνίσταται γὰ ὁ χρόνος ἐκ μερῶν ἀεὶ
ῥεόντων, & διεξοδευομένων, καὶ ἔστιν οὐ κατὰ διαδοχὴν, οὗ μηδὲν ἔτι
μέρος διαμένον ἐν ὑπάρξει, ἀλλὰ τὸ μὲν παρῆλθε, τὸ δὲ μέλλει, οὐ-

ἕως

ςως δὲ οὐδὲν ἐςὶ μέρος. τὸ γὰρ νῦν σωνδεσμος χρόνου, ἀλλ' οὐ χρόνος ἐςί, σωνδέων τὸ παρεληλυθὸς, καὶ τὸ μέλλον. Ὡσαύτως δὲ οὐδὲ τὰ μέρη τοῦ λόγου θέσιν ἔχει πρὸς ἄλληλα. μέρη γὰρ τοῦ λόγου αἱ συλλαβαὶ, αὗται δὲ ἅμα τῇ προσνεχθῆναι, καὶ διαλύονται, διὸ μὴ σωνυπάρχουσαι, οὐδὲ θέσιν ἔχειν πρὸς ἀλλήλας δυνανται.

Παρὰ τὰς ἐκτεθείσας δὲ διαιρέσεις καὶ διαφορὰς τοῦ διωρισμένου, καὶ σωνεχοῦς Ποσοῦ, κἀκεῖνο προθετέον, ὅτι τοῦ Γ. τῆς Φυσικῶν, ὅτι τὸ μὲν σωνεχὲς, διαιρετὸν ἐςὶν ἐπ' ἄπειρον εἰς ἀεὶ διαιρετὰ, οὐχ οὕτω δὲ καὶ τὸ διωρισμένον, ἀλλὰ τοῦτο μὲν αὔξεται ἐπ' ἄπειρον, ὡς περ ἐκεῖνο διαιρεῖται ἐπ' ἄπειρον.

Ἀπορία πρώτη.

Αἱ γραμμαὶ καὶ τὰ ἐπίπεδα οὐ δοκοῦσιν εἶναι ἐντελῆ εἴδη ἐν τῷ γένει τοῦ Ποσοῦ. διὸ καὶ ἀμφισβητεῖται παρὰ τοῖς Σχολασικοῖς, εἴπερ εἰσὶν ὅλως εἴδη διάφορα τοῦ Ποσοῦ. Καὶ πρῶτον, ὅτι τὰ πέρατα τοῦ Ποσοῦ, οὐκ ἂν γένοιτο εἴδη Ποσοῦ καθ' ἑαυτὰ, γραμμὴ δὲ καὶ ἐπιφάνεια πέρατα τυγχάνει τοῦ σώματος. οὐκ ἄρα πάντα ἐν τοῖς τοῦ Ποσοῦ εἴδεσι καθ' ἑαυτά. καὶ τοῦτο πρόδηλον. ὅτι γὰρ αἱ στιγμαὶ τῆς γραμμῆς, τοῦτο γραμμαὶ τῇ ἐπιφανείᾳ, καὶ ἐπιφάνεια τῷ σώματι. ὡς οὖν αἱ στιγμαὶ οὐκ ἀποτελοῦσιν εἶδος Ποσοῦ κεχωρισμένον τῆς γραμμῆς, οὕτως οὐδὲ αἱ γραμμαὶ ἔσονται εἶδος Ποσοῦ κεχωρισμένον τῆς ἐπιφανείας. ὡς περ οὐδὲ καὶ ἐπιφάνεια τοῦ σώματος.

Δευτέρα.

Ὅσα πέφυκεν ὡς μέρη σωνέχειν εἰς σύνθεσιν εἴδους τινὸς ἐν γένει ὡρισμένῳ, ἀδύνατον καὶ εἴδη ὑπάρχειν τὰ αὐτὰ ἐπὶ τοῦ αὐτοῦ γένους. ὡς περ ἡ Ὕλη καὶ τὸ Εἶδος, καίτοι Οὐσίαι ὄντα, ἐπεὶ μέντοι πεφύκασιν ὡς μέρη σωντίθεσθαι τὴν ἄτομον Οὐσίαν, οὐκ εἰσὶν εἴδη ἀπηρτισμένα ἐν τῷ γένει τῆς Οὐσίας. Ὡσαύτως ἀμέλει καὶ ἡ γραμμὴ, καὶ τὰ ἐπίπεδα, εἰ καὶ μετέχουσι τοῦ κοινοῦ τῆς ποσότητος λόγου, καὶ τυγχάνουσιν ὄντα καθ' αὑτὰ διαιρετὰ, ἐπεὶ μέντοι πεφύκασι σωντίθεσθαι ὡς μέρη τὸ μαθηματικὸν σῶμα, οὐκ ἂν γένοιντο εἴδη καθ' αὑτὰ ἐν τῷ γένει τοῦ ποσοῦ, ἀλλὰ μέρη μόνον, οἷάπερ καὶ τὸ Εἶδος καὶ ἡ Ὕλη εἰσὶν ἐν τῷ τῆς Οὐσίας γένει.

Ἀπο-

Ἀποριά τρίτη.

Τρίτον τῷ ὑπὸ τὸ αὐτὸ γένος εἰδῶν, ἕτερον καθ' ἑτέρου οὐ κατηγορεῖται οὐσιωδῶς, ἐν τῷ τί ἐστιν, ἀλλ' ἡ γραμμὴ τῆς ἐπιφανείας μὴ ὄντα τῆς πλάτη, κατηγορεῖται τοῦ σώματος οὐσιωδῶς τῷ ἐν τῷ τί ἐστιν, οὐκ ἄρα εἰσὶν αἱ γραμμαὶ καὶ αἱ ἐπιφάνειαι εἴδη Ποσοῦ, τοῦ σώματος ἀντιδιαστελλόμενα.

Διορισμὸς τοῦ ξητουμένου.

Διὰ τοὺς τοιούτους καὶ τοὺς ὁμοίους λόγους ἀμφισβητεῖται περὶ τῆς γραμμῆς ἐπιφανείας ὡς εἴρηται, εἴπερ εἰσὶν εἴδη ἀπηρτισμένα Ποσοῦ. ἔστι μὲν γὰρ ἐπὶ τῆς φύσεως δύρειν τὸ αὐτὸ, καὶ εἶδος ἀπηρτισμένον ἐπίτινος γένους, καὶ ὡς μέρος τελοῦν εἰς σύνθεσιν ἑτέρου εἴδους ἐν τῷ αὐτῷ γένει, ὡς ἐπὶ τῷ ἐμψύχων τὸ φυτικὸν, καὶ αἰσθητικὸν, καὶ εἴδη ἔμψυχα σωίζῶσι καθ' ἑαυτὰ ὑπάρχοντα, καὶ ὡς μέρη πεφύκασιν εἰς σύνθεσιν τῆς λογικῆς ψυχῆς συντελεῖν. ἀλλὰ ταῦτα μὲν καὶ καθ' αὐτὰ φαίνεται ὑπάρχοντα κεχωρισμένα τῆς λογικῆς ψυχῆς, τὸ μὲν ἐπὶ τῷ φυτῷ, τὸ δὲ ἐπὶ τῷ ἀλόγων ζώων, γραμμὴ δὲ καὶ ἐπιφάνεια οὐκ ἄν ποτε ἐν ὑπάρξει γένοιντο ἐκτὸς σώματος, ὅτι μὴ κατ' ἐπίνοιαν. ἀλλ' οὐδὲν ἧττον (ἐπειδὴ μετὰ τῶν Μαθηματικῶν ὁ Ἀριστοτέλης, καὶ κοινότερον οἱ Φιλόσοφοι ἑτερότητα οἴδασιν εἰδητικὴν μεταξὺ Γραμμῆς Ἐπιφανείας καὶ Σώματος ὑπὸ τὸ γένος τοῦ Ποσοῦ) ῥητέον, ὡς εἰ καὶ μὴ καθ' αὑτὰς κεχωρισμέναι ὑπάρχουσιν ἐκτὸς σώματος Γραμμὴ καὶ Ἐπιφάνεια, χωρίζονται μέντοι κατ' ἐπίνοιαν παρὰ τοῖς Μαθηματικοῖς. ὅθεν καὶ παρ' ἐκείνοις διάφορα σωίσαται εἴδη τοῦ σώματος ἀντιδιαστελλόμενα. καὶ ὅπερ ἡ φύσις ἐπὶ τὰ φυτικὰ, καὶ αἰσθητικὰ ποιεῖ, ἃ καὶ μέρη γίνεται τῆς λογικῆς ψυχῆς, τὸ αὐτὸ ἡ κατὰ Μαθηματικοὺς θεωρία ποιεῖ ἐπὶ τῆς Γραμμῆς, καὶ Ἐπιφανείας, ἃ καὶ ὡς μέρη γίνεται συμπληρωτικὰ τοῦ συνεχοῦς σώματος.

Ἐμπεδοῦσι τὸ λεγόμενον αἱ παρ' ἐκείνοις ἀποδείξεις. πολλὰ γὰρ ἀποδείκνυται τοῖς γεωμετρικοῖς ἴδια πάθη γραμμῆς, ἃ οὐ προσήκουσι τῇ Ἐπιφανείᾳ, καὶ ἕτερα κατὰ τῆς Ἐπιφανείας σωάγουσι, μὴ προσήκοντα τῷ σώματι, τοῦτο δὲ ἑτερότητα εἰδητικὴν ἐμφαίνει προφανῶς. εἰ γὰρ ἦν τὸ αὐτὸ εἶδος ἦσαν ἐπὶ τὸ συνεχὲς Ποσὸν, κατάγε τὴν μαθηματικὴν θεωρίαν,

εἶαν, τὰ αὐτὰ πάθη ἦσαν ἂν πᾶσι κοινά. δηλοῦται δὲ τὸ αὐτὸ τοῦτο καὶ ἀπὸ τοῦ ὁρισμοῦ τοῦ κοινοῦ τῆς ποσότητος γένους, καθ' ὃν τὸ Ποσὸν εἶναι λέγεται τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα. τὰ γὰρ ἀμέσως ὑπὸ τῷ αὐτῷ πατρόμενα γένει, ὧν ἑνὰς τὸ κοινὸν (1) γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, εἴδη εἰσὶν ἀλλήλων κεχωρισμένα ὑπὸ τῷ αὐτῷ γένει· τοιαῦται δὲ Γραμμὴ, Ἐπιφάνεια, Σῶμα, ὑπὸ τὸ κοινὸν τῆς ποσότητος γένος. ἔσαι ἄρα τὰ αὐτὰ μέρη, καὶ εἴδη κεχωρισμένα ἀλλήλων ὑπὸ τὸ αὐτὸ γένος τοῦ Ποσοῦ. Ἡ ἐλάττων προδήλος. γραμμὴ γὰρ, Ἐπιφάνεια, καὶ σῶμα, ὁμοίως ἔχουσι τὸ εἶναι διαιρετά, ὅπερ ἦν ὁ κοινὸς τοῦ Ποσοῦ λόγος. διὸ, τὸ κοινὸν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται τῷ αὐτῷ. Δείκνυται δὲ τὸ αὐτὸ ἐκ τῶν διαιρετικῶν τοῦ κοινοῦ γένους διαφορῶν, καθ' ἃς καὶ συνίστανται παῦται. τὰ γὰρ διαιρετικὰ τοῦ ἀνωτέρου γένους, συστατικὰ γίνεται τῶν ὑφ' αὐτῷ εἰδῶν, οἷον ἡ Οὐσία εἰς ἔνυλον καὶ ἄϋλον. διαιρεῖται δὲ ὁ λόγος τοῦ εἶναι διαιρετὸν οὐσιωδῶς, εἰς Γραμμὴν, Ἐπιφάνειαν, καὶ Σῶμα αὐτικειμένας διαφορᾶς. ἐπὶ μὲν γὰρ τῆς Γραμμῆς τὸ διαιρετὸν εἶναι, κατὰ μόνον τὸ μῆκος θεωρεῖται. ἐπὶ δὲ τῆς Ἐπιφανείας κατὰ μῆκος, ἅμα καὶ πλάτος, ὥσπερ ἐπὶ τοῦ Σώματος, κατὰ τρεῖς ἅμα διαστάσεις. εἰ δὴ ὁ αὐτὸς λόγος τοῦ κοινῦ γένους δι' αὐτικειμένων διαφορῶν ἐνυπάρχει Γραμμῇ, Ἐπιφανείᾳ, καὶ σώματι, ἔσαι παῦτα διάφορα εἴδη Ποσῦ. ἀλλὰ καὶ κατὰ τὸν ἴδιον τοῦ συνεχοῦς Ποσοῦ λόγον, ὁμοίως συνάγεται παῦτα διάφορα εἴδη εἶναι Ποσοῦ. ἐλέγετο δὲ τῷ Φιλοσόφῳ Ποσὸν συνεχὲς, οὗ τὰ μέρη πρός τινα κοινὸν ὅρον συνάπτει. τῷ μὲν οὖν μέρη ἔχειν συνάπτοντα ἀλλήλοις κοινῷ ὅρῳ, ὑπὸ τὸ συνεχὲς τελεῖν Ποσὸν ἀπεργάζεται. ἢ δὲ διαφόροις συνάπτεται ὅροις, διάφορα ἀπαρτίζεται εἴδη ὑπὸ τὸ αὐτὸ γένος. τοιαῦται γὰρ εἰσὶ γραμμὴ, Ἐπιφάνεια, καὶ Σῶμα. ἔχει γὰρ ἕκαστον μέρη συναπτόμενα κοινῷ ὅρῳ, καὶ ἡ συνάφεια ἑφ' ἑκάστου, ὅροις (2) ἀποτελεῖται διαφόροις.

Ἀπάντησις πρὸς τὰς ἐκτεθείσας ἐν ἀρχῇ ἀντιθέσεις.

Πρὸς τὴν πρώτην ῥητέον, ὅτι Γραμμὴ, καὶ Ἐπιφάνεια, ἥπερ εἰσὶ πέρατα, ὅρους μόνον τελεῖν ἐν τῷ γένει τοῦ συνεχοῦς. καθὸ δὲ

(1) Ἅπαν διαιρούμενον γένος, ὃν εἰς εἴδη πάντως διαιρεῖται, τὸ ποσὸν γένος ἐστὶ γενικώτατον, ἄρα τὸ ποσὸν εἰς εἴδη διαιρεῖται. (2) Ἡ μὲν γραμμὴ στιγμαῖς, ἡ δὲ Ἐπιφάνεια γραμμαῖς, τὸ δὲ σῶμα Ἐπιφανείαις.

διαιρετὰ τυγχάνει, ἡ μὲν ἐφ' ἓν, ἡ δὲ ἐπὶ δύο, εἴδη εἰσὶ διάφορα ἐν τῷ γένει τοῦ σωεχοῦς.

Πρὸς τὴν δευτέραν ῥητέον, ὡς ἔστι μὲν ἡ Γραμμὴ ἀτελές τι, ἐν τῷ εἴδει τῆς Ἐπιφανείας, ὥσπερ καὶ ἡ Ἐπιφάνεια ἐν τῷ τοῦ Σώματος εἴδει, ἤ δηλαδὴ εἰσὶν ὅροι, καὶ μέρη γίνονται συμπληρωτικὰ, ἡ μὲν Γραμμὴ τῆς Ἐπιφανείας, ὥσπερ καὶ ἡ Ἐπιφάνεια τοῦ Σώματος, καίτοιγε οὔτε ἡ Γραμμὴ, ἥπερ ἐστὶ γραμμὴ, καὶ εἶδος ἀποτελεῖται διάφορον ἐν τῷ γένει τοῦ σωεχοῦς, οὔτε ἡ Ἐπιφάνεια, ἥπερ ἐστὶν ἐπιφάνεια καὶ εἶδος καθ' αὑτὸ ἀντιδιαιρούμενον τοῖς λοιποῖς, συμπληρωτικὰ γίνεται τοῦ σώματος, ἀλλ' ὡς μέρη, καὶ ὕλης ἐπέχοντα λόγον, ὃν τρόπον οὐδὲ τὸ φυτικὸν καὶ αἰσθητικὸν συμπληρωτικὰ γίνεται τοῦ λογικοῦ, καθὸ τὸ μὲν, εἶδος ἐστὶ καθ' ἑαυτὸ τοῦ φυτοῦ, τὸ δὲ, τῶν ἀλόγων ζώων. ἄλλως γὰρ ἂν εἴη τὸ λογικὸν ζῶον ἅμα, καὶ φυτὸν, καὶ θηρίον. ἀλλ' ὡς μέρη μόνον καὶ ὕλης ἐπέχοντα λόγον, συμπληροῦσι τὸ λογικὸν ζῶον, οὐ μέντοι ἐστὶ Γραμμὴ ἢ Ἐπιφάνεια ἀτελές τι, καὶ μέρος ἐν τῷ γένει ἁπλῶς τοῦ σωεχοῦς, ἀλλ' ὥσπερ τὸν κοινὸν λόγον ἐπιδέχεται τοῦ Ποσοῦ καθ' ἑαυτὸ διαιρετὰ, οὕτω καὶ καθ' ἑαυτὰ ἀποτελοῦνται εἴδη διάφορα ἐν τῷ γένει τοῦ Ποσοῦ. ἡ δὲ ὕλη καὶ ἡ Μορφὴ ἐν τῷ εἴδει τῆς ἐνύλου Οὐσίας, ἀεὶ μέρους ἐχόντων λόγον. ἡ γὰρ μορφὴ, ἥπερ ἐστὶ μορφὴ, ἀεὶ ἐννοεῖται ἀναφερομένη πρὸς τὴν Ὕλην. ἧς γίνεται μορφωτική. καὶ ἡ Ὕλη ἀνάπαλιν πρὸς τὴν Μορφὴν, ἧς ἀποκείμενον γίνεται. ὅθεν καὶ ἀεὶ ἀτελές τι εἰσὶ, καὶ μέρους ἔχουσι λόγον ἐν τῷ εἴδει τῆς ἐνύλου οὐσίας.

Ἀπαντητέον δὲ οὕτω πρὸς τὴν τρίτην ἀντίθεσιν, ἀναιροῦσι τὴν ἐλάττονα πρότασιν, ὅτι οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖται ἡ Γραμμὴ τῆς Ἐπιφανείας, ἢ καὶ ἀμφότεραι τοῦ σώματος. ἐρωτωμένους γάρ τί ἐστὶν Ἐπιφάνεια, οὐκ ἔστιν ἀπαντῆσαι ὅτι ἐστὶ Γραμμή. ὥσπερ οὐδὲ τοῖς ἐρωτῶσι τί Σῶμα, ἐστὶν εἰπεῖν Ἐπιφάνεια. παραλαμβάνεται δὲ ἡ Γραμμὴ ἐν τῷ τῆς Ἐπιφανείας λόγῳ, καὶ ἀμφότεραι ἐν τῷ τοῦ Σώματος, κατὰ λόγον ὕλης, καθὸ μέρη γίνεται συμπληρωτικὰ τούτου, ὡς καὶ τὸ φυτικὸν, καὶ αἰσθητικὸν, ἐν τῷ τοῦ λογικοῦ ζώου λόγῳ. καθ' αὑτὰς μέντοι θεωρούμεναι, ἥπερ εἰσὶ διαφόρως διαιρεταὶ, καὶ ἰδιότητας ἔχουσι διαφόρους, ὡς εἴρηται, ὡς διάφορα ταύτας εἴδη λεκτέον, ἐν τῷ γένει τοῦ σωεχοῦς.

Ἐκθε-

Ἔκθεσις τῆς παρεπομένων τῇ Ποσότητι, ὅτι τῷ Ποσῷ οὐδὲν ἐναντίον.

ΠΑραδοὺς ὁ Φιλόσοφος τὰς τοῦ Ποσοῦ διαιρέσεις καὶ ἀναπτύξεις τῆς κατ' ἐκεῖνο εἰδῶν, μεταβαίνει λοιπὸν ἐπὶ τὴν παράδοσιν τῆς παρεπομένων τῷ Ποσῷ, τεία δὲ ταῦτα ἐκτίθεται ἐφεξῆς. Τὸ μὲν ὅτι οὐκ ἔστιν ἐναντίωσις τῷ Ποσῷ, Τὸ δὲ ὅτι οὐκ ἐπιδέχεται τὸ μᾶλλον, καὶ τὸ ἧττον, & Τείτον ὅτι ἴσα ἢ ἄνισα πάντα λέγεται διὰ τὸ Ποσόν. Προηγεῖται δὲ τῆς ἄλλων τὸ μὴ ἐναντίωσιν ἔχειν, διὰ τὸ κοινωνεῖν τῇ κατὰ τοῦτο οὐσίᾳ τὸ ποσόν. Διέλοι δ' ἄντις τὴν λέξιν τοῦ Φιλοσόφου διχῶς, τὰ μὲν γὰρ ἐκτίθησι τὰς εἰρημένας ἰδιότητας, τὰ δὲ ἀναπτύσσει αὐτὰς ταύτας ἐπαπορῶν, & ἐπιλυόμενος τὰς ἀπορίας.

Εἰπὼν τοιγαροῦν ὁ Φιλόσοφος μηδὲν ἐναντίον εἶναι τῷ Ποσῷ, δείκνυσι τοῦτο ἐφεξῆς, ὑποθέμενος τὴν διαίρεσιν τοῦ Ποσοῦ, εἴς τε ὡρισμένον καὶ ἀόριστον. καὶ προχειρισάμενος παραδείγματα ἐπὶ τὸ ὡρισμένον Ποσόν, λέγων ἁπλῶς. τὸ δίπηχυ, φέρε εἰπεῖν, ἢ τρίπηχυ ποσάδες, τοῦτο δὲ θάτερον θατέρῳ οὐκ ἔστιν ἐναντίον, τῷ Ποσῷ ἄρα οὐκ ἔστιν ἐναντίον. ὅπερ ὁμοίως ἐννοεῖται καὶ ἐπὶ τοῦ ἀριθμοῦ. τὰ γὰρ τρία φέρε εἰπεῖν, ἢ τέτταρα, καὶ ὅλος ὁ ἀριθμὸς οὐκ ἔστιν ἐναντίος ἑτέρῳ ἀριθμῷ. Ἀλλὰ παρὰ τὰ ἐκτεθέντα παραδείγματα, καὶ λόγῳ σωιάγεται τοιῶδε. ἐν οἷς ἂν ᾖ ἐναντίωσις, ἐν τούτοις ἐνέργεια καὶ πάθος ἐγγίνεται, καὶ φθορὰ, καὶ γένεσις, ἐν δὲ τοῖς Ποσοῖς οὐδὲν τούτων ἐστὶν, οὐκ ἄρα ἐστὶν ἐν τοῖς ποσοῖς ἐναντίωσις. Ἢ μείζων πρόδηλος. τὰ γὰρ ἐναντία ἀμοιβαδὸν εἰς ἄλληλα δρᾷ, καὶ φθείρει ἄλληλα. Ἢ ἐλάττων οὐκ ἀσαφής. τὸ γὰρ ποιοῦν καὶ φθεῖρον ἕτερον, μεταβάλλει τοῦτο καὶ ὁμοιοῦται ἑαυτῷ. τὸ δὲ Ποσὸν ἀδύνατον ταῦτα ποιεῖν εἰς ἕτερον, μὴ φθειρομένης καθάπαξ τῆς ποσότητος, ἀδύνατον ἄρα ἐναντίωσιν ἐν τῷ ποσῷ εἶναι.

Ἐπὶ δὲ τοῦ δευτέρου μέρους τῆς προτεθείσης διαιρέσεως, ὁ Φιλόσοφος ἐπιφέρει ἀπορίας πρὸς τὸ ἤδη προχειρισθὲν τοῦ Ποσοῦ παρεπόμενον. ὧν ἡ πρώτη ἐστὶ τοιάδε. τὸ μέγα καὶ μικρὸν, & πολὺ καὶ ὀλίγον τυγχάνει ὄντα ποσά, ταῦτα δ' ἀλλήλων ἐναντία εἰσὶν, ἐν τῷ Ποσῷ ἄρα ἐστὶν ἐναντίωσις.

Ἀπαντᾷ πρὸς τὴν ἀπορίαν ὁ Φιλόσοφος διχῶς. Πρῶτον ὑποθέμενος τοῖς ὡρισμένοις ποσοῖς μηδὲν ἐναντίον εἶναι, τὰ δὲ εἰρημένα μέγα καὶ μικρὸν, & πολὺ καὶ ὀλίγον, οὐ παραδέχεται ἐν τοῖς ποσοῖς, ἀλλὰ ἀναφέ-

ρεθαι φησὶν, ἐπὶ τῆς κατηγορίας τῆς πρός τι, καὶ δείκνυσι τοῦτο ἐκ τοῦ μὴ καθ' αὑτὰ λέγεσθαι τοιαῦτα, ἀλλὰ πρὸς ἕτερον ἀναφερόμενα. σημεῖον δὲ τούτου, ὅτι μικρὸν μὲν ὄρος φαμὲν, καὶ μεγάλῳ κέγχρον, ἀναφέροντες δηλονότι, τὸ μὲν ὄρος πρὸς ἕτερον μεῖζον, καὶ τῷ κέγχρον, πρὸς ἑτέραν τοῦ αὐτοῦ εἶδους ἐλάττω. ὥς τε δῆλον ὅτι τῆς σχετικῶν ταῦτα. ἄλλως γὰρ οὐκ ἂν ἐλέγετο μικρὸν μὲν τὸ ὄρος, ἡ δὲ κέγχρος μεγάλη. Τὸν αὐτὸν δ' ὁπόν δείκνυται καὶ περὶ τοῦ πολλοῦ καὶ ὀλίγου ὅτι σχετικά. φαμὲν γὰρ ἐπ' ὄπε ἐπὶ μὲν τῆς κώμης πολλοὺς εἶναι ἀνθρώπους, ἐν Ἀθήναις δὲ ὀλίγους πολλῷ πλείους ὄντας. εἰ δὴ τὰ πρὸς ἕτερον ἀναφερόμενα οὐκ ἔστι ποσὰ, τὸ δὲ πολὺ καὶ ὀλίγον, μέγα καὶ μικρὸν, πρὸς ἕτερον ἀναφερόμενα λέγεται τοιαῦτα, οὐκ ἔστι ταῦτα ποσὰ ἢ τοιαῦτα.

Δεύτερον ὑπολύεται τὸν αὐτὸν λόγον ὧδί. δοθέντος γὰρ τὰ ῥηθέντα εἶναι ποσὰ, ὧδέπως φησί. τὰ μὴ καθ' αὑτὰ θεωρούμενα, ἀλλὰ πρὸς ἕτερον, οὐκ ἔχει ἐναντίωσιν. τοιαῦτα εἰσὶ τὸ μέγα καὶ μικρὸν, καὶ πολὺ καὶ ὀλίγον, ταῦτ' ἄρα οὐκ ἔχει ἐναντίωσιν.

Εἶτα εἰ τὸ μέγα καὶ μικρὸν, καὶ πολὺ καὶ ὀλίγον ἐναντία ἦσαν, τὸ αὐτὸ ἅμα καὶ κατὰ τὸ αὐτὸ συνέβαινε δεκτικὸν εἶναι τῶν ἐναντίων, καὶ ὅπερ ἀποπώτερον αὐτὸ ἑαυτῷ κατὰ τὸν αὐτὸν χρόνον ἐναντίον εἶναι. Τὸ πρῶτον σαφές. οὐ γὰρ καὶ τὸ αὐτὸ πρὸς ἄλλο παραβαλλόμενον, καὶ μέγα λέγεται, καὶ μικρὸν, καὶ πολὺ καὶ ὀλίγον. ὅθεν τὸ αὐτὸ ἅμα τῷ ἐναντίον, ὅπερ ἀδύνατον. οὐδὲν γὰρ ἅμα γίνεται τῶν ἐναντίων δεκτικόν. Νῦν δὲ ἡ οὐσία τῶν ἐναντίων λέγεται δεκτική, οὐχ ἅμα καὶ κατὰ τὸ αὐτὸ συμβαίνειν τοῦτο οἰητέον τῇ Οὐσίᾳ, συνέβαινε δὲ τὸ αὐτὸ ἓν τῷ ἐναντίον εἶναι, ὅτι τὸ αὐτὸ ἢ μέγα λέγεται, τῷ ἑαυτῷ λεγομένῳ μικρῷ ἐναντίον. καὶ ἀνάπαλιν. τὸ αὐτὸ γὰρ καὶ μέγα καὶ μικρὸν, ἅμα συνέβαινε λέγεσθαι.

Δευτέρα ἀντίθεσις.

Δεύτερον ἀπορεῖ ὁ Φιλόσοφος περὶ τούτου. δοκεῖ γὰρ τῷ Ποσῷ τὸ ἐναντίον ἔχειν. ἡ δὲ λέξις τοῦ Φιλόσοφου σχηματίζεται εἰς εἶ-
„ δος συλλογιστικὸν ὧδί. Ὁ τόπος ὑποδέχεται ἐναντίωσιν, ὁ τόπος
„ ἐστὶν εἶδος Ποσοῦ ὡς προείρηται, ἄρα τι τῶν εἰδῶν τοῦ Ποσοῦ ὑπο-
δέχεται ἐναντίωσιν. Ἐμπεδοῦται τὸν μείζονα ὁ Φιλόσοφος λέγων, ὅτι

ὅτι ὁ τόπος ὁ περὶ τὴν ἐξωτάτω σφαῖραν τοῦ παντὸς, ἀντίκειται τῷ κατωτάτῳ, ἤγουν τῷ ἐπὶ γῆς, ἢ τῷ κοίλῳ τῆς αὐτῆς· καὶ λόγῳ σωμάτων τὸ αὐτό. λέγεται γὰρ ἐναντία τὰ ὑπὸ τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διεστηκότα, ὁ ἀνωτάτω, καὶ κατωτάτω τόπος, καὶ ὑπὸ τῷ αὐτῷ γένει εἰσὶ, δηλαδὴ τοῦ τόπου, καὶ πλεῖστον ἀλλήλων διεστήκασιν, μεγίστη γὰρ κατὰ τόπον διάστασίς ἐστιν ἡ τοῦ μέσου πρὸς τὸ πέρας. ὡς τε ὁ περίξ τόπος ἐναντίος ἐστὶ τῷ μέσῳ τοῦ παντός. Ταύτῃ τὴν Ἀπορίαν ὁ Φιλόσοφος οὐκ ὑπλύεται, ἀλλ' οὐδὲ ἀρέσκεται τῷ λόγῳ ταύτης, ὅσον ἐστὶν εἰκάσαι ἀπὸ τοῦ δοκεῖ ῥήματος, ᾧ κέχρηται ἐν ἀρχῇ τῆς Ἀποριας, καὶ τοῦ μὴ ἐξ οἰκείας γνώμης, ἀλλὰ κατὰ δόξαν ἑτέρων ταύτῃ συσῆσαι. ὁ δὲ Συμπλίκιος τὸν ἄνω καὶ κάτω τόπον θεωρεῖ διχῶς, ἢ καθ' ἡμᾶς, ἢ ἐν τῇ φύσει τοῦ παντός. ℭ κατὰ μὲν τὸν πρῶτον τρόπον, ὑπάγεται φησὶν ἐπὶ τὰ πρός τι. λέγεται γὰρ τὰ ἄνω καὶ κάτω καθ' ἡμᾶς σχετικῶς. ὅθεν ℭ μεθισαμένων ἡμῶν, ταῦτα μεταβάλλεται, διὰ τὸ μὴ εἶναι τοιαῦτα. κατὰ δὲ τὸν δεύτερον τρόπον τὸ ἄνω καὶ κάτω θεωρούμενα, ἐν τῇ φύσει δηλαδὴ τοῦ παντὸς, διαφοραὶ εἰσὶν ἀντικείμεναι τόπου, διδάσκοντος τὸ αὐτὸ καὶ τοῦ Φιλοσόφου ἔπιτε τοῦ Δ. καὶ τοῦ Η. τῆς Φυσικῶν, καὶ ἀνάγονται ἐπὶ τὴν Ποῦ κατηγορίαν.

Ἔσι δὲ ἀπορῆσαι πρὸς Συμπλίκιον λόγῳ τοιῷδε. τῆς κατὰ τόπον κινήσεως τὰ πέρατα, τῆς Ποῦ κατηγορίας εἰσὶν, ὁ δὲ ἄνω καὶ κάτω τόπος οὐ μόνον ἐπὶ τῆς φύσεως τοῦ παντὸς θεωρούμενος, ἀλλα καθ' ἡμᾶς, πέρατα γίνεται κινήσεως ἀντικειμένων, ἀναβάσεως δηλαδὴ καὶ καταβάσεως, ἀναφέρονται ἄρα καθ' ἡμᾶς θεωρούμενα, τὸ ἄνω καὶ κάτω ἐπὶ τὴν Ποῦ κατηγορίαν.

Πρὸς ὃ ῥητέον. ὅτι τὰ πέρατα τῆς κατὰ τόπον κινήσεως ἁπλῶς, καὶ κατ' οὐσίαν, οἷά εἰσι τὰ ἄνω καὶ κάτω ὑπὸ τὴν κοίλην ὑπφάνειαν τῆς σελληνιακῆς σφαίρας, καὶ ἐν τῷ μέσῳ τοῦ παντὸς, πάπτονται ἐν τῇ Ποῦ κατηγορίᾳ ἁπλῶς, καὶ κατ' οὐσίαν. Τὰ δὲ κατὰ συμβεβηκὸς καὶ κατάτι πέρατα τῆς κατὰ τόπον κινήσεως, οἷά περ ἐστὶ τὸ καθ' ἡμᾶς ἄνω καὶ κάτω, οὐκ ἄλλως ὅτι μὴ κατὰ συμβεβηκὸς καὶ κατάτι ἐπὶ τὴν Ποῦ κατηγορίαν ἀνάγονται. Ἐν δὲ τοῖς σχετικοῖς πάπτεται οὐ καθὸ πέρατα γίνεται τῆς ἀντικειμένων κινήσεων, ἀλλ' ἐφόσον πρὸς ἡμᾶς ἀναφερόμενα τὰ αὐτὰ καὶ ἄνω καὶ κάτω ἐνδέχεται λέγεσθαι.

Τεί-

Τέτη ἀντίθεσις πρὸς τὸ αὐτὸ παρεπόμενον.

Αἱ ἀντικείμεναι κινήσεις, οὐκ εἰσὶν ἐπὶ τὰ πρόστι, ἐπὶ τῆς ποσότητος δὲ ἀτικείμεναι κινήσεις εἰσὶν, ἡ αὔξησις καὶ ἡ μείωσις. ἔσαι ἄρα τῷ τοιούτων κινήσεων ἐπὶ τῆς ποσότητος ἐναντία τὰ πέρατα, οἷς ἀντιπερατοῦται αἱ οὕτως ἐναντίαι κινήσεις.

Ἀπαντητέον, ὅτι αἱ οὕτως ἐναντίαι κινήσεις ἐπὶ τοῦ Ποσοῦ συμβαίνει γίνεθαι, οὐ κατὰ μεταβολὴν οὐσιώδη τοῦ Ποσοῦ, ἀλλὰ κατὰ τὸ ἐντελὲς καὶ ἀτελὲς τῆς σωθέτου Οὐσίας. καὶ γίνεται μὲν πέρας τῆς αὐξήσεως τὸ ἐντελὲς μέγεθος τοῦ σωθέτου, κατὰ τὴν εἰδητικὴν αὐτοῦ διαφοράν. τῆς δὲ μειώσεως πέρας ἀνάπαλιν, τὸ ἀτελὲς μέγεθος τοῦ αὐτοῦ, ἐφ' οὗ οὐκ ἔχει τὰς οἰκείας ἐνεργείας ἀποτελεῖν ἐντελῶς. ὅθεν ἡ κίνησις οὐ τῷ Ποσῷ κατ' οὐσίαν προσήκει, ἀλλὰ τῷ λόγῳ τῆς τελειότητος καὶ μὴ τελειότητος τοῦ φυσικοῦ εἴδους.

Δεύτερον παρεπόμενον τῷ Ποσῷ.

Κείμενον.

„ Οὐ δοκεῖ τὸ ποσὸν ἐπιδέχεθαι τὸ μᾶλλον καὶ τὸ ἧττον.

Ἕτερον παρεπόμενον τοῦ Ποσοῦ ἐπιτίθησιν ὁ Φιλόσοφος, ὅτι τὸ Ποσὸν εἴτε διωρισμένον εἴη, εἴτ' οὖν συνεχὲς, οὐκ ἔστι μᾶλλον ἢ ἧττον Ποσὸν αὐτὸ ἑαυτοῦ, ἢ πρὸς Ποσὸν ἕτερον παραβαλλόμενον ὁπόσον ποτὲ εἴη διπλασιαστὸς ἐκείνου πλήθει, ἢ μεγέθει. δείκνυσι τοῦτο ὁ Φιλόσοφος δι' ἐπαγωγῆς ἐπὶ τῶν ἐκτεθειτων ἀνωτέρω εἰδῶν τοῦ Ποσοῦ. ἐπ' οὐδενὸς γὰρ ἐκείνων ἐστὶ λαβεῖν ἐπίτασιν, ἢ ἄνεσιν τῷ λόγῳ τῆς ποσότητος. δοθέντος γὰρ οὑτινοσοῦν Ποσοῦ, ἔστι μὲν ἐκείνου δίρεῖν μεῖζον, ἢ ἔλαττον ποσὸν ἕτερον, μᾶλλον δὲ ἢ ἧττον ποσὸν οὐδαμῶς. ὡς ἐπὶ παραδείγματος. τὸ δίπηχυ ἔλαττον ἐστὶ τοῦ τριπήχεως. ὥσπερ ἀνάπαλιν, τὸ τρίπηχυ μεῖζον τοῦ διπήχεως. μᾶλλον δὲ ἢ ἧττον Ποσὸν θάτερον θατέρου γίνεθαι ἀδύνατον. καὶ τοῦτο ὁμοίως ἐστὶ προφανὲς ἐπὶ πάντων τῶν εἰδῶν τοῦ Ποσοῦ. Σωάγει τοιγαροῦν ὁ Φιλόσοφος παντὶ προσήκειν Ποσῷ τὸ προχειριθὲν παρεπόμενον, ἐὰν δὲ καὶ μόνῳ τῷ Ποσῷ ἴδιον εἴη, οὐδὲν ἐπὶ τοῦ παρόντος φησίν. ἀνωτέρω μέντοι ἐν τῷ περὶ Οὐσίας λόγῳ, τὸ αὐτὸ τοῦτο ἐπιδέδο-

ται.

ται. ἔσαι ἄρα ἴδιον τῷ Ποσῷ, ὥσπερ καὶ τὸ δίπουν τῷ ἀνθρώπῳ, πάντὶ μὲν προσήκειν Ποσῷ, ἀ μόνῳ μόνῳ.

Ἡμῖν δὲ κἀκεῖνο προληπτέον, ὅτι τὸ προκειμένῳ παρεπόμενον τοῦ ἀνωτέρω ἐκτεθέντος ἤρηται. μὴ γὰρ οὔσης ἐναντιώσεως ἐν τῷ Ποσῷ, οὐδὲ τὸ μᾶλλον καὶ ἧττον εἶναι ἐνδέχεται. εἰ γὰρ ἐπ' ἐνίων ἐστὶ τὸ μᾶλλον καὶ ἧττον ἐναντιώσεως δίχα, ὡς ἐπὶ τοῦ φωτὸς, ἢ καὶ ἐναντιώσεως οὔσης, ἄνευ ἐπιμιξίας τῶν ἐναντίων, ὡς ἐπὶ τῶν ἁπλῶν σωμάτων, ἡ ἀνειμένη ποιότης, ὡς τὰ πολλὰ δὲ τὸ μᾶλλον καὶ ἧττον ἔπεται τῇ μίξει τῶν ἐναντίων. Ἐπεὶ τοιγαροῦν τὸ Ποσὸν ἐναντιώσεως ἀπήλλακται κατ' οὐσίαν, καὶ τοῦ μᾶλλον καὶ ἧττον ὁμοίως ἀμέτοχον ἔσαι. μεῖζον ἄρα καὶ ἔλαττον ἐπὶ τῆς ποσότητος ἀναγκαίως ἔσαι, ἐπίτασις δὲ καὶ ἄνεσις οὐδαμῶς. ἐκεῖνο γὰρ ἐπιγίνεται τῇ ποσότητι διὰ τὴν αὔξησιν καὶ μείωσιν, ἥτις ἐστὶν οἰκεία τοῦ Ποσοῦ. ἐπίτασις δὲ καὶ ἄνεσις μεταβολὴ κατ' οὐσίαν δηλοῖ, ἥτις ἐστὶν ἐς τὸ παντελὲς ἀλλόξιον τοῦ Ποσοῦ.

Ἴδιον τρίτον τοῦ Ποσοῦ.

Κείμενον.

„ Ἴδιον δὲ μάλισα τοῦ Ποσοῦ, τὸ ἴσοντε καὶ ἄνισον λέγεθαι.

Ἀποδοὺς ὁ Φιλόσοφος τὰ ἧττον ἴδια τοῦ Ποσοῦ, ὅτι καὶ τῇ Οὐσίᾳ κοινὰ, ἐπάγει νυῦν τὸ κυρίως αὐτοῦ ἰδιότητα, ἥτις μόνῳ καὶ παντὶ καὶ ἀεὶ πρόσεστι τῷ Ποσῷ. διαιρεῖται δὲ ἡ λέξις διχῶς. ἐπὶ μὲν τοῦ πρώτου μέρους ἐκτίθησι τὸ ῥηθὲν ἴδιον μετὰ τῆς αὐτοῦ δείξεως. Ἐπὶ δὲ τοῦ δευτέρου ἀπορίαν τινὰ ἐπιλύεται ἀνακύπτουσαν περὶ τὸ αὐτὸ ἴδιον. Ἐπὶ τοῦ πρώτου τοιγαροῦν μέρους φησὶν ὁ Φιλόσοφος μάλισα ἴδιον εἶναι τῷ Ποσῷ τὸ ἴσοντε καὶ ἄνισον. ἀπὸ γὰρ τῆς ποσότητος ἔχει καὶ τὰ λοιπὰ πάντα, ἴσατε καὶ ἄνισα λέγεθαι.

Συνάγεται ῥάσα τὸ λεγόμενον, τὸ γὰρ οὗί τινι εἶδει, εἶτ' οὖν γένει, μόνῳ καὶ παντὶ καὶ ἀεὶ πρόσον, μάλισα καὶ ἁπλῶς ἐστὶν ἴδιον, ὡς παράτε Πορφυρίῳ, καὶ τῷ Φιλοσόφῳ ἐν τοῖς Τοπικοῖς μεμαθήκαμεν. τὸ δὲ ἴσον καὶ ἄνισον, μόνῳ πρόσηκει τῷ γένει τοῦ Ποσοῦ, καὶ παντὶ καὶ ἀεί. ἄρα τὸ ἴσον & ἄνισον, μάλισα καὶ ἁπλῶς ἐστὶν ἴδιον τοῦ Ποσοῦ. Ἡ ἐλάττων ξανοῦται τῷ Φιλοσόφῳ δι' ἐπαγωγῆς, ἐπί τε τοῦ συνεχοῦς καὶ διωρισμένου Ποσοῦ. λέγεται γὰρ τὸ σῶμα ἴσον καὶ ἄνισον ἑτέρῳ σώματι, καὶ ἡ

γραμ-

γραμμὴ ὁμοίως ἑτέρᾳ γραμμῇ παραβαλλομένη, ἢ ἐπὶ τοῦ ἀριθμοῦ ὡσαύτως. ὁ ληφθεὶς ἀεὶ ἀριθμὸς ἑτέρῳ παραβαλλόμενος ἀριθμῷ, ἴσος ἢ ἄνισος ἐστί. τὰ γὰρ πέντε φέρε εἰπεῖν τοῖς πέντε ἴσα, τοῖς δέκα δὲ ἄνισα, ἢ ἔστι δ λέγεται. ἢ λόγῳ ἐμπεδοῦται τὸ αὐτὸ τοιῷδε. Κατὰ τοῦτο δὴ λέγεται μόνον ἢ ἀεὶ τὸ ἴσον ἢ ἄνισον ἐπὶ τῶν ὄντων, καθὸ διαιρετὸν εἶναι, δ μεῖζον ἕκαστον τῶν ὄντων, ἀλλὰ κατὰ τὸ Ποσὸν, ἢ ἀπὸ τοῦ Ποσοῦ τὸ διαιρετὸν εἶναι ἢ μεῖζον ἔχει ἕκαστον τῶν οὄντων. κατὰ τὸ Ποσὸν ἄρα, ἢ ἀπὸ τοῦ Ποσοῦ ἐν τοῖς οὖσι τὸ ἴσον ἢ ἄνισον λέγεται. Ἡ ἐλάττων πρόδηλος. τὸ γὰρ ποσὸν εἶναι οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ διαιρετὸν εἶναι ἢ μεῖζον, εἴτε κατὰ συνέχειαν, εἴτε κατ' ἀριθμόν.

Ἐν τῷ δευτέρῳ τῆς λέξεως μέρει ἀπορεῖ ὁ Φιλόσοφος πρὸς τὰ εἰρημένα, δοκεῖ γὰρ εἶναί τινα μὴ ποσὰ ὄντα, λεγόμενα δὲ ἴσα τε ἢ ἄνισα. φαμὲν γὰρ διάθεσιν ἴσῃ διαθέσει ἑτέρᾳ, ἢ λευκότητα ἑτέρᾳ λευκότητι. καίτοι ὑ προφανῶς τῷ γένει τῆς ποιότητος ἐπαγόμενα.


Ἐπιλύεται τὸ ἀπορηθὲν ὁ Φιλόσοφος, εἰπὼν, ὅτι διάθεσις ἢ λευκότης, δ ὅσ' ἄλλα, ἴσα ἢ ἄνισα λέγεται κατὰ μεταφοράν, ἀλλ' οὐ καθ' αὑτό. κυρίως δὲ τὰ τοιαῦτα ὅμοια ἢ ἀνόμοια προσαγορεύεται. ὥς περ δὴ ἐπὶ τοῦ Ποσοῦ τὸ ἴσον ἢ ἄνισον λέγεται, οὕτως ἐπὶ τοῦ ποιοῦ τὸ ὅμοιον ἢ ἀνόμοιον. διαθέσεις δὲ ἢ λευκότητες προφανῶς ἀπὸ τῆς ποιότητος λέγονται, προσήκει δὲ αὐταῖς τὸ ἴσον τε ἢ ἄνισον, ὥσπερ ἢ τὸ μεῖζον εἶναι, δ διαιρετὸν ἐπὶ συμβεβηκός. Ἐπεὶ τοίνυν τὸ μετρητὸν εἶναι δ διαιρετὸν ταῖς διαθέσεσι ἢ λευκότησιν ὑπάρχει κατὰ συμβεβηκὸς, τῷ λόγῳ τοῦ Ποσοῦ, ἢ ἴσαι ἢ ἄνισοι ὁμοίως ῥηθήσονται κατὰ συμβεβηκὸς, τῷ λόγῳ τοῦ Ποσοῦ, ἀλλὰ μὴ καθ' αὑτό.

Ἀποεία.

Εἴθισαι κοινότερον τοῖς Σχολασικοῖς ἀπορεῖν περὶ τῶν παρεπομένων τοῖς συμβεβηκόσι, πότερον κεχώρισαι ταῦτα ὡς πράγματα διάφορα τῶν συμβεβηκότων οἷς παρέπονται, ἢ οὔ; ἢ τίνι ποτὲ τρόπῳ πεφύκασι τοῖς συμβεβηκόσι ταῦτα συμβαίνειν; Πρὸς ὃ ῥητέον σωτόμως. ὅτι τῶν συμβεβηκότων οὐκ ἐνδέχεται συμβεβηκότα γενέσθαι, ὡς ἐνυπάρχοντα τούτοις. ὑποκείμενον γὰρ εἰς ὕπαρξιν τῶν συμβεβηκότων μόνη ἐστὶν ἡ Οὐσία, ἢ μάλιστα ἡ πρώτη, ἥτις ἐστὶ πάντων τῶν ἄλλων ὑποβάθρατε ἢ κριτής. Ἀλλ' οὐδὲ τὰ παρεπόμενα τοῖς συμβεβηκόσι, συμβεβηκότα εἰσὶ κεχωρισμένα τῶν αὐτῶν. (ὧν γὰρ οὕτως τὰ παρεπόμενα προϊσάσι

ἐπ

ἐπ' ἄπειρον συμβεβηκότα ἐφ' ἑκάστης οὐσίας ἀτόμου) ἀλλὰ μόνῳ τῷ λόγῳ ἐννοεῖται διενθυμοχρίνειν τῆς συμβεβηκότων, οἷς παρέπεται μὲν, ἀλλ' οὐκ ἐνυπάρχει τούτοις. ὃ καὶ ἀπὸ τῆς προσεχῶς εἰρημένων δηλοῦται σαφῶς. τὸ γὰρ ἴσον ἢ ἄνισον οὐδὲν ἄλλο εἶναι φαίνεται, ἢ αὐτὸ τὸ Ποσὸν, σχέσει τῇ πρὸς ἕτερον Ποσὸν, οὗ ἐστὶν ἴσον, ἢ ἄνισον. Ἔστι γὰρ ἡ ποσότης ὁ λόγος τοῦ διαιρετὸν εἶναι ἢ μετρητὸν, οὗ τὰ μετέχοντα ἅμα τε ἔχει τὸ διαιρετὰ εἶναι καθ' ἑαυτὰ, ἢ ἑτέροις ἴσα, ἢ ἄνισα, μηδενὸς ἑτέρου προσιθεμένου, ἢ ἐπινοουμένου. Ἀλλὰ περὶ μὲν τοῦ ποσοῦ ἀποχρῆ τὰ εἰρημένα. ὁ γὰρ ὁρισμὸς τοῦ πράγματος αὐτὸ τὸ πρᾶγμα ἐστίν.



ΚΕΦΑΛΑΙΟΝ ΠΕΡΙ ΤΩΝ ΠΡΟΣΤΙ.

Περὶ τάξεως τοῦ κεφαλαίου.

Ἄρχεται ὁ Φιλόσοφος ἐντεῦθεν τῆς περὶ τῆ πρός τι διδασκαλίας προτάξας ταῦτα τῆς ποιότητος. ὅθεν οὐκ ἀπεικότως ἀμφισβητεῖται κοινότερον τοῖς ἐξηγηταῖς περὶ τῆς τάξεως τοῦ κεφαλαίου. Πρῶτον, ὅτι τὰ ἀπόλυτα καὶ ἀχέτα συμβεβηκότα προηγεῖται τῆ χετικῶν πρόδηλον. πρότερον γάρ ἐστι τὸ εἶναί τι καθ' ἑαυτό, καὶ κατὰ τὴν οἰκείαν αὐτοῦ φύσιν ὑπάρχον, τοῦ πρὸς ἕτερον ἀναφέρεσθαι. οἷον πρότερον ἐστὶ τὸ εἶναι τὸν Κύκνον λευκὸν, τοῦ πρὸς ἕτερον ἀνασχεθῆναι λευκὸν, τῆ λόγῳ τῆς ὁμοιότητος. ἀλλ: πᾶν τὸ ἀχέτως θεωρούμενον, εἴτε Οὐσία εἴη, εἴτ' οὖν Συμβεβηκὸς, καθ' ἑαυτὸ καὶ κατὰ τὴν οἰκείαν φύσιν ὑπάρχειν ἐννοεῖται, τὸ δὲ χετικὸν οὐκ ἄλλως, ὅτι μὴ πρὸς ἕτερον ἀναφερόμενον, ὥς τε τὰ ἀπολύτως καὶ ἀχέτως ὑπάρχοντα, οἷον ἐστὶν ἡ ποιότης, προηγοῦνται τῆ χετικῶν.

Δεύτερον, ὅτι ἡ Ποιότης μιμεῖται τὸ εἶδος τῆς Οὐσίας, ᾧ προσεσεχῶς ἕπεται. τὰ δὲ χετικὰ μετὰ τὰς ἄλλας τῆ συμβεβηκότων κατηγορίας ἀνακύπτει, αἷς ἕπασον παραφύεται. ἀλλ: τὸ εἶδος τὸ τῆς οὐσίας, πρότερον ἐστὶ πάντων τῆ ἐκείνης συμβεβηκότων, πρότερον ἄρα καὶ ἡ Ποιότης μιμουμένη τὸ εἶδος, καὶ ἑπομένη προσεχῶς τούτῳ τῆ ἄλλων συμβεβηκότων.

Τείτον, τὸ εὖ πρότερον τῆ πολλῶν, ἡ Ποιότης ὡς εὖτι θεωρεῖται, καθ' ἑαυτὴν γάρ. ἡ δὲ χέσις οὐκ ἄλλως, ὅτι μὴ ἐν πολλοῖς, καὶ πολλὰ ἀπαιτεῖ εἰς σύστασιν τῆς οἰκείας φύσεως.

Τετάρτον, πρότερον ἀεὶ βάσις, καὶ θέμεθλος τῆ ἐπιβεβηκότων καὶ ἐποικοδομουμένων. ἡ δὲ Ποιότης βάσεως λόγον ἔχει πρὸς τὰ πλείω τῆ χετικῶν, οἷα εἰσὶ τὰ ὅμοια καὶ ἀνόμοια, καὶ ὅσα ταῖς ἐνεργείαις τῆ ὄντων, καὶ πάθεσιν ἕπεται. καὶ ἁπλῶς ὅσα μεταξὺ τοῦ κινητικοῦ καὶ κινητοῦ θεωρεῖται. ἔστιν ἄρα ἡ Ποιότης προτέρα κατὰ φυσικὴν τάξιν τῆ χέσεων. καὶ τῆ λόγῳ ἔτι τῆς τελειότητος προτέρα παραπολὺ γνωρίζεται ἡ Ποιότης τῆ χέσεων. ἔστι γὰρ ἡ χέσις τὸ ἐλάχιστον τῆ ὄντων, ὡς καὶ μὴ εἶναι τὸ παράπαν δοκεῖ τοῖς μὴ τοιαῦτα πεπαιδευμέ-

μενοις. μάλιστα δὲ καὶ ὁ Φιλόσοφος ἐπὶ τοῦ Δ. τῆς Μεταφυσικῶν πρὸ τῆς χετικῶν περὶ Ποιότητος διέλαβεν. ἐπὶ δὲ τοῦ παρόντος ὅπου χάριν τὴν τάξιν μετέβαλεν, ἄλλοι ἄλλως τὸ αἴτιον ἀποδιδόασιν.

Εἰς σαφεστέραν δὲ κατάληψιν τῆς ἐπιλύσεως τῆς προχειρισθέντων ἐπιχειρημάτων, ἐκεῖνο πρῶτον λεπτέον, ὅτι τῆς συμβεβηκότων ἐστὶ γένος διττὸν, τὸ μὲν ἀπόλυτον, τὸ δὲ χετικόν. Ἀπόλυτον λέγεται συμβεβηκὸς τὸ ἀπηρτισμένως ἔχον τὴν οἰκείαν φύσιν τῷ ἐν ὑποκειμένῳ εἶναι, παρ' οὐδενὸς ἔξωθεν ἐξηρτημένου τοῦ εἶναι, ὡς τὸ λευκὸν ἐν Κύπρῳ, καὶ τὸ μέλαν ἐν Αἰθίοπι. ἔχει γὰρ ταῦτα ἐντελὲς τὸ εἶναι, καὶ τὴν οἰκείαν φύσιν, διὰ μόνου τοῦ ἐνυπάρχειν ἐν οἷς ἐστὶν ὑποκειμένοις. Σχετικὸν δὲ λέγεται συμβεβηκὸς οὗ τὸ εἶναι οὐκ ἀποτελεῖται τῷ ἐνυπάρχειν, ἀλλ' ἑτέρου ἕτερον ἔξωθεν ἤρτηται, καθ' ὃ καὶ οὐσίωται, ὡς ἡ παῤῥησία, ἔστι μὲν ἐν τῷ παῤῥησιάζεσθαι, ἀλλ' ἐξηρτημένως τοῦ ἐροῦ, πρὸς ὃν ὁ πατὴρ ἔχει τὸ εἶναι πατήρ. ὡσαύτως ἡ ἐν τῷ λευκῷ ὁμοιότης ἀπήρτηται ἔξωθεν ἑτέρου λευκοῦ, πρὸς ὃ λέγεται ὅμοιον.

Δεύτερον λεπτέον, ὡς ἐστὶ διπλὴ ἡ τάξις τῆς τῶν ἐπισημῶν παραδόσεως, καὶ γνώσεως τῶν ὄντων, ἡ μὲν τῆς διδασκαλίας μόνον, ἡ δὲ καὶ τῆς φύσεως. Ἡ τάξις τῆς διδασκαλίας ἀπαιτεῖ πρότερα γίνεσθαι ἐπ' αὐτῆς, ἐξ ὧν ἀρχόμενοι ῥᾷον μανθάνομεν, ὡς ὁ Φιλόσοφος ἐν τῷ Δ. τῆς Μεταφυσικῶν, ἐπὶ τοῦ περὶ Προτέρου κεφαλαίου. Ἡ δὲ τῆς φύσεως τάξις διασώζεται, πρῶτα ποιούντων ἡμῶν ἐν τῇ διδασκαλίᾳ, ἅττα καὶ πρῶτα γίνεται τῇ φύσει ἐπὶ τῆς παραγωγῆς τῶν ὄντων, οἷά εἰσιν ἀεὶ τὰ κοινότερα. διδάσκοντος γὰρ τοῦ Φιλόσοφου ἐν „ τῷ Α. τῆς περὶ ἀρχῶν, κεφαλαίῳ ἑβδόμῳ λέγοντος. ἔστι δὲ κατὰ „ τὴν φύσιν τὰ κοινὰ πρῶτον εἰπόντας, οὕτω τὰ περὶ ἕκαστον ἴδια θεωρεῖν. καὶ ταύτῃ (1) ἐπὶ τῆς παραδόσεως τῶν ἐπισημῶν διασώζειν ἐπάναγκες. ὡς τὰ πολλὰ γὰρ ῥᾷον μανθάνομεν, ἀπὸ τῶν πρώτων κατὰ φύσιν ἀρχόμενοι. ὅθεν καὶ ἡ τάξις τῆς διδασκαλίας ὡς ἐπὶ τὸ πολὺ συμπέρχεται τῇ τάξει τῆς φύσεως. ἐπεὶ μέντοι ἔστιν ὅτε, καὶ ἀπὸ τῶν ὑστέρων τῇ φύσει ἀρχόμενοι οὐ χαλεπῶς μανθάνομεν, διὸ δὴ καὶ ὁ Φιλόσοφος ἐν τοῖς περὶ Ψυχῆς, ἔνθα περὶ αἰσθήσεων, περὶ Ὁράσεως πρῶτον διέλαβεν, ἢ περὶ Ἁφῆς, καὶ τῶν ἄλλων Αἰσθήσεων, οἷά που καὶ ὁ Πορφύριος πρὸ τῆς διαφορᾶς τῶν περὶ εἴδους διδασκαλίαν παρέδω-

(1) Τῶν τάξιν δηλαδή.

ρέδωκεν, ὃ τῆς διαφορᾶς κατὰ φύσιν ἐστὶν ὕστερον. Τούτων οὕτως εἰλημμένων, εἰσὶν οἱ λέγοντες ὅτι ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος, οὔτε τὴν κατ' φύσιν, οὔτε τὴν κατὰ διδασκαλίαν τετήρηκε τάξιν, ἀλλὰ μόνον τὴν τῆς κατηγορίας. κατὰ γὰρ τὴν τάξιν τῆς κατηγορίας ὡς φασι, τὰ Σχετικὰ τῆς Ποιότητος προηγοῦνται, ἐπιτιθέισης τῆς Ποσότητος ἐν τῇ Οὐσίᾳ, οὐδὲς ἐννοεῖται διπλασίου, ἢ τριπλασίου λόγου ἔχουσα, καὶ τὸ ἄνω καὶ κάτω, ὑπερβολὴν τε καὶ ἔλλειψιν, ἅπερ ἀναντιῤῥήτως τυγχάνει τῶν σχετικῶν, καὶ αὖθις ποιότητος νοουμένη. Ἀλλ' οἱ τοιαῦτα λέγοντες, ὑφίστανται τὸν Φιλόσοφον τετηρηκότα τὴν τάξιν τῆς φύσεως. εἰ γὰρ κατὰ τὴν τάξιν τῆς κατηγορίας τὰ σχετικὰ προηγοῦνται τῆς ποιότητος, πολλῷ μᾶλλον προηγοῦνται κατὰ τὴν τάξιν τοῦ εἶναι καὶ τῆς ὑπάρξεως. ὁ γὰρ τρόπος τοῦ κατηγορεῖν, ἕπεται τῷ τρόπῳ τοῦ εἶναι, καὶ τάξις ὡσαύτως. Βέλτιον ἄρα ὁ Ἀμμώνιος μετὰ τοῦ Συμπλικίου, Πορφυρίου, καὶ ἄλλων φασὶ τὸν Φιλοσόφον τετηρηκέναι ἐνταῦθα τὴν τῆς διδασκαλίας τάξιν. Ἐπειδὴ γὰρ ἐπὶ τοῦ προλαβόντος Κεφαλαίου τοῦ Πολλοῦ καὶ Ὀλίγου, καὶ Μικροῦ καὶ Μεγάλου ὁ Φιλόσοφος ἐμνήσθη ἃ προφανῶς εἰσὶ σχετικὰ, ἵνα μὴ ἐπιπολὺ τὴν διάνοιαν τῆς ἀπροσμισήτου ἀπηρτισμένῃ καταλίπῃ περὶ τῆς ἐννοίας τῆς σχετικῶν, ἀμέσως μετὰ τὴν ποσότητα, τὴν περὶ τούτων διδασκαλίαν ὑπέταξε. τοῦτο γὰρ ἡ τῆς διδασκαλίας ἀπῄτει τάξις. Προσίθησι δὲ ὁ Συμπλίκιος, ὅτι καὶ τὴν τάξιν τῆς φύσεως ἐφύλαξέ πως ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος. ἡ γὰρ ὕλικὸς καὶ σωματικὴ οὐσία πρὸ τῆς ποιωθῆναι πεποσωμένη ἐννοεῖται. τῷ δὲ Ποσῷ ἀμέσως ἕπεται τὸ μέγα καὶ μικρὸν, καὶ ἴσον καὶ ἄνισον, καὶ ὅλως τὸ ὑπερέχον καὶ ἐλλεῖπον, ἅπερ ὡς εἴρηται τυγχάνει τῆς σχετικῶν. Ἐκ δὴ τούτων ῥᾴστα διαγινώσκειν ἔχομεν, καὶ τοὺς λόγους τῆς ἀνωτέρω προτεθέντων ἐπιχειρημάτων, ἀπαντῆσαί τε πρὸς ἐκεῖνα οὐ χαλεπόν. ἐρείπησαι γὰρ ἅπαντα ἐπὶ τῆς φυσικῆς τάξεως, καὶ κατ' ἐκείνην ὠχύρωται, εἰ δ' ἔξεσιν ἐνίοτε καὶ τὴν τάξιν τῆς διδασκαλίας διασώζειν, ὡς ὁ Φιλόσοφος παραινεῖ, μικρὰ φανοῦνται δυνάμενοι, ἃς ἐν ἀρχῇ προτεθήκαμεν, ἀντικείμενοι λόγοι.

Διαίρεσις τοῦ κεφαλαίου.

Διέλοι δ' ἄντις τὸ περὶ τῆς πρός τι κεφαλαίον, τάξαχα χρηπώτερον. ὧν ἐπὶ μὲν τοῦ πρώτου μέρους ὁ Φιλόσοφος ἀναπτύσσει τὰ Πρός τι λό-

γῳ

γῳ ὑπογραφικῷ παραδείγμασί τε καὶ ἰδιώμασιν. Ἐπὶ τοῦ δευτέρου τὸν ξόπον διδάσκει τῆς ὑγιοῦς τούτων ἀντιστροφῆς. Ἐν τῷ τρίτῳ ἀπορίαν προτίθεται δι' ἧς σωπάγει κ᾽ τὴν ἀποδοθεῖσαν ὑπογραφὴν τῆ Πρός τι τινά τῆ μερῶν τῆς οὐσίας ἐν τοῖς Πρός τι καταριθμεῖσθαι. ὅθεν τέταρτον αὐτὸς ἐξ οἰκείας γνώμης ἑτέραν ἀποδίδωσιν ὑπογραφὴν τῆ Πρός τι. Ἣν καὶ ἐφεξῆς Ἰδιώμασιν ἀναπτύσσει, καὶ ἐμπεδοῦται ἐπιλύσει τῆ δο-
„ κούντων τῇ αὐτῇ ἀντιπίπτειν τῆ Πρός τι δὲ τὰ τοιαῦτα λέγεται,
„ ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρὸς
„ ἕτερον.

Ἐπὶ τοῦ πρώτου τοιγαροῦν μέρους ἐντίθησιν ὁ Φιλόσοφος τὴν κοινὴν τῆ πρὸ αὐτοῦ φιλοσοφησάντων ὑπογραφὴν τῆ πρός τι ὧδὶ λέγων.
„ Πρός τι τὰ τοιαῦτα λέγεται καὶ τὰ ἑξῆς.

Λεπτέον δὲ πρῶτον, ὅτι τῆ γενικωτάτων οὐκ ἔστι κυρίως ὁρισμός, ὅθεν δὶ ὑπογραφῆς δηλοῦσθαι φασίν, οἵάπου ἐστὶ καὶ ἡ νῦν προτεθεῖσα παρὰ τοῦ Φιλοσόφου τῆ Σχετικῶν ὑπογραφὴ, ἐφ᾽ ἧς λέγεται πρῶτον, Πρός τι δὲ τὰ τοιαῦτα λέγεται. σημαίνεται δὲ διὰ τοῦ τοιαῦτα, τὰ ὄντα, ὃ καὶ γένους ἐπέχει τόπον ἐν τῇ ὑπογραφῇ. Σωάπτει δεύτερον, αὐτὰ ἅπερ εἰσὶ, δι' οὗ δηλοῦται τὸν λόγον μὴ περὶ φωνῶν, ἀλλὰ περὶ τῆς Οὐσίας αὐτῆς καὶ τοῦ εἶναι τῆ Σχετικῶν ἀποδίδοσθαι. Λέγεται ξίτον ἐπὶ τῆς αὐτῆς, ἑτέρων εἶναι λέγεται. εἴληπται δὲ τοῦτο εἰς λόγον διαφορᾶς, ὃ καὶ σωάγεται ξόπῳ τοιῷδε. Ὧν τὸ εἶναι ἐν χέσει ἐστὶ, ταῦτα ἑτέρων εἶναι λέγεται, ἀλλ᾽ τῆ Σχετικῶν τὸ εἶναι ἐν χέσει ἐστὶ, τὰ χετικὰ ἄρα ἑτέρων εἶναι λέγεται. Τελευταῖον ἐπιλύεται, ἢ ὁ πωσοῦν ἄλλως πρὸς ἕτερον, δι' οὗ ὁ Φιλόσοφος δηλῶσαι βούλεται τὰς διαφόρους τῆ Σχετικῶν, ἀποδόσεις τε καὶ ἀντιστροφάς. οὐ γὰρ ἁπλῶς πάντα πρὸς γενικὸν ἀποδίδονται, ἀλλ᾽ ἔστιν ὅτε καὶ πρὸς ἑτέρας πτώσεις. πρὸς γενικὸν μὲν ὡς ὁ πατὴρ, υἱοῦ πατὴρ εἶναι λέγεται, καὶ ὁ υἱὸς πατρὸς υἱός. Ποτὲ δὲ πρὸς δοτικὸν, ὡς τὸ ὅμοιον τῷ ὁμοίῳ ἐστὶν ὅμοιον, Καὶ πρὸς αἰτιατικὸν, ὡς τὸ κινοῦν κινούμενον κινεῖ. ὅθεν ὀρθῶς εἴρηται τὸ ὁπασοῦν ἄλλως πρὸς ἕτερον. γίνεται δὲ ἡ ἀντιστροφὴ, οὐ πρὸς τὰς αὐτὰς ἀεὶ πτώσεις, ὥσπερ τὸν υἱὸν πατρὸς υἱὸν λέγοντες, καὶ πρὸς γενικὸν ἀποδιδόντες, πρὸς τὸν αὐτὸν πτῶσιν ἀντιστρέφοντες λέγομεν τὸν πατέρα υἱοῦ πατέρα, ἀλλὰ καὶ πρὸς ἑτέραν πτῶσιν, ὡς ἐπὶ τῆς ἐπιστή-

μης

μης καὶ τοῦ ἐπίσηπτοῦ. τῷ μὲν γὰρ ἐπισήμῳ ἐπίσηπτοῦ ἐπισήμῳ λέγομεν, τὸ δὲ ἐπίσηπτον οὐκ ἐπισήμης, ἀλλ' ἐπισήμῃ ἐπίσηπτον. Βούλονται τοιγαροῦν οἱ τῆς ἀποδοθείσης ὑπογραφῆς πατέρες, διὰ τῶν τελευταίων ἐν αὐτῇ ῥημάτων δηλῶσαι, ὡς αἱ τοιαῦται τῆς ἀποδόσεως, καὶ ἀντιστροφῆς ἑτερότητες, οὐδὲ μίαν παραλλαγὴν ἐμποιοῦσι τῇ οὐσίᾳ τῶν Πρός τι.

Παραδείγμασιν ἐφεξῆς ὁ Φιλόσοφος διαξανοῦται τῷ ἀποδοθεῖσαν ὑπογραφῷ, ὧν τὰ μὲν ἀπὸ τῆς Ποσότητος εἴληπται, τὰ δὲ ἀπὸ τῆς Ποιότητος, καὶ τῆς Κεῖσθαι. Ἀπὸ μὲν οὖν τῆς Ποσότητος προχειρίζεται τὸ μεῖζον καὶ ἔλαττον, διπλάσιόν τε καὶ ἥμισυ. τὸ γὰρ μεῖζον, ἑτέρου λέγεται μεῖζον, δηλαδὴ τοῦ ἐλάττονος, ὡς καὶ ἀνάπαλιν, τὸ ἔλαττον μείζονος ἔλαττον. ὁμοίως καὶ τὸ διπλάσιον τοῦ ἡμίσεως διπλάσιον λέγεται, καὶ ἀνάπαλιν, ἅπερ τῇ Ποσότητι παραφύεται. Ἀπὸ δὲ τῆς Ποιότητος προτίθεται τῷ ἕξιν καὶ διάθεσιν. λέγεται γὰρ ἡ διάθεσις τοῦ διαθετοῦ διάθεσις, καὶ τὸ διαθετὸν διαθέσει διαθετόν. ὁμοίως δὲ καὶ ἡ αἴσθησις, καὶ ἐπιστήμη πρὸς τὸ αἰσθητόν, καὶ ἐπίσηπτον ἔχουσι. Καὶ τελευταῖον ἀπὸ τοῦ Κεῖσθαι προφέρει παραδείγματος λόγῳ τῷ κλίσιν, καὶ καθέδραν. ἡ γὰρ κλίσις τοῦ κεκλιμένου λέγεται κλίσις, καὶ τὸ κεκλιμένον, κλίσει λέγεται κεκλιμένον. καὶ ἡ καθέδρα ὁμοίως τοῦ καθημένου λέγεται, καὶ ὁ καθήμενος καθέδρᾳ ἐστὶ καθήμενος. ὥς τε εἰ Πρός τι εἰσὶ τὰ πρὸς ἕτερον ὁπωσοῦν λεγόμενα, λέγεται δὲ πάντα τὰ προσνεχθέντα πρὸς ἕτερον, Πρός τι ἄρα πάντα τὰ τοιαῦτα ἔσαι. Αἰνίττεται μέντοι ὁ Φιλόσοφος μὴ τῆς αὐτῆς εἶναι τάξεως πάντα τὰ προβληθέντα παραδείγματα. προβεβλημένως γὰρ τὰ ληφθέντα ἀπὸ τῆς Ποσότητος, ἐχρήσατο δι-
„ κοπῇ τοιαύτῃ τῷ λόγῳ εἰπών, (εἰσὶ δὲ καὶ τὰ τοιαῦτα ἐν τοῖς πρὸς ἕτερον
„ λεγομένοις.) τοῦτο δὲ πεποίηκεν ὁ Φιλόσοφος τυχὸν, ἵνα δηλώσῃ μὴ μόνον πρὸς γενικῶ ἀποδίδοσθαι πάντα, ὥσπερ τὰ ἀπὸ τῆς Ποσότητος, ἢ ἵνα δείξῃ μὴ μόνον ἐπὶ τῆς Ποσότητος παραφύεσθαι τὰ Πρός τι, ἀλλὰ καὶ ἐν ἄλλαις κατηγορίαις, τῇ Ποιότητί φημι, καὶ Κεῖσθαι. Ἀποσημειοῦται δὲ καὶ ξίτον ὁ Ἀμμώνιος, τὰ παραδείγματα τῆς δευτέρας τάξεως προβεβλῆσθαι τῷ Φιλοσόφῳ, εἰς διαβολὴν τῆς ἀποδοθείσης ὑπογραφῆς, δηλονότι βουλομένῳ, ὅτι πολλὰ τῶν μὴ κατ' οὐσίαν Πρός τι, καὶ ἐν ἄλλαις ταττομένων κατηγορίαις, λέγεται πρὸς ἕτερον, οἷα δοκεῖ εἶναι τὰ ἀπὸ τῆς Ποιότητος, καὶ τοῦ Κεῖσθαι εἰλημμένα.

Οὐδὲν ἧττον ὁ Φιλόσοφος ἐπὶ τῆς λέξεως παραινεῖ, ὅτι καὶ τὰ τῆς δεύ-

δεύτερας τάξεως παραδείγματα ἀληθῶς εἶναι τῆς Πρός τι; ἐν οἷς γὰρ φησι. ταῦτα γὰρ πάντα Πρός τι εἰσὶ καὶ οὐκ ἄλλο τι. τοῦτο ἐννοεῖ περὶ αὐτῆς, ἢ πρὸς ἕτερον λέγεται. τὰ γὰρ λεγόμενα πράγματα. προφανῶς εἰσὶ Ποιότητες, εἶτ' οὖν Θέσεις: ὑπὸ τὸ Κεῖσθαι ἀναγόμενα, Τὸ δὲ καὶ οὐκ ἄλλο τι, ἐννοεῖ περὶ αὐτῆς, ἥπερ ἀναφέρεται πρὸς ἄλληλα. τὰ γὰρ ἐναντίον, ἐναντίῳ ἐστὶν ἐναντίον, Εἰσὶ μέντοι καὶ ἄλλο τι φέρε εἰπεῖν Ποιότητες.

: ὑπὸ δὲ ποιότητ

Ἀποεία.

φαίνεται

Ὅτι δὲ ὁ Φιλόσοφος ἐν τῷ ἑξάτῳ μέρει τοῦ πρώτου τοῦδε τμήματος, παραδίδωσι μὴ τῆς αὐτῆς εἶναι κατηγορίας τὸ παρωνυμοῦν εἶδος, καὶ τὸ παρ' ἐκείνου παρωνύμως λεγόμενον. ξυχῶς: γὰρ τιθὼ θέσιν ἐν τοῖς Πρός τι σωήγαγον ἐκ τούτου, ὅτι καὶ κλίσις, καὶ στάσις, καὶ καθέδρα, τῆς Πρός τι εἰσί, θέσεις γὰρ τὰ τοιαῦτα. ἵνα δὲ μήτις φαίη καὶ τὰ παρωνύμως ἀπὸ τούτων λεγόμενα ἐν τοῖς Πρός τι „ τακτέα ἐστὶν ἐπάγει. τὸ δὲ ἀνακεῖσθαι, ἢ ἑστάναι, ἢ καθῆσθαι, αὐτὰ „ μὲν οὐκ εἰσὶ θέσεις; παρωνύμως δὲ ἀπὸ τῆς εἰρημένων θέσεων λέγεται, ὥς τε δῆλος ἐστὶν ὁ Φιλόσοφος μὴ βουλόμενος τὰ παρωνύμως λεγόμενα ἀπὸ τῆς θέσεως τῆς αὐτῆς κατηγορίας εἶναι, ἧς παρωνόμασαι θέσεσιν. Ἀλλὰ ταῦτα τυχὸν τῷ Φιλοσόφῳ εἴρηται, κατὰ τὰ δοκοῦντα τοῖς ἀρχαιοτέροις, ὧν κατὰ δόξαν, καὶ περὶ τῆς Πρός τι νυνὶ διαλέγεται. τὸ γὰρ παρωνυμοῦν εἶδος, καὶ τὸ παρωνύμως ἀπ' ἐκείνου λεγόμενον, ἐπὶ τινὶ αὐτινὶ κατηγορίαν ἀνάγει ὁ αὐτὸς ἐν ἄλλοις, καὶ ἐν τῷ περὶ Ποιότητος κεφαλαίῳ, καίτοι γε πολλὰ τῆς παρωνύμως ἀπὸ τῆς Ποσότητος λεγομένων, ὁρῶμεν ἐπὶ τινὶ ποιότητα ἀναφερόμενα, οἷα εἰσὶ καὶ τὰ τοῦ τετάρτου εἴδους τῆς Ποιότητος, τό, τε ἴσον καὶ ἄνισον, ὅπερ ἀπὸ τῆς ποσότητος λέγεσθαι παρωνύμως ἠκούσαμεν, ἐπὶ τοῦ προληφθέντος κεφαλαίου.

Οὐδὲν ἧττον αἱ εἰρημέναι θέσεις, καὶ τὰ ἀπὸ τούτων παρωνύμως λεγόμενα ἐπ' οὐδενός ἄλλου τῆς ὄντων γένους, ὅτι μὴ ἐπὶ τοῦ Κεῖσθαι ἐπικαίρως τάττονται. Ἐπὶ τοῦ παρόντος δὲ ὁ Φιλόσοφος ἀπηρίθμησεν ἐν τοῖς Πρός τι τὰς θέσεις, ὅτι Πρός τι ἐνταῦθα ἐννοεῖ τὰ ὁπωσοῦν πρὸς ἕτερα λεγόμενα, εἰ καὶ ὑφ' ἑτέρου τι γένος κατ' οὐσίαν τελοῦσι.

Πρῶ-

Πρῶτον παρεπόμενον.

„ Ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς Πρός τι.

Μετὰ τὴν ἔκθεσιν καὶ ἀνάπτυξιν τῆς κοινῆς τῷ Πρός τι ὑπογραφῆς ὁ Φιλόσοφος, μεταβαίνει ἐπὶ τὴν ἀπόδοσιν τῷ παρεπομένων. Τέτταρα δὲ ταῦτα ἐκτίθησιν ὁ Φιλόσοφος ἐφεξῆς. ἄρχεται δὲ ἀπὸ τῷ κοινοτέρων, καὶ ἧττον ἰδιαζόντων τοῖς Πρόςτι, οἷον ἐστὶ τὸ τὰ Πρός τι ἐναντίον ἔχειν, καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ὑποδέχεθαι. Εἴσι δὲ διχῶς ἐννοῆσαι τὴν ἐναντίωσιν ἐν τοῖς Πρός τι, καθ' ἕνα μὲν τρόπον, ὡς αὐτίθεσιν ἁπλῶς, οἷα καὶ ἡ κατὰ τὰ Πρός τι. εἴθισαι γὰρ κοινότερον τοῖς φιλοσοφοῦσι, καὶ τὰ ὁπωσοῦν ἀντικείμενα ἐναντία καλεῖν, οὐχ οὕτω μέντοι ὁ Φιλόσοφος, τὰ ἐναντία ἐπὶ τοῦ παρόντος ἐκλαμβάνει. ἰδοὺ γὰρ ἐν ἀρχῇ ~~τότε~~ ὑποτέθαι (1) ~~τὸ ἐν ἀρχῇ~~. κατ' ἄλλον δὲ τρόπον ἐννοεῖται ἡ ἐναντίωσις ἐπὶ τῷ κυρίως ἐναντίων, ἅτινα μάχεται ἀλλήλοις, καὶ ὑποδεῖ ἄλλα τοῦ αὐτοῦ δεκτικοῦ, καὶ ταύτῃ τὴν ἐναντίωσιν ὁ Φιλόσοφος ἐπὶ τῶν παρόντος ἐννοεῖ ἐν τοῖς Πρός τι. παραινεῖ δὲ μὴ πᾶσιν εἶναι κοινὸν, τοῖς Πρός τι παρεπόμενον, τὸ ἐναντίωσιν ἴ'χειν, ἀλλὰ μόνοις τοῖς ἐν ταῖς κατηγορίαις παραφυομένοις ἐχούσαις ἐναντίωσιν, οἷα μάλισα ἐστὶν ἡ Ποιότης, ἐξ ἧς καὶ παραδείγματα προχειρίζεται, ἀρετὴν καὶ κακίαν, ἐπιστήμην καὶ ἄγνοιαν. τὰ δὲ ἐπὶ τῆς Ποσότητος ἐγγινόμενα Πρός τι, ὡς τὸ διπλάσιον, καὶ ἥμισυ, καὶ τὰ τοιαῦτα, οὐδὲ μίαν ἔχει φησὶν ἐναντίωσιν, τυχὸν ὅτι οὐδὲ τῷ Ποσῷ ἐστὶν ἐναντίον, ὡς ἐν τῷ περὶ αὐτοῦ κεφαλαίῳ εἴρηται.

Ἀπορία.

Ἀλλὰ πῶς ἐστὶ δυνατὸν ἐν τοῖς Πρός τι ἐναντίωσιν εἶναι, εἴγε τὰ ἐναντία ἀπόλυτα εἰσὶ συμβεβηκότα καὶ ἄρχετα, καὶ αὐτὸς δὲ ὁ Φιλόσοφος ἐν τῷ προληφθέντι κεφαλαίῳ, ὑπέθετο τοῖς Πρός τι „ μηδὲν ἐναντίον εἶναι, λέγων; ὃ δὲ μὴ ἐστὶ λαβεῖν καθ' ἑαυτὸ, ἀλλὰ παρὸς ἕτερον ἀναφέρεται, πῶς ἂν εἴη τούτῳ τὶ ἐναντίον;

Ἡ

(1) Εἰ ὁ Φιλόσοφος τὰ ἐναντία ἐνταῦθα ὡξέλαβε κατὰ τὸν πρῶτον τρόπον τὴν ἁπλῶς αὐτίθεσιν δηλαδὴ, ἐλεῖν διωείσαθαι τοῦτο καὶ ὑποτίθαι ἐν ἀρχῇ.

Η" ὅτι ἐν ἐκείνοις μὲν τοῖς Πρός τι κατ' ἐσίαν ἐννοεῖ περὶ ὧν αὐτὸς ἐν τοῖς εἰτέπειτα διαλήψεται, ἐνταῦθα δὲ περὶ τῆ ἐναντίων διαλαμβάνει, κ) δόξαν τῆ ἀρχαιοτέρων. ἔτι δὲ εἰπεῖν, κ) ὅτι ἐν τῷ περὶ Ποσοῦ κεφαλαίῳ, ἐλέγετο περὶ τῆ Πρός τι μὴ ἔχειν ἐναντίωσιν ὅσα τῇ Ποσότητι παραφύεται, ὅπερ κἀνταῦθα ἀποδέχεται, νυῦ δὲ ἐναντίωσιν ἔχειν τὰ Πρός τι φησὶν, ὅσα ἐν κατηγορίαις παραφύεται ἐχούσαις ἐναντίωσιν. ὁ δὲ Α'μμωνιος μετὰ Συμπλικίε κ) ἄλλων ἀξιοῖ ταύτῃ κ) τῇ ἐπομενίῳ ἰδιότητα, τοῖς μὲν Πρός τι καθ' αὐτὰ ἀοίκειον εἶναι, προσήκειν δὲ τοῖς πράγμασιν, ἐν οἷς ταῦτα παραφύεται, ὃ κ) ὐλογώτερον.

Δεύτερον παρεπόμενον.

„ Δοκεῖ δὲ τὸ μᾶλλον κ) τὸ ἧττον ἀποδέχεσθαι τὰ Πρός τι.

Δεύτερον ἐπιφέρει τοῖς Πρός τι παρεπόμενον ὁ Φιλόσοφος τὰ Πρός τι ἀποδέχεσθαι τὸ μᾶλλον, κ) τὸ ἧττον, κ) τοῦτο ὁμοίως παραδείγμασιν ἐφεξῆς διαβαινοῦται. Σωάγεται δὲ τοῦτο ἐξ ὑποθέσεως τοῦ προληφθέντος. ἐν οἷς γάρ ἐστιν ἐναντίωσις, ἐν τούτοις κ) τὸ μᾶλλον, κ) τὸ ἧττον ἔπεται. ἐν δὲ τοῖς πρός τι δέδοται ὑπωσοῦν ἐναντίωσις, ὥς τε κ) τὸ μᾶλλον, κ) τὸ ἧττον ὁμοίως ἔσαι. ἢ μείζων δείκνυται τῷ Φιλοσόφῳ ἐν τῷ Δ. τῆς Φυσικῆς ἀκροάσεως, ἔνθα φησὶ τὸ μᾶλλον, κ) τὸ ἧττον, ἀπὸ τῆς μίξεως προέρχεσθαι τῇ ἐναντίων. Παραδείγμασι δὲ ὁ Φιλόσοφος κέχρηται εἰς δεῖξιν τοῦ προχειρισθέντος παρεπομενίου ἀπὸ τῆς ποιότητος, τῷ ὁμοίῳ κ) ἀνομοίῳ. λέγεται γὰρ μᾶλλον κ) ἧττον ὅμοιον, κ) ἀνόμοιον. κ) ἀπὸ τῆς ποσότητος τῷ ἴσῳ τε κ) ἀνίσῳ. ἐπὶ τῆς λεκτικῆς γὰρ σωηθείας κ) τοῦτο ἐστὶ, μᾶλλον, ἢ ἧττον, ἴσον λέγειν, ἢ ἄνισον. Τελευταῖον δὲ κ) περὶ τούτου φησὶ, μὴ πᾶσι τοῖς Πρός τι προσήκειν, διὸ οὐδὲ κυρίως ἐστὶν ἴδιον τῇ αὐτῇ.

Α'πορία.

Α'πορῦσιν ἐνταῦθα περὶ τοῦ ἐκτεθέντος παρεπομένου, πότερον προσήκει τοῖς χετικοῖς καθ' ἑαυτὰ, ἢ τῷ λόγῳ τῆς κατηγορίας ἐφ' ἧς παραφύονται; Ο' Α'μμωνιος μετὰ τοῦ Συμπλικίε, κ) ἄλλων φασὶ, τὰ χετικὰ μὴ καθ' ἑαυτὰ λέγεσθαι μᾶλλον, ἢ ἧττον τοιαῦτα, ἀλλὰ

καὶ τὰ ὑποκείμενα πράγματα, ἅπερ ὑποδέχεται τὸ μᾶλλον καὶ ἧττον. μάχεται μέντοι πρὸς ταύτην τὴν ἀπάντησιν τοῦτο, ὅτι τοῦ Ποσοῦ μὴ ἐπιδεχομένου τὸ μᾶλλον καὶ τὸ ἧττον, τὸ ἴσον καὶ τὸ ἄνισον, ὃ κατὰ ποσὸν θεωρεῖται, ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεται. φαμὲν γὰρ μᾶλλον, ἢ ἧττον, ἴσον ἢ ἄνισον, ἕτερον ἑτέρου. Ἀπαντᾷ πρὸς τοῦτο ἀντίθεσιν ὁ Συμπλίκιος, λέγων τὴν ἰσότητα καὶ ἀνισότητα, μὴ σχέσεις, ἀλλὰ ποιότητας εἶναι ποσωτικάς, οἷά πε καὶ ἡ μορφὴ ἃ τὸ σχῆμα ποιότητες εἰσὶ, καίτοι ἀπὸ τῆς ποσότητος παρηγμέναι, ὅθεν οὐδὲ θαυμαστὸν εἰ δεκτικαὶ γίνονται τοῦ μᾶλλον, καὶ τοῦ ἧττον.

Ἀλλ' ὁ συμπλίκιος ταῦτα λέγων, αἱρεῖν δοκεῖ τὴν λέξιν τοῦ Φιλοσόφου, ἐφ' ἧς σαφῶς τάττεται τὸ ἴσον καὶ ἄνισον ἐν τοῖς σχετικοῖς. εἶτα δοθείσης τῆς τοῦ Συμπλικίου ἀπαντήσεως, ὁμοίως λῴω εἰπεῖν καὶ περὶ τῆς Ποιότητος μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον, καὶ τὸ ἧττον καθ' ἑαυτὴν, ἀλλὰ τῷ λόγῳ τοῦ ὑποκειμένου. δικαιοσύνη γὰρ φέρε εἰπεῖν, γραμματικὴ, λευκότης, καὶ ὅσαι ἄλλαι, καθ' ἑαυτὰς οὔτε μᾶλλον, οὔθ' ἧττον εἰσὶ τοιαῦται, τῷ λόγῳ δὲ τῆς ἐν τῷ ὑποκειμένῳ μεθέξεως, μᾶλλον καὶ ἧττον τοιαῦτα λέγεται. τίδη κωλύει ὥσπερ ἐπὶ τῆς Ποιότητος λέγεται κυρίως ἐνυπάρχειν τὸ μᾶλλον καὶ τὸ ἧττον, καί τοι τούτου μὴ προσήκοντος ταῖς ποιότησι, θεωρουμέναις καθ' ἑαυτὰς, ἀλλὰ τῷ λόγῳ τῆς ἐν ὑποκειμένῳ μεθέξεως, οὕτω καὶ ἐπὶ τῶν σχετικῶν εἰπεῖν, καίτοι μὴ ἀληθὲς ὄν ἕτερον ἑτέρου μᾶλλον, ἢ ἧττον, ἴσον ἢ ἄνισον εἶναι καθ' ἑαυτὰ θεωρουμένων; ἐπεὶ μέντοι τούτοις προσήκει τῷ λόγῳ τῶν ὑποκειμένων πραγμάτων, ἐν οἷς ἐπιφύονται, καὶ ἐπὶ τῶν σχετικῶν ὁμοίως λέγεσθαι.

Ὁ Συμπλίκιος εἰσάγει Ἀρχύταν τὸν πυθαγορικὸν, ὅς τις καίτοι μὴ ἀποδεχόμενος ἐναντίωσιν ἐπὶ τῶν σχετικῶν, τὸ μᾶλλον μέντοι καὶ ἧττον τούτοις καθ' ἑαυτὰ οὐκ ἀπεποιεῖτο. βέλτιον μέντοι λέγειν μετ' Ἀμμωνίου τὴν ἰσότητα καὶ ὁμοιότητα ἐν ἀδιαιρέτῳ (1) συνεστηκέναι, μεταβαλλομένου δὲ τοῦ ὑποκειμένου ἐπὶ τὸ μᾶλλον, καὶ ἧττον, καὶ τὰς σχέσεις τὴν μεταβολὴν ὁμοίως κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι. ἀλλ' ἀναιρουμένων τῶν προτέρων σχέσεων ἰσότητος φημὶ καὶ ὁμοιότητος, ἑτέραν ἐπιφύεσθαι ἰσότητα, καὶ ὁμοιότητα.

Ἐπὶ

(1) Τὸ ἀδιαίρετον θεωρεῖται ὡς ἐνταῦθα τὸ μέσον τινὸς γραμμῆς ὡρισμένης, ἔστι τοῦτο ἐστὶ τὸ ἴσον τὸ ἑκατέρωθεν τοῦ μέσου ἰσομέτρον (τῶν μεταξὺ ἐστὶ τὸ ἀδιαίρετον) καὶ τὸ ὅμοιον ὡσαύτως. ἐὰν γὰρ ἐκβῇ τοῦ μέσου ἐν ὁπιῳοῦν τῶν δύο μερῶν, οὐκέτι ἐστὶν ἴσουν. ἀλλ' ἄνισον.

Ἐπὶ τοῦ παρόντος μέντοι ὁ Φιλόσοφος προσνέμει τὸ μᾶλλον καὶ ἧττον τοῖς σχετικοῖς, ἐπεὶ ὡς εἴρηται, οὐκ ἐξ οἰκείας γνώμης περὶ τῶν σχετικῶν διαλαμβάνει, ἀλλὰ κατὰ δόξαν τῶν ἀρχαιοτέρων, καὶ ἐπὶ τὴν λεκτικὴν σωτήθειαν μόνην ἀφορᾷ, καθ' ἣν δηλονότι μᾶλλον καὶ ἧττον, ἴσον, ἢ ὅμοιον, ἕτερον ἑτέρου λέγεται.

Τρίτον παρεπόμενον.

„ Πάντα δὲ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται.

ΠΑραδοὺς ὁ Φιλόσοφος τὰ κοινότερα καὶ ἧττον ἴδια τοῖς Πρός τι παρεπόμενα, τρίτον ἐντεῦθεν προχειρίζεται, ὃ καὶ μᾶλλον ἴδιον τοῖς σχετικοῖς, ὅτι πάντα ἀντιστρόφως λέγεται, ὡς ὁ δεσπότης δήλου δεσπότης, καὶ ὁ δοῦλος, δεσπότου δοῦλος. δοκεῖ μέντοι μηδὲ τοῦτο μάλιστα ἴδιον εἶναι τῶν Πρός τι. θεωρεῖται γὰρ ἡ ἀντιστροφὴ, καὶ ἐν ὅροις, καὶ ἐν προτάσεσι, καὶ ἐν συλλογισμοῖς. ἀλλ' ἐπὶ τῶν ὅρων μὲν, ὡς ἐφ' ὧν συνυπάρχουσι, καὶ θάτερον θατέρου κατηγορεῖται, ὡς ὁ ἄνθρωπος καὶ τὸ λογικόν. συνυπάρχειτε γὰρ ἅμα ταῦτα, καὶ θάτερον κατὰ θατέρου λέγεται. ἐν δὲ ταῖς προτάσεσιν, ὡς ἐφ' ὧν ἀπὸ τῆς ἑτέρας ἐπὶ τὴν ἑτέραν μετατιθεμένων τῶν ἄκρων, ἐπιχειρεῖν ἐνδέχεται ὡς συλλογιζομένων. καὶ ἐν συλλογισμοῖς, ὡς ἐφ' ὧν μετατιθεμένων τῶν ὅρων, ἢ προτάσεων, ἐφ' ἕτερον εἶδος συλλογιζόμενα τὸ αὐτό, καὶ λέγεται ἀντιστρέφειν οἱ τοιοῦτοι συλλογισμοί. κατ' οὐδένα μέντοι τρόπον τῶν εἰρημένων τὰ σχετικὰ ἀντιστρέφειν εἰς ἄλληλα λέγεται. οὔτε γὰρ θάτερον θατέρου κατηγορεῖται, ὡς ἐπὶ τῶν ὅρων, οὐδ' ὡς ἐν προτάσεσι καὶ συλλογισμοῖς, μετατιθεμένων τῶν ἄκρων, εἴτ' οὖν προτάσεων, ἀλλ' ὅτι θάτερον κατὰ τινὰ πρὸς ἕτερον ἀναφορὰν ἀναπτύσσεται, καὶ ἀμοιβαδὸν ἕτερον ἑτέρου λέγεται. διὸ καὶ ἴδιον τὸ ῥηθὲν, μόνοις τοῖς Πρός τι.

Εἰς δήλωσιν τοῦ προχειρισθέντος παρεπομένου ὁ Φιλόσοφος διεξωδικωτέρῳ κέχρηται λόγῳ. Ἐκτίθησι πρῶτον τοῦτο, καὶ παραδείγμασι διαζωνοῦται. Δεύτερον ἐφεξῆς δείκνυσιν, ὅπως ἐνδέχεται ἁμαρτάνειν περὶ τὴν ἀντιστροφὴν τῶν σχετικῶν. Τρίτον διδάσκει τὸν τρόπον τῆς ἀποδόσεως τούτων, καθ' ὃν ἀεὶ ἀντιστρόφως ῥηθείη πρὸς ἄλληλα. ἐπὶ τοῦ πρώτου μέρους οἷς κέχρηται παραδείγμασι ταῦτα

διττοῦ γένους εἶναι δηλοῖ. τὰ μὲν γὰρ κατὰ τὴν αὐτὴν ἀποδίδοται πτῶσιν, ὡς πατὴρ υἱός, δοῦλος δεσπότης, διπλάσιον ἥμισυ, καὶ ὅσ' ἄλλα. τὰ δὲ κατὰ διαφόρους πτώσεις, καί τοι ὁμοίως οὔσης ἀμοιβαίας τῆς ἀναφορᾶς τούτων. ὧν παραδείγματα τίθησιν ὁ Φιλόσοφος τὴν ἐπιστήμην καὶ ἐπιστητόν, καὶ τὴν αἴθησιν καὶ αἰθητόν. τῆς γὰρ ἐπιστήμης ἀποδιδομένης τῷ ἐπιστητῷ κατὰ τὴν γενικὴν πτῶσιν, τὸ ἐπιστητὸν οὐ πρὸς γενικὴν, ἀλλὰ πρὸς δοτικὴν πτῶσιν τῇ ἐπιστήμῃ ἀποδίδοται. ὁμοίως δὲ καὶ αἴθησις, καὶ τὸ αἰθητόν, καὶ πολλὰ ἄλλα.

Δεύτερον μέρος τοῦ κεφαλαίου, καὶ τῆς λέξεως.

» Οὐ μὴν ἀλλ' ἐνίοτε οὐ δόξει ἀντιστρέφειν, ἐὰν μὴ οἰκείως πρὸς ὃ » λέγεται ἀποδοθῇ.

ΕΝ τῷ δευτέρῳ μέρει τοῦ κεφαλαίου τὸ αἴτιον ὁ Φιλόσοφος ἀποδίδωσι, δι' ὃ τινὰ τῶν πρός τι δοκοῦσι μὴ ἀντιστρόφως λέγεσθαι. τὸ γὰρ πτερὸν, καὶ ἡ ὄρνις, δοκοῦσιν εἶναι τῶν σχετικῶν, οὐ μέντοι ἀντιστρόφως λέγεται, τὸ μὲν πτερὸν ἀποδοθείη πρὸς ὄρνιν, καὶ οὐ πρὸς πτερωτόν. πολλὰ γὰρ εἰσὶν ἔχοντα μὲν πτερὰ, μὴ ὄντα δὲ ὄρνιθες, οἷά εἰσι, τὰ ὑμβρόπτερα, ὡς αἱ νυκτερίδες, σφῆκες, μέλισσαι, καὶ τὰ τοιαῦτα. καὶ τὰ κολεόπτερα, οἷα πολλὰ τῶν ἐντόμων, ὡς κανθάδες, κάνθαροι, καὶ ὅσ' ἄλλα. ἃ δὴ πάντα πτερὰ μὲν ἔχει, ὄρνιθες δὲ οὐκ εἰσίν. ὄρνιθες γὰρ ἤκουσαν τῶν πτερωτῶν ὅσα χιζόπτερα. τοιγαροῦν ἐπεὶ μὴ πάντα τῶν πτερωτῶν ὄρνιθές, οὐχ ὑγιῶς ἀποδίδωσιν, ὁ τὸ πτερὸν πρὸς ὄρνιν ἀποδιδούς. διὸ οὐδὲ ἀντιστρόφως λέγεται. πρὸς δὲ τὸ πτερωτὸν ἀποδιδομένου τοῦ πτεροῦ, πάντως ἀντιστρέφει. ὥς περ γὰρ τὸ πτερὸν, πτερωτοῦ εἶναι πτερὸν λέγεται, οὕτω καὶ τὸ πτερωτὸν, πτερῷ ἐστὶ πτερωτόν. ἐπεὶ δ' ἔστιν ὅτε οὐ κεῖται ἐπὶ τῆς λεκτικῆς συνηθείας ὄνομα, πρὸς ὃ ὑγιῶς γένοιτο ἡ ἀντιστροφὴ, ὡς εἴτις τὸ πηδάλιον πρὸς πλοῖον ἀποδώσει, οὐκ ἀντιστρόφως ῥηθήσεται. (οὐ γὰρ παντὸς πλοίου ὑπάρχει πηδάλιον. κύμβαι γὰρ καὶ ἀκάτια, καὶ τὰ τοιαῦτα πηδαλίων ἀμοιρεῖ) οὐδὲ ἔστιν ἐν τῇ λεκτικῇ συνηθείᾳ ἕτερον ὄνομα, πρὸς ὃ τὸ πηδάλιον ἀντιστρόφως ῥηθείη. Ὁμοίως ἔχει καὶ ἡ κεφαλὴ πρὸς ζῷον ἀποδιδομένη, καὶ ὅσ' ἄλλα) † Τού-

† καὶ ὅλως δοιγαρὰ ἀνδμαγι ζωίων τριῶν, του

του χάειν ὁ Φιλόσοφος ἐνθέμβος τὸ προχειρισθὲν παρεπόμβον, διδάσκει ἐφεξῆς ἡμᾶς ὀνοματοποεῖν ἔνθα δεῖ, εἰς ἀντίστροφον ἀναφορὰν τῆβ χετικῶν. Ὁ δὲ βρόπος τῆς ὀνοματοποιΐας ἐσὶν, ἵνα ἀπὸ τοῦ κειμένου ὀνόματος, οὗ τὸ ἀντίστροφον ἀπαιτεῖται, παρωνύμως μεπενεγκωμεν ἕτερον ὄνομα πάντα περιέχον, ὧν τὸ κείμβον ὄνομα τυγχάνει σημαντικόν, ὡς ἐπὶ τῆβ ἐκτεθέντων παραδειγμάτων, ὁ βουλόμβος τὸ ἀντίστροφον λαβεῖν τῆς κεφαλῆς, ὅπερ οὐ κεῖται ἐν τῇ λεκτικῇ σωνηθείᾳ, ἔξει τοῦτο παρωνύμως χηματίσας ἀπὸ τῆς κεφαλῆς τὸ κεφαλωτὸν, πρὸς ὃ ἀντιστρέφει οἰκείως ἡ κεφαλὴ ἀποδιδομένη. ὁμοίως καὶ ἀπὸ τοῦ πηδαλίου χηματιστέον τὸ πηδαλιωτὸν, πρὸς ὃ ἡ τοῦ πηδαλίου ἀντιστροφὴ, καταλλήλως ῥηθήσεται.

„ Πάντα οὖν τὰ Πρός τι ἐάνπερ οἰκείως ἀποδιδῶται πρὸς ἀντιστρέφοντα λέγεται.

ΕΠὶ τοῦ τείτου τῆς λέξεως μέρους κάνονα ἡμῖν παραδίδωσιν ὁ Φιλόσοφος, καθ' ὃν ὑγιῶς ἀποδιδόναι ἑτοιμβ τὰ χετικὰ πρὸς ἄλληλα. οὐ μόνον γὰρ ἰδίκα μὴ κεῖται ὄνομα ἀντιστρέφον δοκεῖ μὴ ἀντιστρέφειν τὰ πρός τι, ἀλλὰ καὶ κειμένου ὀνόματος τοιούτου, μὴ γινομένης δὲ τῆς ἀποδόσεως πρὸς τὸ αὐτὸ, ἐκ ἂν ῥηθείη πρὸς ἀντιστρέφοντα τὰ πρός τι. ὁ γὰρ δοῦλος εἰμὴ πρὸς δεσπότην ἀποδοθείη, οὐκ ἀντιστρέφει, ὡς ἔτις τὸν δοῦλον ἀνθρώπου δοῦλον, ἢ δίπους, ἢ τῆβ ὁμοίων εἰπεῖν. Τὸ δὲ ἁμάρτημα συμβαίνει γίνεσθαι τὸ μὴ ἁπλῶς ἕκαστον λέγεσθαι τῆβ ὄντων, ἀλλὰ διαφόροις ὀνόμασι πεφυκέναι δηλοῦσθαι, κατὰ διαφόρους καὶ φύσεις, καὶ λόγους τῆβ ἐν αὐτῷ. ὁ γὰρ Σωκράτης, ἄνθρωπος, καὶ ζῶον, καὶ Φιλόσοφος, καὶ ἀθλητὴς, καὶ διδάσκαλος λέγεται, καὶ ἄλλα πολλὰ, δοθέντος καὶ πατέρα τὸν αὐτὸν εἶναι, ὁ τούτου υἱὸς πρὸς ὁτουοῦν τῆβ ἄλλων προσηγμάτων ἀποδοθεὶς, οὐκ ἀντιστρέφει, ὅτι μὴ πρὸς πατέρα. Ὡς δ' ἂν γνοίημεν πρός ὅ,τι τῆβ ἑκάστου ὀνομάτων ἀποδοτέον ἐσὶ τὸ χετικὸν, καὶ ὅπως ἀποδιδόμενον ὑγιῶς ἀποδίδοται, τοιοῦτον ἡμῖν σημεῖον παραδίδωσιν ὁ Φιλόσοφος. ἔτι ἀφαιρεθέντων τῆβ ἄλλων τὸ ὑποκειμένου τῆς χέσεως, μόνου δὲ καταλιπομένου πρὸς ὃ ἀποδίδοται, εἰ μὲν ὀρθῶς ἡ ἀπόδοσις γέγονεν, ἀεὶ πρὸς αὐτὸ ῥηθήσεται καὶ ἀντιστρέψει. ὡς δοῦλος πρὸς δεσπότην ἀποδοθεὶς, ἀφαιρεθέντων πάντων τῆβ ἄλλων ὅσα τῷ δεσπότῃ συμβέβηκεν, ὡς τὸ εἶναι δίπουν, ἢ ἄνθρωπον, ἢ ζῶον, καὶ ὅσ' ἄλλα, μόνου δὲ καταλειφθέντος τῷ δεσπότῃ εἶναι, ἀεὶ ὁ δοῦλος πρὸς αὐτὸν ῥηθήσεται.

ται, καὶ ἀντιστρέφει. Ἢν δὲ μὴ ὀρθῶς ἡ ἀπόδοσις γένηται, ἀφαιρεθέντων τῶν ἄλλων, καὶ καταλειφθέντος μόνου, πρὸς ὃ ἡ ἀπόδοσις γέγονεν, οὐκ ἔτι ῥηθήσεται πρὸς αὐτὸ τὸ ἀποδοθέν, ὡς εἴτις φαίη τὸν δοῦλον, ἀνθρώπου τινὸς εἶναι δοῦλον, ἀφελόντες τοῦ ἀνθρώπου μετὰ τῶν ἄλλων, καὶ τὸ, δεσπότου, οὐκ ἔτι δυνάμεθα λέγειν τὸν δοῦλον ἀνθρώπε δοῦλον, ὅτι οὐκ ἔστιν εἰπεῖν, τὸν ἄνθρωπον δούλου ἄνθρωπον. Προσίθησιν ὁ Φιλόσοφος τὸ αἴτιον τούτου, ὅτι μὴ ὄντος δεσπότου, οὐδὲ δοῦλος ἔσται. Τελευταῖον σωάγει ὁ Φιλόσοφος, τὸν βουλόμενον ὀρθῶς ἀποδιδόναι πρὸς ἄλληλα τὰ σχετικὰ, μὴ κειμένου ὀνόματος ἀντιστρέφοντος ἐν τῇ λεκτικῇ σωνηθείᾳ, δεῖν ὀνοματοποιεῖν, τὸν εἰρημένον τρόπον, καὶ οὕτω πάντα ῥηθήσεται τὰ σχετικὰ πρὸς ἀντιστρέφοντα.

Τέταρτον παρεπόμενον.

„ Δοκεῖ δὲ τὰ Πρός τι ἅμα τῇ φύσει εἶναι.

Τέταρτον ὁ Φιλόσοφος ἐπιφέρει παρακολούθημα τῶν πρός τι. ἡ δὲ λέξις ἐνδέχεται δίχα τμηθῆναι. Ἐπὶ μὲν τοῦ πρώτου μέρους ἐκτίθεται τὸ ῥηθὲν παρεπόμενον, καὶ ἡ ἐμπέδωσις τοῦ αὐτοῦ. Ἐπὶ δὲ τοῦ δευτέρου ἀπορεῖ πρὸς αὐτὸ ὁ Φιλόσοφος λόγοις διττοῖς, ἀνοίκειον εἶναι τῶν Πρός τι τὸ προχειριθὲν παρεπόμενον.

Ἐπὶ τοῦ πρώτου μέρους εἰπὼν ὁ Φιλόσοφος, ὅτι τὰ Πρός τι ἅμα τῇ φύσει εἰσὶ, παραδείγμασιν ἐφεξῆς ἐμπεδοῦται τὸ ῥηθέν. τὸ γὰρ διπλάσιον καὶ ἥμισυ, ἅμα τῇ φύσει εἰσὶ, καὶ δοῦλος, καὶ δεσπότης ὁμοίως, καὶ τὰ λοιπὰ ὡσαύτως. Εἰς δεῖξιν δὲ τούτου ὑπομιμνήσκει ἡμᾶς τῶν εἰρημένων αὐτῷ, ἐν τοῖς μετὰ τὰς Κατηγορίας, κεφαλαίῳ περὶ Προτέρου, καὶ τοῦ Ἅμα. κατὰ γὰρ τὰ ἐν ἐκείνοις εἰρημένα, ἅμα τῇ φύσει εἰσὶ τὰ συνεισάγοντα, καὶ συναναιροῦντα ἄλληλα. τοιαῦτα δέ εἰσι, τό, τε διπλάσιον, καὶ ἥμισυ, δοῦλος δεσπότης, καὶ τὰ λοιπά. τῷ γὰρ διπλασίῳ συνεισάγεται τὸ ἥμισυ, καὶ συναναιρεῖται ὁμοίως τῷ αὐτῷ, καὶ ἀνάπαλιν. Ὁμοίως δὲ εἴρηται τοῦτο ἔχειν καὶ ἐπὶ τῶν ἄλλων σχετικῶν. τὰ σχετικὰ ἄρα ἅμα τῇ φύσει πάντα εἶναι δοκεῖ.

Ἀπο-

Α'πορία.

Τοῦτὶ μέντοι τῷ Πρός τι ἴδιον, οὔτε πᾶσιν, οὔτε μόνοις δοκεῖ προσήκειν τοῖς Πρός τι. καὶ ὅτι μὲν μὴ πᾶσιν, ὁ Φιλόσοφος, ἐφεξῆς ἀπορήσει. ὅτι δὲ οὐδὲ μόνοις, λόγοις τοιοῖς δὲ ἐνδέχεται συναγαγεῖν. εἰ γὰρ ἅμα τῇ φύσει εἰσὶ τὰ συνεισάγοντα, καὶ συναναιροῦντα ἄλληλα, οὐ μόνον τὰ Πρός τι, ἀλλὰ καὶ αἱ τῷ ὄντων ἰδιότητες, ἅμα τῇ φύσει ἔσονται τοῖς ὧν τυγχάνουσιν ἰδιότητες, ὡς τὸ γελαστικὸν φέρε εἰπεῖν & λογικόν. δοθέντος γὰρ θατέρου τούτων, καὶ θάτερον εἰσάγεται, καὶ ἀναιρεθέντος, ὁμοίως συναναιρεῖται. ἀλλὰ καὶ τὸ αἴτιον καὶ αἰτιατὸν ἐνεργείᾳ θεωρούμενα, συνεισάγεται ἅμα, καὶ συναναιρεῖ ἄλληλα. Προσέτι δὲ ἅμα λέγεται παρὰ τῷ Φιλόσοφῳ ὧν αἱ γενέσεις ἐν τῷ αὐτῷ χρόνῳ, καὶ παρὰ ταῦτα αἱ διαιρετικαὶ τοῦ αὐτοῦ γένους διαφοραὶ, ἅμα τῇ φύσει λέγονται εἶναι. οὐ μόνοις ἄρα τοῖς Πρός τι δοκεῖ τὸ ἅμα τῇ φύσει εἶναι.

Α'παάντησις.

Ἀλλὰ πρὸς ταῦτα οὐ χαλεπὸν ἀπαντῆσαι. ἔρριπται γὰρ τῷ Φιλοσόφῳ ἅμα τῇ φύσει εἶναι τὰ ἀντιστρέφοντα κατὰ τὸ τοῦ εἶναι ἀκολούθησιν, ὧν ἕτερον ἑτέρου αἴτιον μὴ ᾖ. τὰ δὲ ὄντα τῷ ἰδιοτήτων εἰσὶν αἴτια τῷ οἰκείων. ὅθεν οὐδὲ ἅμα τῇ φύσει εἰσὶν, ὡς τὰ Πρός τι ἀλλήλων. ~~τὰ δὲ ἴδια εἰ καὶ τῇ φύσει εἰσὶν ἅμα, ἀλλ' εἰσὶν αἰτιατά· τὰ γὰρ ἐνεργείᾳ ἅμα εἰσί.~~ τῷ γὰρ σχετικῶν θάτερον θατέρου οὐκ ἔστιν αἴτιον. ἔρριπται γὰρ ἐν τῷ εἶναι ἀλλήλων ὁμοίως, καὶ ἀναφέρεται πρὸς ἄλληλα.

Τῷ αὐτῷ δὲ λόγῳ καὶ πρὸς τὸ ἀντενεχθὲν ἀπὸ τῆς αἰτίας καὶ αἰτιατοῦ ἀπαντητέον. τὰ δὲ λεγόμενα ἅμα κατὰ τὸν αὐτὸν χρόνον, οὐ συναναιροῦσιν ὁμοίως ἄλληλα. ὡσαύτως δὲ καὶ περὶ τῷ διαιρετικῶν διαφορῶν τοῦ αὐτοῦ γένους ῥητέον.

Ἐπὶ τοῦ δευτέρου μέρους ἀπορῶν ὁ Φιλόσοφος, σωπᾷ, ὅτι μὴ πᾶσι τοῖς Πρός τι κοινὸν ἅμα τῇ φύσει εἶναι. προχειρίζεται εἰς δεῖξιν τούτου, τὸ ὁπωσημήλιον, καὶ τὸ ἐπιστητὸν, καὶ τὸ αἴσθησιν, καὶ τὸ αἰσθητόν. Ἐν ἑκατέροις δὲ τούτων κέχρηται λόγῳ διττῷ. τῷ μὲν ὅτι ταῦτα οὐ συνεισάγει ἄλληλα, τῷ δὲ ὅτι οὐ συναναιρεῖ. Καὶ πρῶτον μὲν ὅτι σχετικὰ

τὰ

τὰ ῥηθέντα, συναίρει ἀπὸ τῆς ἀποδοθείσης ἐν ἀρχῇ ὑπογραφῆς, καθ' ἣν τὰ ἕτερον εἶναι λεγόμενα, ἢ ὁπωσοῦν πρός ἕτερον, Πρός τι ἐστί, τοιαῦτα δὲ ἡ ἐπιστήμη καὶ τὸ ἐπιστητόν, καὶ ἡ αἴσθησις, καὶ τὸ αἰσθητόν, ὡς πολλάκις εἴρηται. Ὅτι δὲ ταῦτα οὔτε συνεισάγει ἄλληλα, οὔτε συναναιρεῖ, δείκνυσιν ὁ Φιλόσοφος, ἐκ πρώτων ἐπὶ τῆς ἐπιστήμης, καὶ ἐπιστητοῦ. πολλὰ γὰρ τῶν ἐπιστητῶν, πολὺ πρότερον ὑπάρχει, ἢ τινὰ περὶ τούτων ἐπιστήμην ἡμεῖς προείσθηται. μάλιστα δὲ πάντα, εἴγε κατὰ τοὺς ἀναλυτικοὺς κανόνας τοῦτο φιλοπονεῖν τις ἐθέλει, καθ' οὓς τὸ ἐπιστητὸν γνῶσις ὑποτίθεται, προϋπάρχειν πρὶν ἢ ὁ περὶ αὐτὸ καταγινόμενος ἐπιστήμην ἀποδεικτικὴν περὶ αὐτὸ σχεῖν. ἐκ δὲ τεταγωνισμοῦ τοῦ κύκλου, ἐπιστητὸν εἶναι παρὰ τοῖς Γεωμέτραις τίθεται, ἐπιστήμην δὲ τούτου μήπω γεγονέναι πάντες ὁμολογοῦσιν.

Ὅτι δὲ οὐδὲ ἀναιροῦσιν ἄλληλα τὸ ἐπιστητὸν καὶ ἡ ἐπιστήμη δῆλον. τοῦ μὲν γὰρ ἐπιστητοῦ ἀναιρεθέντος, συναναιρεῖται πάντως καὶ ἡ ἐπιστήμη. μὴ γὰρ ὄντος ἐπιστητοῦ, οὐδὲ ἐπιστήμη ἔσται. μὴ οὔσης δὲ ἐπιστήμης, οὐκ ἀναγκαίως ἕπεται μὴ κὴ ἐπιστητὸν εἶναι, ὡς εἴρηται. Εἶτα ἀναιρεθέντος τοῦ ἀνθρώπου, οὐδεμία καταλείπεται ἐπιστήμη. ἡ γὰρ ἐπιστήμη ἐν τῇ ψυχῇ τὸ ἐπιστητὸν τυγχάνει, μονάδι δὲ πάντως (1) τὰ περὶ τὸν ἄνθρωπον, ἅπτα τῇ οἰκείᾳ φύσει τυγχάνει ὄντα ἐπιστητά.

Ὁμοίως δείκνυται τὸ αὐτὸ καὶ ἐπὶ τῆς αἰσθήσεως καὶ αἰσθητοῦ. τὸ γὰρ αἰσθητὸν τῆς αἰσθήσεως προϋπάρχειν δοκεῖ. τοῦ γὰρ ζώου ἀναιρεθέντος συναναιρεῖται ἡ αἴσθησις, οὐ μὴν καὶ πάντα τὰ αἰσθητά, ὅσα παρὰ τὸ ζῶον. ἀναιρεθέντος μέντοι τοῦ αἰσθητοῦ, συναναιρεῖται τὸ ζῶον, καὶ ἀκολούθως ἡ αἴσθησις. Εἶτα ἡ μὲν αἴσθησις ἀεὶ μετάτινος αἰσθητοῦ. ἅμα γὰρ τὸ ζῶον ἐστὶ, καὶ ἡ αἴσθησις. τὸ δὲ αἰσθητὸν προϋπάρχει τοῦ ζώου τε καὶ τῆς αἰσθήσεως. πῦρ γάρ, ἀήρ, καὶ τὰ λοιπὰ τῶν ἁπλῶν σωμάτων, προϋπάρχουσι τοῦ ζώου, ὅτι ἐξ αὐτῶν τὸ ζῶον συνέστηκεν.

Ὁμοίως εἴωθεν ἀπορεῖσθαι τοῖς Ὑπομνηματισταῖς, καὶ περὶ τῶν ἄλλων σχετικῶν. τὸ μὲν πατρὸς, καὶ υἱὸς σχετικῶν ὄντων, θάτερον θατέρου χρόνῳ τυγχάνει πρότερον. ὁ γὰρ πατὴρ πρὸ τοῦ υἱοῦ διὰ μακροῦ προϋφέστηκε χρόνου, καὶ ἔστιν αἰτία τῆς τοῦ υἱοῦ ὑπάρξεως. Ἁπάντωσι κοινότερον πρὸς τὰ εἰρημένα διαιρέσει χρώμενοι τῆς τῶν σχετικῶν θεωρίας. ἢ γὰρ κατὰ τὰ ὑποκείμενα, καὶ τὰς φύσεις ἀναφερομένας τὰ σχετικὰ λογιζόμε-

(1) Τὰ γὰρ γνωστὰ καὶ ὁπωσοῦν λέγεται εἶναι περὶ τὸν ἄνθρωπον, ἤτοι ἔξω τῆς αὐτοῦ φύσεως, καὶ τοῦ εἶναι.

ζόμεθα, ἢ κατὰ μόνλω τλὼ πρὸς ἄλληλα χέσιν, ϗ ἀναφοράν. κατὰ μὲν τὸν πρῶτον ζόπον, οὐδὲν κωλύει θάτερον θατέρου προϋπάρχειν τῷ χετικῶν, καὶ θάτερον θατέρῳ αἴτιον εἶναι. ὁ γὰρ ἄνθρωπος, ὁ ὢν πατὴρ, προϋπάρχει πάντως τοῦ ἀνθρώπου, ὃς ἐστὶν υἱὸς αὐτοῦ, καὶ ὁ αὖτις ὁ ὢν πατὴρ, αἴτιος ἐστὶ τῆς ὑπάρξεως τοῦ ἀνθρώπου, ὃς ἐστὶν υἱός. κατὰ δὲ τὸν λόγον τῆς χέσεως καὶ ἀναφορᾶς πρὸς ἄλληλα, οὐδὲν τῷ χετικῶν προϋπάρχει τοῦ πρὸς ὃ ἀναφέρεται. ἡ γὰρ χέσις, φέρε εἰπεῖν ἡ παζόπις, οὐχ ὅπως εἶναι, ἀλλ' οὐδὲ ἐννοεῖθαι δλύαται πρὸ τῆς κατὰ τλὼ ὑότητα χέσεως. οὐδὲ προσαγορδύεται τὶ τῷ ζώων, πατὴρ, πρὶν ἢ καὶ ἕτερον τὶ ζῶον ρηθεῖη υἱός, πρὸς ὃν ὁ πατὴρ ἀναφέρεται. Κατὰ ταῦτα δὲ ἐστὶν ἁπαντῆσαι καὶ πρὸς τὰ ἠπορημένα τῷ Φιλοσόφῳ περὶ τῆς ὄπσήμης, καὶ ὄπσητοῦ, καὶ αἰθήσεως, καὶ αἰθητοῦ, καὶ σωτομώτερον, ϗ δοκεῖ ρητέον, ὅτι τὰ κατὰ τὸ λέγεθαι χετικὰ, ἐ φιλὰς τὰς χέσεις δηλῶσιν, ἀλλὰ ϗ τὰς ἀναφερομένας προσημαίνει φύσεις. καὶ τοῦτο σαφὲς ἐπὶ τῷ προχειριδέντων τῷ Φιλοσόφῳ ἐπισήμης καὶ ἐπισητοῦ, καὶ αἰθήσεως, καὶ αἰθητοῦ. ὅθεν ὁ Φιλόσοφος, ἐπειδὴ περὶ τῷ κατὰ τὸ λέγεθαι χετικῶν ὁ λόγος ἦν αὐτῷ ἐπὶ τοῦ παρόντος, εἰκότως τῷ ἀναφερομένων πραγμάτων, θάτερον θατέρου προϋπάρχειν τῷ χρόνῳ φησίν.

Ἀπορία.

Τὸ τῆς Ἐπισήμης ὄνομα ἐπὶ τῆς λέξεως τοῦ Φιλοσόφου διαφόρως ἐκλαμβάνουσιν οἱ ἐξηγηταί. οἱ μὲν γὰρ κοινότερον τλὼ ἐπισήμλω ἐννοῦσι, καθ' ὅσον ἐκτείνεται καὶ ἐπὶ τὰς πρακτικὰς ἕξεις καὶ τέχνας, οἱ δὲ ἐπὶ μόνων τῷ θεωρητικῶν τὸ τῆς Ἐπισήμης ὄνομα ἐπὶ τοῦ παρόντος ἐκλαμβάνουσι. κατὰ μέντοι τὸν σκοπὸν τοῦ Φιλοσόφου οὐκ ἄλλως, ὅτι μὴ περὶ μόνων τῷ θεωρητικῶν ἕξεων ἐκληπτέον. αἱ γὰρ πρακτικαὶ, ~~εἰτ' οὖν~~ ποιητικαὶ ἕξεις, ὡς τέχναι προϋπάρχουσι πάντως τῷ τεχνητῶν. οὐδ' ἔστι τὸ τεχνητὸν ἐπίσητόν τι, ἀλλὰ μᾶλλον ποιητόν. Ὁ δὲ Φιλόσοφος περὶ τοῦ ἐπίσητοῦ ποιεῖται τὸν λόγον, ὃ καὶ προϋπάρχειν τῆς Ἐπισήμης σωνήγαγον. Ἀντιφέρουσι δὲ πρὸς τὰ εἰρημένα, τὸ λεγόμενον ἐπὶ τῆς λέξεως τοῦ Φιλοσόφου, ὃν „ οἷς φησὶν. ἐπ' ὀλίγων γὰρ αὖ, ἢ καὶ ἐπ' οὐδενὸς, ἴδοι τὶς ἂν ἅ„ μα τῷ ἐπίσητῷ τλὼ Ἐπισήμλω γενομένλω. δι' ὧν δοκεῖ διατάτεθαι

ὁ Φιλόσοφος οὐκ ἐπὶ πάντων ὁμοίως τῆς ἐπιστήμης προϋπάρχειν τὸ ἐπιστητόν, ἀλλ' ἔστιν ἐφ' ὧν καὶ ἅμα τῇ φύσει εἰσί. τῶν δὲ θεωρητικῶν ἕξεων, οὐδὲ μία ἐστὶ συνυπάρχουσα τῷ ἰδίῳ ἐπιστητῷ, ἀλλ' εἰσὶν ἅπασαι ὑστερογενεῖς.

Ἀπαντᾷ διαφόρως πρὸς ταῦτα ὁ Συμπλίκιος. Πρῶτον κατὰ Πλάτωνα, ἔμφυτον εἶναι τιθέμενος τὸν Ἐπιστήμων ταῖς ἡμετέραις ψυχαῖς. Δεύτερον. ὅτι διὰ τῶν εἰρημένων ὁ Φιλόσοφος ἐννοεῖ τὸν Ἐπιστήμων τῶν νοερῶν Εἰδῶν, συναϊδιάζουσαν ἐκείνοις. καὶ Τρίτον διὰ τὰ καθόλου, ἅπερ ἅμα χωρίζεται τῇ ἐπινοίᾳ καὶ ἐννοοῦνται. Ἢ τελευταῖον διὰ τὰ πλαττόμενα τῇ φαντασίᾳ, ἃ ἅμα πλάττεται καὶ γινώσκεται. Βέλτιον ἴσως φαίημεν, ὅτι ὁ Φιλόσοφος διὰ τῶν εἰρημένων, ἐννοεῖ ἐκεῖνα τῶν ἐπιστητῶν, ἅπερ σπανίως συμβαίνει καὶ ἐνδεχομένως γίνεσθαι, γινόμενα (1) δὲ, ἅμα καὶ ἐννοεῖται. προσίθησιν ὁ Φιλόσοφος. ἢ ἐπ' οὐδενός. ὅτι καὶ αὐτὰ ταῦτα προεπισάμεθα ἐν τοῖς οἰκείοις αὐτῶν γένεσι.

Τρίτον μέρος τοῦ κεφαλαίου.

„ Ἔχει δὲ ἀπορίαν, καὶ τὰ ἑξῆς.

Ἀποχρώντως ἐς τόδε ὁ Φιλόσοφος διεξάωσε τὸν φύσιν τῶν χειτικῶν, κατὰ τὸν κοινὸν ὑπόληψιν τῶν ἀρχαιοτέρων, παραδοὺς δεύτερον, καὶ ζόπον τῆς ἀντιτροφῆς τῶν αὐτῶν. τρίτον ὅπερ ἐπὶ τοῦ παρόντος ποιεῖ, ἀπορία ἐστὶν, ὧν προτίθησιν, εἰς διαβολὴν τῆς ἀποδοθείσης ὑπογραφῆς κατὰ γνώμην τῶν παλαιῶν. Ἕπεται δὲ ὁ τῆς ἀπορίας λόγος τοιὸς δε. ὅτι παρὰ τὸν ἀποδοθεῖσαν ὑπογραφὴν, ἕπεταί τινας τῶν οὐσιῶν ἐν τοῖς πρός τι εἶναι, ἀλλὰ τοῦτο ἄτοπον. ἦσαν γὰρ ἂν αἱ οὐσίαι συμβεβηκότα, ἆρα ἄτοπος ἡ κατὰ τὴν γνώμην τῶν παλαιῶν ἀποδοθεῖσα ὑπογραφὴ τῶν πρός τι. Ἵνα δὲ τοῦτο (2) δείξῃ ἑπόμενον ὁ Φιλόσοφος τῇ ἀποδοθείσῃ ὑπογραφῇ, ὑποτίθησι τὸν Οὐσίαν διηρημένην, εἴς τε τὸν πρώτην καὶ δεύτεραν. ὧν ἑκατέραν διχῶς θεωρεῖ, ἢ καθ' ἑαυτὸν ὁλοχερῶς, ἢ κατὰ τὰ οἰκεῖα αὐτῆς μέρη. Πρώτη ἐστὶν Οὐσία, ὁ τὶς ἄνθρωπος, καὶ ὁ τὶς ἵππος, μέρη δὲ τῆς πρώτης Οὐ-

(1) Ὡς ἡ τοῦ ἅματος κυκλοφορία, ἅμα δύρηται καὶ ἔγνωσαι. (2) Τοῦτο τὸ ἄτοπον ἑπόμενον.

Οὐσίας ὡς ἡ τὶς κεφαλὴ, καὶ ἡ τὶς χεὶρ, καὶ ὅσ' ἄλλα. Δεύτερα δὲ Οὐσία ἐσὶν ὁ ἁπλῶς ἄνθρωπος, καὶ ἁπλῶς ἵππος. καὶ μέρη δὲ αὐτῆς, ἡ ἁπλῶς κεφαλὴ, καὶ ἁπλῶς χεὶρ.

Τούτων οὕτως ὑποτεθέντων, δείκνυσιν ὁ Φιλόσοφος τὰς πρώτας Οὐσίας οὐδετέρως ἐνδέχεσθαι εἶναι τῆς πρός τι, οὔτε καθ' ἑαυτὰς ὁλοχερῶς, ὅτε κατὰ τὰ οἰκεῖα αὐτῆς μέρη. Ἔσι δὲ ὁ λόγος τῆς δείξεως, ὅτι τὰ ἁπλῶς ἀπόλυτα ὄντα, οὐ πρός ἕτερον λέγεται, αἱ δὲ πρῶται Οὐσίαι, καὶ καθ' ἑαυτὰς, καὶ κατὰ τὰ οἰκεῖα μέρη ἁπλῶς εἰσὶν ἀπόλυτοι. διὰ τοῦτο οὐδὲ πρὸς ἕτερον λέγονται. οὐ γὰρ φαμὲν τὸν τινὰ ἄνθρωπον, τινὸς ἄνθρωπον εἶναι, οὐ δὲ ἡ τὶς κεφαλὴ, λέγεται τινὸς τὶς κεφαλή. ὁμοίως καὶ αἱ δεύτεραι Οὐσίαι καθ' ἑαυτὰς μὲν οὐκ ἀῤῥηθεῖσι πρός ἕτερον. καὶ γὰρ αὐταὶ ἁπλῶς εἰσὶν ἀπόλυτοι. οὐ γὰρ λέγονται ὁ ἄνθρωπος τινὸς ἄνθρωπος, ἢ βοῦς, ἢ ἵππος, τινὸς βοῦς, ἢ τινὸς ἵππος, ἅπερ εἰσὶν οὐσίαι, ὅτι μὴ πτωτικῶς. φαμὲν γὰρ τὸν ἵππον, ἢ βοῶν, τινὸς ἵππον, ἢ βοῶν, ὡς πτώματα ἃ ἀποδίδομεν. κατὰ μέντοι τὰ οἰκεῖα μέρη αἱ δεύτεραι Οὐσίαι θεωρούμεναι, σχετικῶς δοκοῦσι πρός ἕτερον λέγεσθαι. ὡς γὰρ εἴρηται, ἡ κεφαλὴ λέγεται κεφαλωτοῦ κεφαλὴ, καὶ ἀντιστρόφως τὸ κεφαλωτὸν κεφαλῆ κεφαλωτόν.

„ Εἰ μὲν οὖν ἱκανῶς ὁ τῆς πρός τι ὁρισμὸς ἀποδέδοται.

ΠΡοθέμενος τὴν ἀπορίαν ὁ Φιλόσοφος, παραινεῖ ἐφεξῆς ἀποδοτέον εἶναι ὑπογραφὴν ἑτέραν τῆς πρός τι, εἰς ἐπίλυσιν τῆς προτεθείσης ἀπορίας. φησὶ γὰρ εἰ μὲν οὖν ἱκανῶς ὁ τῆς πρός τι ὁρισμὸς ἀποδέδοται, ἢ τῆς παύ χαλεπῶν, ἢ τῆς ἀδυνάτων ἐσὶ τὸ δεῖξαι ὡς ὐδεμία ὐσία τῆς πρός τι λέγεται. τὸ δὲ αἴτιον τούτε πρόδηλον ἐκ τῆς εἰρημένων. κατὰ γὰρ τὴν ἀποδοθεῖσαν ὑπογραφὴν, πρός τι εἰσὶν, ὅσα αὐτὰ ἅπερ εἰσὶν, ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρός ἕτερον. ἡ δὲ κεφαλὴ, αὐτὸ ὅπερ ἐσὶ, δηλαδὴ κεφαλὴ τοῦ κεφαλωτοῦ εἶναι λέγεται. ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῶν λοιπῶν τῆς δευτέρας Οὐσίας μερῶν. ἡ γὰρ χεὶρ, χειρωτοῦ χεὶρ, καὶ τὸ χειρωτὸν χειρὶ χειρωτόν.

Τέταρτον μέρος τοῦ κεφαλαίου.

„ Εἰδὲ μὴ ἱκανῶς, καὶ τὰ ἑξῆς.

ΠΑραδίδωσιν ἐντεῦθεν ὁ Φιλόσοφος ἑτέραν τῆ Πρός τι ὑπογραφὴν, ἐξ οἰκείας γνώμης, καθ' ἣν ἐστὶν ἁπάντησαι πρὸς τὴν ἤδη προβλη-„ θεῖσαν ἀπορίαν. ἔστι δὲ αὕτη. Πρός τι ἐκεῖνα εἰσὶν, οἷς τὸ εἶναι ταυτὸν ἐστὶ τῷ Πρός τι πῶς ἔχειν. βούλεται δὲ εἰπεῖν, ἐκεῖνα τῆ ὄντων εἰσὶ σχετικὰ, ὧν τὸ εἶναι οὐκ ἔστι τὸ πρὸς ἕτερον λέγεσθαι, ἀλλὰ τὸ πρὸς ἕτερον εἶναι. διαφέρει δὴν ἡ δευτέρα αὕτη ὑπογραφὴ τῆς πρώτερον ἀποδεδομένης κατὰ γνώμην τῆ ἀρχαιοτέρων, ὅτι αὕτη μὲν ἐστὶ δηλωτικὴ τῆς κατ' οὐσίαν σχέσεως, ἐκείνη δὲ τῆς κατηγορικῆς μόνον σχέσεως. Ὅταν καὶ κατ' ἐκείνην τὰ σχετικὰ, κατὰ τὸ λέγεσθαι, ~~εἴπερ~~ ἔστι, κατηγορεῖσθαι σχετικὰ ἤκουσε. τὰ δὲ τῆς κατ' οὐσίαν σχέσεως ὄντα δηλωτικὰ, κατὰ τὸ εἶναι εἴρηται σχετικὰ. κατὰ γὰρ ταύτην ἡ τῆ σχέσεων οὐσία, οὐδὲν ἄλλο ἐστὶν, ἢ φιλὴ σχέσις, ὧν εἰσὶ πατὴρ καὶ υἱὸς, δεσπότης καὶ δοῦλος, διπλάσιον ἥμισυ, καὶ πολλὰ ἄλλα. ὁ γὰρ πατὴρ, ἢ πατὴρ τῆ πατρότητι οὐσίωται, ἥτις ἐστὶ σχέσις φιλὴ, ὡσαύτως καὶ τῆ υἱότητι ὁ υἱὸς, καὶ ἐπὶ τῆ ἄλλων ὁμοίως.

Διδάσκει δὲ ὁ Φιλόσοφος τὴν μὲν πρώτην ὑπογραφὴν, κοινότερον πᾶσι προσήκειν τοῖς σχετικοῖς. πάντα γὰρ ἑτέρων εἶναι λέγεται τὰ σχετικὰ, ἢ ὁπωσοῦν πρὸς ἕτερον ἀναφέρεται. ἀλλὰ τὰ μὲν, κατὰ τὸ εἶναι σχετικὰ, κατὰ τὴν σφῶν αὐτῆ οὐσίαν λέγεται. τὰ δὲ κατὰ τὸ λέγεσθαι σχετικὰ, ἑτέρων εἶναι λέγεται, κατὰ σχέσιν κατηγορικὴν μόνον, ὡς εἴρηται· ἐν γὰρ ἑτέραις τελοῦντα κατηγορίαις, πρόσεσιν αὐτοῖς καὶ τὸ πρὸς ἕτερον λέγεσθαι.

Ἐπιλύεται δὲ καὶ ἡ προβληθεῖσα ἀπορία τῆ Φιλοσόφῳ, διὰ τῆς νεωτέρας ἀποδιδομένης ὑπογραφῆς, τρόπον τινὰ δε. τὰ μέρη τῆς δευτέρας οὐσίας, λέγεται μὲν πρός τι, (ἡ γὰρ κεφαλὴ πρὸς τὸ κεφαλωτὸν ἀναφέρεται.) ἀλλ' οὐκ ἔστι τῆς κεφαλῆς τὸ τί ἦν εἶναι, τὸ πρὸς κεφαλωτὸν ἀναφέρεσθαι, δηλαδὴ σχέσις μόνη. ἡ γὰρ κεφαλὴ, ὥσπερ καὶ τὰ λοιπὰ τῆς οὐσίας μέρη, οὐσίαν ἔσχηκε καθ' ἑαυτὴν ὑπάρχουσαν. ὧν δὲ ἡ οὐσία καθ' ἑαυτὴν ὑπάρχει, ταῦτα οὐκ ἔστι κατ' οὐσίαν σχετικά. τὰ μέρη ἄρα τῆς δευ-

ἔστι γε μὴν ἡ ἡνὶ ἑαυτὸν ἀναιρεῖν ὡδὶ σκεπτέον. ἀλλὰ μὴν τέρας
τὰ μέρη τῆς δευτέρας οὐσίας, ἡ ἔστι μέρη χωριστὰ, ὑπάρχοντα καθ' ἑαυτὰ,

πρας οὐσίας, λέγεται μὲν πρός τι, οὐκ ἔστι δὲ πρός τι, δηλονότι οὐκ ἔστι σχετικὰ κατ' οὐσίαν, ὡς παρ' ἡμῖν δηλαδὴ καὶ ὑμῖν.

Πέμπτον παρεπόμενον.

„ Ἓν δὲ τούτων δῆλον ἐστὶν, ὅτι ἑαυτὸς εἰδῇ τὶ ὡρισμένως τῷ Πρός τι.

ΠΑραδοὺς ὁ Φιλόσοφος τὴν κατ' οὐσίαν ὑπογραφὴν τῷ Πρός τι, ἴδιον ἐπάγει πᾶσι τοῖς κατὰ τὸ εἶναι πρός τι προσῆκον, ὅτι τῷ σχετικῶν ἕτερος εἰδῇ θάτερον ὡρισμένως, καὶ θάτερον ὡρισμένως ἔσται. ὡρισμένως δὲ εἰδέναι ἐστὶ, τὸ δικαίως καὶ ἰδιαίτατα εἰδέναι. καὶ ἡ τοιαύτη γνῶσις ἀντίκειται τῇ καθόλου, καὶ συγκεχυμένῃ. οἷον τὸ εἰδέναι, ὅτι ἄνθρωπος τὸ ὡρσιον, καθόλου καὶ συγκεχυμένως ἐστὶν εἰδέναι. ὅτι δὲ τὸ προσιὸν Σωκράτης, ἢ Πλάτων, ὡρισμένως ἐστὶ γνῶσις, δικαίας τε, καὶ ἰδιαίτατα.

Δείκνυσι δὲ, τὸ προχειρισθὲν ἴδιον τῷ Πρός τι ὁ Φιλόσοφος καὶ λόγῳ συλλογιστικῷ, ἀπὸ τῆς ἀποδοθείσης ἤδη ὑπογραφῆς, καὶ δι' ἐπαγωγῆς ἀπὸ τῶν καθ' ἕκασα. Δυνάται δὲ ἡ δεῖξις, οὐ μόνον περὶ τῆς ὡρισμένης, καὶ δικαίας γνώσεως, ἀλλὰ καὶ περὶ τῆς καθόλου καὶ συγκεχυμένης. ὅπως ποτε γὰρ θάτερον τῶν σχετικῶν γνοίημεν, καὶ θάτερον ἅμα ὁμοίως ἐγνωσμένον ἔχειν ἀναγκαῖον ἐστί. Σχηματίζεται δὲ ὁ λόγος ὅπῳ τοιῷδε. οὗ ἡ οὐσία ἐν τῷ πρὸς ἕτερον ἀναφέρεσθαι σωίεσηκεν, οὐ γινώσκεται, μὴ καὶ θατέρου ὁμοίως γνωσθέντος, τῷ δὲ σχετικῶν ἡ οὐσία τῷ πρὸς ἕτερον ἀναφέρεσθαι σωίεσηκεν, ὡς ἡ προσεχῶς ἀποδοθεῖσα ὑπογραφὴ τῷ Πρός τι ἐδήλωσεν. ἀδύνατον ἄρα θάτερον τῶν σχετικῶν ἐγνωκέναι, μὴ ὁμοίως ἐγνωκότας καὶ θάτερον.

Σιωάγει τοῦτο καὶ δι' ἐπαγωγῆς ὁ Φιλόσοφος προχειρισάμενος εἰς παράδειγμα διπλάσιον, καὶ ἥμισυ, κάλλιον, καὶ χεῖρον. εἰ γάρ τις εἰδῇ τὶ διπλάσιον ὄν, οὐ καθόλου, καὶ συγκεχυμένως, ἤ δηλαδὴ διπλάσιον τυγχάνει, ἀλλὰ ὡρισμένως καὶ καθ' ἕκασα, ἥπερ ἐστὶ τοῦτο τὸ διπλάσιον, φέρε εἰπεῖν τέτταρα, ἢ δέκα, ἀνάγκη ἐστὶ & τὸ ἥμισυ τούτων ἐγνωκέναι, τὰ δύο δηλαδὴ, ἢ τὰ πέντε. ὅτω καὶ εἴτις ὡρισμένως εἰδῇ τὶ κάλλιον ὄν, ἢ χεῖρον. εἰδέτις φαὶη ἐγνωκέναι μέν τι κάλλιον ὄν ὡρισμένως, οὗ δὲ κάλλιον λέγεται, μὴ ἐγνωκὼς ὡρισμένως, οὗτος δόξαν μὲν ἕξει τοῦ τοιούτου, ὅτι ἐστὶ κάλλιον, οὐ μὴν Ἐπιστήμην. ἀδύχεται γὰρ, μηδὲν αὐτοῦ χεῖρον εἶναι, ὡς τε μηδ' ἐκεῖνο κάλλιον.

λιον. καὶ οὕτω ψευδῶς φανεῖται δοξάζων, ὅτι ἐστὶ κάλλιον, ὅπερ ὡρισμένως εἰδέναι οἴεται. Ἐν τούτῳ δὲ σωζόμενος ὁ Φιλόσοφος τὸ ἐν ἀρχῇ προβληθὲν, ὡς εἴτις θάτερον τῶν σχετικῶν ὡρισμένως εἰδείη, ἀναγκαίως καὶ θάτερον εἴσεται ὡρισμένως.

„ Κεφαλὴ δὲ καὶ χεὶρ, &c τὰ τοιαῦτα.

Ἐν τούτοις ὁ Φιλόσοφος ἐπιλύεται τὸ προτεθὲν ἀνωτέρω ἀπόρημα, περὶ τῶν μερῶν τῆς οὐσίας, ὅτι ἐστὶ τῶν πρός τι. ἡ δὲ λύσις εἴληπται, ἀπὸ τοῦ προσεχῶς ἐκτεθέντος τῶν πρός τι ἰδιώματος, λόγῳ τοιῷδε. οὐ δυνάμεθα γνῶναι τὰ σχετικὰ μὴ ἐγνωσμένων ὁμοίως τῶν πρὸς ἃ ταῦτα λέγεται. ἀλλὰ μὴν τὰ μέρη τῆς δευτέρας οὐσίας δυνάμεθα γνῶναι, μὴ ἐγνωσμένων ὁμοίως τῶν πρὸς ἃ ταῦτα λέγεται, ἄρα τὰ μέρη τῆς δευτέρας οὐσίας οὐκ εἰσὶ σχετικά.

Ἡ μείζων δεδήλωται ἐπὶ τοῦ ἐκτεθέντος ἰδιώματος. ἡ ἐλάττων δείκνυται. συμβαίνει γὰρ πολλάκις χεῖρα, ἢ κεφαλὴν, ἢ τι ἕτερον μέρος τοῦ ζώου, ὡρισμένως θεασαμένους ἡμᾶς, ἀγνοεῖν τὸ οὗ ἐστὶ χεὶρ, ἢ κεφαλὴ ζῶον, τοιγαροῦν δὲ δῆλον ἐστὶν, ὅτι τὰ μέρη τῶν οὐσιῶν ὡρισμένως εἰδότες, οὐκ εἴδαμεν ὧν εἰσὶ μέρη, ὅτι μὴ συγχεχυμένως καὶ καθόλου, ὡς τε οὐκ ἂν εἴη ταῦτα τῶν πρός τι.

Τελευταῖον ὁ Φιλόσοφος βραχεῖ ἐπιλόγῳ τέλος τίθησι τῷ περὶ τῶν πρός τι κεφαλαίῳ, παραινῶν ἡμᾶς τὸ δυσξυμβατον, καὶ δύσληπτον τῆς τῶν πρός τι ἐννοίας, ἐπιμελῶν ἅμα καὶ τοῖς μὴ προεσκεμμένως, ἀπόμως δὲ καὶ ἀυποσόλως ἀποφαινομένοις τι περὶ τῶν πρός τι. ἔστι μέντοι φάναι ταῦτα καὶ πρὸς τοὺς ἀρχαιοτέρους ἀπερρίφθαι τῷ Φιλοσόφῳ οἱ τὴν καταρχὰς ἀποδοθεῖσαν τῶν πρός τι ὑπογραφὴν, ἀσφαλῆ καὶ ἀναντίρρητον ᾠοντο, μηδὲν ἀμφισβητουμένης περὶ αὐτῆς. ὅθεν καὶ ἐπήγαγε, τὸ μέντοι διπορῆσαι περὶ ἑκάστου αὐτῶν, οὐκ ἄχρηστόν ἐστι. ὅπερ ἐκ μέρους αὐτὸς ἐπὶ τοῦ παρόντος ἀποδέδωκεν, ἐν ἄλλοις δὲ πληρέστερον φαίνεται πεποιηκώς.

Ζητη-

Ζητήματα περὶ τῶν Πρός τι.

Πότερον ἡ σχέσις σωίσησι γένος κυρίως ἐν τοῖς οὖσιν, ἀντιδιαστελλόμενον τῆς τοῦ ὄντος γενῶν; Ὁ σκοπὸς τῆς πραγματείας τῆς περὶ τῆς Κατηγοριῶν βίβλου, τὴν διδασκαλίαν ἐπαγγέλεται τῆς ἀνωτάτω τοῦ ὄντος γενῶν, καὶ τὴν διανομὴν τῆς αὐτῆς εἰς τὰ οἰκεῖα εἴδη. ὅθεν καὶ ἐπὶ τοῦ παρόντος κεφαλαίου τοῦ περὶ τῆς Πρός τι, ἐκεῖνο οὐκ ἀπεικότως πρὸ τῆς ἄλλων τοῖς φιλομαθέσιν εἰς ζήτησιν ἀνακύπτει, τίνι λόγῳ τὰ σχετικὰ συνοῦται σωιαγόμενα εἰς ἕνα γένος ἴδιον ἐν τοῖς οὖσιν.

Ἐπίσημος ἡ ζήτησις αὕτη παρὰ τοῖς Μεταφυσικοῖς τυγχάνει. περὶ ἧς διαφόρως δοξάζουσιν οἱ φιλοσοφοῦντες, ἄλλοι ἄλλως ἐπιχειροῦντες ἀποδεικνύναι γένος ἴδιον τῆς σχετικῶν ἐν τοῖς οὖσιν. ἡμῖν δὲ προθετέον εἰς διάσκεψιν, τὰ ἐκ διαμέσου ἀντιπίπτοντα δοκοῦντα τῆς δεδεγμένων ταῦτα. οἱ μὲν γὰρ αὐτῆς τιθέασι τὴν σχέσιν ἐν τοῖς οὖσι, πράγματι διαφέρουσαν τοῦ ἰδίου ὑποκειμένου. διὸ καὶ γένος σωεσάναι τοῦ ὄντος καθ' ἑαυτὸ, τῆς ἄλλων τοῦ ὄντος γενῶν ἀντιδιαστελλόμενον ἀπολούθως οἴονται.

Εἰς βεβαίωσιν δὲ τοῦ τοιούτου δόγματος, διαφόρους προφέρουσι λόγους, τοὺς μὲν ἀπὸ τῆς Θεολογίας προχειριζόμενοι, τοὺς δὲ ἀπὸ τῆς φιλοσοφίας. Ὑποτίθενται τοιγαροῦν ἀπὸ τῆς θεολογίας ταῦτα. ὅτι ἐπὶ τῆς θείας φύσεως σχέσεις τυγχάνουσιν οὖσαι, αἷς τὰ θεῖα πρόσωπα σωέχεταί τε καὶ κέκριται, εἶναι δὲ οὐ μόνον κατ' ἐπίνοιαν, ἀλλὰ καὶ πράγματι, ἐνυπάρχειν τῇ θείᾳ φύσει πιστεύονται, ἀλλὰ καὶ οὐσίας εἶναι ἀναμφισβήτητον ὄξιν, εἴπερ ἀπηγόρευται συμβεβηκὸς ἐπὶ τῆς θείας φύσεως ἐννοεῖν. Ἐκ τούτων δὲ ἐπιχειροῦσιν ὧδί.

Εἰ πράγματι, καὶ οὐ κατ' ἐπίνοιαν αἱ σχέσεις εἰσὶν ἐπὶ Θεοῦ, καὶ ἐν τοῖς κτίσμασιν ὁμοίως ἔσονται πράγματι, καὶ οὐ κατ' ἐπίνοιαν. ἀλλὰ μὴν τὸ ἐπὶ τῆς πίστεως, ἀναμφισβήτητον. ἄρα καὶ τὸ ἐπὶ τοῖς κτίσμασιν ἔσται ἀληθές. Τὸ σωημμένον δείκνυται. ὥσπερ γὰρ ἐν τοῖς θείοις, οὕτω καὶ ἐν τοῖς κτίσμασι πάντα ὑπάρχει ὅσα εἰς σύστασιν ἀπαιτεῖται πραγματικῆς σχέσεως, ὡς γὰρ ἐν τοῖς θείοις ἡ παρότης ἀληθὴς ὄξι καὶ πραγματική, ὅτι ἀληθῶς τε καὶ πραγματικῶς

ὁ ἀπ-

ὁ ἄκτιστος Πατὴρ γίνεται τὸν ἄκτιστον Υἱόν. οὕτως ἐν τοῖς κτίσμασιν ἀλήθης, καὶ πραγματική ἐστιν ἡ παράθεσις, ὅτι ὁ κτιστὸς πατὴρ γεννᾷ ἀληθῶς καὶ πραγματικῶς τὸν κτιστὸν υἱόν, καὶ τὰ λοιπὰ δὲ πάντα τῆς σωτελουμένης εἰς σύστασιν τῆς πραγματικῆς σχέσεως, ἀναλόγως ἐπὶ τῆς κτισμάτων καθορᾶται, ὡς περ καὶ ἐπὶ τῆς θείων ἐννοεῖται.

Τῶν δὲ ἀπὸ φιλοσοφίας λόγων πιστοτικώτατος ἐστιν ὁ ἀπὸ τοῦ ἀριθμοῦ τῆς Κατηγοριῶν λαμβανόμενος. τὸ γὰρ εἰς τὰς δέκα διαιρούμενον κατηγορίας πραγματικῶς ἐστιν ὄν, καὶ ὃ κατ' ἐπίνοιαν, ὧν ἐστὶ καὶ ἡ τῆς σχετικῶν κατηγορία. πάσης γὰρ διαιρέσεως τὰ μέρη, ἀναγκαίως μεταλαμβάνουσι τοῦ κοινοῦ διῃρημένου λόγου. ὡς τε τὰ σχετικὰ ἀναγκαίως τελοῦσιν ὑπὸ τὸ πραγματικὸν ὄν, καὶ εἰσὶ πράγματι τῆς ἄλλων γενῶν ἀντιδιαστέλλομενα.

Ἡ πίστις δὲ τοῦ προτεθέντος ἐπιχειρήματος συμβέβηκε πᾶσα ὑπὸ τοῦ ἀεισοτελικοῦ ἀξιώματος, καὶ τῆς κοινῆς τῶν φιλοσοφούντων δόξης. πάντες γὰρ ἀποδέχονται τὸν δεκαδικὸν ἀριθμὸν ἐπὶ τῆς γενικωτάτων τοῦ ὄντος γενῶν. τὸ δὲ κινῆσαν τούτους εἰς τοιοῦτο κοινοῦ τοιοῦτον δόξαν εἰσὶν αἱ σχετικαὶ ἐν τοῖς οὖσιν ἐπωνυμίαι, αἵτινες πρὸ τῆς τοῦ νοὸς ἐπινοίας πράγματι ἐπὶ τῆς πραγμάτων ἀληθεύουσιν, οἷαι εἰσὶ τὸ ὑπερέχον, καὶ ὑπερεχόμενον, τὸ προσεχὲς, καὶ πόρρω, πατὴρ καὶ υἱός, ὅμοιον, ἴσον, καὶ ὅσ' ἄλλα, ἃ δὴ πάντα ὅτι σχετικά, πρόδηλον. ὅσα γὰ αὐτὰ ἅπερ εἰσὶν ἑτέρων εἶναι λέγεται, καὶ ὧν τὸ εἶναι ἐστὶ τὸ πρὸς ἕτερον λέγεσθαι, ἢ ἀναφέρεσθαι, ἀναντιῤῥήτως εἰσὶ σχετικά. ἀρ' ἐστὶν Ἐπεὶ δὲ αὐτὰ ταῦτα ἐν τοῖς οὖσιν ὑπάρχει, οἷα πάσης ἐπινοίας ἡμετέρας, πράγματα πάντως εἰσὶν, ἀλλ' οὐ πλάσματα. Εἰδὲ ταῦτα ἀναφερόμενα, καὶ πράγματα εἰσὶ σχετικὰ ἐν τοῖς οὖσι, καὶ αἱ ἀναφοραὶ δήπου καὶ σχέσεις αἷς ταῦτα οὐτίωται, πράγματα τῷ ὄντι ἐν τοῖς οὖσιν ἔσονται, καὶ τῆς ἡμετέρας ἐπινοίας εἰς ὕπαρξιν μὴ δεόμενα.

Ἐμπεδᾶται τὸ αὐτὸ, ἀπὸ τοῦ ἀπογίνεσθαι τοιοῦτο σχέσιν, τοῦ ἰδίου ὑποκειμένου μένοντος τοῦ αὐτοῦ, ὅπερ εἶναι δοκεῖ σημεῖον διαιρέτεως πραγματικῆς, καθ' ἣν αἱ σχέσεις τῆς καθ' αὑτὰς ὑποκειμένων ἀντιδιαστέλλονται. ὅθεν ἡ σχέσις ἐστί τι ἐν τοῖς οὖσι παρὰ τὸ ἴδιον ὑποκείμενον, καὶ ἀκολούθως σωίζεσθαι ἴδιον γένος ἐν τοῖς οὖσιν, ἀντιδιαστελλόμενον τῆς λοιπῶν τοῦ ὄντος γενῶν.

Παρὰ ταῦτα, καὶ ἀπὸ τῆς τάξεως τῶν μερῶν τοῦ παντὸς, κατὰ συμβεβηκὸς ἐκείνοις προσηκούσης, ὅτι ὑπ' οὐδὲν ἄλλο τῆς τοῦ ὄντος γενῶν ἀνα-

πτέα,

πακτέα, ὅτι μὴ ὑπὸ τὰ Πρός τι. καὶ ὅτι μὲν ἐστὶ κατὰ συμβεβηκός, ἐξ ὑποθέσεως σωιζῶσι. μεταποιηθείσης γὰρ καθ' ὑπόθεσιν τῆς τάξεως τοῦ παντὸς, μεταπεσόντων τῶν ἐκείνου μερῶν, αὐτὰ μὲν καθ' αὑτὰ τὰ πράγματα μενοῦσι ταυτὰ, ἡ δὲ τάξις μεταβληθήσεται.

Ὅτι δὲ ἡ τάξις αὕτη τῶν μερῶν τοῦ παντὸς πράγματι ἐνυπάρχει τοῖς οὖσι, καὶ οὐ κατ' ἐπίνοιαν, ἀναμφισβήτητόν ἐστι; μάλιστα ὡς ἐν τῷ I. λέγεται τῶν Μεταφυσικῶν, οὐ τῆς τυχούσης ἐστὶ τελειότητος αἴτιος, ἡ τάξις αὕτη τῷ παντί. αλγ

Ἀντικειμένη δόξα.

Οἱ δὲ τοῦ ἀντικειμένου δόγματος προϊσάμενοι, τὴν χέσιν ἔξωθεν ἐπιγίνεσθαί φασι τοῖς πράγμασιν. ἀναφαίνεται γὰρ φασιν ἐπὶ μόνης τῆς τοῦ νοὸς συγκρίσεως, ὁπωσίκα ἐννοεῖ τὰ ὄντα θάτερον θατέρῳ παραβάλλων, (καθ' οὕς αἱ χέσεις οὐκ εἰσὶ τῶν ὄντων ἀντιδιαιρούμεναι, ἤτοι τῶν ἀναφερομένων πραγμάτων, ἀλλ' ἔστιν αὐτὰ τὰ ἀναφερόμενα πράγματα, ὧν ἕτερον πρὸς ἕτερον ἀναφέρεται.) συνυπάρχειν (1) αὐτῷ, κατά τινα συνάφειαν συμβεβηκυῖαν (2) αὐτοῖς, διὸ καὶ γένος πεφύκασιν ἴδιον ἀντιδιαιρεῖσθαι τοῦ γένους τῶν ἀναφερομένων πραγμάτων συνίστασθαι.

Εἰς δεῖξιν τοῦ τοιούτου δόγματος, διαφόροις κέχρηνται λόγοις, ὧν ἐστὶν οὗτοι. Τῶν γινομένων καὶ ὑποτελουμένων ἕκαστον (εἴγε τῶν ὄντων ἐστὶ, καὶ μὴ ἀνάπλασμά τι τῆς ἡμετέρας ἐπινοίας) ἀνάγκη ὑποτίνος αἰτίας πραγματικῆς, ἢ καθ' αὑτὸ, ἢ κατὰ συμβεβηκὸς παρημμένον εἶναι. ἀλλὰ αἱ χέσεις ὑπ' οὐδενὸς φαίνονται παρημμέναι αἰτίου, οὔτε καθ' αὑτὸ, οὔτε κατὰ συμβεβηκός, οὐκ ἄρα εἰσὶν αἱ χέσεις τῶν ὑποτελουμένων πραγμάτων. Ἡ μείζων πρόδηλος, ἡ ἐλάττων δείκνυται. Ὅτι μὲν οὐκ ἔστιν αἴτιον τῆς παραγωγῆς τῶν χέσεων καθ' αὑτὸ, ἀναμφισβήτητόν ἐστιν. ἐν τοῖς Πρός τι γὰρ οὐδεμία ἐστὶ κίνησις, ὡς ἐν τῷ Γ. Ϛ Ε. τῶν Φυσικῶν ἐδαφίῳ δεκάτῳ λέγεται, ἀλλ' οὐδὲ κατὰ συμβεβηκὸς αἴτιον εἶναι φαίνεται τῆς παραγωγῆς τῶν χέσεων. ἄρα κατ' οὐδένα τρόπον. τὸ γὰρ κατὰ (3) συμβεβηκὸς ὑποτελούμενον, διττὸν γένος ἐστίν. Ἢ γὰρ μόνον παρὰ

(1) Αὐτῷ τῷ νῷ τὴν χέσιν. (2) Τοῖς πράγμασι. (3) Τὰ ὑποτελούμενα διχῶς, ἢ καθ' αὑτὸ, ἢ κατὰ συμβεβηκός. ἐξ πάλιν τὸ κατὰ συμβεβηκὸς διχῶς, ἢ παρὰ τὸν σκοπὸν τοῦ ποιητικοῦ αἰτίου, καὶ σωίπτεται τῷ καθ' αὑτὸ ὑποτελουμένῳ. ὁ γὰρ γεωργῶν ἄνθρωπον οὐκ ὑποβλέπει πρὸς φθορὰν, ἀλλὰ πρὸς γένεσιν, συμφύεται μέντοι τῇ γινομένῃ ἡ φθορά. ἢ οὐ τούτῳ, ἀλλὰ τῇ καθ' αὑτὸ ἐνεργείᾳ τοῦ ποιητικοῦ, ὡς ὁ σκάπτων φυτεῦσαι δένδρον, σωέβη θησαυρὸν εὑρεῖν. καίτοι οὐχὶ τοῦ θησαυροῦ ἕνεκα ἔσκαπτεν, ἀλλὰ τοῦ φυτεῦσαι. ὅρα δὲ πῶς σωίπτεται τῇ καθ' αὑτὸ ἐνεργείᾳ τῷ ποιητικῷ, ἥτις ἐστὶν ἡ σκαφὴ τὸ κατὰ συμβεβηκὸς ὑποτελούμενον, ὅ ἐστιν ἡ τοῦ θησαυροῦ εὕρεσις.

τὸν σκοπὸν ἐστὶ τοῦ ποιητικοῦ, σωίπται δὲ ἀεὶ τῷ καθ' αὐτὸ ἀποτελουμένῳ ὑπὸ τοῦ τοιοῦδε ποιητικοῦ, ὡς περ ἡ φθορὰ σωίπται τῇ γενέσει. ἥτις καθ' αὐτὸ ἀπὸ τοῦ ποιητικοῦ ἀποτελεῖται, ἢ οὐδὲ τῷ καθ' αὐτὸ ἀποτελουμένῳ σωίπται, ἀλλὰ κατὰ τύχλω μόνον συμβαίνει τῇ καθ' αὐτὸ ἐνεργείᾳ τοῦ ποιητικοῦ, ὡς τὰ τυχηρὰ πάντα, οἷον ὡς ἡ τοῦ θησαυροῦ εὕρεσις τῇ ὀρύξει συμβαίνει τῷ φυτευόντων, ἢ οἰκοδομούντων. ἑκατέρως μέντοι ἀνάγκη ἐστὶ τὸ κατὰ συμβεβηκὸς ἀποτελούμενον, ἑπεσθαί τινὶ τῷ καθ' αὐτὸ ἀποτελουμένων. ἀλλὰ ὡς τὸ ἐν ἀθλώσῃσι λευκὸν, φέρε εἰπεῖν, οὐδεμιᾶς παραγωγῆς καθ' ἑαυτὸ γινομένης, οὔτε ἀποτελέσματος καθ' αὐτὸ, ὁπλωίκα ἐν Ῥώμῃ δὸς εἰπεῖν, ἑτεροίντι παράγεται λευκὸν, καὶ περ οὐδὲν ἧττον τὸ ἐν ἀθλώσῃσι λευκὸν, ὅμοιον ἕπεται λέγεσθαι τῷ ἐν Ῥώμῃ παρηγμένῳ λευκῷ. ὥσε τῇ χέσεων οὐδὲν αἴτιον φραγματικὸν τῆς παραγωγῆς αὐτῇ, οὔτε καθ' αὐτὸ, οὔτε κατὰ συμβεβηκὸς, ἢ ἀκολούθως οὐδὲ πράγματι ἐν τοῖς οὖσιν εἰσίν.

ἐν ἐλάττονι

Δεύτερον, τὸ πράγματι ὄν, ἢ μὴ κατ' ἐπίνοιαν, ἡ οὐσία ἐστὶν, ἡ συμβεβηκὸς, ἡ χέσις οὐδέτερον ἐνδέχεται εἶναι, ἄρα οὐκ ἔστι πράγματι ὄν. Δείκνυται ἡ ἐλάττων, ὅτι μὲν οὐσία ἔστιν οὐσία, ἀναμφισβήτητον ὄζιν. ὅτι δὲ οὐδὲ συμβεβηκὸς, δῆλον. τὸ γὰρ εἶναι τοῖς συμβεβηκόσιν, ἐνεῖναι ἐστὶ, ἢ τοῦτο ἐστὶ κοινὸς τῆς συμβεβηκότων ὁρισμὸς, τὸ ἐν ἑτέρῳ δηλαδὴ εἶναι. τῆς δὲ χέσεως τὸ εἶναι, ἁπλῶς τὸ πρὸς ἕτερον ἀναφέρεσθαί ὄζιν, ὅπερ ὁμοίως ἐστὶν ὁρισμὸς τῆς χετικῶν. τὰ γὰρ χετικὰ, (ὡς ἐπὶ τῆς λέξεως τοῦ Φιλοσόφου λέγεται) εἰσὶν ὧν τὸ εἶναι ἐστὶ, τὸ πρὸς ἕτερόν πως ἔχειν.

Τρίτον, οὗ τεθέντος οὐδὲν τῆς ὄντων τίθεται, οὔτε ἀναιρεθέντος, ἀναιρεῖται τὶ τῆς ὄντων, τοῦτο οὐδέν ὄζι τῆς ὄντων. τοιοῦτον ἐστὶν ἡ χέσις. ἄρα. Ἡ ἐλάττων δείκνυται. τὸ ἐπιγινόμενον τοῖς οὖσιν ἀνευ τινὸς μεταβολῆς τούτων, καὶ ἀπογινόμενον ὁμοίως, οὐδαμῶς μεταβάλλον τὸ οὗ ἀπογίνεται, τοῦτο οὐδὲν τίθησι τιθέμενον τοῖς οὖσι. τοιοῦτον ἡ χέσις. ἄρα. Ἡ μείζων πρόδηλος. οὐδὲ γὰρ ἐννοῆσαι ἐνδέχεται, προσιθεμένου τινὸς τῆς ὄντων ὑποκειμένῳ τινὶ, μὴ ἄλλως ἔχειν τὸ ᾧ προσέθειται ἢ πρότερον. Ἡ ἐλάττων δείκνυται ἀπὸ τοῦ Φιλοσόφου ἐν τῷ Ε. τῆς Φυσικῶν, ἐν τῷ προληφθέντι ἐδαφίῳ, λέγοντος ἐπιγίνεσθαι τὰς χέσεις τοῖς ἔσι δίχα τινὸς μεταβολῆς τούτων. διδάσκει τοῦτο αὐτὸ, ἢ ἡ πεῖρα. τοῦ γὰρ παῖδος θανόντος, ἀναιρεῖται ἐν τῷ ὑῷ ἡ ὑότης, δίχα πάσης πραγματιώδους μεταβολῆς.

Ἐν-

Ἔνστασις.

Ἄπαντῶσί τινες πρὸς τὸν ῥηθέντα προσεχῶς λόγον, διαιροῦντες ἐπὶ τῆς σχέσεως τὸ Ἐν, καὶ τὸ, Πρός, καὶ Φασί. κατὰ μὲν τὸ, Ἐν, μὴ ἀναφύεσθαι ἐν τῷ ὑποκειμένῳ τὴν σχέσιν, ἀναφύεσθαι μέντοι τὴν σχέσιν ἐν τῷ ὑποκειμένῳ κατὰ τὸ, Πρός, δηλαδὴ κατὰ τὸ πρὸς ἕτερον ἀναφέρεσθαι. διὸ καὶ μεταβάλλεσθαι τὸ ὑποκείμενον κατὰ τὸ, Πρός, διδόασιν.

Ἀπάντησις.

Ἀλλ' οὗτοι τῇ τοιαύτῃ τῆς σχέσεως διαιρέσει ὑποτιθέναι δοκοῦσι τὸ γένος ἀντιδιαιρούμενον, καὶ ἀντιδιασελλόμενον τοῦ οἰκείου εἴδους, ὅπερ ἀδιύατον. τὸ γὰρ Ἐν, τουτέστι τὸ ἐν ἑτέρῳ ὑπάρχειν, γενικὸν ἐστὶν ἐπὶ τῆς σχέσεως, καθὸ τοῖς λοιποῖς κοινωνεῖ συμβεβηκόσι. τὸ δὲ Πρός, διαφορὰ ἐστὶ τῆς αὐτῆς σχέσεως, διαιροῦσα τὸ, Ἐν, ὡς κοινὸν γένος, καὶ σωιςῶσα ἐπ' αὐτοῦ (1) σχέσιν.

Καὶ παρὰ ταῦτα, εἰμὴ μόνῃ τῇ πρὸς ἕτερον νοήσει τὴν σχέσιν οὐσιῶσθαι φασὶν, ὡς ὁ ἀποδοθεὶς αὐτῆς λόγος διαξανοῦται, πρῶτον μὲν ἀντιφέρονται τῷ Φιλοσόφῳ τῷ τοιαύτην ὑπογραφὴν τῆς σχέσεως αὐταῖς λέξεσιν ἀποδεδωκότι. Εἶτα καὶ τὸ λεγόμενον αὐτοῖς (εἰ τοῦτο ἐννοοῦσιν) ὅτι τῆς σχέσεως τὸ εἶναι, ὁλόκληρον ἐν τῷ πρὸς ἕτερον ἀναφέρεσθαι σωιέστηκε, μάχεται τῇ κοινῇ λόγῳ τῶν Πρός τι, ὧν τὸ ὑπάρχειν, συνυπάρχειν λέγεται εἶναι.

Καὶ παρὰ ταῦτα ὁμοίως ἕπεται, τὸ σωαχθὲν τῷ ἐπιχειρήματι, τὴν σχέσιν δηλαδὴ μηδὲν ἕτερον ἐν τοῖς οὖσιν εἶναι, παρὰ τὸ ὑποκείμενον, καὶ ἀναφερόμενον πρᾶγμα. εἰ γὰρ μὴ ἐν ἑτέρῳ ἡ σχέσις ἐστὶ, δηλαδὴ ἐν τῇ οὐσίᾳ, οὐκ ἔσαι συμβεβηκὸς, καὶ ἀκολούθως, οὐδὲ ὅλως ὄν.

Διορισμὸς τοῦ ζητουμένου.

Οἱ προτεθέντες τῆς δευτέρας δόξης λόγοι, καί τοι πιθανότητος ἐχόμενοι, καὶ οὐδὲ ῥαδίως λύσιμοι εἶναι δοκοῦντες, οὐδὲν ἧττον οὐκ ἔχουσι παντάπασιν ἔχονται ἀληθείας, διὸ καὶ πολλὰ ἔψονται ἄτοπα τοῖς βου-

(1 Τοῦ γένους σχέσιν, ἤτοι εἶδος.

λομένοις τὸ τοιοῦτον δόγμα συςῆσαι. δοθέντος γὰρ τούτου, τὼ χέσιν μηδὲν εἶναι τῶν ὄντων, οὔτε ἐκτὸς ἐπινοίας ἐν τοῖς οὖσιν ὑπάρχειν, οὐ μόνον τὸ γένος τῶν Πρός τι ἀναιρεθήσεται τῶν ὄντων, ἀλλὰ καὶ τὸ γένος τοῦ Ποιεῖν ἅμα καὶ Πάσχειν, καὶ πρὸς τούτοις αἱ λοιπαὶ τέσσαρες κατηγορίαι, ἃ πάντα μετάτινων χέσεων θεωρεῖται, καὶ καταλειφθήσεται τὰ πάντα γένη τοῦ ὄντος, Οὐσία δηλονότι, Ποσὸν, καὶ Ποιόν.

Διάτοι τοῦτο, δύλογώτερον ἔγνωσαι τὸ ζητούμενον ὠδίπως διορίσασθαι. Ὅτι οὐ παυτὸν ὅτι ζητεῖν ἐν τοῖς οὖσιν, ἀπόλυτόν τι καὶ ἄχετον, καὶ χετικόντι ὄν. ἐκεῖνο μὲν γὰρ ἐν τοῖς οὖσιν ὑπάρχει, ἢ καθ' αὑτο, ἢ ἐν ἑτέρῳ. τοῦτο δὲ οὐ ζητητέον εἰ ἐν ἑτέρῳ ἐσὶν, ἀλλ' εἰ πρὸς ἕτερον ἐσὶν ἐν τοῖς οὖσι. πᾶσα γὰρ ἡ τῆς χέσεως οὐσία, ἐν τῷ πρὸς ἕτερον ἀναφέρεσθαι σωέςηκε, κατὰ τὸν ἀποδοθέντα λόγον τῷ Φιλοσόφῳ περὶ αὐτῆς. ὅθεν καὶ ἀναγκαίως ἀπαιτεῖ εἰς σύςασιν ἑαυτῆς, σωύπαρξιν πολλῶν, τοῦτε ὑποκειμένου δηλαδὴ καὶ ἀναφερομένου πράγματος, καὶ προσέτι τοῦ ὅρου εἰς ὃν ἀναφέρεται. ὧν καί τοι ἑκατέρων ἡ χέσις ἐξήρτηται, ἐν θατέρῳ μέντοι (δηλαδὴ τῷ ὑποκειμένῳ) ἐννοεῖται, οἷον ἐνυπάρχειν, ὃ καὶ παρωνύμως ἀπὸ τῆς χέσεως λέγεται, καὶ κατ' ἐκείνῳ τὸ τοιοῦτον εἶναι ἔχει, ὥς περ καὶ ἀπὸ τῶν ἐπιλοίπων εἰδῶν, τὰ ὑποκείμενα ἐν οἷς ὑπάρχει παρωνύμως τε λέγεται, καὶ (1) κατ' ἐκεῖνα τοιᾶτον, ἢ ταιᾶτον σωίςαται (2) ἕκασον.

κα' Ἐκεῖνο μέντοι τῶν ἄλλων, ὅσα ἐν ὑποκειμένῳ ὑπάρχει, ἡ χέσις διευκρίνοχεν, ὅτι οὐκ ἐνυπάρχει τῷ ἰδίῳ ὑποκειμένῳ εἰδοποιοῦσα τοῦτο, καὶ οἷον μορφοῦσα, ἀλλὰ πρὸς ἕτερον μόνον ἀναφέρουσα. καὶ ὥς περ ἐκεῖνα ἀδιώατον ἐν τοῖς οὖσιν εἶναι, μὴ ὁποσοῶν μορφοῦντα τὸ ὂν ὃ ἕκασον ὑπάρχει ὑποκείμενον, οὕτως ἀδιώατον τὼ χέσιν ἐν τοῖς οὖσι γενέσθαι, μὴ πρός τι ἕτερον ἀναφέρουσαν τὸ ὑποκείμενον, ᾧ συμβέβηκεν. ὅθεν μὴ δυναμένη τὸ ἴδιον ὑποκείμενον ἀναφέρειν, μὴ ὄντος τοῦ πρὸς ὃν ἀναπτέον ἐσὶν ὅρου, οὐδ' ὅλως εἶναι δυώατα ἡ χέσις, λειποντος δηλαδὴ τοῦ πρὸς ὃν ἡ ἀναφορὰ ὅρου, οὗ τεθέντος τίθεται ἡ χέσις, καὶ ἀναιρεθέντος, σωαναιρεῖται, μηδὲ μιᾶς γινομένης μεταβολῆς ἐπὶ τοῦ ἑτέρου τῶν ὅρων, τῶ καταλειπομένου μετὰ τὼ σχέσιν, ἢ (3) πρεπάρχοντος τῆς

(1) Τὰ εἴδη. (2) Τ'ποκείμενον. (3) Ὁ πατὴρ δῆλον ὅτι προϋπάρχει τῆς χέσεως τοῦ ὑιοῦ καθὸ ἄνθρωπος, ὁ δὲ ὑὸς μεθυπάρχει ὡς ἄνθρωπος, ὅθεν οὐδεμία μεταβολὴ φησι γίνεται τοῦ ἑτέρου τῶν ὅρων, εἴτε τοῦ προϋπάρχοντος εἴτε τοῦ μεθυπάρχοντος, αἰαιρεθείσης τῆς χέσεως.

τῆς σχέσεως. καὶ τοῦτο δικαίως. ἡ γὰρ σχέσις (ὡς ἐν τῷ Ε τῶν Φυσικῶν λέγεται,) οὐ κατὰ κίνησιν ἰδίαν παράγεται, ἀλλὰ κατὰ μεταβολὴν ἑτέρου τινός. οὐ γὰρ ἐστίν ἡ σχέσις ἀπόλυτόν τι, καὶ ἄρχετον ἐν τοῖς οὖσιν, ἀλλὰ σύσις ἀπολύτου τινὸς πρὸς ἕτερον ἐν τοῖς οὖσιν, ὅθεν οὐδὲ παραγωγῆς ἰδίας δέεται, ἀλλ' εἴδους τινὸς παραγωγῇ συναναφαίνεται, διάτινα σωτηρίαν, διὰ τὸ ἔτυχεν ἔχον τὸ παραχθὲν εἶδος, μετάτινος ἑτέρου προϋπάρχοντος. καὶ αὐτὸ δὲ τὸ προϋπάρχον εἶδος ἀπονεῖμαι ἄρχεται, πρὸς τὸ ἤδη παραχθὲν εἶδος ἀντιστρόφως, δίχα τινὸς ἐν αὐτῷ μεταβολῆς. καὶ τοῦτο πραγματικῶς, καὶ οὐ κατ' ἐπίνοιαν, διὰ τὸ πραγματικὸν, καὶ μὴ κατ' ἐπίνοιαν συμβαῖνειν, διὰ τὸ ἔτυχεν ἔχοντα πρὸς ἄλληλα, τὰ ῥηθέντα εἴδη ἐπ' αὐτῷ τῷ πραγμάτων τρόπῳ τῆς ἡμετέρας ἐπινοίας.

Ἀμέλειτοι περὶ τῆς παραγωγῆς καὶ οὐσίας τῶν σχέσεων, καὶ ὅπως ἀντιδιαστέλλονται τῶν σφῶν ὑποκειμένων, λεπτέον σωτόμως ταυτί. Πρῶτον μὲν ὅτι ἐν τοῖς πρός τι οὐδὲ μία ἐστὶ κίνησις, ὡς ὁ Φιλόσοφος διορίζεται. Δεύτερον, οὐδὲ καθ' αὑτὴν ἡ σχέσις παράγεται, ἀλλὰ συμπαράγεται τῇ παραγωγῇ τοῦ ἰδίου ὑποκειμένου, διὰ τὸ σωτηρίαν ἔτυχεν ἔχον πρός ἕτερόν τι. Τρίτον οὔτε ἐπιγινομένη προσίθησι τὶ ἀπόλυτον τοῖς ἀναφερομένοις πράγμασιν, οὔτε ἀπογινομένη ἀναιρεῖ τὶ τῶν αὐτῶν, ἀλλ' ὁ ταύτοις ἐπιφέρει, ἡ σχέσις ἐστὶν ἀναφυομένη διὰ τὸν παραχθέντα ὅρον. Ἔστι δὲ ἡ τοιαύτη σχέσις ἐν τοῖς οὖσι πράγματι, καὶ οὐκ ἔργον τῆς ἡμετέρας ἐπινοίας. τὸ γὰρ εἶναι τὸ χέσιν πράγματι ἐν τοῖς οὖσιν, οὐ τοῦτο οἰητέον, ὅτι ἐστί τὶ ἀπόλυτον ἐν τοῖς οὖσιν, ἀλλ' ὅτι τὸ ὑποκείμενον ταύτης, πράγματι ἐν τοῖς οὖσιν ἐστὶ, καὶ ἡ ἀπόδοσις τούτου πρὸς τὸν σύζυγον ὅρον πράγματι ὁμοίως θεωρεῖται, διὰ τὸ ἐν αὐτοῖς ὑπάρχουσαν πραγματικὴν σωτηρίαν. διάτοι τοῦτο καὶ ἀντιδιαστέλλεται πράγματι τοῦ ἰδίου ὑποκειμένου ἐν τοῖς οὖσιν ἡ χέσις. ὅτι ἡ τοιαύτη τούτων ἀπόδοσις, πράγματι ἐστὶν ἐν τοῖς οὖσι τῷ λόγῳ τῆς εἰρημένης σωτηρίας, οὐδὲ ἐστὶ τῆς οὐσίας τοῦ ἀναφερομένου πράγματος ἡ χέσις. ἐκεῖνο γὰρ ἀπόλυτόν τι, αὕτη δὲ ἀπόδοσις μόνη πρὸς ἕτερον, ὡς διὰ τοῦ ἀποδοθέντος λόγου ὁ Φιλόσοφος ἐδήλωσε, καὶ τῷ λόγῳ διευλιώσχε τὸ ἰδίου ὑποκειμένου. Ἐπὶ παραδείγματος κείσθω ἡ ὁμοιότης. ἥτις οὐδὲν ἀπόλυτον προσίθησιν ἐπιγινομένη φέρε εἰπεῖν τῇ λευκότητι, οὔτε ἀναιρεθεῖσα ἀναιρεῖ τὶ ἀπόλυτον ταύτης, οὐδὲ παράγεται καθ' ἑαυτὴν ἡ ὁμοιότης, ἀλλὰ συμπαράγεται. ὑπάρχοντος γὰρ λευκοῦ τινὸς, ἕτερον ἅμα λευκὸν παραχθὲν ἀπονεῖμαι

πραγ-

πραγματικῶς πρὸς τὸ ἤδη προϋπάρχον. ἅμα γὰρ συμπαράγεται τούτῳ ἡ πρὸς τὸ ὑπάρχον ἤδη λευκὸν σωμάφεια, ἥτις ἐστὶν σύνωσις εἰδητικὴ ἐν λευκότητι, αὕτη δὲ πράγματι πάντως ἐν τοῖς οὖσι, διὸ καὶ πραγματικῶς ἀλλήλοις σωάπτει τὰ ὑπάρχοντα λευκὰ σώματα. Εἰ δὲ τοιγαροῦν ἡ τοιαύτη χέσις τῆς ὁμοιότητος, οὐδὲν ἕτερον ἐν τοῖς οὖσιν, ἢ αὐτὴ ἡ λευκότης, ἥπερ ἀπονδύει πρὸς ἕτερον λευκόν, μεθ' οὗ σωάπτεται τῷ λόγῳ τῆς εἰδητικῆς ταυτότητος. Εἰ δὲ πράγματι ἐν τοῖς οὖσι, καὶ πραγματικῶς ἀντιδιαστελλομένη τοῦ ἀναφερομένου πράγματος, δι' ἃς εἴρηται αἰτίας, ὅτι τὸ μὲν ἀπόλυτόν τι ἐστὶν, ἡ δὲ χέσις ἀπόνδυσις μόνη πρὸς ἕτερον, καὶ τῷ λόγῳ ἀλλήλων διενδιώχατον. ἕτερος γὰρ ὁ τῆς χέσεως ὁρισικὸς λόγος, καὶ τοῦ ὑποκειμένου. Ὅτι δὲ ἡ κατὰ τὸν ὁρισικὸν λόγον διαίρεσις τῶν ὄντων, ἐίστινα διάζδξιν γενικὴν τῶν κατηγοριῶν ἀπόχρη, καὶ ὅτι αἱ χέσεις ἱκανῶς ἔχουσιν εἰς οἰκείου γένους συμπλήρωσιν ἐν τοῖς οὖσι, δῆλον ἐστὶν ἔκ τε τῆς τοῦ Ποιεῖν, καὶ Πάσχειν κατηγορίας, ἃ μόνῳ τῷ λόγῳ διενδιώχασι, μία τὶς ἄμφω κίνησις ὄντα, καὶ ἀπὸ τῶν λοιπῶν τοῦ ὄντος γενῶν παρὰ τὰ πρῶτα τρία, Οὐσίαν, Ποσόν τε, Ποιόν, ἀπόλυτα καὶ ἄχετα τυγχάνοντα.

Λύσις τῶν ἀντικειμένων λόγων.

Λοιπὸν ἤδη καὶ πρὸς τοὺς ἐκτεθέντας λόγους τῆς δευτέρας δόξης ἀπαντῆσαι. Πρὸς μὲν οὖν τὸ πρῶτον ἰδίκα φασὶ τῆς σχέσεως οὐδεμίαν εἶναι αἰτίαν, οὔτε καθ' αὑτὸ, οὔτε κατὰ συμβεβηκὸς, οὐκ ἀποδεκτέον τὸ λεγόμενον. ἔστι γὰρ ταύτης αἴτιον, ὑφ' οὗ ὁ σύζυγος ὅρος παρῆκται. σωήρτηται γὰρ ὡς εἴρηται ἡ οὐσία τῆς σχέσεως τῷ εἶναι τοῦ πρὸς ὃν ἀπονδύει ὅρου.

Ἐν οἷς δὲ κατασκευάζοντες τὴν ἐλάττονα φασὶ, τῷ πρὸ πολλῶν ἐτῶν ὑπάρχοντι λευκῷ μηδὲν προστίθεσθαι, νεωστὶ γεγονότος ἑτέρου λευκοῦ, (καίτοι οὐδὲν ἧττον σχετικῶς ἀναφερομένου τοῦ προϋπάρχοντος λευκοῦ, πρὸς τὸ γεγονὸς ἀρτίως) ῥητέον, προστίθεσθαι μὲν μηδὲν ἀπόλυτον τῷ προϋπάρχοντι λευκῷ, προσγίνεσθαι μέντοι ἐκείνῳ ὁ πρὸς ὃν ἀναφέρεται ὅρος. οὗ ἄνευ ἀδύνατον εἶναι τὴν χέσιν. καὶ οὗ τεθέντος, ἀναγκαίως τὸ προϋπάρχον λευκὸν ἀναφέρεται πρὸς αὐτὸν, διὰ τὴν εἰδητικὴν ταυτότητα, ἢ καὶ οἱανοῦν ἑτέραν σωάφειαν, καθ' ἣν πρὸς ἄλλα νεύουσι τὰ σχετικὰ, ὃν ἕκαστον καὶ τῷ προϋπάρχοντι ἀριθμῷ ἢ μο-

ἡ μονὰς προσεθεῖσα, & κατ' οὐδὲν μεταβάλλουσα τοῦ κειμένου ἀριθμοῦ τὰς μονάδας; ἀποτελεῖ ἕτερον ἀριθμοῦ εἶδος ἐν αὐταῖς.

Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ σχέσις ἐστὶ συμβεβηκός. καὶ πρὸς τὴν δεῖξιν ὅτι οὐκ ἔστιν ἐν ὑποκειμένῳ, ἀπαντητέον. Ὅτι ἡ σχέσις καίτοι πραγματικὴ οὖσα ἀπόνευσις πρὸς ἕτερον, οὐ μέντοι ἐστὶν ἀπολυτόντι καθ' ἑαυτὸ, δηλονότι κεχωρισμένη τοῦ ἀναφερομένου πράγματος. ὅθεν οὐδὲ καθ' ἑαυτὸ ἐν ὑποκειμένῳ ἐστὶν ὡς ἀπολυτόντι, ἀλλὰ τῷ λόγῳ τοῦ ἀναφερομένου πράγματος, οὗ χάριν αἱ σχέσεις ἐν ὑποκειμένῳ εἶναι πεφύκασι. Τὸ δὲ ἀναφερόμενον πρᾶγμα, ἐπὶ πράγματι, καὶ οὐ κατ' ἐπίνοιαν πρὸς ἕτερον ἀπενεύσκε, καὶ ἡ ἀπόνευσις τούτου, οὐκ ἀπεικότως πραγματικὴ λέγεται. μὴ οὖσα δὲ τῆς οὐσίας τοῦ ἀναφερομένου πράγματος, ἔστι καὶ λέγεται συμβεβηκός.

Πρὸς τὸ τρίτον οὐ παραδεκτέον ἐστὶ τὸ λεγόμενον, ὅτι οὐδὲν προστίθησι τῷ ἀναφερομένῳ ἐπιγινομένη ἡ σχέσις. εἰ γὰρ καὶ μηδὲν ἀπόλυτον προστίθησιν, ἀλλ' αὐτὸ δὴ τὸ ἀναφέρεσθαι καὶ ἀπονεύειν πρὸς ἕτερον ἐκείνῳ προσοικειοῖ, ὡσαύτως καὶ ἀπογινομένη ἀφαιρεῖται τοῦ αὐτοῦ τὸ αὐτὸ, τὸ πρὸς ἕτερον δηλαδὴ ἀναφέρεσθαι. ἀναιρεῖ γὰρ τὸν ὅρον πρὸς ὃν ἐτύγχανεν οὖσα ἡ ἀναφορὰ, καὶ ἀπόνευσις.

Ἐν οἷς δὲ φασὶν ὅτι μὴ μεταβάλλει τοῦτο ᾧ προσγίνεται, ἢ ἀπογίνεται ἡ σχέσις, ὁμοίως ῥητέον. ὅτι οὐ μεταβάλλει μὲν τοῦτο, κατά τι ἀπόλυτον ὄν, μεταβάλλει δὲ καὶ τὴν ἀναφοράν, καὶ ἀπόνευσιν.

Ἡ δὲ πρὸς τὸ τρίτον ἐπιχείρημα γινομένη σύγκρισις, καὶ ἡ πρὸς τὴν αὐτὴν ἀπάντησις ἡμῖν ἐκ ἀντίκειται. οἵτινες ἐπὶ τῆς σχέσεως τὴν διττὴν οὐ προσιέμεθα ἔννοιαν, ὡς εἶναι ταύτης, τὸ μὲν ἐν ἄλλῳ ὑπάρχειν, τὸ δὲ πρὸς ἕτερον ἀναφέρεσθαι, ἀλλ' οὐσιοῦσθαι φαμὲν τὴν σχέσιν μόνῃ τῇ πρὸς ἕτερον ἀπονεύσει, ἐρανίζεσθαι δὲ τὸ ἐν ἄλλῳ εἶναι, τῷ λόγῳ τοῦ ἀναφερομένου πράγματος. οὗ χάριν ἐνυπάρχειν αἱ σχέσεις πεφύκασι τῇ οὐσίᾳ.

Διαίρεσις κοινοτέρα τῆς σχέσεως.

Τῶν νεωτέρων πολλοὶ τὴν σχέσιν τειχῶς διανέμειν οἰόμενοι. Τὴν μὲν εἶναι τίθενται οὐσιώδη καθ' ἣν ἡ πρός τι κατηγορία σωίσηκεν, ὅθεν καὶ κατηγορικὴν ταύτην ἀποκαλοῦσι. Τὴν δὲ κατὰ τὸ λέγεσθαι ὀνομάζουσι, περὶ ἧς ὁ Φιλόσοφος ἐν τῷ πρώ-

τῳ

τῳ μέρει τοῦ περὶ τῆς Πρός τι κεφαλαίου διωρίσατο. Τρίτον παρὰ ταῦτα τιθέασι τὴν σχέσιν, ἣν αὐτοὶ διαβατικὴν καλοῦσιν, ὅτι ἀφ' πολλῶν, ἢ ἐπ' πάντων διαβαίνει τῆς τοῦ ὄντος φύσεων, καὶ ἐπὶ πάντων καθυράται οἷά εἰσι ταῦτα. πᾶν ὅ,τιοῦν κτιστὸν, ἢ τοιοῦτον ἐστὶ, καὶ αὐτη δὲ ἡ οὐσία, ἐξ οἰκείας φύσεως ἀναφέρεσθαι πρὸς τὸ θεῖον καὶ ἄκτιστον τῆς ὄντων πέφυκε, καθότι ἐξήρηται τούτου (ὅσα παρὰ:) καπέτε τὸ εἶναι, καὶ τὸ ἐνεργεῖν.

Ἔτι τὸ συμβεβηκὸς ἐπὶ τὴν οὐσίαν ἀναφέρεται, ἐφ' ἧς ὑπάρχειν καὶ σώζεσθαι πέφυκε. καὶ ἡ ὕλη ὁμοίως πρὸς τὸ εἰδοποιοῦν εἶδος, καὶ αἱ δυνάμεις πᾶσαι, καὶ ἕξεις ἐπὶ τὰ σφῶν αὐτῆς ἀντικείμενα φυσικῶς ἀναφέρονται, καὶ πολλὰ ἄλλα, ἐφ' ὧν αἱ σχέσεις πράγματι πάντως εἰσὶ, καὶ οὐ κατ' ἐπίνοιαν. οὐ μέντοι εἰσὶν αἱ διαβατικαὶ, οἷαι αἱ κατηγορικαί. αὗται γὰρ ἐπὶ πλείους ἐκτείνονται κατηγορίας. οὔτε μὴν εἰσὶν οἷαι αἱ κατὰ τὸ λέγεσθαι. ἐκεῖναι γὰρ ἀπὸ μόνης τῆς ἡμετέρας ἐπινοίας τὸ εἶναι ἔχουσιν, αὗται δὲ πραγματικῶς εἰσὶ πᾶσαι ὡς εἴρηται.

Ἀναίρεσις τῆς ἐκτεθείσης διαιρέσεως τῶν πρός τι.

Ἡ Ἐκτεθεῖσα τῆς πρός τι διαίρεσις, διὰ πολλὰ φαίνεται ἀδόκιμος. Πρῶτον ἐν οἷς φασι τὴν ἀναφορὰν τῆς κατὰ τὸ λέγεσθαι πρός τι, μὴ εἶναι ἐν τοῖς οὖσιν, ἀλλὰ πλάσμα μόνον τῆς ἡμετέρας ἐπινοίας. ἡ γὰρ ἐπιστήμη καὶ αἴσθησις, γάσις τε, καὶ κλίσις, καὶ ὅσ' ἄλλα, ἐν τῷ ἀριθμῷ τῆς κατὰ τὸ λέγεσθαι πρός τι ὁ Φιλόσοφος ἔταξε, καὶ μὴ φανταζομένων ἡμῶν, μηδὲ διανοουμένων, τὸ πρὸς ἕτερον λέγεσθαι ἔχουσιν. ὡς τε πρόδηλον ὅτι ἐν τοῖς οὖσιν ὑπάρχουσιν αἱ κατ' ἐκεῖνα σχέσεις, πρὸ τῆς ἡμετέρας ἐπινοίας.

Δεύτερον εἰ τὰ ἀπαριθμηθέντα τῷ Φιλοσόφῳ, ἐν τοῖς κατὰ τὸ λέγεσθαι πρός τι, ἀπόλυτα μόνον εἴη ὄντα, καὶ μηδεμίαν ἀπόνευσιν πρὸς ἕτερον ἔχοιεν ἐξ οἰκείας φύσεως, μάταιον ἂν εἴη ταῦτα καὶ νοεῖν, καὶ λέγειν πρὸς ἕτερον. οὐδὲν γὰρ ἐκώλυε ταῦτα ὡς ἀπόλυτα ὄντα ἐννοεῖντε, καὶ ἑρμηνεύειν. ἕκαστον γὰρ τῆς ὄντων ἐνδέχεται καὶ νοεῖν καὶ λέγειν, ἥπερ εἰσὶν ὄν, δίχα παντὸς ἄλλου, ἐκτὸς τῆς ἐκείνου οὐσίας ὑπάρχοντος.

Ἀναί-

Ἀνάιρεσις τοῦ τείτου μέρους τῆς διαιρέσεως.

Ἀλλ' οὐδὲ ἃ φασὶν οὗτοι διαβατικὰ χετικὰ, ἀληθείας τινὸς ἔχεσθαι δοκοῦσι. λέγοντες γὰρ αὐτοὶ τὰ διαβατικὰ πάντα χετικὰ, κατ' οὐσίαν εἶναι χετικὰ, καὶ ἐξ οἰκείας φύσεως, δυσόχως ἄντις ἔροιτο, ὁπώσποτε ἐπλαμβάνουσι τὸ κατ' οὐσίαν εἶναι χετικά. Ἢ γὰρ τῶν οὐσίαν ἐκείνων φιλὴν χέσιν οἴονται εἶναι, ἢ ἕτερόν τι ὄντα, καὶ ἐν ἑτέραις ταττόμενα κατηγορίαις, καὶ πρὸς ἕτερον ἅμα λέγεσθαι πεφύκασιν. Ἀλλ' εἰ τὸ δεύτερον φαῖεν, ὡσὰ τὰ πρός τι τὰ κατὰ τὸ λέγεσθαι, πάντα προφανῶς ἀνάξουσι. τοιαῦτα γὰ τὰ κατὰ τὸ λέγεσθαι πρός τι, ὡς δέδεικται. Τὸ δὲ πρῶτον, φαῖεν, παντάπασιν ἄλογον φαίνεται. τὰ γὰ παρημμένα καθ' αὐτὸ πάντα ὑσὸ τοῦ πρώτου τῶν ὄντων, ἀπόλυτα εἰσὶν ὄντα, κατὰ φύσιν οἰκείαν ἕκασον ὑπάρχοντα. οὐκ ἄρα ἐνδέχεται πάντα φιλὰς χέσεις εἶναι. καὶ τὸ ἑπόμενον προφανές. τὰ γὰρ ἀπόλυτα κατ' οὐσίαν ὄντα, τῶν κατ' οὐσίαν χετικῶν ἀντιδιαστέλλονται ἐξ οἰκείας φύσεως. ἡ δὲ οὐσία, καὶ τὰ λοιπὰ ὅσα παρὰ τὴν χέσιν, ἀπόλυτα φύσει τυγχάνουσιν ὄντα. ἥτε γὰρ οὐσία ἐπὶ τῶν κτισμάτων ἀπόλυτόν τι ἐστὶ, καὶ τὰ συμβεβηκότα ἢ τοιαῦτα, ἀπόλυτόν τι σημαίνουσιν. ὁμοίως αἵτε ἕξεις, καὶ δυνάμεις ἐνεργητικαὶ, ἀπόλυτόν τι εἰσὶν ἐν τοῖς οὖσι, καὶ οὐ φιλαὶ μόνον χέσεις, εἴτε αὐτὰ τὰ εἴδη τῶν ὄντων φαίημεν εἶναι ταῦτας, εἴτε ποιότητας ἐκείναις παρεπομένας, καὶ ἐπικτήτους, ἀδυνάτον (1) ἄρα ταῦτα, χέσεις φιλὰς εἶναι καθ' αὑτά.

Διορισμὸς τοῦ ζητουμένου.

Διοριστέον τοιγαροῦν ἡμῖν, τὰ μὲν χετικὰ ἅπερ αὐτοί φασι διαβατικὰ, οὐδὲν ἄλλο εἶναι, ἢ κατὰ τὸ λέγεσθαι χετικὰ, ὡς ἡ κοινὴ τῶν ἀρχαιοτέρων δόξα πρεσβεύει, καὶ οἱ γνησίως φιλοσοφοῦντες μετὰ τὸν Φιλόσοφου ἀποδέχονται. Ἀλλὰ καὶ ὁ Φιλόσοφος ἐδίδαξεν ἐπὶ τῆς λέξεως, διά τε τῆς ἀποδοθείσης ὑσογραφῆς, ἐν οἷς προεχείρισαι παραδείγμασι, τὰ κατὰ τὸ λέγεσθαι Πρός τι ἀπὸ τῶν πραγμάτων ἔχειν τὴν πρὸς ἕτερον ἀπόδοσιν, καὶ ἀναφοράν, ἀλλ' οὐκ ἀπὸ τῆς ἡμετέρας ἐπινοίας.

(1) Οὐδὲν οὔτε οὐσία, οὔτε ποσὸν, οὔτε ἕξις, οὔτε ποιότης, ἐστὶ φιλὴ χέσις, ἀλλὰ πράγματα ἀπολελυμένα πρῶτον, εἶτα πρὸς ἕτερον ἀνεφέρεται.

νοίας. μᾶλλον δὲ καὶ τὴν ὑπογραφὴν, δι' ἧς τὰ κατὰ τὸ λέγεσθαι Πρός τι δηλοῦται; καὶ τοῖς κατὰ τὸ εἶναι σχετικοῖς προσήκειν φησὶ, καίτοι μὴ αὐτιστρέφουσι. Πάντα (1) γὰρ τὰ πρός ἕτερον ὄντα, καὶ πρὸς ἕτερον λέγεται, οὐ μὴν πάντα τὰ πρός ἕτερον λεγόμενα, καὶ εἰσὶ πάντως πρὸς ἕτερον. Καὶ τοῦτο παραινεῖ ὁ Φιλόσοφος, ὅτι πολλὰ τὴν ἑτέρας τοποθεσίας κατηγορίας, σχετικῶς πρὸς ἕτερον ἀναφέρεται, οἷά που καὶ ἐπὶ τῆς οὐσίας τὸ πτερὸν πρὸς τὸ πτερωτὸν, καὶ ἡ κεφαλὴ πρὸς τὸ κεφαλωτόν.

Ἐκ τῆς εἰρημένων ἀμέλειαι τοιαῦτα κατὰ τὴν διδασκαλίαν σωιάγεται τοῦ Φιλοσόφου. Πρῶτον ὅτι τὰ κατὰ τὸ λέγεσθαι σχετικὰ, ἀληθῶς καὶ πραγματικῶς τυγχάνουσιν ὄντα σχετικὰ, οὐ κατὰ τὸ εἶναι μόνοι, ἀλλ' ὡς εἴρηται κατὰ τὸ λέγεσθαι. Δεύτερον ὅτι τὰ παρὰ τοῖς νεωτέροις λεγόμενα σχετικὰ διαβατικὰ, μηδὲν διαλύοντα τὴν κατὰ τὸ λέγεσθαι σχετικῶν. Καὶ Τρίτον ἐπὶ πᾶσι τούτοις, ὅτι τὰ σχετικὰ κοινότερον, διχῶς διαιρέται, εἴς τε τὰ κατὰ τὸ λέγεσθαι σχετικὰ, καὶ εἰς τὰ κατὰ τὸ εἶναι.

Ὁποῖα εἰσὶ τὰ σχετικὰ κατὰ τὸ εἶναι, καὶ ὅπως τῶν κατὰ τὸ λέγεσθαι σχετικῶν διαφέρουσι.

Σχετικὰ κατὰ τὸ εἶναι ἐκεῖνα εἰσὶν, ὧν τῇ προσηγορίᾳ προηγουμένως καὶ καθ' αὑτὸ σχέσις δηλοῦται φιλή, οἷον ὁ Πατὴρ, καὶ ὁ υἱὸς, δοῦλος καὶ δεσπότης, διπλάσιον, ἥμισυ, καὶ πολλὰ ἄλλα. Τῇ δὲ τῆς κατὰ τὸ λέγεσθαι σχετικῶν προσηγορίᾳ (καίτοι πρὸς ἕτερον λεγόμενα,) ἀπόλυτόν τι σημαίνεται προηγουμένως καὶ καθ' αὑτό. ὅθεν οὐδὲ κατὰ τὸ εἶναι λέγεται σχετικὰ, καίπερ τῆς τούτων πρὸς ἕτερον ἀποδόσεως, πραγματικῆς οὔσης καὶ οὐ κατ' ἐπίνοιαν, κατὰ δεύτερον λόγον, ἡ σχέσις σημαίνεται. ἀπολύτων γὰρ ὄντων τῶν κατὰ τὸ λέγεσθαι σχετικῶν, οὐ δύναται ἐνοεῖσθαι, οὔτε μὴν δηλωθῆναι, δίχα τῆς πρὸς ἕτερον ἀποδόσεως, διὸ οὐδὲ κατ' ἐπίνοιαν εἰσὶ σχετικὰ, ὡς εἴρηται. καί τοι τῆς ἐκείνων οὐσίας ἀπολύτως οὔσης, καὶ οὐκ ἐν σχέσει φιλῇ θεωρουμένης. οἷον τὸ πάσχον προσσημαίνει μὲν σχέσιν πραγματικὴν πρὸς τὸ ποιοῦν, ὡς περ καὶ ἀντιστρόφως, τὸ ποιοῦν πρὸς τὸ πάσχον, οὐδέτερον μέντοι ἐστὶ σχέσις φιλὴ καθ' αὑτό. Ἔστι δὲ ἡ πρὸς ἄλληλα τούτων ἀναφορὰ καὶ ἀπόδοσις πραγ-

(1) Ἤτοι πάντα τὰ κατὰ τὸ εἶναι σχετικὰ καὶ κατὰ τὸ λέγεσθαι πάντως. οὐ μὴν δὲ ἐξ ἀνάπαλιν τὰ κατὰ τὸ λέγεσθαι δηλαδὴ καὶ κατὰ τὸ εἶναι.

πράγματί ἐστι, καὶ οὐ κατ' ἐπίνοιαν, ὅτι ὡς ἀληθῶς ἐν τοῖς οὖσι πρὸ τῆς ἡμετέρας ἐπινοίας, τὸ μὲν ποιεῖ εἰς τὸ πάσχον, τὸ δὲ πάσχον ὑπὸ τοῦ ποιοῦντος πάσχει.

Ἑτέρα διαίρεσις τῶν Πρός τι κατὰ τὸν Φιλόσοφον.

Πραγματικωτέρα δὲ καὶ ἐπιστημονικωτέρα τῆς Πρός τι διαίρεσις κεῖται παρὰ τοῖς πάλαι καὶ νῦν φιλοσοφοῦσιν, ἥτις τετμημένη ἀποδίδοται, κατὰ τὸν τριττὸν τῆς ὑποκειμένων, εἴτουν βάσεων διαφορὰν ἢ καὶ σωφρονεστέροις ὀνόμασι δηλοῦσθαι εἴωθε παρὰ τοῖς σχολαστικοῖς τοῦτε ἀριθμοῦ, ἐνεργείας τε, καὶ μέξου. Ταύτῃ δὲ παρειληφέναι πάντες ὁμολογοῦσιν ἀπὸ τοῦ Φιλοσόφου ἐν τῷ Δ. τῆς Μεταφυσικῶν κεφαλαίῳ περὶ τῆς Πρός τι, ἔνθα ὁ Φιλόσοφος τριχῶς διανέμων τὰς σχέσεις φαίνεται. τὰς μὲν γὰρ κατ' ἀριθμὸν φησὶ λέγεσθαι, τὰς δὲ κατὰ δύναμιν, εἶτ' οὖν κατ' ἐνέργειαν, καὶ παρὰ ταῦτα τρίτον τίθεται γένος, ἐφ' οὗ θάτερον μὲν τῆς σχετικῶν πρὸς ἕτερον λέγεται, τὸ δὲ τούτου σύζυγον οὐ λέγεται πρὸς ἐκεῖνο, ὅτι οὐκ ἔστιν ἀφ' ἑαυτοῦ σχετικόν, ἀλλ' ὅτι θάτερον λέγεται πρὸς αὐτό, ὡς τὸ μέξον λέγεται πρὸς τὸ μεξητόν, καὶ ἡ αἴσθησις πρὸς τὸ αἰσθητόν.

Ὑποδιαιρεῖ τὰ τοῦ πρώτου γένους ὁ Φιλόσοφος διχῶς. τὰ μὲν γὰρ ἰδίως ἐν ἀριθμῷ βεβηκέναι φησὶ, τὰ δὲ ἐν τῷ σύ, ὅπερ ἐστὶν ἀρχὴ ἀριθμοῦ. Ἐπὶ μὲν οὖν ἀριθμοῦ, πᾶσαι βεβήκασιν αἱ σχέσεις, ὅσαι τοῦ σύος καὶ ἴσου ἀφεστήκασι, τοιαῦτα ἐστὶν αἱ καθ' ὑπερβολὴν καὶ ἔλλειψιν ἐν τοῖς ἀριθμοῖς ἀναλογίαι πᾶσαι, εἴτε ὡρισμένως, εἴτ' οὖν ἀορίστως δηλούμεναι, οἷον τὸ μέγα, καὶ μικρὸν, ἢ τὸ διπλάσιον, καὶ ἥμισυ. Τῷ αὐτῷ δὲ λόγῳ ὑπάγονται τῷ πρώτῳ γένει, καὶ αἱ κατὰ ὁμοιότητα σχέσεις, καὶ ἑτερότητα, καὶ ὅλως ὅσαι τοῦ σύος ὁπωσοῦν ἀρεστήκασιν.

Ὅσαι δὲ ἐν τῷ σύι βεβήκασι σχέσεις, ὑποδιαιροῦνται τῷ Φιλοσόφῳ τετμημένως. (τὸ δὲ σὺ οὐ τῷ ἀριθμῷ ἐννοεῖται ἐνταῦθα, ἀλλὰ τῷ εἴδει) Θεωρεῖται γὰρ τὸ σὺ ἢ ἐν ποσότητι, ἐφ' οὗ βεβήκασιν αἱ κατ' ἰσότητα σχέσεις, ἢ σὺ ποιότητι ἐφ' οὗ αἱ καθ' ὁμοιότητα σχέσεις ἐρείδονται. ἢ ἐπὶ τῆς οὐσίας καὶ τοῦ εἶναι τῷ ὄντων, ἐφ' οὗ αἱ κατὰ ταυτότητα λεγόμεναι σχέσεις.

Δεύτερον γένος τῆς σχετικῶν διδάσκει ὁ Φιλόσοφος ἐν ᾧ πάσχονται αἱ κατὰ δύναμιν ποιητικὴν καὶ παθητικὴν λεγόμεναι σχέσεις, καὶ αἱ κατὰ τὰς ἐνεργείας τῆς αὐτῆς. κατὰ μὲν δύναμιν, ὡς τὸ θερμαντικὸν πρὸς τὸ θερμαντὸν, κατὰ δὲ ἐνέργειαν ὡς τὸ θερμαῖνον πρὸς τὸ θερμαινόμενον, καὶ ὅλως τὸ ποιοῦν πρὸς τὸ πάσχον. Φᾶς δὴ κατὰ δύναμιν λεγομένας σχέσεις, καὶ κατὰ χρόνους διαιρεῖσθαι φησὶν ὁ Φιλόσοφος, ὡς τὸ πεποιηκὸς πρὸς τὸ πεποιημένον, καὶ τὸ ποιῆσον πρὸς τὸ ποιησόμενον. Διπτέον δὲ τὸ εἰς τὸ μέλλον ἐνεργήσουσαν δύναμιν ποιητικὴν, οὐ πρὸς τὸ μήπω ἐν τοῖς οὖσιν ὑπάρχον, ἀλλὰ πρὸς τὸ συνυπάρχουσαν (1) αὐτῇ παθητικὴν δύναμιν, ἥτις ἐπιτηδείως ἔσχηκε πρὸς τὸ παθεῖν ὑπ' ἐκείνης ἐν τῷ μέλλοντι χρόνῳ. Ὑπὸ τὸ δεύτερον τόδε γένος τῆς σχετικῶν ὑπάγει ὁ Φιλόσοφος καὶ τὰς κατὰ ἀδυναμίαν λεγομένας σχέσεις, ὡς τὸ ἀόρατον, ἄτμητον, καὶ ὅσα τοιαῦτα.

Τοῦ δὲ τρίτου γένους τῆς σχετικῶν ὁ Φιλόσοφος οὐδὲ μίαν οἰκείαν ἀποδέδωκε βάσιν, καθ' ἣν τοῦ πρώτου τε καὶ τοῦ δευτέρου διακριθείη, πλὴν ὅτι γε ἐπὶ τῆς προληφθέντων δύο γενῶν, ἑκάτερον τῆς σχετικῶν πρὸς τὸ σύζυγον λέγεται, (ὅτι αὐτὸ ὅπερ ἐστὶν, ἑτέρου εἶναι λέγεται) ἢ ἐστὶ πρὸς ἕτερον, ἀλλ' οὐχ ὅτι θάτερον πρὸς αὐτὸ λέγεται. ἐπὶ δὲ τοῦ τρίτου γένους, τὸ μὲν ἕτερον τῆς σχετικῶν φησὶν, ἐξ οἰκείας φύσεως πρὸς θάτερον νεύειν. τὸ δὲ λοιπὸν, ἥτοι τὸ ἐκείνου σύζυγον, οὐκ ἀναφέρεται πρὸς ἐκεῖνο ἐξ οἰκείας φύσεως, ἀλλ' ὅτι τὸ ἕτερον πρὸς αὐτὸ λέγεται, διατοῦτο κἀκεῖνο ἀντιστρόφως ἀπαντᾷ, τῇ ἀναφορᾷ ἀποτερματίζον ἐκείνου. Παραδείγματα ἐκτίθησιν ὁ Φιλόσοφος τούτου, τὸ μετρητὸν, τεχνητὸν, νοητὸν, καὶ αἰσθητόν. ὧν ἕκαστον διδάσκει μὴ ἄλλως πρὸς τὸ σύζυγον ἀναφέρεσθαι, ὅτι μὴ τῶν ἐκεῖνα πρὸς ταῦτα ἀναφέρεσθαι. οἷον τὸ μεξητὸν οὐκ ἀναφέρεται πρὸς τὸ μέξον, ὅτι μὴ καὶ τὸ μέξον πρὸς αὐτὸ ἀναφέρεται. καὶ τὸ ἐπιστητὸν πρὸς τὴν ἐπιστήμην οὐκ ἐξ οἰκείας φύσεως ἀναφέρεται, ἀλλ' ὅτι ἡ Ἐπιστήμη πρὸς αὐτὸ ἀναφέρεται κατὰ τὴν ἑαυτῆς φύσιν. Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τὸ γὰρ μέξον, καὶ ἡ αἴσθησις, καὶ ἡ ἐπιστήμη, πρὸς τὸ μεξητὸν, καὶ αἰσθητὸν, καὶ ἐπιστητὸν ἐξ οἰκείας φύσεως ἀναφέρονται. ἐκεῖνα δὲ οὐκ ἀντιστρέφει ὁμοίως. οὐ γὰρ τὸ μεξητὸν

(1) Διὸ ἔντος γὰρ τοῦ ποιήσοντος ἀνάγκη καὶ τὸ ποτισόμενον. οὔτε γάρ ἐστιν οὔτε λέγεταί τι εἶναι ποιητικὸν, μήπω ὂν τὸ παθητὸν, ἐὰν τοῦτο ἐστὶ τὸ συνυπάρχον, τὸ συνεῖναι τοὺς ὅρους δηλαδή. ποιοῦσι γὰρ τὰ χετικὰ, καίτοι μήπω πρὸς ἄλληλα ἐνεργεῖ, εἰ ἐὰν συνυπάρχει, ἀλλὰ δυνάμει.

τον ἀναφέρεται πρὸς τὸ μέζον, πλὴν ὅτι ἐσὶν ἐκείνου μέζον. οὐδὲ τὸ ἐπισητὸν καὶ αἰθητὸν ἀναφέρεται πρὸς τὸν ἐπισήμιν, καὶ αἴθησιν, ὅτι μὴ τῷ εἶναι αὐτῷ ἐπισήμιν καὶ αἴθησιν.

Πόθεν λεπτέα ἡ κατ' εἶδος τῶν Πρός τι διαίρεσις.

Εἰσὶν οἱ βουλόμενοι τὴν κατ' εἶδος διαίρεσιν τῶν πρός τι λαμβάνεσθαι ἀπὸ τῆς βάσεως, καὶ ὑποκειμένου τῷ αὐτῷ. Ἕτεροι δὲ οὐκ ἀπὸ τῆς βάσεως, ἀλλ' ἀπὸ τοῦ πρὸς ὃν ἀναφέρονται ὅρου τὴν κατ' εἶδος διάκεισιν τῶν Πρός τι θηρεύεσθαι ἀξιοῦσι. Παρὰ τούτους δὲ τινὲς εἰς ὁμόνοιαν συναγαγεῖν τὰς ἀντιθέτους δόξας προθυμούμενοι, οἴονται ἐξ ἀμφοῖν λεπτέον τὴν εἰδητικὴν διάκεισιν τῶν χετικῶν, ἀπὸ μὲν τῆς βάσεως ποιητικῶς, ἀπὸ δὲ τοῦ ὅρου εἰδητικῶς τὰς χέσεις εἰδοποιεῖσθαι φασί. Εὐλογώτερον μέντοι διδάσκουσιν ἀπὸ τοῦ ὅρου τὴν κατ' εἶδος διάκεισιν παραδιδόντες τῶν χέσεων. ἀπὸ γὰρ τῆς κατ' εἶδος διαφορᾶς τῆς πρὸς τὸν ὅρον ἀποδόσεως, ἡ κατ' εἶδος διαφορὰ ἀνακύπτει τῶν χέσεων, ὃ καὶ ὁ τῆς φύσεως λόγος ἑκάστου σαφέσατα πείθει. καθ' ὃ γὰρ τὸ εἶναι ἕκαστον ἔχει, κατὰ τοῦτο, καὶ εἰδητικῶς διακείνεται, ἡ δὲ χέσις ἀπόνδυσις οὖσα φιλὴ πρὸς τὸν ἀντίθετον ὅρον, κατ' ἐκεῖνον οὐκ ἀπεικότως καὶ διακριθήσεται. Ὅθεν ἐὰν ὅτε καὶποι τοῦ ὅρου μίαν καὶ τὴν αὐτὴν χετικὴν ἐπωνυμίαν δεχομένου, ὅτε διαφόρῳ λόγῳ πρὸς αὐτὸν ἕτερα ἀναφέρεται, διαφόροις χέσεσι χετικῶς ἀντιτίθεται, ὡς ὁ αὐτὸς υἱὸς χετικῶς ἀντιτίθεται κατὰ τὴν αὐτὴν ἐπωνυμίαν τῇ τε παρὰ τοῦ πατρὸς χέσει, καὶ τῆς μητρός. καὶ τὸ αὐτὸ λευκὸν, καὶ τὴν ἀπὸ τοῦ λευκοῦ σχέσιν καθ' ὁμοιότητα, καὶ τὴν ἀπὸ τοῦ μέλανος κατὰ ἀνομοιότητα, ἅπερ ἐσὶ λευκὸν ἐπιδέχεται.

Ὅπως ὁ αὐτὸς υἱὸς ὅρος γίνεται τῆς ἀπὸ τοῦ πατρὸς χέσεως καὶ τῆς ἀπὸ τῆς μητρός.

Διαφόρως μέντοι διδάσκουσιν οἱ Μεταφυσικοὶ περὶ τοῦ θετικοῦ τῆς παξότητος, καὶ μηξότητος πρὸς τὸν αὐτὸν υἱόν. ἡμῖν δὲ σωτόμως ῥητέον, ὡς ὁ υἱὸς οὐ τῇ αὐτῇ ἀναφέρεται χέσει πρὸς τὸν πατέρα τε, καὶ τὴν μητέρα τὴν ἑαυτοῦ. Πρὸς μὲν γὰρ τὸν πατέρα ἀναφέρομενος, ὡς ἐπὶ

ποιη-

ποιητικὸν αἴτιον ἀναφέρεται. πρὸς δὲ τὴν μητέρα ἐπὶ αἰτίαν παθητικὴν καὶ ὕλην ἀφορᾷ. καὶ ἡ τοιαύτη κατὰ λόγον διαφορὰ ἀπόχρη εἰς ἀφορισμὸν τῶν διαφόρων σχέσεων παχύτητος καὶ μηχύτητος. ὃν τρόπον καὶ τὸ αὐτὸ ἀποτέλεσμα, ἥπερ ἐστὶν ἀποτέλεσμα, (1) εἰς διαφόρους αἰτίας ἀναφέρεται, ὧν τὰς διαφορὰς σχέσεις ἐν αὐτῷ ἀφορίζει κατὰ τὴν οἰκείαν ἑκάστης φύσιν.

Πότερον ἀπὸ τῆς βάσεως καὶ τοῦ ὑποκειμένου ἡ σχέσις τὸ ἓν εἶναι τῷ ἀριθμῷ ἔχει, ἢ ἀπὸ τοῦ ὅρου;

Οἱ τιθέμενοι τὴν σχέσιν εἶναί τι ἐν τοῖς οὖσιν ἀντιδιαστελλόμενον τῆς οὐσίας τοῦ ὑποκειμένου, ἀξιοῦσι τὰς σχέσεις, τὸ μὲν εἶναι τῷ εἴδει, ἀπὸ τῆς οἰκείας φύσεως ἔχειν. τὸ δὲ εἶναι τῷ ἀριθμῷ, ἀπὸ τοῦ ὑποκειμένου οἷς ἐνυπάρχει ταῦτα τιθέασιν. Εἰς ἔνδειξιν τούτου προβάλλονται τὸν τρόπον, καθ' ὃν κοινότερον τὰ συμβεβηκότα λέγεται εἰς ἀτόμων τάξιν τελεῖν. διττῆς γὰρ ἐννοουμένης τῆς τῶν συμβεβηκότων ἀπ' ἀλλήλων διαιρέσεως, τῆς μὲν κατ' εἶδος καὶ κατ' οὐσίαν ἑκάστου, τῆς δὲ κατὰ τὴν ὕλην, καὶ τὰ ὑποκείμενα οἷς ἐνυπάρχει τὰ συμβεβηκότα. Κατὰ μὲν τὸν πρῶτον τρόπον διακέκρινται τῷ εἴδει, ἢ μᾶλλον εἰπεῖν τῷ γένει, ὡς ἡ γλυκύτης τε καὶ λιπαρότης ἡ ἐν τῷ γάλακτι, μηδενὸς εἰς τοῦτο κωλύοντος τοῦ ἐν τῷ αὐτῷ ἀμφότερα ὑποκειμένῳ εἶναι. Κατὰ δὲ τὸν δεύτερον τρόπον διειλόχασι τῷ ἀριθμῷ, ὡς ἡ ἐν τῷ κύκνῳ καὶ ἐν τῷ Αἰμιθίῳ λιπαρότης, καίτοι τῷ εἴδει αἱ αὐταὶ οὖσαι.

Βέλτιον μέντοι φᾶναι τὰ σχετικὰ, τῶν συμβεβηκότων διειλοχέναι τῶν ἀπολύτων, καὶ μὴ σχετικῶν, κατά τε τὴν εἰδητικὴν σύνωσιν, καὶ ἀριθμητικὴν, ὥσπερ καὶ κατὰ τὴν οὐσίαν, καὶ τὸν ὁρισικὸν λόγον διειλόχασι, καὶ ἡνέκαστον τῶν ὄντων σύστημα τοῦτο εἶναι, ἐφ' ᾧ καὶ ἡ οὐσία συνέστηκε τοῦ αὐτοῦ. Ὡς περ τοιγαροῦν τὰ ἀπόλυτα τῶν συμβεβηκότων, ~~τῷ ἐν ὑποκειμένῳ ὑπάρχοντα~~ τὸ ἁπλῶς εἶναι, καὶ τὸ σὺν εἶναι τῷ ἀριθμῷ, ἀπὸ τοῦ αὐτοῦ ἔχουσι λαβόντα ὑποκειμένου, ~~ὡσαύτως~~ καὶ τὰ σχετικὰ τὸ εἶναι ἔχοντα ἀπὸ τοῦ πρὸς ὃν ἀναφέρεται ὅρου, ἀπὸ τοῦ αὐτοῦ, καὶ τὸ σὺν εἶναι οὐκ ἀπεικότως ἕξει κατά τε τὸ εἶδος, καὶ τὸν ἀριθμόν. Ὡς, τε εἴ τι τῶν σχετικῶν πρὸς διαφόρους τῷ εἴδει ἀποκλίσεις ὅρους, ἢ πρὸς τὸν αὐτὸν μὲν τῷ

(1) Ἡ οἰκία φέρε εἰπεῖν ἐστιν ἀποτέλεσμα τοῦ τέκτονος ὡς ἐστὶ ποιητικοῦ, οὐ μὴν ἀλλὰ καὶ ὑλικοῦ καὶ εἰδικοῦ, πρὸς ἃ πάντα αὕτη ἀναφέρεται.

τῷ ὑποκειμένῳ, διάφορον μόνοι λόγῳ εἰδητικῷ, διάφοροι ἔσονται τῷ εἴδει, καὶ αἷς πρὸς αὐτὸν ὑπονοήσῃ σχέσεις. ὡς εἴτις τοῦ αὐτοῦ γοῦ διδάσκαλος ἅμα εἴη καὶ ἀδελφός, οὗτος τρισὶ σχέσεσι τῷ εἴδει διαφερούσαις πρὸς τὸν αὐτοῦ ἀνεχθήσεται γόν, τῇ μὲν ὡς πατὴρ, τῇ δὲ ὡς διδάσκαλος, καὶ τῇ λοιπῇ ὡς ἀδελφός. Εἰδὲ πρὸς πολλὰ ὑπονοήσῃ διαφέροντα τῷ εἴδει σχετικῶς, οἷον εἰ καὶ πρὸς γόντε, καὶ δοῦλον ὁ αὐτὸς, πολὺ μᾶλλον εἰκὸς διαφόροις τῷ εἴδει σχέσεσι πρὸς αὐτοὺς ὑπονοεῖν. Ἐὰν δὲ πρὸς οὓς ὑπονοήσῃ ὅρους ὁ αὐτὸς, μόνῳ τῷ ἀριθμῷ, ἀλλ' οὐ καὶ τῷ εἴδει διαφέρουσι, καὶ αἱ σχέσεις καθ' ἃς πρὸς ἐκείνους ἀναφέρεται, δῆλον ὅτι μόνῳ τῷ ἀριθμῷ διενηνόχασιν. Ὅτι δὲ πλείους σχέσεις μόνῳ τῷ ἀριθμῷ διενηνοχυίας τῷ αὐτῷ ἐνυπάρχειν ὑποκειμένῳ οὐδὲν κωλύει, δῆλον ἐπὶ τοῦ αὐτοῦ παραδείγματος, ὃς πρὸς γοῦς πλείους μόνῳ τῷ ἀριθμῷ διαφέροντας ἀναφερόμενος, πλείοσι δήπου μόνῳ τῷ ἀριθμῷ διαφερούσαις σχέσεσιν ἀναφέρεται.

Τῶν σχετικῶν.
- Τὰ μὲν κατὰ τὸ εἶναι σχετικὰ λέγεται, ὧν τὸ εἶναι οὐδὲν ἄλλο ἐστὶν, ἢ ψιλὴ σχέσις.
- Τὰ δὲ κατὰ τὸ λέγεσθαι, εἴπουν κατηγορεῖσθαι, ἅπερ ἐν ἑτέραις τελουμένα κατηγορίαις, πρόσεσιν αὐτοῖς, καὶ τὸ πρὸς ἕτερον λέγεσθαι.

Αἱ σχέσεις τειχῶς λέγονται.
- Αἱ μὲν κατ' ἀριθμὸν, ἐξ οὗπερ.
  - Αἱ μὲν ἰδίως ἐν ἀριθμῷ βεβήκασι.
  - Αἱ δὲ ἐν τῷ ἐνί.
    - Κατὰ ποιότητα.
    - Κατὰ ποσότητα.
    - Κατ' οὐσίαν.
- Αἱ δὲ κατ' ἐνέργειαν, ἐξ οὗπερ.
  - Αἱ μὲν κατὰ δύναμιν ποιητικήν.
  - Αἱ δὲ παθητικήν.
- Αἱ δὲ κατὰ μέτρον.

Τὰ

Τὰ παρεπόμενα τῆς οὐσίας ἓξ.

- Κοινὸν πάσῃ οὐσίᾳ τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι.
- Ὑπάρχει ταῖς οὐσίαις ἢ ταῖς διαφοραῖς τὸ πάντα συνωνύμως ἀπ' αὐτῶν λέγεσθαι.
- Πᾶσα οὐσία δοκεῖ τόδέ τι σημαίνειν.
- Ἔστι ταῖς οὐσίαις, καὶ τὸ μηδὲν ἐναντίον αὐταῖς εἶναι.
- Ἡ οὐσία οὐκ ἐπιδέχεται τὸ μᾶλλον ἢ τὸ ἧττον.
- Τὸ δεκτικὸν εἶναι τὴν οὐσίαν τῶν ἐναντίων, ὃ καὶ ἰδιαίτατον.

Παρεπόμενα τῷ ποσῷ τρία.

- Τὸ μὴ ἐναντίωσιν ἔχειν.
- Τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον ἢ τὸ ἧττον.
- Τὸ ἴσον καὶ ἄνισον λέγεσθαι, ὃ καὶ ἰδιαίτατον.

Παρεπόμενα τῷ ποιῷ τέτταρα.

- Ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς πρός τι
- Δοκεῖ δὲ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι τὰ ποιά τε.
- Πάντα τὰ ποιά τι πρὸς ἀντιστρέφοντα λέγεται.
- Δοκεῖ δὲ τὰ ποιός τι ἅμα τῇ φύσει εἶναι.

Περὶ Ποιοῦ καὶ Ποιότητος.

Ἡ Περὶ Ποιότητος θεωρία τίνι λόγῳ ὑποτέτακται τῇ περὶ τοῦ Πρός τι διαλήψει, εἴρηται ἐν ἐκείνοις. Ὅτι δὲ προειδέναι χρεὼν τὰς τοῦ λοιπῶν ἐξ κατηγοριῶν διδασκαλίας, ἀναμφισβήτητον ὄζει. παρέπεται γὰρ ἡ Ποιότης τῷ εἴδει τῆς Οὐσίας, ὡς περ ἡ Ποσότης τῇ ὕλῃ· ὅθεν καὶ τῶν κινητικῶν προπαιτέα ἐκείνοις ἀνωτέρω ἡ Ποιότης.

Ἔστι

Ἔστι δὲ ἡ Ποιότης τῆς πλεοναχῶς λεγομένων, οὐ μόνον ὅτι πολλῶν τυγχάνει σημαντικὴ εἰδῶν, ~~εἰς ἕτερα~~ γενῶν ὑπαλλήλων, ὑπὸ τὸ γενικώτατον τῆς Ποιότητος γένος πλουτοῦσιν, (ὅπερ ἐνταῦθα ὁ Φιλόσοφος παίσι-
„ σι λέγων, αὐτοῖς ῥήμασιν. Ἔστι δὲ ἡ ποιότης τῆς πλεοναχῶς λεγο-
„ μένων.) Ἀλλ' ἔτι πλείω σημαίνει, εἰς διαφόρους ἀναφερόμενα κατηγορίας. ὡς γὰρ ἐπὶ τοῦ Δ. τῆς Μεταφυσικῶν κεφαλαίου περὶ Ποιότητος ὁ Φιλόσοφος διδάσκει, ἡ Ποιότης (1) πρώτως, καὶ καθ' αὑτὸ τὰς οὐσιώδεις καὶ εἰδοποιοὺς τῆς ὄντων διαφορὰς σημαίνει. ὃ καὶ ὁ Πορφύριος ὑπέθετο ἐν τῷ περὶ Διαφορᾶς κεφαλαίῳ, ἐν τῷ ὁποιόντι ἐστὶ κατηγορεῖσθαι ταύτῃ διδάξας. Ἀλλὰ καὶ ἐν τῷ περὶ οὐσίας κεφαλαίῳ τὰ γένη, καὶ τὰ εἴδη τῆς πρώτης οὐσίας, οὐ τόδέ τι, ἀλλὰ μᾶλλον ποιόντι σημαίνειν ἔλεγεν, ἐπὶ τὴν πρώτην οὐσίαν ἀναφερόμενα. Ἰδιαίτερον μέντοι θάτερον τῆς ἀπολύτων συμβεβηκότων ποιότης ἔωθε προσαγορεύεσθαι, οὗ τὰ μετέχοντα, τοιαῦτα κατὰ συμβεβηκὸς λέγονται, περὶ οὗ ἐπὶ τοῦ παρόντος ὁ λόγος.

Ἐπιγράφεται δὲ τὸ κεφάλαιον περὶ Ποιότητος ἅμα καὶ Ποιοῦ. τὸ δὲ αἴτιον τῆς ἐπιγραφῆς ἐστὶν, ὅτι διὰ τοῦ Ποιοῦ τὴν ποιότητα ὑπογράψαντι τῷ Φιλοσόφῳ, ἔδεησε καὶ περὶ τοῦ Ποιοῦ ἰδίᾳ διασκέψασθαι, εἰς κατάληψιν τῆς ἀποδοθείσης περὶ Ποιότητος ὑπογραφῆς. Διότι τοῦτο καὶ περὶ ἀμφοῖν οὐκ ἀπεικότως ἐπιγέγραπται τὸ κεφάλαιον.

Τούτου τὴν διάσκεψιν ὁ Φιλόσοφος τέτταρα διανέμει. Πρῶτον μὲν ἀποδίδοσι τὸν ὁρισικὸν τῆς Ποιότητος λόγον. Δεύτερον διανέμει ταύτην εἰς διάφορα γένη, ὡς εἴρηται ὑπάλληλα, καὶ τούτων ἕκαστον ἐφεξῆς πολυειδῶς ἀναπτύσσει. Τρίτον περὶ Ποιοῦ διαλαμβάνει. Τέταρτον τὰ παρεπόμενα τῆς Ποιότητος προτίθεται. Δὸς δ' εἰπεῖν καὶ πέμπτον, ἐν ᾧ ἀπορίας τινὰς περὶ Ποιότητος προβάλλων ἐπιλύεται.

„ Ποιότητα δὲ λέγω, καθ' ἣν ποιοί τινες εἶναι λέγονται.

Αὕτη ἐστὶν ἡ τῆς Ποιότητος ὑπογραφὴ παραδοθεῖσα ὑπὸ τοῦ Φιλοσόφου δεύτερον ἐν ἀρχῇ τοῦ κεφαλαίου. ἐφ' ἧς τὸ μὲν ὑπογραφόμενον ἡ ποιότης ἐστὶν ἐξηρημένη τῆς ὕλης. Ὑπογράφεται δὲ διὰ τοῦ Ποιοῦ, ὅπερ ἐστὶ

(1) κοινότερον ἡ ποιότης σημαίνει φησὶ καὶ τὰς δευτέρας οὐσίας, καὶ τὰς οὐσιώδεις διαφορὰς, ἰδιαίτερον δὲ θάτερον τῆς ἀπολύτων συμβεβηκότων, ὅπερ ἐστὶν ἡ ποιότης. ἀπόλυτα γὰρ συμβεβηκότα δύο μόνον κυρίως ποσότης, καὶ ποιότης.

ποιότης ὕλος. Ἔστι δὲ ποιότης κατὰ ἀφαίρεσιν, οἷον ἡ λευκότης, ἥτις ψιλῶ τῶ λευκότητα σημαίνει. Κατὰ δὲ τὸ συγκεκριμένον, οἷον τὸ λευκὸν, ὅπερ σημαίνει ποιότητα μετὰ τῆς ὕλης. Ὁ τοίνυν Φιλόσοφος ἐπὶ τοῦ παρόντος ὁρίζεται τῶ ποιότητα οὐ μετὰ τῆς ὕλης, ἀλλὰ κεχωρισμένω ταύτης διὰ τῆς ἀύλου ποιότητος. ἐμφαίνει γὰρ τῶ ποιότητα διὰ τοῦ ποιοῦ, ὅπερ ἐστὶ Ποιότης ὕλος.

Ἀπορεῖται δὲ περὶ τῆς τοιαύτης ὑπογραφῆς. ὅτι δοκεῖ τὸ αὐτὸ δι' ἑαυτοῦ δηλοῦσθαι, τῶ Ποιότητα δηλαδὴ διὰ τῆς Ποιότητος. τὸ γὰρ ποιὸν ὡς εἴρηται, ποιότης ἐστὶ μετὰ τῆς ὕλης. Πρὸς ὃ ἀπαντητέον ὅτι ὁ ὁρισμὸς διὰ σαφεστέρων ἀποδίδοται. τὸ δὲ Ποιὸν ὕλον ὂν, αἰσθητόν ἐστιν. ὅθεν καὶ τῆς Ποιότητος σαφέστερον ὑπάρχει.

„ Ἔστι δὲ ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων.

Εἴρηται ἀνωτέρω περὶ τῶν διαφόρων σημαινομένων τῆ ποιότητι, ἐκτεθειται νῦν μετὰ τῶν Φιλοσόφω τὰ διάφορα εἴδη, ἅτ' οὖν γοῦν ὑπάλληλα τῆς Ποιότητος. Ὧν τὸ πρῶτον ἐστὶν ἕξις καὶ διάθεσις. Τὸ δεύτερον δύναμις φυσικὴ καὶ ἀδυναμία. Τὸ τρίτον παθητικὴ ποιότης, καὶ πάθος. Καὶ τέταρτον σχῆμα καὶ ἡ περὶ ἕκαστον μορφή.

„ Ἓν μὲν οὖν εἶδος Ποιότητος, ἕξις ἢ διάθεσις λεγέσθωσαν.

Προχειρίζεται τὸ πρῶτον εἶδος τῆς Ποιότητος ὁ Φιλόσοφος ταῖς δὲ ταῖς φωναῖς, ἕξεσι καὶ διαθέσει, ἑκάτερον δὲ τῶν εἰρημένων ὀνομάτων πολυειδῶς λαμβάνεται. Ἡ γὰρ ἕξις (ὡς ἐν τῶ Δ. τῶν Μεταφυσικῶν ὁ Φιλόσοφος διδάσκει) Πρῶτον μὲν ἐνέργειάν τινα σημαίνει μεταξὺ τοῦ ἔχοντος καὶ ἐχομένου θεωρουμένω, καθ' ὃ σημαινόμενον σώζεται τῶν τοῦ ὄντος γενῶν τὸ Ἔχεσθαι, ὃ καλεῖται Ἔχειν. Σημαίνει δεύτερον ἡ ἕξις ἰδιότητα διάθεσιν, καθ' ἣν τὸ ἔχον πάντως διατίθεται δύ', ἢ κακῶς καθ' ἑαυτὸ, ἢ πρὸς ἕτερον, ὅπερ ὁ αὐτὸς Φιλόσοφος ἐν τῶ αὐτῶ κεφαλαίω παραδίδωσιν. Ἡ δὲ τοιαύτη διάθεσις, ἡ διὰ τῆς ἕξεως δηλουμένη, ἐκτείνεται καὶ ἐπὶ τῶν μερῶν τοῦ σώματος, τῶν τε ἐμψύχων, καὶ ἀψύχων. Ἥτις ἔτι ἐννοεῖσθαι ἐνδέχεται τριχῶς. Ἢ γὰρ ἐστὶ διάθεσις τῶν μερῶν τοῦ σώματος κατὰ τόπον, οὗ χόπον ἀναφέρεται ἐπὶ τῆς κατηγορίας τοῦ Κεῖσθαι. Ἢ ἐννοεῖται ἡ διάθεσις αὕτη ἐπὶ τῶν μερῶν τοῦ σώμα-

μα-

ματος πρὸς ἄλληλα, καθ' ἣν τὸ ἔχον ταύτην εὖ, ἢ κακῶς διατίθεται ἐν τοῖς οἰκείοις μέρεσι καθ' ἑαυτό. Τοῦτον δὲ τὸν τρόπον ἡ εἰρημένη διάθεσις ἀναχθήσεται ἐπὶ τὸ τέταρτον εἶδος τοῦ προειμένου γένους, τὸ σχῆμα (1) δηλαδὴ, καὶ τὴν μορφήν.

Τελευταῖον ἡ εἰρημένη διάθεσις ἐννοεῖται ἐπὶ τῆς δυνάμεων τῆς ψυχῆς, ἥτις (2) αὐταῖς χαρίζεται ῥοπὴν καὶ εὐχέρειαν ἐπὶ τὸ ἐνεργεῖν. καὶ ἔπω συμβήσεται τὸ πρῶτον εἶδος τῆς Ποιότητος, περὶ ὃ ἐπὶ τὰ παρόντος.

Περὶ Διαθέσεως.

Τῆς διαθέσεως τὸ αὐτὸ (3) εἶδος ἐν Ποιότητι σημαινούσης, ὅπερ καὶ ἡ ἕξις, οὐδὲν ἀπεικὸς, εἰ καὶ ἐπὶ τῆς λοιπῶν αὐτῆς σημαινομένων συμφωνεῖ τῇ ἕξει. ἧς χάριν διδάσκει τὸ σημαινόμενον ὁ Φιλόσοφος ἐπὶ τῷ αὐτοῦ τῆς Μεταφυσικῶν βιβλίου. Εἰπὼν γὰρ ὅτι ἡ διάθεσις, τάξεως ἐστὶ σημαντικὴ ἐπὶ τῆς ἐχόντων μέρη, τὴν τοιαύτην τάξιν τειχῶς θεωρεῖσθαι φησὶν, ἢ κατὰ τόπον, ἢ κατὰ μορφὴν, καὶ τρίτον κατὰ δύναμιν. Τὰ σημαινόμενα τῆς διαθέσεως καὶ τὸν πρῶτον τρόπον, ἀναφέρεται ἐπὶ τὸ Κεῖσθαι. Τὰ δὲ κατὰ τὸν δεύτερον τρόπον, ἐπὶ τὸ τέταρτον εἶδος τοῦ προκειμένου γένους, οὗπερ καὶ ἐπὶ τῆς ἕξεως εἴρηται. Κατὰ δὲ τὸν τρίτον τρόπον ἐννοουμένη ἡ τοιαύτη τάξις, διαθετικὴ ἐστὶ τῆς δυνάμεων τῆς ψυχῆς, ἃς ῥυθμίζεται καὶ προχείρους ἀπεργάζεται πρὸς τὸ ἐνεργεῖν ἀσφαλῶς τε, καὶ ῥαδίως κατὰ τὸ εἶδος τῆς διαθέσεως, καθ' ὃ σημαινόμενον περὶ τῆς ἐνταῦθα γίνεται λόγος, καὶ ἔστι τῇ ἕξει ταυτοσήμαντος. Ὅτι δὲ αὗται Ποιότητές εἰσι, ῥᾴδια σωκέγεται ἐκ τῆς ἀποδοθείσης περὶ Ποιότητος ὑποχαφῆς. Ἐκεῖνο γὰρ ἔξι ποιότης, καθ' ὃ τὸ μετέχον ποιόντι λέγεται εἶναι. ἀλλὰ μὴν κατὰ τὴν ἕξιν καὶ διάθεσιν, ὡς τὰ ἐκτεθέντα δηλοῦσι παραδείγματα ποιοῖτινες εἶναι λεγόμεθα. ἡ ἕξις ἄρα καὶ ἡ διάθεσις ποιότητες ἀναντιῤῥήτως εἰσίν.

„ Διαφέρει δὲ ἕξις καὶ διάθεσις.

Ἡ ἕξις καὶ ἡ διάθεσις, καίτοι μὴ διάφορα εἰσὶν ἐν Ποιότητι εἴδη, ἀλλὰ τὸ αὐτὸ (4) ἀμφότεραι, τῷ μὴ διενηνοχέναι κατ' οὐσίαν. Διαφέρει-

(1) Φαμὲν γὰρ τὸ εὖ διακείμενον σῶμα εὐειδὲς, τὸ δὲ κακῶς ἐξ ἀκαταλλήλως, δυσειδές.
(2) Ἥτις ἕξις ἕξωθεν αὐτῇ ἐπέρχεται. (3) Ἤτοι τὸ φαῦλον. (4) Εἶδος εἰσί.

ρουσι μέντοι ἀλλήλων κατὰ συμβεβηκός, ὧν τὰς διαφορὰς ἐν τούτοις ὁ Φιλόσοφος ἐκτίθεται. Εἰσὶ δὲ αὗται δύο. καὶ πρώτη μέν ἐστιν ὅτι ἡ ἕξις χρονιωτέρα τε, καὶ μονιμωτέρα ἐστὶ Ποιότης, ἥπερ ἡ διάθεσις. ἡ γὰρ ἕξις δυσαπόβλητος ἐστὶ τοῦ ἐν ᾧ ὑπάρχει, καὶ δυσαφαίρετος. Ἐμπεδοῦται τοῦτο ὁ Φιλόσοφος παραδείγμασι σαφεστάτοις, οἷαι εἰσὶν αἱ ἐπιστῆμαι, καὶ αἱ περὶ τὰ ἤθη ἕξεις. Ἡ γὰρ ἐπιστήμη τῷ παραμονιμωτέρων ἐστὶ, καὶ δυσαπόβλητος τοῦ ἐν ᾧ ὑπάρχει ὑποκειμένου τυγχάνει οὖσα. Οὐ γὰρ ἀφαιρεῖται τοῦ ἐν ᾧ ὑπάρχει ἡ ἐπιστήμη, ὅτι μὴ μεγάλης γινομένης μεταβολῆς, ἢ ὑπὸ νόσου, ἢ ὑπὸ τοιούτου ἑτέρου. Ὁμοίως δὲ καὶ αἱ περὶ τὰ ἤθη ἕξεις, οἷον δικαιοσύνη, καὶ ὅσαι ἄλλαι. διαθέσεις δὲ ἦσουν, ὅσαι τοιαῦται ποιότητες δυσαπόβλητοι εἰσὶ, καὶ ῥᾳδίως ἀπογίνονται τοῦ ὑποκειμένου. σωίσησι τοῦτο ὁμοίως ὁ Φιλόσοφος παραδείγμασι χρώμενος θερμότητι, καὶ ψυχρότητι, νόσῳ τε, καὶ ὑγείᾳ, αἷς διατίθεταί πως ὁ ἄνθρωπος, ταχέως μέντοι μεταπίπτει. ὡς ὅταν ἀπὸ τῆς θερμότητος εἰς ψυχρότητα, ἢ ἀπὸ τῆς νόσου εἰς ὑγιείαν ἐναλλὰξ μεταβαίνει. Ἢν μέντοι ταῦτα χρονιωτέρῳ ἔθει βεβαιωθείη, καὶ οἷον εἰς φύσιν μεταβληθείη, πάγια καὶ δυσαπόβλητα ἀποκαθίστανται. ἀλλὰ τοιαῦτα οὐκ ἔτι διαθέσεις, ἀλλ' ἕξεις εἴωθε λέγεσθαι.

„ Φανερὸν δέ ἐστι.

Συνίησι τὴν αὐτὴν τῆς ἕξεως καὶ διαθέσεως διαφορὰν ὁ Φιλόσοφος καὶ ἀπὸ τῆς λεκτικῆς συνηθείας. εἴθισται γὰρ τοῖς ἀνθρώποις ἐκεῖνα τῷ παθῶν προσαγορεύειν ἕξεις, ὅσα μονιμωτέρως ἐνίζάνει τῷ ὑποκειμένῳ, ἢ δυσαπόβλητα τυγχάνει ὄντα. Διαθέσεις δὲ ὅσα ἀντικειμένως ἔχει, τὰ εὐαπόβλητα δηλονότι καὶ ὀλιγοχρόνια. τοὺς γὰρ μὴ παγίως ἔχοντας ἐπιστήμης τινὸς δόγματα, ἀλλὰ ῥᾳδίως ἀποβαλλόμενα, οὔπω ἐν ἕξει εἶναι τῆς ἐπιστήμης φαμὲν, ἀλλ' ἐν διαθέσει μόνον. εἰσὶ γάρ πως διατιθέντες κατ' ἐπιστήμην, ἀλλ' οὐ παγίως καὶ δυσαποβλήτως.

„ Εἰσὶ δὲ αἱ μὲν ἕξεις, καὶ διαθέσεις.

Ἐν τούτοις ὁ Φιλόσοφος παραδίδωσι τὴν δευτέραν διαφορὰν τῆς ἕξεως, καὶ διαθέσεως, ἥτις ἐστὶν ὅτι ἡ διάθεσις πλατύτερον ἐκτείνεται, ἥπερ ἡ ἕξις. Πᾶσα γὰρ ἕξις, καὶ διάθεσις λέγεται, οὐ μέντοι καὶ

καὶ πᾶσα διάθεσις ἕξις προσαγορευθείη. Αἴτιον δὲ τούτου ὅτι ἡ διάθεσις, (ὑπερ ἐπὶ τοῦ προκειμένου ἀνάγεται κατηγορίαν) διχῶς ἐκλαμβάνεται, πλατύτερον μὲν, ὑπερ Ποιότητα σημαίνει, καθ' ἣν αἱ ψυχικαὶ δυνάμεις ἡμῶν διατίθενται πρὸς τὸ ἐνεργεῖν ῥαδίως καὶ ἀσφαλῶς, εἴτε δύνηπος καὶ δυσπάλλακτος εἴη, εἴτ' οὖν μόνιμος καὶ δυσπάλλακτος. Ἰδιαίτερον δὲ ἡ διάθεσις Ποιότητα σημαίνει ῥαδίως ἀπαλλαττομένην, καὶ ἀπογινομένην τοῦ ἐν ᾧ ὑπάρχει ὑποκειμένου. Κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον, ἐννοουμένη ἡ διάθεσις, καὶ κατὰ τῆς ἕξεως λέγεται. Οἱ γὰρ ἐν ἕξει τινὶ ὄντες, καὶ ἐν διαθέσει πάντως εἰσὶν, οἱ δὲ ἐν διαθέσει ὄντες, καὶ ἐν ἕξει εἰσὶν, εἴπερ δύνηπος τύχῃ οὖσα ἡ τοιαύτη διάθεσις.

λέ σανίδων

» Ἕτερον γένος ποιότητος.

Μεταβαίνει λοιπὸν ὁ Φιλόσοφος ἐπὶ τὸ δεύτερον γένος τῆς Ποιότητος, ὅπερ εἶναι φησὶ, δύναμιν (1) φυσικὴν καὶ ἀδυναμίαν. γένος δὲ τοῦτο ἐκάλεσεν, οὐχ ὅτι μὴ ἐπὶ τοῦ Ποιότητα ὑπάγεται ὡς ὑπὸ τὸ γενικώτατον γένος, ἀλλ' ὅτι ἐστὶ γένος ὑπάλληλον, καὶ πολλὰ περιέχει ὑφ' ἑαυτὸ εἴδη. ὁ δὲ τῆς τάξεως λόγος τοιοῦτος ἐστί. Διττὴ γάρ ἡ δύναμις. ἡ μὲν ἐπίκτητος ἔθει, καὶ συνεχείᾳ πράξεων ποριζομένη, κατὰ τοὺς κανόνας τῆς ἐπιγινομένης ἕξεως. Ἑτέρα δὲ ἡ φυσικὴ λεγομένη, ὡς ἀπὸ φυσικῆς ἀρχῆς προερχομένη. Ἐπεὶ τοιγαροῦν ὁ Φιλόσοφος διέλαβε προσεχῶς περὶ τῆς ἐπικτήτου δυνάμεως, τῇ τῆς ἕξεως καὶ διαθέσεως ἐπωνυμίᾳ, ἀκολούθως νῦν περὶ τῆς δευτέρας δυνάμεως τῆς φυσικῆς διοείζεται. ἥτις ἐστὶν ἀρχὴ, καὶ οἷον βάσις τῆς προληφθείσης (2) δυνάμεως.

Διαιρεῖται τοῖς νεωτέροις τὰ σημαινόμενα τῆς φυσικῆς δυνάμεως. Ὅτε μὲν γάρ φασι πλατύτερον ἐκλαμβανομένη, ἐπὶ πάσας ἐκτείνεται τὰς δυνάμεις, ποιητικὰς, καὶ παθητικὰς, καθ' ὃ σημαινόμενον, καὶ αἱ κατ' οὐσίαν δυνάμεις περιέχονται. Δυνάμεις δὲ οὐσιώδεις ἐννοοῦσι, τὴν μὲν ἐπὶ Θεοῦ ποιητικὴν καὶ δημιουργικὴν τῶν ἁπάντων, τὴν δὲ ἐπὶ τῆς πρώτης ὕλης, παθητικὴν, ὡς παντὸς εἴδους ἐνύλου δεκτικήν. Αἱ δὲ τοιαῦται δυνάμεις, ἅτε δὴ οὐσιώδεις, οὐχ ὑπάγονται τῇ προκειμένῃ κατηγο-

(1) Πρότερόν δ' οἶμαι τῆς φυσικῆς δυνάμεως ἡ ἐπίκτητος δύναμις, ἥτις ἐστὶν ἕξις καὶ διάθεσις, ὡς σαφέστερα. προηγεῖται δὲ διδασκαλικῶς τὰ σαφέστερα τῶν ἀσαφῶν, ὁ δὲ Φιλόσοφος ἐνταῦθα διδασκαλικῶς διαλέγεται. κατὰ δὲ Ἀμμώνιον ὅτι ἕξις καὶ διάθεσις περὶ τὰ ἔμψυχα, δύναμις δὲ καὶ ἀδυναμία περὶ τὰ φυσικὰ καταγίνονται, τὰ δὲ ἔμψυχα τῆς φύσει προτιμότερα. (2) Τῆς ἐπικτήτου.

πηγοείᾳ, ἐφ' ἧς αἱ κατὰ συμβεβηκὸς δυνάμεις τάττονται μόναι. Γ δικώτερον δὲ ἐννοοῦντες τὴν φυσικὴν δύναμιν, ἀρχὴν εἶναι φασὶ προσεχῆ, κινήσεως ἑτοιμασοῦ. διττὸν γὰρ γένος τίθενται τῆς κατὰ φύσιν ποιητικῶν ἀρχῶν, τὸ μὲν πόρρω, τὸ δὲ προσεχές. Κἀκεῖνο μὲν εἶναι φασὶν αὐτὸ τὸ φυσικὸν εἶδος τῆς σωθείσης οὐσίας. Τὸ δὲ προσεχὲς (2) αὐτοῖς, ἐστὶ δύναμις, εἴποιμι φυσικὴ ποιότης, ἀπὸ τοῦ πρώτου παραγομένη, οἷς (2) καὶ τὸ τέλειον ἐπιγίνεται ἡ ἕξις ἐπίκτητος οὖσα, ἐπιτηδειότητα τούτοις ἐμποιοῦσα περὶ τὸ ἐνεργεῖν. Ἀλλ' ἡμῖν μὲν εἴρηται ἀποχρώντως ἐν τῷ περὶ οὐσίας λόγῳ ὁπόσαπερ αἱ φυσικαὶ δυνάμεις τῆς φυσικῶν εἰδῶν αἰτιολογίας ἔλλονται.

Διωρίσαι μὲν ἡμῖν ἀκριβέστερον ὅπως αἱ φυσικαὶ δυνάμεις ἐννοοῦνται, καὶ τίνι ἕτερον τοῦ οἰκείου εἴδους πεφύκασι διαφέρεσθαι· καὶ μετ' ὀλίγον δ' αὖθις παραινέσομεν τὰ περὶ αὐτῆς. Ὁ δὲ Φιλόσοφος εἰς δήλωσιν τοῦ προκειμένου εἴδους τῆς Ποιότητος, δυσὶν ὁμοίως κέχρηται ὀνόμασι. δυνάμει δηλαδὴ, καὶ ἀδυναμίᾳ. ὧν ἡ μὲν δύναμις πρὸς τὸ ἐνεργεῖν ἀναφέρεται. Οἵτε γὰρ δρομικοὶ λεγόμενοι, πυκτικοίτε, καὶ ὅσοι ἄλλοι, τοιοῦτοι προσαγορεύονται, διὰ τὴν ἐνοῦσαν αὐτοῖς φυσικὴν δύναμιν, καθ' ἣν εὖ ἔχουσι περὶ τὸν δρόμον, ἢ τὸ πυκτεύειν, οἷον ἢ σαρκωδέστεροι τυγχάνουσιν ὄντες, ἢ νευροδέστεροι, καὶ ζωνότεροι διὰ τὴν τοιαύτην τοῦ σώματος ἕξιν, πρὸς πυγμὴν, ἢ πάλην, πεφύκασιν ἐπιτηδειότεροι. Ἡ δὲ ἀδυναμία πρὸς πάθος ἀναφέρεται, καθ' ἣν ὑγιεινοὺς εἶναι φαμὲν τοὺς μὴ ῥᾳδίως παθαινομένους ὑπὸ τῶν νοσοποιῶν αἰτιῶν.

Αὗται δὲ δύναμις δηλονότι καὶ ἀδυναμία, οὐ διαφέρουσιν ἀλλήλοις τῷ εἴδει, ἔστιν ὅτε οὐ δὲ τῷ ἀριθμῷ· μία γὰρ καὶ ἡ αὐτὴ Ποιότης κατὰ διαφόρους σχέσεις, δύναμις καὶ ἀδυναμία προσαγορεύεται. ὃ καὶ παραδείγμασιν ὁ Φιλόσοφος ἐδήλωσε. τὸ γὰρ δυνατὸν ῥᾳδίως τρωθῆναι, ἀδύνατον ἐστὶ, ταυτὸ δὲ εἰπεῖν ἀδυναμίαν ἔχειν, ὥς τε ἀντέχειν πρὸς τὸ τέμνον. καὶ τὸ δύναμιν ἔχον τοῦ νοσεῖν, ἀδυναμίαν ἔχει τοῦ ἀντέχειν πρὸς τὰ νοσοποιὰ αἴτια. ὥς τε μία καὶ ἡ αὐτὴ ποιότης ἀμφότερα, δύναμις, καὶ ἀδυναμία, οὐ δὲ τῷ εἴδει ἀλλήλων ἀφώρισται, ἀλλὰ τῷ τὴν μὲν ὡς ποιητικὴν, τὴν δὲ ὡς παθητικὴν θεωρεῖσθαι, ὡς εἴρηται, ἡ μὲν δύναμις, ἡ δὲ ἀδυναμία ἤκουσεν.

Ὅτι

(1) Τοῖς νεωτέροις, ἤτοι τὸ ὑπ' αὐτῆς λεγόμενον, προσεχές. (2) Οἷς δυσὶ γενέσιν ἐπέρχεται ἡ κτητὴ ἕξις. πρῶτον γὰρ κατ' ἐκείνου γένος τὸ πόρρω, εἶτα τὸ προσεχές, ἐφ' οἷς τέχνη, ἢ ἐπιστήμη ἐπιγίνεται.

Ὅτι δὲ ποιότητες αὗται, σωμάγεται ὁμοίως ἐκ τῆς ἀποδοθείσης κοινότερον τῇ ποιότητι ὑπογραφῆς. οἱ γὰρ μετέχοντες τούτων, ποιοίτινες εἶναι λέγονται κατ' αὐτάς, ὡς ὁ κατὰ δύναμιν φυσικῶν πυκτικὸς, ἢ δρομικός. Ἐκεῖνο δὲ ἐπισάσεως ἄξιον κἀνταῦθα, ὅτι ὁ Φιλόσοφος παραδείγματι τῇ φυσικῶν δυνάμεων προχειρίσαι, τὰ παρὰ (1) τὴν φυσικὴν τῶν στοιχείων κρᾶσιν τοῖς μικτοῖς ἐγγινόμενα. ἡ δὲ τοιαύτη κρᾶσις, καὶ μᾶλλον (2) καὶ ἧττον ἐπιδέχεται, ὡς δῆλον ἐπί τε τῶν ζώων, καὶ φυτῶν. ᾧ δὴ λόγῳ καὶ οὐκ ἀπεικότως αἱ τοιαῦται δυνάμεις ἐν τοῖς συμβεβηκόσιν ἐτάχθησαν. αἱ δὲ οἰκεῖαι ἑκάστου εἴδους ἐνέργειαι, οὐ παρά τινος ἄλλου ἀμέσως προβάλλονται, ὅτι μὴ ἀπὸ τοῦ αὐτοῦ εἴδους. ἡ αὐτὴ γὰρ τοῦ ζώου ψυχὴ, καὶ ὁρᾷ, καὶ ἀκούει, ἅ τὰς λοιπὰς αὐτῇ προσηκούσας ἀποδίδωσιν ἐνεργείας. τὸ (3) δὲ δύνασθαι, τὸ μὲν ὀξύτερον, ἢ ἀμβλύτερον ὁρᾶν, ἢ ἀκούειν, τὸ δὲ μὴ, διὰ τὴν φυσικὴν τοῦ σώματος ἕξιν, ἅ κρᾶσιν, συμβεβηκὸς ἐστὶ πάντως, καὶ ἐπὶ τὸ προκείμενον τῆς ποιότητος εἶδος ὑπάγεται.

„ Τρίτον δὲ γένος Ποιότητος παθητικαὶ ποιότητες, καὶ πάθη.

Διωρισάμενος τὰ δύο (4) πρῶτα τῆς ποιότητος εἴδη, ἅπερ ἐπὶ τῆς αἰσθητῆς οὐσίας, λόγον ἀρχῆς ἔσχηκε ποιητικῆς, τὸ μὲν φυσικῆς, τὸ δὲ ἐπικτήτου. διατάκτως νῦν ἀποδίδωσι τὰ λοιπὰ δύο εἴδη, ἃ πρὸς ἐκεῖνα λόγον ἀποτελέσματος ἴσχει. ὧν τὸ μὲν, ἐστὶ παθητικὴ ποιότης καὶ πάθος. τὸ δὲ, σχῆμα, καὶ ἡ περὶ ἕκαστον μορφή. Διαλαμβάνει μὲν πρῶτον περὶ τῆς παθητικῆς Ποιότητος καὶ πάθους. ὅτι ταῦτα μέχει βάθους τῆς αἰσθητῆς οὐσίας ἐννοεῖται ὑπάρχοντα, ἐκεῖνα δὲ περὶ τὴν αἰσθητὴν οὐσίαν καὶ ἐπιπολαίως μόνον τῆς ἐπιφανείας θεωρεῖται. Προσηγόρδυτε δὲ ὁ Φιλόσοφος καὶ τοῦτο τὸ εἶδος τῆς ποιότητος γένος, ὥς περ ἅ τὸ ἀνωτέρω. Τὸ δὲ αἴτιον τῆς προσηγορίας εἴρηται ἤδη ἐν (5) ἐκείνῳ.

Τῶν δὲ παθητικῶν ποιοτήτων καὶ παθῶν, τῶν μὲν ἐπὶ τοῦ σώματος, τῶν δὲ ἐπὶ τῆς ψυχῆς: συμβαίνειν, πεφυκῶν, ὁ Φιλόσοφος πρό-
: στρυμάδων πρότερον

(1) Διά. (2) Τῶν ζώων γὰρ τὸ μὲν μᾶλλον ὁρᾷ καὶ ἀκούει, τὸ δὲ ἧττον. διὰ τὴν τούτων ἐπιμιξίαν, τῶν στοιχείων δηλαδὴ συμμεζίαντε καὶ ἀσυμμεζίαν. (3) Τὸ δὲ αἰτίας τῆς φυσικῆς κράσεως τοῦ σώματος τὸν μὲν μᾶλλον, τὸν δὲ ἧττον ὁρᾶν, ἢ ἀκούειν, τοῦτο συμβεβηκός ἐστι. (4) Ἕξιν καὶ διάθεσιν, δύναμιν καὶ ἀδυναμίαν. τὸ πρῶτον ἐπίκτητον, τὸ δὲ φυσικόν. (5) Τῷ δευτέρῳ, τῇ δυνάμει καὶ ἀδυναμίᾳ δηλαδή.

τερον περὶ τῆ τοῖς σώμασι συμβαινουσῶν διαλέγεται, ὧν εἰς κατάληψιν τεία ταῦτα ποιεῖ.

Προβάλλεται πρῶτον τὸ αὐτὸ τοῦτο εἶδος, ὅπερ ἐφεξῆς παραδείγμασι διαξανοῦται. Δεύτερον διαφορώτινα κὴ διαίρεσιν τῆ παθητικῶν Ποιοτήτων παραδίδωσι. Τείτον ὅπως αἱ παθητικαὶ Ποιότητες τῆ παθῶν διευλωόχασι διδάσκει. Εἰς δήλωσιν τοῦ Πρώτου παραδείγματα προχειρίζεται ὁ Φιλόσοφος ἀπότε τῆ πρώτων Ποιοτήτων θερμὸν, κὴ ψυχρὸν, κὴ ἀπὸ τῆ χρωμάτων τλὼ λευκότητα, κὴ τλὼ μελανίαν. Ταῦτα δὲ πάντα ὅτι ποιότητες εἰσὶ παρὰ πόδας ἐπάγεται τλὼ δεῖξιν ὁ „ Φιλόσοφος ζόπῳ τοιῷδε. Ποιότητες εἰσὶ καθ' ἃς τὰ μετέχοντα ποιά„ τινα εἶναι λέγεται. Τοιαῦται δὲ πᾶσαι αἱ προσνεχθεῖσαι ἐν παρα„ δείγματος λόγῳ. ἆρα. Τὸ γὰρ γλυκὺ ποιὸν εἶναι λέγεται, ὑπερ γλυκύτητος μετέχει. κὴ τὸ θερμὸν ὁμοίως, ᾗ μετέχει θερμότητος ποιὸν λέγεται, κὴ τὸ λευκὸν κὴ μέλαν, κὴ τἄλλα ὡσαύτως.

Παραδιδοὺς δὲ ἐφεξῆς ὁ Φιλόσοφος τλὼ ἐνοῦσαν ταῖς παθητικαῖς Ποιότησι διαφορὰν. Πρῶτον ἐκτίθεται αἴτιον, καθ' ὃ τλὼ ἐπωνυμίαν ἔχουσιν αἱ παθητικαὶ Ποιότητες λεγόμεναι. Τοῦτο δὲ ἐστὶν ὅτι πολλαὶ τῆ τοιούτων Ποιοτήτων οὐχ ὡς ἀπὸ πάθους ἐγγινόμεναι παθητικαὶ Ποιότητες ἤκουσαν, ἀλλὰ μᾶλλον, ὅτι πάθος ἐμποιοῦσι ταῖς ἡμετέραις αἰσθήσεσι. τὸ γὰρ μέλι οὐ διὰ τοῦτο γλυκὺ λέγεται (ὅπερ ἐστὶν ἡ παθητικὴ (1) ποιότης) ὡς πεπονθὸς τὶ κατὰ τλὼ γλυκύτητα, ἀλλ' ὅτι πάθος ἐμποιεῖ γλυκύτητος περὶ τλὼ ἡμετέραν γεῦσιν. Ὁμοίως δὲ φησὶ κὴ θερμότητα, κὴ ψυχρότητα παθητικὰς λέγεσθαι ποιότητας, οὐχ ὅτι τὰ μετέχοντα τούτων πάσχουσι κατὰ μέθεξιν, ἀλλ' ὅτι ἐπὶ τῆ αἰσθήσεων πᾶσαι αἱ εἰρημέναι Ποιότητες, πάθους εἰσὶ ποιητικαί.

Δεύτερον αἴτιον ὁ Φιλόσοφος ἐπάγει τῆς ἐπωνυμίας τῆ παθητικῶν ποιοτήτων ἀντικείμενον τῷ προρρηθέντι, ὅτι τινὲς τῆ παθητικῶν Ποιοτήτων αὐτὸ τοῦτο ἤκουσαν παθητικαὶ ποιότητες, οὐχ ὅτι πάθος ἐμποιοῦσι ταῖς αἰσθήσεσιν, ἀλλ' ὡς ἀπὸ πάθους ἐγγινόμεναι. Παραδείγματα προχειρίζεται ὁ Φιλόσοφος ἀπὸ τῆ χρωμάτων. ἡ γὰρ ἐρυθρίασις οὐ τῷ πάθος ἐμποιεῖν ταῖς αἰσθήσεσι πάθος λέγεται, ἀλλ' ὅτι ἀπὸ πάθους ἐγγίνεται τῷ αἰδουμένῳ, πάθος λέγεται. Ὁμοίως δὲ κὴ τὰ λοιπὰ χρώματα, ὅσα προέρχεται παθαινομένης τῆς ψυχῆς, οἷον ὠχρίασις διὰ φόβον, κὴ τὰ τοιαῦτα. Ταῦτα δὲ εἰ μονιμώτερα,

κὴ

(1) Ἡ γλυκύτης.

καὶ δυσαπόβλητα γενόμενα τύχωσι, παθητικαὶ ποιότητες λέγονται, ὡς ἀπὸ πάθους ἐγγινόμεναι.

Ἀπορία.

Περὶ τοῦ ἐπιδέχεσθαι τῆς παθητικῶν Ποιοτήτων διαφορὰν ἀπορία ἀνακύπτει τοιαύτη. Εἰ γὰρ καὶ τὰ χρώματα ὁμοίως διατίθενται τοῦ ὁρᾶσθαι, ὥσπερ καὶ οἱ χυμοὶ τοῦ γεύεσθαι, τί μὴ καὶ ταῦτα παθητικαὶ Ποιότητες λέγονται ἀπὸ τοῦ πάθους ἐμποιεῖν ταῖς αἰσθήσεσιν; ἡ γὰρ γλυκύτης, καὶ πικρότης παθητικαὶ Ποιότητες ἦκουσαν, ἀπὸ τοῦ πάθους ἐμποιεῖν τῇ ἡμετέρᾳ γεύσει, ἐπειδὴ καὶ ἐρυθρίασις καὶ ὠχρίασις πάθος ἐμποιοῦσι τῇ ὄψει. οὐκ ἀπεικότως καὶ αὗται παθητικαὶ Ποιότητες ῥηθήσονται, ἀπὸ τοῦ πάθους ἐμποιεῖν ταῖς αἰσθήσεσιν.

Ἀπάντησις.

Εἰσὶν οἱ λέγοντες τοῦ ἐπιδέχεσθαι διαφορὰν ἐννοεῖσθαι τὴν Φιλοσόφων οὐκ ἐν ταῖς παθητικαῖς Ποιότησιν, ἀλλὰ μεταξὺ τούτων καὶ τῶν παθῶν. Βούλεται δὲ τὸν Φιλόσοφον διευλωχέναι τὰ πάθη τῆς παθητικῶν Ποιοτήτων, ὅτι ἐκεῖναι μὲν παθητικαὶ Ποιότητες ἦκουσαν ἀπὸ τοῦ πάθους ἐμποιεῖν ταῖς αἰσθήσεσι, τὰ δὲ πάθη διὰ τὸ πάσχειν τὸ ὑποκείμενον κατ' ἐκεῖνα. Ἀλλ' ἡ τοιαύτη ἀπάντησις οὔτε τῇ λέξει τοῦ Φιλοσόφου σύμφωνος φαίνεται, οὔτε τῇ φύσει τῆς παθητικῶν ποιοτήτων, καὶ παθῶν, ἅπερ ἐκ ἄλλως διευλωχασιν, ὡς αὐτὸς ὁ Φιλόσοφος διδάσκει, ὅτι μὴ τὸ μονιμωτέρας εἶναι καὶ δυσαποβλήτους, ἢ ῥᾳδίως ἀπογινομένας τοῦ ἐν ᾧ ὑπάρχουσιν ὑποκειμένου.

Ἀπάντησις προσφυεστέρα.

Εἰς εὐκολωτέραν δὲ κατάληψιν τῆς ἐπιλύσεως τοῦ προτεθέντος ἐπιχειρήματος, ῥητέον, ὅτι διττὴ ἐστὶν ἡ παθητικὴ Ποιότης, ἡ μὲν (1) τελειωτικὴ, καὶ ὡς τὰ πολλὰ φύσει προσοῦσα τῷ ὑποκειμένῳ, ἡ δὲ (2) φθαρτικὴ, ἢ γοῦν (3) ἀδιαφόρως ἔχουσα πρὸς τὸ τοῦ ὑποκειμένου τε-

(1) Ὡς ὑγιεία, καὶ ἡ ἐν ψυχῇ ἀρετή. (2) Ὡς νόσος καὶ κακία. (3) Ἀδιάφορος ἐστὶν ἡ μήτε τελειωτικὴ, μήτε φθαρτικὴ, ὡς ἡ ἡλικία καὶ ἐρυθρότης, καὶ ἄλλαι. αἳ οὔτε φθείρουσιν, οὔτε τελειοῦσι τὸ ὑποκείμενον.

λειότητα. Ἡ τοίνυν γλυκύτης ἐν τῷ μέλιτι, ἢ καὶ ἐν τοῖς καρποῖς, μὴ ἀπὸ πάθους τινὸς ἐγγινομένη τούτοις, (οὔτε γὰρ τὸ μέλι, οὔτε μὴν οἱ καρποὶ ἀπὸ πάθους τινὸς ἔχουσι λαβόντες τὴν γλυκύτητα, ἀλλ' ἐξ οἰκείας φύσεως) οὐκ ἂν ἀπὸ πάθους ῥηθείη παθητικὴ ποιότης. ὅθεν λείπεται ἀναγκαίως, τὴν ἐπωνυμίαν ἐσχηκέναι ἀπὸ τοῦ πάθος ἐμποιεῖν ταῖς αἰσθήσεσιν. Ὅσαι δὲ τῶν παθητικῶν ποιοτήτων παθαινομένων τῶν ὑποκειμένων ἐγγίνονται, οἷα εἰσὶ τὰ χρώματα, εἰκότως καὶ ἀπὸ πάθους καθ' ὃ ἐγγίνονται, τὴν ἐπωνυμίαν τῆς ποιότητος ἐκλελοιπασιν. Εἰδὲ καὶ αὗται ἤδη παρημμέναι πάθος ἐμποιοῦσι ταῖς αἰσθήσεσιν, οὐ διὰ τοῦτο καὶ τὴν ἐπωνυμίαν ἔξουσιν ἀπὸ τῆς τοιαύτης ἐνεργείας. ἤδη γὰρ ὤφθησαν προσαγορευθεῖσαι παθητικαὶ ποιότητες, ὑφ' οὗ προήχθησαν πάθους.

Τῆς μεταξὺ τῶν παθητικῶν ποιοτήτων διαφορᾶς ἐκτεθείσης, δευτέραν διδάσκει διαφορὰν ὁ Φιλόσοφος καθ' ἣν τὰ πάθη τῶν παθητικῶν Ποιοτήτων διαλυόχασι, καὶ φησίν. Ὅτι τῶν ἀπὸ πάθους ἐγγινομένων ποιοτήτων, αἱ μὲν ἀπὸ πάθους ἐγγίνονται μονιμωτέρου καὶ δυσαποβλήτου, αἱ δὲ ἀπὸ παθῶν κινήπτωτε & μεταβαλλομένων ῥᾳδίως. Αἱ μὲν οὖν ῥᾳδίως ἀποκαθισάμεναι, πάθη μόνον λέγονται, αἱ δὲ δυσαπόβλητοι καὶ μονιμώτεροι, παθητικαὶ ποιότητες ἤκουσαν. Τούτων τὰ μὲν πάθη οὐκ ἀπαριθμεῖται παρὰ πᾶσιν ἐν τοῖς εἴδεσι τοῖς Ποιότητος· οὐ γὰρ ἁπλῶς ἀπ' αὐτῶν παρωνύμως λέγεται τὸ μετέχον, ἀλλ' ἐφ' ὅσον μόνον ἐσὶν ἐν τῷ πάσχειν, οἷον ἡ δι' αἰδῶ ἐρυθρίασις, ἢ διὰ φόβον ὠχρίασις, ἀλλ' ἀναφέρουσι τὰ τοιαῦτα πάθη ἐπὶ τὴν κατηγορίαν τοῦ Πάσχειν. Ὁ μέντοι Φιλόσοφος ταῦτα ἐπὶ τοῦ προκειμένου τρίτου τῆς Ποιότητος εἴδους προφανῶς τάττει. εἰ γὰρ καὶ μὴ ἁπλῶς τὸ μετέχον παρωνύμως λέγεται ἀπ' αὐτῶν ἐπὶ χρόνου παντὸς, ἀλλ' ὑπερ ὁπωσοῦν διατίθεται εἰδικῶς τὸ δεκτικὸν, Ποιότητες εἰσίν. ἐπὶ δὲ τὸ Πάσχειν οὐκ ἄλλως ἀνάγονται, ὅτι μὴ ὡς ἐν τῷ γίνεσθαι θεωρούμενα, καὶ τὸ ποιητικὸν προσημαίνοντα αἴτιον.

„ Ὁμοίως δὲ τούτοις καὶ κατὰ τὴν ψυχὴν παθητικαὶ ποιότητες, καὶ πά-
„ θη λέγονται.

Δεύτερον τουτὶ μέρος τῆς περὶ τοῦ τρίτου εἴδους τῆς Ποιότητος λέξεως, ἐν οἷς ὁ Φιλόσοφος διαλαμβάνει περὶ τῶν ἐν τῇ ψυχῇ παθη-

παθητικῶν ποιοτήτων, ἃς ὁμοίως δίχα διανέμει, εἴς τε τὰς ἐγγινομένας κατὰ φυσικὴν κρᾶσιν καὶ σύστασιν τοῦ ζώου, καὶ τὰς μετὰ τὴν γένεσιν συμβαινούσας τῇ ψυχῇ διαφόροις συμπτώμασιν. Ὑποδιαιρεῖ δὲ τὸ δεύτερον μέρος αὖθις εἴς τε τὰς μονιμωτέρας καὶ δυσαποβλήτους, καὶ τὰς ῥᾳδίως ἀποκαθισαμένας. ἃς καὶ πάθη μόνον προσαγορεύει, διὰ τὸ μὴ ἁπλῶς ἀπ' αὐτῶν παρωνύμως λέγεσθαι τὸ δεκτικόν, ὅτι ταχέως διαλύονται.

Παραδείγμασι ταῦτα δηλοῦται ὁ Φιλόσοφος. μανικὴν μὲν γὰρ ἔκστασιν καὶ ὀργὴν, καὶ ἀπ' αὐτῆς τῆς γενέσεως παρέπεσθαι τῇ ψυχῇ δυνατὸν, καὶ μετὰ τὴν γένεσιν δὲ διὰ νόσον, ἢ τινὰ ἄλλα συμπτώματα. Τούτων αἱ μὲν πρῶται ἀεὶ ἐνίζανουσι μόνιμοι τῇ ψυχῇ καὶ τοῦ ὑποκειμένου ἀπαλλαγῆναι, ἢ οὐδαμῶς, ἢ τῷ χαλεπωτάτων ἐστὶν, ἅτε δὴ τῇ φυσικῇ συμπαροδεύσαι κράσει, αἱ καὶ οὐκ ἀπεικότως παθητικαὶ ποιότητες ἤκουσαν. οἱ γὰρ κατ' αὐτὰς διατιθέντες, ἁπλῶς ὀργίλοι, καὶ ἁπλῶς μανικοὶ λέγονται. Τῶν δὲ μὴ τὴν γένεσιν συμβαινόντων τῇ ψυχῇ παθημάτων, ὅσα μὲν χαλεπῶς, ἢ οὐδαμῶς ἀποκαθίσασθαι πέφυκε, παθητικαὶ ὁμοίως ποιότητες προσαγορεύονται. ἁπλῶς γὰρ καὶ κατ' ἐκεῖνα τὸ δεκτικὸν παρονομάζεται τοιοῦτον. τὰ δὲ ῥᾳδίως διορθούμενα, καὶ ταχέως ἀποκαθισάμενα, οἷον εἴτις ἐνοχληθεὶς ὀργιλώτερος γένηται, οὐ παθητικαὶ ποιότητες, ἀλλὰ πάθη μόνον προσαγορεύεται. οὐ γὰρ ἂν ἁπλῶς ὀργίλος ῥηθείη, ὅστις ἐνοχλούμενος, ὀργιλώτερος τοῦ εἰωθότος φανείη.

„ Τέταρτον δὲ γένος ποιότητος σχῆμά τε καὶ ἡ περὶ ἕκαστον ὑπάρχου-
„ σα μορφή.

Τὸ τέταρτον καὶ ἕκατον εἶδος τῆς ποιότητος προβάλλεται ὁ Φιλόσοφος δυσὶν ὀνόμασι, σχήματι δηλαδὴ καὶ μορφῇ τῇ περὶ ἕκαστον τῶν σωμάτων θεωρουμένῃ. Διέλοι δ' ἄν τις τὴν λέξιν διχῶς. ὧν ἐπὶ μὲν τοῦ πρώτου μέρους ἐκθέμενος τὸ αὐτὸ εἶδος, δείκνυσιν ὅτι ποιότης, ἀπὸ τῆς κοινοτέρου ὑποδοθείσης ὑπογραφῆς τῇ ποιότητι. Ἐν δὲ τῷ δευτέρῳ μέρει ἀπορίας τινὰς περὶ τὸ αὐτὸ εἶδος ἀνακυπτούσας ἐπιλύεται. Φησὶν οὖν τὸ τέταρτον γένος τῆς ποιότητος, γένος ὑπάλληλον ἐννοῶν, ὃν εἴρηται τρόπον. Τὸ δὲ σχῆμα ἐνταῦθα ἐκλαμβάνεται, οὐχ ὡς παρὰ ῥήτορσιν ἐννοεῖται, ἢ τοῖς λογικοῖς

τὰ συλλογιστικὰ σχήματα, ἀλλὰ τὸ σχῆμα ἐνταῦθα περὶ σώματα θεωρεῖται, καὶ ἔστιν οἷον μορφήτις ἀνακύπτουσα καὶ τὴν ἀποπεράτωσιν τοῦ μεγέθους, περὶ οὗ ὁπώς ποτε διειλήοχε τῇ μαθητικῶν σχημάτων μετ' οὐ πολὺ ἐροῦμεν. Ἡ δὲ μορφὴ ἐπὶ τοῦ παρόντος, ὅτι μὴ τὸ εἶδος σημαίνει τὸ συστατικὸν ἑκάστου, καὶ αὐτὸς ὁ Φιλόσοφος ἐδήλωσεν εἰπών. καὶ ἡ περὶ ἕκαστον ὑπάρχουσα μορφὴ, τυτέστιν οὐ τὸ ἐνδογενὲς, καὶ οὐσιῶδες ἑκάστου εἶδος, ἀλλὰ τὸ ἐπιπολῆς καὶ τῇ συμβεβηκὸς, ὃ περὶ τὴν ἀποπεράτωσιν τοῦ μεγέθους θεωρεῖται. καὶ ἔστι σχεδὸν τὸ αὐτὸ τῷ σχήματι, ὧν ἡ διαφορὰ δηλωθήσεται παπωτέρω. Ὑπάγει δὲ τῷ σχήματι καὶ τῇ μορφῇ ὁ Φιλόσοφος ὀξύτητα καὶ καμπυλότητα, καὶ ἔτι ἄλλο τούτοις παρεμφερὲς, ἃ καὶ δείκνυσιν ὅτι ποιότητες, ὅτι τὰ κατ' ἐκεῖνα διακείμενα ποιάτινα λέγεται εἶναι, ὅπερ ἐστὶν οἰκειότατος τῆς Ποιότητος χαρακτήρ.

Ὅτι δὲ τὰ μετέχοντα τῶν εἰρημένων ποιά τινα εἶναι λέγεται, διδάσκει ὁ Φιλόσοφος λέγων, τὸ γὰρ ξύγωνον, ἢ τετράγωνον εἶναι, ποιόντι
„ λέγεται. ὁμοίως δὲ καὶ τὸ ὀξὺ, ἢ καμπύλον, καὶ ἁπλῶς πᾶν ὁπωσοῦν
„ ἐσχηματισμένον, ἢ μεμορφωμένον, ποιόντι εἶναι λέγεται, κατὰ τὸν
„ τοιόνδε σχηματισμὸν, ἢ μόρφωσιν.

„ Τὸ δὲ μανὸν, καὶ πυκνὸν, καὶ ψαχὺ καὶ λεῖον.

Δεύτερον τουτὶ μέρος τῆς λέξεως, ἐν ᾧ ὁ Φιλόσοφος ἅπαντα ζητήματι τοιῷδε. εἶχε γάρ αὖτις εἰπεῖν, τὸ μανὸν, καὶ πυκνὸν, καὶ ψαχὺ, καὶ λεῖον ποιόντι σημαίνειν δοκοῦσι. λέγεται γὰρ ἀπ' αὐτῶν τὰ μετέχοντα παρωνύμως ποιά. ἐξ ἐναντίας δὲ ἄλλότρια τῆς Ποιότητος ἔοικασιν εἶναι, οὐ γὰρ φαίνεται ὅπως ἀνακτέα εἰσὶν, ὡσότι τῶν εἰρημένων εἰδῶν τῆς ποιότητος.

Ἅπαντᾷ δὲ πρὸς ταῦτα ὁ Φιλόσοφος, ὅτι τὰ εἰρημένα οὐκ εἰσὶ ποιότητες, καὶ δείκνυσι ξὺν τῷδε. τὰ κατὰ τὴν θέσιν τῶν μορίων συνιστάμενα οὐκ εἰσὶ Ποιότητες, ἀλλ' ὑπὸ τὸ Κεῖσθαι παφέρεται, ἀλλὰ μὴν ταῦτα κατὰ τὴν θέσιν τῶν μορίων συνέστηκεν. ἄρα.

Δείκνυται ἡ ἐλάττων ἀπὸ τῆς ὑποζωφῆς ἑκάστου τῶν εἰρημένων. πυκνὸν μὲν γὰρ λέγεται, οὗ τὰ μόρια συνεγγυς ἀλλήλων εἰσὶ, μανὸν δὲ οὗ τὰ μόρια διεστήκοτα ἀπ' ἀλλήλων τυγχάνει. Καὶ λεῖον μὲν οὗ τὰ μόρια ἐπ' εὐθείας πῶς κεῖται κατὰ τὴν ἐπιφάνειαν, Τραχὺ δὲ οὗ τῶν μορίων τὰ μὲν ὑπερέχει, τὰ δὲ ἐλλείπει. ἤτοι τὰ μὲν ἐπανεστηκότα, καὶ

ὑπερέ-

ὑπερέχοντα τῶν ἄλλων, τὰ δὲ ὑφιζάνοντα, καὶ ἐλλείποντα κατὰ τὴν ἐπιφάνειαν.

Ἐπισῆσαι μέντοι δέον, ὅτι διττόν ἐστι τὸ μανὸν, καὶ πυκνὸν, τὸ μὲν ἐπόμενον τῇ φυσικῇ τῶν σωμάτων συστάσει, μάλιστα δὲ τῶν ἁπλῶν, καθὰ καὶ ἐπὶ τῶν σωθέντων θεωρεῖται. ἡ γὰρ ὕλη διαφόροις τόποις μανοῦσθαι, καὶ πυκνοῦσθαι πέφυκε κατὰ τὰς διαφορὰς τῶν ἐγγινομένων αὐτῇ εἰδῶν, καὶ τὸ τοιοῦτον μανὸν, καὶ πυκνὸν, τοῦ τελείου εἴδους ἐστὶ τῆς ποιότητος, ἐν ταῖς ἁπταῖς παττομένα ποιότησιν. ἕτερα δὲ μανὸν καὶ πυκνόν ἐστι, προσημαίνοντα θέσιν τῶν ἐν αὐτοῖς μορίων, ὧν τὰ μέρη ἀλλήλων διέστηκεν, ὡς ἑτερόντι παρεμπίπτειν ἀλλόξιον σῶμα, οἷόν τι καθορᾶται ἐπίτινων μικτῶν, ὡς ἐν ἀσβόλῳ, (1) κιαυρέι, καὶ τοῖς τοιούτοις, ὅπερ ἐπὶ τοῦ παρόντος ὁ Φιλόσοφος ἐπὶ τὸ Κεῖσθαι ἀναφέρει. τὸ γὰρ τοιοῦτον μανὸν, ἢ πυκνὸν, οὐ Ποιότητες τῷ ὄντι εἰσίν.

Ἀπορία.

Ἀπορεῖται ἐνταῦθα περὶ τοῦ σχήματος τίνι λόγῳ ἐπὶ τὴν ποιότητα ἀναφέρεται. τὸ γὰρ τρίγωνον, ἢ τετράγωνον, ἄτινα εἰσὶ σχήματα, ἐν τῷ γένει τῆς ποσότητος ἀναντιῤῥήτως τάττονται. ὃ καὶ αἱ τῶν μαθηματικῶν θεωρίαι, περὶ αὐτῶν σαφῶς ἐμπεδοῦσιν. οὐδὲν γὰρ ὑποπίπτει τῇ μαθηματικῇ θεωρίᾳ, ὅτι μὴ ποσότης.

Τὴν λύσιν τῆς προτεθείσης ἀπορίας ἐπηνίξατο ὁ Φιλόσοφος ἐπὶ τῆς λέξεως, τάξας ἐν Ποιότητι οὐ τὸ, τρίγωνον, ἢ τετράγωνον, ἀλλὰ τὸ τριγώνῳ ἢ τετραγώνῳ εἶναι. διχῶς γὰρ ἐνδέχεται τὸ τρίγωνον θεωρηθῆναι, ἢ καθὸ διαιρετὸν καὶ μερῶν ἐστι, κατὰ τὰς αὐτοῦ διαιρέσεις. ὃν τρόπον ἐπὶ τὸ γένος ἀνήκει τῆς ποσότητος. Θεωρεῖται δεύτερον τὸ σχῆμα τρίγωνον, ἢ τετράγωνον, καθὸ σημαίνει τὸν τρόπον τῆς περιγραφῆς καὶ σχηματισμὸν τῶν σωμάτων, ὃν τρόπον οὐ τὸ τρίγωνον, ἀλλὰ τὸ τριγωνοειδὲς μᾶλλον, ἢ τετραγωνοειδὲς σημαίνει. ᾧ δὴ λόγῳ θεωρεῖται τῷ Φιλοσόφῳ ἐνταῦθα ὥσπερ καὶ ἡγωνία οὐ καθ' ἑαυτὴν, ἀλλὰ τῷ γεγωνιῶθαι ὧδὶ τῆς προκειμένης γίνεται σκέψεως. Ὅτι δὲ ποιότητες ταῦτα τὸν εἰρημένον τρόπον θεωρούμενα, συνάγεται τοιαύτη δείξει. Ἐξ ὧν δὲ ποιά τινα εἶναι λέγεται, ταῦτα ποιότητες, ἐκ δὲ τῶν εἰρημένων, τὰ σώματα τῷ γεγωνιῶθαι ὧδὶ, ἢ ὧδὶ τριγωνοειδῶς φέρε εἰπεῖν, ἢ τετραγωνοειδῶς,

(1) Κοῦφοι τινὲς λίθοι θαλάττιοι ἐσὶν ἡ κίαυρεις.

δῶς, καὶ τὴν διάφορον ἀποπεράτωσιν, καὶ περιγραφὴν τοῦ μεγέθους ποιά τινα λέγεται εἶναι. ἆρα αἱ τοιαῦται ἀποπερατώσεις ποιότητες εἰσίν.

Ἀπορία.

Ἀπορεῖται δεύτερον, τίνι λόγῳ τὸ σχῆμα τῆς μορφῆς διενήνοχε. κοινότερον γὰρ λέγεται ἡ μὲν μορφὴ τοῖς ἐμψύχοις προσήκειν σώμασιν. ἔχει γὰρ ἰδίαν τινὰ περιγραφὴν ἡ ἀποπεράτωσιν τὰ ἔμψυχα σώματα, παρεπομένην τῇ ἑκάστου εἴδει, καὶ τῆς τοιαύτης ἀποπερατώσεως καὶ σχηματίσεως φυσικῆς, τῶν ἐμψύχων σωμάτων, σημαντικὸν εἶναι βούλονται οἰκείως καὶ πρώτως τὸ πρόσρημα τῆς μορφῆς. τὴν δὲ τοῦ σχήματος φωνὴν, ἰδιαίτερον σημαίνειν οἴονται τὸν ἐν τοῖς ἀψύχοις τῶν σωμάτων σχηματισμόν.

Ἔσι μέντοι ἡ ἀπάντησις αὕτη, τῆς διανοίας τοῦ Φιλοσόφου ἀλλόξιος. ὑποτίθησι γὰρ κατ' οὐσίαν διενηνοχέναι τὸ σχῆμα τῆς μορφῆς. οὐδὲν γὰρ σχῆμα κατὰ τὴν τοιαύτην ἀπάντησιν ἐν ᾧ εἴη ἂν μορφὴν, ἀλλ' οὐδὲ ἀνάπαλιν. ὅθεν ἐδὲ ἓν εἶδος Ποιότητος ἄμφω ταῦτα ἐν ᾧ τὸ σχῆμα καὶ ἡ μορφὴ, ἀλλὰ δύο, ἀλλήλων κατ' οὐσίαν κεχωρισμένα, οὗ τὸ ἀντικείμενον ὁ Φιλόσοφος ἐπὶ τῆς λέξεως διδάσκει, καὶ ὁ λόγος συμπείθει. ἑκάτερα γὰρ τό,τε σχῆμα, ὥσπερ καὶ ἡ μορφὴ, τὸν τρόπον τῆς ἀποπερατώσεως καὶ σχηματισμοῦ τοῦ μεγέθους δηλοῦσι. τὸ δὲ, τὴν μὲν παρέπεσθαι τῇ τῆς ψυχῆς ἰδιότητι, τὸ δὲ μὴ, οἷον ὑποδιαίρεσις ἐσὶ τοῦ αὐτοῦ εἴδους.

Ἕτεροι δὲ φασὶ τὸν αὐτὸν τρόπον τῆς ἀποπερατώσεως, καὶ σχηματισμοῦ τῶν σωμάτων ὑπ' ἀμφοτέρων σημαίνεσθαι τῶν φωνῶν. ἀλλ' ὑπὸ μὲν τοῦ σχήματος, μαθηματικώτερον καὶ τῆς ὕλης κεχωρισμένον. ὑπὸ δὲ τῆς μορφῆς, σημαίνεσθαι μὲν τὸ αὐτὸ σχῆμα, ἀλλὰ φυσικώτερον μετὰ τῶν χρωμάτων δηλαδὴ, καὶ ὅσα ἐπιπολῆς ἐμφαίνονται τοῖς σώμασιν. Ἡ δὲ τοιαύτη διαφορὰ κατὰ τὴν ὕλην θεωρουμένη, οὐδὲ μίαν ποιεῖται παραλλαγὴν εἰδητικήν.

Ἀλλὰ τούτοις προθετέα ἐσὶ καὶ ἡ διδασκαλία καθ' ἣν ἐπὶ τῆς προλαβούσης ἀπορίας, κατὰ τὴν ἀειτοτελικὴν ἔννοιαν δεδήλωται ἡ διαφορὰ τῆς θεωρίας τῶν σχημάτων, παρά γε τοὺς μαθηματικοὺς, καὶ λογικούς.

Ζήτη-

Ζήτησις.

»» Πότερον τὰ ἐκπεθεύτα τέτταρα τῆς ποιότητος εἴδη ἀμιγῆ τυγχάνουσιν
»» ἀλλήλων, ἢ ἀσύγχυτα, ἢ οὔ.

Διαφόρως δοξάζουσιν οἱ φιλοσοφοῦντες περὶ τῆς προκειμένης ζητήσεως, οἷά που εἴωθεν ἐπὶ τῶν βαθυτέρων καὶ δυσδιελίκτων ζητημάτων γίγνεσθαι, τίνι ποτὲ τρόπῳ διαιρέσεως ἀλλήλων ἀντιδιαστέλλονται. Εἰσὶν οἱ λέγοντες τῷ διαιρεσιν τῆς ποιότητος εἰς τὰ εἰρημένα τέτταρα εἴδη, μὴ γένους εἰς εἴδη εἶναι, ἀλλὰ μᾶλλον ὑποκειμένου εἰς συμβεβηκότα. διὸ οὐδὲ ἀντιδιαστέλλεσθαι ταῦτα ἀλλήλων οἴονται κατ' οὐσίαν. Ἕτεροι δὲ ἀποδέχονται μὲν τῷ εἰρημένῳ τῆς Ποιότητος διαίρεσιν, γένους εἶναι εἰς εἴδη, οἴονται δὲ ἀποχρῶν εἰς σύστασιν τῶν εἰδῶν τῆς Ποιότητος ἀλλήλων διενηνοχέναι, διαφόροις ἐννοίας τρόποις, εἰτ' οὖν χρῆσθαι; χέσεσι. Κρατύνουσι δὲ τὸ τοιοῦτον δόγμα ἀπὸ τοῦ Φιλοσόφου. ὃς τῷ θερμότητα καὶ ψυχρότητα ταῖς ποιότησι τοῦ πρώτου εἴδους συναριθμησάμενος, καὶ ἐπὶ τὸ τέλους εἴδους τὰς αὐτὰς ἔταξε. καὶ ἐν τῷ τελεῖ τοῦ προκειμένου (1) κεφα-
»» λαίου, φησίν. Ἔτι εἰ τύχοι τὸ αὐτὸ καὶ ποιὸν καὶ πρός τι ὄν, οὐδὲν ἄ-
»» τοπον ἐν ἀμφοτέροις αὐτὸ τοῖς γένεσι καταριθμεῖσθαι, οὐδὲ ἄτοπον
ἄρα τὸ αὐτὸ ἐν διαφόροις εἴδεσιν ὑπὸ τὸ αὐτὸ γένος τετάχθαι. Καὶ λόγοις δὲ κέχρηται πλείοσιν εἰς ἐμπέδωσιν τοῦ αὐτοῦ, ὧν καὶ οὗτος ἐστί.

Τὰς πλείους τῶν παθητικῶν Ποιοτήτων ὁ Φιλόσοφος τίθεται ποιητικὰς, λοιπὰ φησὶ ταύτας, τῆς ἐπωνυμίας ταύτης τετυχηκέναι ἀπὸ τοῦ πάθους ἐμποιεῖν ταις ἡμετέραις αἰσθήσεσι. Τὸ δὲ ποιοῦν, ἢ δυνάμις ἐστὶν, ἢ οὐσία διὰ δυνάμεως. ᾧ δὴ λόγῳ οὐκ ἀπεικότως αἱ εἰρημέναι παθητικαὶ ποιότητες ἐπὶ τὸ δεύτερον ἀναχθήσονται τῆς ποιότητος εἶδος.

Διορισμὸς τοῦ ζητουμένου.

Ἓν μὲν καὶ τὸ αὐτὸ πρᾶγμα ἐν διαφόροις εἴδεσι τετάχθαι, οὐδὲν θαυμαστόν. εἴγε τὸ αὐτὸ γενικὴ τίς ἐστι φύσις, αὐτικειμέναις διαφοραῖς διαιρουμένη εἰς σύστασιν διαφόρων εἰδῶν. Εἰδὲ οἱ καὶ τὸ αὐτὸ πρᾶγμα ἐν διαφόροις εἴδεσι τετάχθαι βούλονται, οὐ τρόπον ὁ αὐτὸς,

φέρε

(1) Τῆς ποιότητος.

φέρε εἰπεῖν Σωκράτης, πρὸς μὲν τὸν οἰκεῖον ἀναφερόμενος πατέρα ἐν ἐμοῖ μοίρᾳ τέτακται, πρὸς δὲ τὸν ἴδιον αὐτῷ ἐμὸν ἐννοούμενος, λόγον ἐπέχει παχύν, τοῦτο ἐπὶ τῷ ἀπολύτων συμβεβηκότων ἂν ἔχει χώραν. Ἐκεῖνο γὰρ παρὰ πᾶσιν ὁμολογούμενόν ἐστιν, ὅτι τὰ γένη τῷ ἀπολύτων ὄντων καὶ ἀχέτων ἀπολυτά εἰσιν, ὅθεν καὶ ἀκολούθως ἀναγκαίως ὀφείλουσι καὶ αἱ διαφοραὶ αἷς τὰ εἴδη τῷ αὐτῷ γενῶν συνίστανται, πράγματα, ἤτοι πραγματικώδεις τόποι ἐν τοῖς οὖσιν ὑπάρχειν, δι' ὧν τό τε ἀνώτατον γένος, καὶ καθεξῆς τὰ ὑπάλληλα γένη ἀντιδιαιρούμενα μέχρι τῷ ἐσχάτων τὰ διάφορα εἴδη συνάγει. Οὐ δὲ ἀτόπως ἡ σχετικὴ ἑτερότης, εἴτ' ἄρα, οὖσα ἡ κατ' ἐπίνοιαν, εἰς σύστασιν καὶ ἀντιδιαιρολὴν τῷ ὑπαλλήλων εἰδῶν τοῦ ἀπολύτου γένους. Ἦσαν γὰρ ἂν τούτου δοθέντος τὰ τῆς Ποιότητος εἴδη, ἢ σχετικὰ, εἴγε διὰ σχέσεων, ἢ κατ' ἐπίνοιαν ὄντα, εἴγε διαφόροις τόποις ὑπνοίας συνίστασαν, καὶ ἀλλήλων ἀντιδιαιρέλοιντο. Τοῦτο δὲ φανερῶς ἀπομάχεται τοῖς ὑπάρχουσιν ἐν τῇ φύσει τῷ ὄντων, καὶ ἀπολύτως, καὶ ἀχέτως οὖσιν, οἷά δήπου ἐστὶν ἡ ποιότης.

Ὅθεν εἰς διάγνωσιν τῆς διαφορᾶς τῷ εἰδῶν τῆς Ποιότητος, διασκεπτέος ἐστὶν ὁ διάφορος τόπος τῆς ὑπάρξεως ἑκάστου τῷ ἀπηριθμημένων εἰδῶν ἐπ' αὐτῷ τῷ πραγμάτων. Ἐνδέχεται γὰρ τῷ μιᾷ καὶ τῇ αὐτῇ φωνῇ προσαγορευομένῳ Ποιότητα ἐν διαφόροις πράγμασι διάφορος τόπους ὑπάρξεως ἔχειν, οἷον ἡ θερμότης ἐν πυρὶ, ἢ ἐν τοῖς μικτοῖς καὶ ἐν ὕδατι. ἐν πυρὶ γὰρ οὐσιωδῶς ἐνυπάρχει, καὶ ἐν τοῖς μικτοῖς ὁμοίως, ἐν δὲ τῷ ὕδατι κατὰ συμβεβηκός. Μᾶλλον δὲ καὶ κατὰ τὸν διάφορον τῆς ὑπάρξεως τόπον εἰς διάφορα τέλη τέτακται πέφυκεν, ὑπὸ λόγου, ἢ φύσεως. ὅθεν καίτοι αἱ τοῦ τείτου εἴδους ποιότητες ποιητικαί εἰσι, καὶ παρακτικαὶ πάθους ἐν ταῖς ἡμετέραις αἰσθήσεσιν, ὡς ἡ ἐν τῷ ὕδατι θερμότης ποιητικὴ γίνεται, ὥσπερ καὶ ἡ ἐν τῷ πυρί, Ἐπεὶ μέντοι ὁ τόπος τῆς ὑπάρξεως ἐπὶ τοῦ πυρὸς καὶ ὕδατος διάφορος ἐστὶ, καὶ ἐφ' ἕτερον τέλος ὑπὸ τῆς φύσεως τέτακται ἐν τῷ πυρὶ ἡ θερμότης, ἐφ' ὃ οὐκ ἀναφέρεται ἡ ἐν τῷ ὕδατι, διότι τοῦτο ἡ ἐν τῷ πυρὶ θερμότης, καὶ ἡ ἐν τῷ ὕδατι, οὐ τοῦ αὐτοῦ εἴδους εἰσὶν, ἀλλ' ἐπὶ μὲν τοῦ πυρὸς οὖσα, ἐπὶ τὸ δεύτερον ἀνάγεται εἶδος, καθότι δυνάμις εἶναι λέγεται τῆς τοῦ πυρὸς φύσεως, εἰς σύστασιν καὶ διαμονὴν τοῦ αὐτοῦ, καὶ τῷ μικτῶν ἐξ αὐτοῦ, ἀλλὰ καὶ παντὸς δὴ εἰπεῖν τοῦ ὑπὸ σελήνην συνήματος. Ἐν δὲ τοῖς μικτοῖς ἐστὶ μὲν κατὰ φύσιν ἡ θερμότης, ἀνήκει δὲ μᾶλλον ἐπὶ τὸ τείτον τῆς Ποιότητος εἶδος, καὶ λέγεται παθητικὴ Ποιότης, ἀπὸ τοῦ πάθους ἐμποιεῖν τῇ αἰσθήσει. ὃν

ξό-

ξόπον οἱ ἐν τοῖς καρποῖς χυμοὶ παθητικαὶ ποιότητες ἤκουσαν, οὐχ ὡς ὑπὸ πάθους ἐγγινόμβοι, ἀλλὰ πάθος ἐμποιοῦντες. Ἐπὶ δὲ τοῦ ὕδατος ἡ θερμότης κατὰ συμβεβηκὸς μὲν ἐστὶ, προσαγορεύεται δὲ παθητικὴ Ποιότης ὡς ὑπὸ πάθους ἐγγινομένη, ὃν τρόπον περὶ τῶν χρωμάτων ἐπὶ τῆς λέξεως ὁ Φιλόσοφος παραδέδωκεν. Ὅτι δὲ ἡ κατὰ φύσιν θερμότης, διενδιόχε τῆς κατὰ συμβεβηκὸς, ἣ ἔξωθεν ὑπογινομένης, ἡ νοσοποιὸς ἐν πυρετοῖς θερμότης παείσησιν. ἥτις διαφθείρει τὴν οὐσίαν, ἧς συσατικὴ ἐστὶν ἡ κατὰ φύσιν θερμότης, οὐ διὰ τὴν ὑπερβολὴν μόνον, ἀλλὰ καὶ μᾶλλον διὰ τὴν ἑτερότητα πρὸς τὴν ἔμφυτον θερμότητα. ἄλλως γὰρ αὖ πρεσβύτης πυρεταίνων, ἀκμάζων ἐγίνετο νέος.

Ἐπὶ δὲ τοῦ πρώτου εἴδους οὐδεμίαν φαίνεται χώραν ἔχουσα ἡ θερμότης, εἰ καὶ ὁ Φιλόσοφος κέχρηται ταύτῃ, ὥσπερ καὶ τῇ ψυχρότητι, ἐν λόγῳ παραδείγματος ἐπὶ τοῦ αὐτοῦ εἴδους. οὐχ ὅτι γὰρ ἡ θερμότης ἢ ἡ ψυχρότης τοῦ πρώτου τυγχάνουσιν εἴδους, ἐν ἐκείνοις προυχειρίσθησαν τῷ Φιλοσόφῳ, ἀλλ' ἵνα διὰ τῆς ὁμοιότητος τῆς αἰσθητῆς, οἷα ἐστὶ θερμότης τε, καὶ ψυχρότης, δηλώσῃ τὸν τρόπον καθ' ὃν ἡ ἕξις τε καὶ διάθεσις τὰς τῆς ψυχῆς δυνάμεις διατιθᾶσι. καὶ ὅπως ῥᾳδίως ἢ μὴ ῥᾳδίως ὑπογίνονται τούτων. Οὕπως οἱ καθ' ἕλλιψιν ἐξηγηταὶ γνησίως ἀποδιδόασι τὴν ἔννοιαν τῷ Φιλοσόφου, ἐξ ὧν ῥᾶσα ἔχεται ἀπαντῆσαι πρὸς τὸ πρῶτον τοῦ Φιλοσόφου ῥητὸν, ὑπὸ τῆς αὐτιδοξούντων προβληθέν.

Πρὸς δὲ τὸ δεύτερον τοῦ Φιλοσόφου ῥητὸν ὑπὸ τοῦ τέλους τοῦ κεφαλαίου προχειρισθὲν, ῥητέον. Πρῶτον μὲν ὡς ὁ Φιλόσοφος οὐκ ἀποφαινόμβος, ἀλλ' ὡς ἀπορῶν ταῦτα φησίν. Εἶτα οὐδὲν κωλύει τὸ αὐτὸ ἐπίτε τῆς Ποιότητος καὶ τοῖς Πρός τι πεπάχθαι, κατὰ λόγον σχέσεως. τῷ δὲ λόγῳ τῆς ὑποκειμένων πραγμάτων ὑπὸ τὴν οἰκείαν ἕκασον ὑπάγεται κατηγορίαν. εἴρηται γὰρ τὰς σχέσεις, ἐν διαφόροις παραφύεσθαι κατηγορίαις, τὰ δὲ ἐν διαφόροις εἴδεσι τῆς ποιότητος τάττεσθαι μέλλοντα, φράγματα δεῖ εἶναι ἀπόλυτα, διαφέροντα ἀλλήλων, ὃν τρόπον καὶ τὰ εἴδη ἐν οἷς τάττεται. τοιαῦτα γὰρ τὰ εἴδη τὰ ἀπολύτου γένους, ὅπερ οὐ πέφυκε διαιρεῖσθαι ὅτι μὴ διαφοραῖς ἀπολύτως ἐν τοῖς οὖσι θεωρουμέναις.

Πρὸς δὲ τὸν τρίτον ἐπανεχθέντα λόγον ἀπαντητέον, ὅτι εἰ καὶ ποιητικαὶ εἰσὶν αἱ παθητικαὶ ποιότητες, ὡς πάθος ἐμποιοῦσαι ταῖς ἡμετέραις αἰσθήσεσιν, οὐ παρὰ τοῦτο τακτέον ἐστὶ ταύτας ἐν τῷ δευτέρῳ τῆς Ποιότητος εἴδει. οὐ γὰρ τυγχάνουσιν οὖσαι δυνάμεις φυσικαὶ, διὰ τὸ μὴ πρὸς τὸ ποιεῖν ὑπὸ τῆς φύσεως πεπάχθαι εἰς σύστασιν καὶ διαμονὴν τῶν ἐν ᾧ ὑπάρχουσιν ὑποκειμένου.

Ἔκθεσις τῶν παρεπομένων τῇ Ποιότητι. Πρῶτον περὶ τῆς ἐναντιώσεως.

Εἰς πλείονα τῆς Ποιότητος διδασκαλίαν ὁ Φιλόσοφος ὡς ἔωθε τεία φέξῆς προχειρίζεται παρεπόμενα τῇ Ποιότητι. Πρῶτον μὲν ὅτι ὑπάρχει ἐναντίωσις τῇ Ποιότητι, ὅτι δὲ μὴ πάσῃ, δείκνυσιν ὁ Φιλόσοφος παραδείγματι χρώματος τοῖς μεταξὺ χρώμασιν. ὠχρὸν γὰρ καὶ φαιὸν, καὶ ὅσ' ἄλλα Ποιότητες ὄντα τοῦ τείτου εἴδους, οὐκ ἔχει ἐναντίωσιν. ταῦτα γὰρ τὸ αὐτὸ γένος παρόμοια τοῦ χρώματος, οὐ πλεῖσον ἀλλήλων διαφέρουσι, τῷ λόγῳ μέντοι τῶν ἄκρων λευκοῦ καὶ μέλανος, καὶ ταῦτα ἀλλήλοις ἐναντίωται. Κυρίως (1) μέντοι ἐναντίωσις ὑπάρχει ταῖς ποιότησι τοῦ τείτου εἴδους. πάσας γὰρ τὰς παθητικὰς ποιότητας ἐναντίωσιν ἴσχειν, ἀναμφισβήτητόν ὄξιν.

Ἀπορεῖται δὲ ἔτι, εἰ μόναις ταῖς ποιότησι προσήκει ἡ ἐναντίωσις. Πρὸς ὃ ῥητέον, πάντεθαι μὲν τὴν ἐναντιότητα καὶ ἐν ἄλλαις κατηγορίαις, ἡ δὲ κυρίως λεγομένη ἐναντίωσις, ἐκ ἐν ἄλλοις ὅτι μὴ ἐν ποιότησι θεωρεῖται. ἐπὶ γὰρ μόνης τῆς ποιότητος φαίνεται γινομένη μετάβασις ἀφ' ἑτέρου εἰς ἕτερον, ποιούντων εἰς ἄλληλα, καὶ ἀλλοιουμένων ἀλλήλους τῷ ὅρων.

Δεύτερον παρεπόμενον.

Δεύτερον παρεπόμενον τῆ ποιότητος προτίθησιν ὁ Φιλόσοφος ὅτι ἐπίτασιν καὶ ἄνεσιν ὑποδέχεται ἡ Ποιότης. οὗ εἰς δήλωσιν τεία ταῦτα ποιεῖ, Προβάλλει πρῶτον τὸ ῥηθὲν παρεπόμενον. Ἀπορεῖ δεύτερον περὶ τῆς ἐξ ἀφαιρέσεως εἰδῶν τῆς ποιότητος, εἰ καὶ ταύταις προσήκει τὸ προσεχθὲν ἰδίωμα, ὥσπερ τοῖς ποιοῖς τε, καὶ συγκεκειμένοις. Τείτον ἐξαιρεῖ τοῦ τοιούτου παρεπομένου τὸ τέταρτον τῆς Ποιότητος εἶδος σχήματε καὶ μορφῇ.

Τεί-

(1) Κυρίως ἐναντίωσις τῷ τείτῳ τῆς ποιότητος εἴδει προσήκει φησὶν, εἰ καὶ μὴ παντὶ τούτῳ, ὡς τὰ μεταξὺ πάσι, καὶ ἐν τοῖς χρώμασι τοῦ τείτου ὄντα τὰ μέσα οὐκ ἄλλως ὅτι μὴ διὰ τὰ ἄκρα ἐναντίωται.

Πίνακα τῶν ἐάν τῆς Διάνοιας.

Α΄. Ἕξις, ἐξ αὐτῆς τὰ σημαινόμενα δύο.

- Πρῶτον μὲν ἐνέργειαν τινὰ σημαίνει μεταξὺ τοῦ ἔχοντος καὶ ἐχομένου.
- Δεύτερον σημαίνει ὑφ' ἑτέρου διάθεσιν, καθ' ἣν τὸ ἔχον αὐτῷ διατίθεται εὖ, ἢ κακῶς καθ' αὑτό, ἢ πρὸς ἕτερον. ὅπερ διάθεσις ἐκτεινομένη ἐξ ἐπὶ τῆς μερῶν τοῦ σώματος ῥιχῶς θεωρεῖται.
  - Ἢ ἐστὶ διάθεσις τῆς μερῶν τοῦ σώματος κατὰ τόπον. ἢ ἐννοεῖται ἡ διάθεσις αὕτη ὅτι τῆς μερῶν τοῦ σώματος, πρὸς ἄλληλα, καθ' ἃ τὸ ἔχον αὐτῷ, εὖ, ἢ κακῶς διατίθεται ἐν τοῖς οἰκείοις μέρεσι καθ' ἑαυτό.
  - Ἐκτείνεται ἢ τείνον ὅτι τῆς δυνάμεων τῆς ψυχῆς, ἅτις αὐταῖς χαρίζεται ῥοπὴν, καὶ ὀχέρειαν ἐπὶ τὸ ἐνεργεῖν.

Καὶ Διάθεσις, ὑπὲρ ὁ Φιλόσοφος πάλιν εἶναι εἰπὼν ὅτι τῆς ἐχούσης μέρη τειχῶς θεωρεῖσθαι διδάσκει.

- Κατὰ τόπον.
- Κατὰ μορφήν.
- Καὶ κατὰ δύναμιν.

Β΄. Δυνάμις φυσικὴ, ἥτις διχῶς ἐκλαμβάνεται.

- Ὅτέ μὲν πλατύτερον ἐκλαμβάνεται, ἐξ ὅτι πάσας ἐκτείνεται τὰς δυνάμεις ποιητικὰς ἐξ παθητικάς.
- Ὅτέ δὲ ἰδιαίτερον ἐννοεῖται, καὶ λέγεται ἀρχὴ προσεχὴς κινήσεως ὁποιασοῦν.

Καὶ ἀδυναμία.

Γ΄. Παθητικὴ ποιότης, καὶ αὕτη διχῶς.

- Αἱ μὲν τούτων ἐπὶ τοῦ σώματος πεφύκασι, καὶ αὗται διχῶς.
  - Αἱ μὲν αὐτῆς μονιμώτεραι εἰσὶ καὶ δυσαπόβλητοι τοῦ ἐν ᾧ ὑπάρχουσιν ὑποκειμένου.
  - Αἱ δὲ ῥᾳδίως ὑπογίνονται τοῦ αὐτοῦ, αἳ καὶ πάθη μόνον προσαγορεύονται.
- Αἱ δὲ ἐπὶ τῆς ψυχῆς, ἐξ αὗται διχῶς.
  - Αἱ μὲν κατὰ φυσικὴν κρᾶσιν ἢ σύστασιν τοῦ ζώου ἐγγίνονται.
  - Αἱ δὲ μετὰ τὴν γένεσιν συμβαίνουσι τῇ ψυχῇ διαφόροις συμπτώμασι, ἐξ αὗται διχῶς.
    - Αἱ μὲν μονιμώτεραι εἰσὶ ἐξ δυσαπόβλητοι τοῦ ἐν ᾧ ὑπάρχουσιν ὑποκειμένου.
    - Αἱ δὲ ῥᾳδίως ὑποκαθίστανται, ἢ πάθη μόνον λέγονται.

Καὶ πάθος.

Δ΄. Σχῆμα.

- Τὸ μὲν μαθηματικὸν, καθὸ τῆς σχημάτων ἕκαστον διαιρετόν ἐστι καὶ μεζητὸν κατὰ τὰς αὐτῆς διαστάσεις, καὶ ἀνήκει τοῦτον τὸν τρόπον ὅτι τὸ γένος τῆς ποσότητος.
- Τὸ δὲ περιγραφικὸν, καθὸ σημαίνει τὸν τρόπον τοῦ σχηματισμοῦ τῆς σωμάτων, καὶ ἀνάγεται ὑπὸ τινὰ ποιότητα.

Καὶ ἡ περὶ ἕκαστον μορφὴ.

Τὸ μανὸν καὶ πυκνὸν διττόν.

- Τὸ μὲν ἐπόμενόν ἐστι τῇ φυσικῇ τῆς σωμάτων συστάσει.
- Τὸ δὲ προσημαίνει θέσιν τῆς ἐν αὐτοῖς μορίων.

Τὸ τείγωνον διχῶς ἐνδέχεται θεωρηθῆναι.

- Ἢ καθὸ διαιρετὸν ἢ μεζητὸν ἐστι κατὰ τὰς αὐτοῦ διαστάσεις, ὃν τρόπον ἀνήκει ὅτι τὸ γένος τῆς ποσότητος.
- Ἢ καθὸ σημαίνει τὸν τρόπον τῆς περιγραφῆς ἐξ σχηματισμὸν τῆς σωμάτων, ὃν τρόπον ὅτι τὸ γένος τῆς ποιότητος ἀνάγεται.



Τρίτον παρεπόμενον.

Τρίτον ἐπάγει ὁ Φιλόσοφος ὅτι τὸ ὅμοιον καὶ ἀνόμοιον ἐπὶ τῆς Ποιότητος λέγεται. τοῦτο δὲ καὶ ἀντιδιαστέλλων τῷ προσεχῶς ἐκτεθεῖσιν μόνον εἶναι ἴδιον τῆς ποιότητος φησὶν, ὡς μᾶλλον & τελεώτερον τῇ Ποιότητι προσῆκον ἅπερ ἐκεῖνα. Ὅθεν εἰκότως παρὰ τοῖς ὑπομνηματισταῖς λέγεται κατὰ τὸν τέταρτον τοῦ ἰδίου τρόπον προσήκειν τῇ Ποιότητι. Ὁ μέντοι Φιλόσοφος ἐπὶ μόνης τῆς ποιότητος τὸ ὅμοιον καὶ ἀνόμοιον λέγεσθαι ἀνεπτυγμένως ἀπεφήνατο, οὐ μὴν καὶ ἐπὶ πάσης ποιότητος τὸ ὅμοιον καὶ ἀνόμοιον ἐδίδαξε λέγεσθαι. καὶ ταῦτα περὶ Ποιότητος ἀποχρῶντως.

Περὶ τῶν ἐξ ἁπλοΐπων ὑλῶν.

Περὶ τῆς κυριωτέρων τοῦ ὄντος τεττάρων γενῶν ὁ Φιλόσοφος ἀποχρόντως διειληφὼς, τὰ λοιπὰ ἐξ λίαν σωστεμημένως ἀποδέδωκε. μόνου γὰρ τοῦ Ποιεῖν καὶ Πάσχειν τὰ παρεπόμενα ἐνθέμενος, μόνῃ τῇ ἀπαριθμήσει τῆς λοιπῶν φαίνεται ἐφησυχάσας. Τίνος δὲ χάριν ὀλιγώρως ἔχει περὶ αὐτὰ, πλεῖστα παρὰ Συμπλικίῳ λέγεται ἐν ἀρχῇ τοῦ περὶ τῆς ἐξ ἁπλοΐπων γενῶν λόγου, καὶ ἡμῖν εἴρηται ἐπὶ τῆς διαιρέσεως τῆς ὄντων καὶ ἀπαριθμήσεως τῆς κατηγοριῶν. Ἀπὸ μέντοι τῆς περὶ Φυσικῆς ἀκρ: εἰρημένων πολλὰ ἐστὶν ἀναλέξασθαι εἰς κατάληψιν συμβαλλόμενα τῆς φύσεως τῆς παραλειφθέντων ἐνταῦθα. Ἐπὶ γὰρ τοῦ Γ. τῆς πραγματείας ἐκείνης πολλὰ περὶ ποιήσεως καὶ παθήσεως ὁ Φιλόσοφος προβάλλει. ἐν δὲ τῷ Δ. περὶ τοῦ Ποῦ, & Χρόνου διδάσκει. Ἐκ δὲ τῆς γνώσεως τῆς παραδιδομένων ἐν ἐκείνοις, τρανῶς ἡ φύσις δηλοῦται τοῦτε Ποιεῖν καὶ Πάσχειν, καὶ τοῦ Ποῦ, ἢ Ποτέ. Καίτοι περὶ τοῦ Ποιεῖν καὶ Πάσχειν ἰδία ἐν τοῖς περὶ Γεν: καὶ Φθ: διεξοδικώτατα παραδίδοται. Τὸ δὲ Κεῖσθαι καὶ Ἔχειν, ἐν τῷ Ε. τῆς Μεταφυσικῶν παρασεσιώπηται. Καίτοι περὶ τοῦ Ἔχειν ἅπερ ὁμωνύμως λέγεται, καὶ ἐν τοῖς Μεταφυσικοῖς δικεινέστερον, κἀνταῦθα ἐν τοῖς μετὰ τὰς Κατηγορίας διείληπται. Καὶ περὶ τοῦ Κεῖσθαι δὲ εἴρηταί τι ἐν τῷ περὶ τῆς Πρόσθι κεφαλαίῳ. Πειρασόμεθα δὲ ἡμεῖς κατὰ τὴν παράδοσιν παραδεδομένην τοῦ Φιλοσόφου διδασκαλίαν, δικεινέστερον ἐνταῦθα περὶ αὐτῆς εἰπεῖν.

Περὶ τῆς τάξεως τούτων.

Τὴν τάξιν τῆς ἀκολουθίας τούτων ἐπὶ τῆς φύσεως θεωροῦσι, τῶν ἄλλων φαίνεται προηγούμενον τὸ Ποῦ, μεθ' ὃ τὸ Κεῖσθαι. τρίτον τὸ Ποτέ. καὶ ἑφεξῆς τὸ Ποιεῖν, καὶ Πάσχειν. καὶ τελευταῖον τὸ Ἔχειν. Ἡ γὰρ οὐσία ποσωθεῖσα, καὶ ποιωθεῖσα, πρὸ τῶν ἄλλων ἐννοεῖται ἐν τόπῳ εἶναι, καὶ θέσιν τινὰ ἔχειν πάντως συναναφαίνεται, ὅπερ ἐστὶ τὸ Κεῖσθαι. καὶ ἐν χρόνῳ δήπου ἐστὶν ἡ (1) περιεχομένη, ἢ (2) συνυπάρχουσα χρόνῳ, καὶ τὰ ἑξῆς.

Περὶ τοῦ Ποιεῖν, καὶ Πάσχειν.

Τὸ δ' Ποιεῖν καὶ Πάσχειν, εἰ καὶ μὴ ἀεὶ προτίθεται παρὰ τῶν Φιλοσόφων τῶν λοιπῶν τεττάρων γενῶν, ἀλλὰ νυῦν οὐκ ἀπεικότως προελήφθη. Ὥσπερ γὰρ Ἔπεται (3) τῇ Ποιότητι κατὰ τὸ εἶναι, οὕτω καὶ κατὰ τὴν διδασκαλίαν μετ' ἐκείνην ἀμέσως τάττεσθαι οὐκ ἀπεικότως. Τὸ γὰρ Ποιεῖν ἔργον ἐστὶ τῆς ποιητικῆς πάντως δυνάμεως. Ὅθεν ἔξεσιν ἀπὸ τοῦ ὁρισμοῦ τῆς ποιητικῆς αἰτίας, τὸν ὁρισμὸν τοῦ Ποιεῖν ἀποθήρᾶσθαι. Ὁρίζεται δὲ ἡ ποιητικὴ δυνάμις ἐν τῷ Δ. τῶν Μεταφυσικῶν, ὅτι ἐστὶν ἀρχὴ μεταβολῆς, ἐν ἄλλῳ ἢ ἄλλο. Ἐκ ταύτης δὲ τῆς ὑπογραφῆς ῥητέον μετενεγκοῦσιν, ὡς οὐδὲν ἄλλο ἐστὶ τὸ Ποιεῖν, ἢ μεταβάλλειν ὁπωσοῦν ἄλλο ἢ ἄλλο. Ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὅτι ἐστὶ τὸ Ποιεῖν προϊέναι ἐνέργειαν παρ' ἑαυτοῦ ἐν ἄλλῳ, ἢ ἄλλο.

Διαίρεσις τοῦ ποιεῖν.

Τοῦ Ποιεῖν ἢ μᾶλλον εἰπεῖν τῆς ἐνεργείας, διχῶς δυνάμεθα λαβεῖν τὴν διαίρεσιν, Ἢ κατὰ τὴν διαιρεσιν τῶν ἀρχῶν, δι' ὧν προβάλλεται τὸ Ποιεῖν εἴτουν ἡ ἐνέργεια, Ἢ κατὰ τὰς διαφορὰς τῶν ὅρων ἐφ' οὓς ἀποδίδει, καὶ ὑποπεπατοῦται ἡ ποίησις. Ἀλλὰ περὶ μὲν τῶν ἀρχῶν τῆς

(1) Ὡς τὰ μετρικὰ ἐν πρὸ τῦ ῥηθέντι καὶ μετὰ τὴν τόπων φοράν ἐστι χρόνος. (2) Συνυπάρχει δὲ τῷ χρόνῳ ὡς τὸ πᾶν, οὐρανὸς δηλαδὴ καὶ στοιχεῖα καὶ τὰ καθόλου ἅμα γὰρ τῷ οὐρανῷ καὶ ὁ χρόνος ἐγένετο. (3) Τὸ ποιεῖν καὶ πάσχειν ἕπεται τῇ ποιότητι ἤτοι ἐν ἐκείνῃ τὸ εἶναι ἔχει. τὸ γὰρ ποιοῦν καὶ πάσχον οὐκ ἄλλως ὅτι μὴ διὰ δυνάμεως ἐνεργεῖ ἢ πάσχει, ἥτις ἐστὶ δεύτερον εἶδος ποιότητος.

τῆς ἐνεργείας οὐ χρὴ μηκύνειν, τόγε νῦν ἔχον. μία δὲ πασῶν ἐνεργειῶν ἡ ποιητικὴ ἀρχὴ, τὸ εἶδος δηλαδὴ ἑκάστου, ὡς καὶ μία παντὸς πάθους ἡ παρώτη ἀρχὴ, δηλονότι ἡ ὕλη.

Διήρηται τοιγαροῦν ἡμῖν ἐν ἄλλοις ἡ ἐνέργεια εἴς τε τὴν μεταβατικὴν, καὶ ἔμμονον. ὧν ἡ μὲν ἔμμονος τόγε νῦν ἔχον παραιτέα, ὡς ὑψηλοτέρας θεωρίας δεομένη. Ἡ δὲ μεταβατικὴ δίλογος ἂν διαιρεθείη κατὰ τὴν διαίρεσιν τῆς κινήσεως. Ἡ δὲ τῆς κινήσεως διαίρεσις παραδέδοται τῷ Φιλοσόφῳ ἐν τῷ Γ. καὶ ἐν τῷ Ε. τῶν Φυσικῶν τετραμερής. Ἢ γὰρ ἐν Οὐσίᾳ, ἢ ἐν Ποσῷ, ἢ ἐν Ποιότητι, ἢ ἐν τῇ Ποῦ κατηγορίᾳ ἡ κίνησις θεωρεῖται. Ὧν κατὰ τὴν εἰς εἴδη διαίρεσιν, διαιρεθήσεται ὁμοίως καὶ ἡ κίνησις ἡ ἐνέργεια εἰς διάφορα εἴδη. Ὅθεν ἡ μὲν ἐνέργεια γενικῶς θεωρουμένη, ὁμώνυμόν τι ἐστὶν, ὥσπερ καὶ ἡ κίνησις, διὰ τὸ ἐν διαφόροις θεωρεῖσθαι κατηγορίαις. Τὸ δὲ Ποιεῖν συνώνυμόν τι εἶναι βούλεται, καὶ εἰς λόγον κοινὸν γένους ἱκανῶς ἔχειν.

Παρεπόμενα τοῦ Ποιεῖν.

Δύο ἐκτίθησιν ὁ Φιλόσοφος παρεπόμενα τοῦ Ποιεῖν, ἐναντιοῦσίν τε ἔχειν, καὶ τὸ μᾶλλον, καὶ τὸ ἧττον ὑποδέχεσθαι. Τὸ γὰρ θερμαίνειν, τῷ ψύχειν ἐστὶν ἐναντίον. Κατ' αὐτὸ δὲ τοῦτο, δηλαδὴ μᾶλλον καὶ ἧττον ἐπιδέχεται. ἔστι γὰρ μᾶλλον καὶ ἧττον ψύχειν, ἢ θερμαίνειν. Πρόσθες ἔτι δοκεῖ, καὶ τρίτον παρὰ Ἀρχύτου τὸ τὴν αἰτίαν τῆς κινήσεως ἐν ἑαυτῷ ἔχειν. καὶ τοιγε τοῦτο τοῦ ποιοῦντος μᾶλλον, ἢ τοῦ ποιεῖν αἴτιον.

Περὶ τοῦ Πάσχειν.

Ἡ Πάθησις οὕτω συνῆπται τῇ ποιήσει, ὡς ἀμφοτέρας ἐνοῦσθαι τῇ κινήσει. Ἀλλ' ἡ μὲν πάθησις ὥσπερ τὸ πάσχον, σώζεσθέν τι ἐμφαίνουσιν. Ἡ γὰρ πάθησις, εἴτ' οὖν πάθος, οὐ μόνον τὴν κίνησιν ὡς γιγνομένην ἐν τῷ πάσχοντι σημαίνει, ἀλλὰ καὶ τὸ ἀποτελούμενον ἐξ αὐτῆς πάθημα, ὃν ξόπον καὶ ἐν ταῖς παθητικαῖς ποιότησι τὸ πάθος ἐπάττετο ὑπὸ τοῦ Φιλοσόφου. Τὸ δὲ πάσχον μετὰ τοῦ πάθους ἢ τὸ ὑποκείμενον ἐν ᾧ τὸ πάθος δηλοῖ. Τὸ μέντοι πάσχειν ἁπλούστερόν τε ἐστὶ, καὶ σημαίνει τὸ μεταβάλλεσθαι ὁπωσοῦν ὑπ' ἄλλου ἢ ἄλλο. Διὸ καὶ ὁ Φιλόσοφος ἐχρήσατο τούτῳ εἰς δήλωσιν τοῦ γενικωτάτου γένους τῶν παθήσεων.

Διαί-

Διαίρεσις τοῦ Πάσχειν.

Διαιρεθείη δ' ἂν ὁμοίως καὶ τὸ Πάσχειν, ἢ κατὰ τὴν διαίρεσιν τῆς παθαινομένης (1) καὶ μεταβαλλομένης ὕλης, ἢ μᾶλλον εἰπεῖν καὶ ὀρθότερον κατὰ τὴν διαίρεσιν τῶν ἀποτελεσμάτων καὶ παθημάτων, ἐφ' ἃ αἱ παθήσεις ἀπολήγουσιν. Ὡς εἶναι εἰπεῖν, τὸ Πάσχειν, τὸ μὲν κατ' οὐσίαν γίνεται, εἴπερ κατ' οὐσίαν τὸ ὑποκείμενον πάσχει, ἢ κατὰ συμβεβηκὸς, τοῦ ὑποκειμένου κατὰ συμβεβηκὸς παθαινομένου. καὶ οὕτω καθεξῆς, κατὰ τὴν διαφορὰν τῆς οὐσίας, ἢ τῶν συμβεβηκότων καθ' ἃ τὸ ὑποκείμενον πάσχει, τὰ διάφορα γένη καὶ εἴδη διακριθήσεται τοῦ Πάσχειν.

Παρεπόμενα τοῦ πάσχειν.

Τὰ δὲ αὐτὰ παραδίδωσι παρεπόμενα τοῦ Πάσχειν, ἅπερ καὶ τοῦ Ποιεῖν. ἐπιδέχεται γὰρ ἐναντίωσιν τὸ πάσχειν, καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον. τὸ γὰρ θερμαίνεσθαι καὶ ψύχεσθαι ἐναντία, καὶ ταῦτα ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον. Προθείητε κἀνταῦθα εἴπερ ἐστὶ βουλομένοις, τὸ τὴν αἰτίαν τῆς παθήσεως ἐν ἑαυτῷ ἔχειν. ἀλλὰ καὶ τοῦτο τῷ πάσχοντι μᾶλλον, ἢ τῷ πάσχειν προσήκει.

Περὶ τοῦ Κεῖσθαι.

Τὸ Κεῖσθαι ὅτι τῇ θέσει τῶν μορίων τῆς αἰσθητῆς οὐσίας οὐσίωται, μάρτυς ἐστὶν ὁ Φιλόσοφος ἐν τῷ περὶ Ποιότητος κεφαλαίῳ, ἔνθα περὶ μανοῦ, καὶ πυκνοῦ, καὶ ἐν τοῖς Πρός τι περί που τὰς ἀρχὰς τοῦ κεφαλαίου, καὶ ἄλλοθι. Ἡ δὲ θέσις τῶν μορίων τῆς αἰσθητῆς οὐσίας θεωρεῖται διχῶς. ἢ γὰρ πρὸς ἄλληλα τὰ μόρια τῆς οὐσίας, θέσιν ἔχοντα ἐννοεῖται, ὧν τὸ μὲν ἄνω, ἢ κάτω, ἔμπροσθεν ἢ ὄπισθεν, περὶ ἧς θέσεως ὁ Φιλόσοφος ἐννοεῖ ἐν τῷ περὶ Ποσοῦ κεφαλαίῳ, ἐν οἷς φησὶ περὶ τῶν εἰδῶν τῆς ποσότητος, τὰ μὲν ἐκ μερῶν συγκεῖσθαι ἐχόντων θέσιν πρὸς ἄλληλα, τὰ δὲ ἐκ μὴ τοιούτων, Ἡ δὲ τοιαύτη θέσις ὑπὸ τὸ γένος ἀνάγεται τῶν σχετικῶν.

Ἀλ-

(1) Ὡς τὸ ὑποκείμενον ἢ πάσχον φθείρεται, ἢ πάσχον τελειοῦται· ὡς τὸ ξύλον ὑπὸ τοῦ πυρὸς, ἢ ἡ ψυχὴ τοῦ μανθάνοντος ὑπὸ τοῦ διδασκάλου, καὶ τὸ ξηρόμενον ἢ αὐξόμενον σῶμα.

Ἄλλον δὲ τρόπον ἐννοεῖται ἡ θέσις ἐπὶ τῶν μερῶν τῆς οὐσίας, λόπως ἔχει δηλαδὴ πρὸς τὸν τόπον ἐν ᾧ ἡ οὐσία, ἀλλὰ καὶ αὖτη ἀναχθείη ἂν ἐπὶ τὰ Πρός τι. Δοκεῖ γὰρ σημαίνειν τινὶ τοῦ περιεχομένου πρὸς τὸ περιέχον χέσιν, καὶ ἀνάπαλιν. Φαίλω ἔγωγε τινὶ θέσιν καθ' ἣν τὸ προκείμενον γένος οὐσίωται, μὴ εἶναι πάντως τινὶ θεωρουμένῳ μεταξὺ τῶν μορίων τῆς αἰσθητῆς οὐσίας πρὸς ἄλληλα, (αὖτη γὰρ ἐπὶ τοῦ σώματος θεωρεῖται καὶ μὴ σωεχομένου τοῦ τόπου. ἀλλ' οὐδ' ἔστι μόνη ἡ χέσις τοῦ κειμένου σώματος πρὸς τὸν τόπον ἐν ᾧ κεῖται) ἀλλὰ μεταξὺ θεωρεῖσθαι τοῦ κειμένου, καὶ περιγραφομένου σώματος, καὶ τοῦ περιγράφοντος ἔξωθεν, οἷον τὶς δόπος τοῦ εἶναι ἐν τόπῳ τῶν μορίων, Πρόσθες εἰ βούλει καὶ ἐνέργεια. ὃν δόπον ὁ Φιλόσοφος καὶ τὸ εἶναι τοῦ Ἔχειν ἐν τοῖς Μεταφυσικοῖς ἐδήλωσε, μὴ σωεχομένου μόνου σφαίρας, Ἡ τοιαύτη περιγραφὴ καὶ θέσις τοῦ κειμένου σώματος ἐστὶ καὶ τοῦτο (1) εἰς διαφορὰν τῆς κατηγορίας τοῦ Ποῦ.

Διαίρεσις τοῦ Κεῖσθαι.

Διαιρεῖται δὲ κοινότερον τὸ Κεῖσθαι εἰς τρία ταῦτα, οἷον προσεχῆ γένη, τὸ ἑστάναι, καθῆσθαι, καὶ ἀνακεκλίσθαι. Παρεπόμενα δὲ αὐτοῦ παραδίδωσιν ὁ Συμπλίκιος δύο, ἐναντίωσιν, καὶ τὸ μᾶλλον, καὶ ἧττον ἐπιδέχεσθαι. Ἐναντία μὲν γὰρ εἶναι δοκεῖ τό,τε πεσὴν κεῖσθαι, καὶ ὄπτιος, ἑστάναι καὶ ἀνακεκλίσθαι, καὶ τὰ τοιαῦτα. Μᾶλλον δὲ καὶ ἧττον ῥηθείη ἂν ταῦτα, εἴπερ ὀξέως λέγειν μᾶλλον ὄπτιον, καὶ ἧττον, καὶ μᾶλλον ἀνακεκλιμένον, ἢ ἧττον.

Περὶ τῆς Ποῦ κατηγορίας.

Τὸ Ποῦ ῥητέον ὅτι ἐστὶν ἐπωνυμία ἔξωθεν ἐπιγινομένη τοῖς σώμασιν, ἀπὸ τοῦ τόπου ἐν ᾧ ὑπάρχουσι. Τὸ γὰρ εἶναι Ποῦ, ἐν τόπῳ εἶναι ἐστίν, ὅπερ ὀξέως ἀυτῆς τῆς φωνῆς πρόδηλον. Τὸ δὲ ποῦ ἐπίρρημα ἐστὶ τοπικὸν, καὶ οὐκ ἄλλοθεν, ὅτι μὴ ἀπὸ τοῦ τόπου λέγεται. Καὶ λόγῳ δὲ ῥᾳδίως σωάγεται τὸ αὐτό. οὗ γὰρ εἰσαγομένου (2) σωεισάγεται

(1) Τὸ γὰρ ποῦ διοεισμένον, ἀλλὰ τὸ κεῖσθαι ἀδιόεισον, καθ' ὃ ἐξ ἀλλήλων διενήνοχε.
(2) Εἰσαγομένου γὰρ τοῦ τόπου, ἀνάγκη καὶ τὸ ποῦ εἰσάγεσθαι.

γεταί τι, μεταβαλλομένου τε μεταβάλλεται, καὶ ἀναιρουμένου συναναιρεῖται, τοῦτο πάντως αἴτιον προσεχὲς ἐστὶ τοῦ αὐτοῦ, ἀλλὰ μὴν οὕτως ἔχει ὁ τόπος πρὸς τὸ Ποῦ, ἄρα.

Δείκνυται ἔτι τὸ αὐτὸ ἀπὸ τῆς κατὰ τόπον κινήσεως. ὃ γὰρ πρώτως, καὶ καθ' αὑτὸ ποριζόμεθα διὰ τῆς κατὰ τόπον κινήσεως, τὸ Ποῦ ἐστίν. ἀλλὰ μὴν διὰ τῆς κατὰ τόπον κινήσεως πρώτως, καὶ καθ' αὑτὸ ποριζόμεθα τὸν τόπον, ἄρα ἀπὸ τοῦ τόπου τὸ Ποῦ εἶναι ἔχει τὰ σώματα.

Περὶ διαιρέσεως τοῦ Ποῦ.

Διαιροῦσιν οἱ νεώτεροι σχολαστικοὶ τὸ Ποῦ διχῶς, εἴς τε τὸ περιγραφικὸν Ποῦ, καὶ τὸ περιοριστικόν. Καὶ περιγραφικὸν μὲν Ποῦ θεωρεῖται ἐπὶ τῆς ἀϋθητῆς οὐσιῶν, αἵπερ τὸ ἐν τόπῳ εἶναι ἔχουσι μετὰ διαστάσεως, ὥσπερ τὰ σώματα. Περιοριστικὸν δὲ Ποῦ θεωρεῖσθαι φασὶν ἐπὶ τῆς ἀύλων Οὐσιῶν. αὗται γὰρ καίτοι μὴ διαστατικῶς ἐπέχουσι τόπον, οὕτω μέντοι ἐντὸς ὅρων τινῶν περιέχονται, ὡς ἐντὸς ἐκείνων μὴ πεφυκέναι ὑπάρχειν. Ἀλλ' ἡ διαίρεσις οὐκ ἔστι γένους εἰς εἴδη. Θάτερον γὰρ αὐτῆς μέρος, ὅπερ φασὶ περιοριστικὸν, κατὰ συμβεβηκὸς λέγεται ποῦ, ὥσπερ καὶ ὁ τόπος ὃν φασὶ περιοριστικὸν, κατὰ συμβεβηκὸς ἐστὶ τόπος. Τὸ δὲ περιγραφικὸν Ποῦ, ὅπερ ἐστὶ τῆς παρούσης θεωρίας, διαιρεῖται κατὰ τὰς διαφορὰς τοῦ τόπου, ἄνω, καὶ κάτω, καὶ τὰ ἑξῆς. Αἱ δὲ τοῦ τόπου διαφοραὶ ἁπλῶς θεωροῦνται, κατὰ τὴν θέσιν δηλαδὴ τοῦ παντὸς, καὶ καθ' ἡμᾶς. Κατὰ μὲν τὴν τοῦ παντὸς θέσιν ὁ κατωτάτω τόπος ἐστὶ τὸ μεσαίτατον τοῦ παντὸς, ἢ & αὐτὸ τὸ κέντρον τῆς γῆς. Ἀνωτάτω δὲ ὁ ὑπὸ τὴν κοίλην ἐπιφάνειαν τῆς σελληνιακῆς σφαίρας, ἢ καὶ ὁ περὶ τὴν ἐξωτάτω σφαῖραν. Τὰ δὲ μεταξὺ κατὰ σύγκρισιν, ἄνω καὶ κάτω λέγεται. Καθ' ἡμᾶς δὲ ταῦτα πάντα ποικίλεται κατὰ τὴν μεταβολὴν τῆς ἡμετέρας θέσεως. Λέγεται δὲ τὸ ποῦ καὶ ἀορίστως, ὡς ἁπλῶς ἐν τόπῳ εἶναι, & ὡρισμένως, ὡς ἐν Εὐρώπῃ ἢ Ἀθήνησι.

Παρεπόμενα τοῦ Ποῦ.

Τὰ τοῦ Ποῦ ἰδιώματα ἀπὸ τοῦ τόπου μάλιστα λήπτέα ἐστίν. ὅθεν ὅτι μὴ ἐπιτείνεται τὸ Ποῦ, ἢ ἀνίεται, δῆλον. οὐδὲ γὰρ ὁ τόπος ἐπιτείνεται ἢ ἀνίεται. ἐκτείνεται μέντοι καὶ τὸ Ποῦ, ὥσπερ καὶ ὁ τόπος κατὰ τὸ

ΑΚΑΔΗΜΙΑ

Τὰ μὲν τῆς κατηγορίας τέτταρα τέτταρα.

- Τὰ ἀντικείμενα ἅπερ τέτταρα διαιρεῖται.
  - Εἰς τὰ ἀντικείμενα κατὰ τὰ πρός τι, ὧν ζόπον ὁ πατὴρ ἀντίκειται τῷ υἱῷ, καὶ ἀνάπαλιν.
  - Εἰς τὰ ἀντικείμενα κατ' ἐναντίωσιν, ὡς τὸ ψυχρὸν ἀντίκειται τῷ θερμῷ, καὶ τῷ λευκῷ τὸ μέλαν.
  - Εἰς τὰ κατ' ἕξιν καὶ στέρησιν, ὡς ἕξις καὶ τυφλότης, γνῶσις καὶ ἄγνοια.
  - Εἰς τὰ κυρίως ἀντικείμενα, ὡς ἡ κατάφασις ἢ ἀπόφασις, οἷον ὁρᾷ, οὐχ ὁρᾷ.
- Τὸ πρότερον. οἱ τρόπου ζόποι ὄντες.
  - Πρῶτος, καθ' ὃν πρεσβύτερον λέγεται κατὰ χρόνον ἕτερον ἑτέρου ἢ παλαιότερον. Τὸ μὲν πρεσβύτερον ἐπ' ἀνθρώπους. Τὸ δὲ παλαιότερον ἐπὶ ἀψύχων.
  - Δεύτερος, καθ' ὃν πρότερον λέγεται τὸ μὴ ἀντιστρέφειν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν.
  - Τείτος, καθ' ὃν πρότερον λέγεται κατὰ τάξιν, ὡς τὸ προοίμιον ἐν λόγῳ.
  - Τέταρτος, καθ' ὃν πρότερον λέγεται κατ' ἀξίαν.
  - Πέμπτος, καθ' ὃν ἀντιστρέφουσι μέντοι να κατὰ τὴν ἀκολούθησιν τῆς ὑπάρξεως, θάτερον δὲ θατέρου ὁπωσοῦν κεῖνται αἴτιον.
    Τοῦτον δὲ τὸν πέμπτον ζόπον, πολλοὶ ἐπὶ τὸν δεύτερον ἀνάγουσι, ἢ ἄμφω ὁμοίως εἶναι βούλονται.
- Τὸ ἅμα. ἢ τοῦτο τεταχῶς.
  - Τὸ μὲν κατὰ χρόνον.
  - Τὸ δὲ κατὰ φύσιν.
  - Τὸ δὲ κατὰ τόπον.
  - Τὸ δὲ κατ' ἀξίαν.
- Ἡ κίνησις. ἢ αὖτη,
  - Κατὰ γένεσιν.
  - Κατὰ γέννησιν.
  - Καὶ φθοράν.
  - Κατ' αὔξησιν.
  - Καὶ μείωσιν.
  - Κατ' ἀλλοίωσιν.
  - Καὶ κατὰ τόπον. ἢ ἰδιαίτερον φορὰ λέγεται.
- Τὸ ἔχειν. ἐφ' ᾗτε τὰς πλείας σημασίας εἰς τέτταρα ἀνακεφαλαιοῦται ὁ Φιλόσοφος τῇ τετάρτῳ τῶν μεταφυσικῶν.
  - Πρῶτον, εἶναι ἔχειν φησὶ, τὸ ἄγειν κατὰ τὴν ἑαυτοῦ φύσιν, ἢ ὁρμὴν, ἢ ζόπον ὑπερτὸς ἔχειν λέγεται τὸν ἄνθρωπον.
  - Δεύτερον, ὡς τὸ ἐκτικὸν τοῦ εἴδους, οἷον ὁ χαλκὸς τὸ εἶδος τοῦ ἀνδριάντος.
  - Τείτον, ὡς τὸ περιέχον τὰ περιεχόμενα, οἷον ἡ πόλις τοὺς ἀνθρώπους, ἢ τοὺς ἀνθρώπους ἡ ναῦς.
  - Τέταρτον, ὡς τὸ κωλύον τι κατὰ τὴν αὐτοῦ ὁρμὴν κινεῖσθαι, ἢ πράττειν.

πατὴρ ἀντίκειται τῷ μᾶ,

χρὸν ἀντίκειται τῷ θερ-

ης, γνῶσις καὶ ἄγνοια.

σις, οἷον ὁρᾷ, ἐχ ὁρᾷ.

ρον ἑτέρᾳ ἢ παλαιότερον.
αιότερον ἐπὶ ἀψύχων.

ρέφειν κατὰ τὸ τοῦ εἶναι

ς τὸ τροσοίμιον ἐν λόγῳ.

κολούθησιν τῆς ὑπάρ-

τὸ εἶδος τοῦ ἀνθρω-

ς τοὺς ἀνθρώπους, ἢ

ται, ἢ πράττειν.

κὰ τὸ μέγεθος τῆς σωμάτων. Ἔστι δὲ παρὰ ταῦτα τῷ Ποῦ, καὶ ἐναντίωσις, ἢ μᾶλλον εἰπεῖν ἀντίθεσις κατὰ τὰς ἀντιθέτους τοῦ τόπου διαφοράς. τὸ μὲν γὰρ ἄνω, τὸ δὲ κάτω εἶναι λέγεται, καὶ τὰ ἑξῆς.

Περὶ τοῦ Ποτέ.

Τὸ Ποτὲ ὅτι τῆς ἀνηκόντων εἰς χρόνον ἐστὶ, δῆλον καὶ ἐξ αὐτῆς τῆς φωνῆς. Ἔστι γὰρ ἐπίρρημα χρονικὸν, ᾧ χρώμεθα ἀπαιτοῦντες τὸν χρόνον, ἐν ᾧ ἐστὶν, ἢ ἦν, ἢ ἔσαί τι, οὐ μέντοι ἐστὶ χρόνος, ἢ τὸ ἐν χρόνῳ ὄν, ἀλλ' ἔστι τὸ Ποτὲ οὐδὲν ἄλλο, ἢ τὸ ἐν χρόνῳ εἶναι. Οὕτως ὁ Φιλόσοφος πανταχοῦ ἀποδίδωσι, τὸ γένος τοῦτο ἀναπτύσσων ταῖς ἀπὸ τοῦ χρόνου διαφοραῖς, ὡς ἔστιν ἰδεῖν καὶ ἐν τῇ περὶ τῆς Κατηγοριῶν θεωρίᾳ, καὶ ἐν κεφαλαίῳ ς'. τοῦ πρώτου τῆς Νικομαχείων. Ὁμοίως δὲ καὶ αἱ διαφοραὶ τούτου ἀπὸ τοῦ χρόνου λαμβάνονται, καθ' ἃς καὶ διαιρεῖται. Ἐπεὶ τοιγαροῦν ὁ χρόνος κοινότερον τριμερῶς διανέμεται, εἴς τε τὸ παρεληλυθὸς δηλαδὴ, ἐνεστός τε, καὶ μέλλον, ξία ἔσονται καὶ τὰ πρῶτα εἴδη τοῦ προκειμένου γένους, ἀναλόγως ἔχοντα πρὸς τὰ τοῦ χρόνου μέρη. Ταῦτα δὲ δι' ὑφῶς δηλοῦσθαι πέφυκε δι' ὑπερρημάτων, τοῦ Πρότερον, καὶ νῦν καὶ εἰς Ὕστερα. ὧν ὑποδιαιρεθήσεται ἕκαστον εἰς διάφορα μέρη, ὡρισμένως, ἢ ἀορίστως. οἷον τὸ πρότερον διαιρεθήσεται εἰς ταῦτα, χθὲς, πέρυσι, πάλαι, καὶ τὰ τοιαῦτα. Τὸ δεύτερον εἰς ταῦτα, ἄρτι, σήμερον, τῆτες, καὶ τὰ τοιαῦτα. Τὸ τρίτον αὖθις εἰς τὰ τοιαῦτα, οἷον ἄψιον, ὑστεραία, εἰς νέωτα, καὶ ὅσ' ἄλλα. Ἃ δὴ πάντα ὑπάγεται τῷ Ποτὲ, καὶ τοῦτο κατὰ πάντων ἐκείνων ἐπ' ὀθείας κατηγορεῖται. Πρὸς γὰρ τὸν ἐρωτῶντα διὰ τοῦ πότε, ὀρθῶς ἀποκεινόμεθα διὰ τῆς εἰρημένων, καὶ ὅσ' ἄλλα τύχωσιν ὄντα τοῦ αὐτοῦ γένους.


Ἐπὶ τούτου τοῦ γένους, οὔτε ἐναντίωσις θεωρεῖται, οὔτε ἐπίτασις, ἢ ἄνεσις, οὐδὲ γὰρ τῷ χρόνῳ πρόσεστι ταῦτα. Ἴδιον δὲ τούτου ἐστὶ τὸ πρότερον, καὶ ὕστερον, ὅπερ εἰ καὶ ἄλλοις παρὰ τοῦτο προσήκειν δοκεῖ, ἰδιάζοντα μέντοι ἕπεται τῷ χρόνῳ, καὶ ἀπολούθως τῷ Ποτέ.

Περὶ τοῦ Ἔχειν.

Τὸ Ἔχειν οὐδὲν ἄλλο εἶναι λέγεται παρ' Ἀμμωνίῳ, ἢ οὐσίας περὶ οὐσίαν περίθεσις. Τοῦτο δὲ τί ἄλλο ἐστὶν; ἢ ἕξις, ᾗ ὁ Φιλό-

σοφος ἐν τῷ Δ. τῆς Μεταφυσικῶν ἐνέργειαν ἀπεκάλεσε, μεταξὺ τοῦ ἔχοντος, ἤτοι τοῦ ἱματισμένου, καὶ τοῦ ἐχομένου (1) ἐνδύματος. Τούτου τοῦ συμβεβηκότος κυρίως ἐστὶ δεκτικὸν ὁ ἄνθρωπος, κατὰ δὲ τὰς ἀνθρωπίνας ἐπινοίας καὶ τὰ λοιπὰ ζῶα. Πρόθες εἰ βούλει, καὶ οἱ ἀνδριάντες, ἐσὶν ὅτε ἀμπιέχονται διάτι τέλος ἀνθρώπινον.

Τὰς διαφορὰς τοῦ προκειμένου γένους λαβεῖν ἔξεσιν ἀπὸ τῆς διαφορᾶς τοῦ τέλους τῆς ἀμφιάσεως. φέρομεν γὰρ τὰ ἄμφια, ἢ ὡς ἀμυντήρια πρὸς ὑετοῦ ψυχρότητα, καὶ τὰ τοιαῦτα. Ἢ διὰ πρεπείας, καὶ καλλωπισμοῦ χάριν, οἷα εἰσὶν ὅσα εἰς κόσμον φέρειν εἰώθασιν οἱ ἄνθρωποι. Ἴδιον δ' ἂν εἴη τούτου, τὸ μὴ ἄλλοις, ὅτι μὴ σώμασι, καὶ μάλιστα ἀνθρωπίνοις προσήκειν. Πρόθες ὅτι καὶ αἱ τοῦ Ἔχειν ἐπωνυμίαι πᾶσαι ἀπὸ τῆς περιθέσεως τῆς οὐσίας ἑτέρας περὶ ἑτέραν λέγονται.



To

(1) ἔχεται γὰρ τὸ ἱμάτιον πάντως ἐκ τοῦ ἀνθρώπου. ἔχω γὰρ τὸ φορῶ. καὶ γὰρ ὁ μὲν φορεῖ, τὸ δὲ φορεῖται ὑπ' ἐκείνου, ἀλλ' οὐ κατὰ τὸ περιέχον.

Τὸ Κεῖσθαι διαιρεῖται εἰς τρία.

- Εἰς τὸ ἑστάναι.
- Εἰς τὸ κεῖσθαι.
- Καὶ εἰς τὸ ἀνακεκλίσθαι.

Τὸ Ποῦ διαιρεῖται διχῶς.

- Εἰς τὸ πρωτουργικὸν, ὅπερ θεωρεῖται ἐπὶ τῆς πρώτης οὐσιῶν, ἢ διαιρεῖται κατὰ τὰς διαφορὰς τοῦ τόπου, ἄνω, κάτω, καὶ τὰ ἑξῆς.
- Καὶ εἰς τὸ δευτερουργικὸν, ὅπερ θεωρεῖται ἐπὶ τῆς δευτέρων οὐσιῶν κατὰ τὰ συμβεβηκότα.

Τὸ Ποτὲ διαιρεῖται τριχῶς κατὰ τὸν κοινότερον τρόπον διανομήν.

- Κατὰ τὸ πρότερον, ὃ καὶ ὑποδιαιρεῖται εἰς διάφορα μέρη ὡρισμένως ἐξ ἀορίστως, ὡς τὸ χθὲς, πέρυσι, πάλαι, ἐξ τὰ τοιαῦτα.
- Κατὰ τὸ νῦν, ὅπερ ὁμοίως ὑποδιαιρεῖται εἰς ταῦτα, ἄρτι, σήμερον, τῦτες, καὶ τὰ τοιαῦτα.
- Καὶ εἰς τὸ ἔπειτα. ἐξ τοῦτο εἰς τὰ τοιαῦτα ἀορίστως, ὑστεραία, εἰς νέωτα, καὶ ὅσ' ἄλλα αὖθ' ἑνὸς λαμβάνονται.

Τὸ Ἔχειν ἐχῶς, ὑπὸ τῆς διαφορᾶς τῦ τέλους τῆς ἀμφιάσεως, τὰς διαφορᾶς λαμβάνον.

- Ἢ γὰρ ἔχομεν τὰ ἄμφια πρὸς φυλακὴν τοῦ σώματος, ὑπὸ ψυχρότητος, πάγους, καὶ τῆς τοιύτων.
- Ἢ πρὸς ἄμυναν ἐχθρῶν, ὡς θώρακα, περικεφαλαίαν.
- Ἢ εὐπρεπείας, ἐξ καλλωπισμοῦ χάριν.

ΠΕΡΙ ΤΩΝ

Μετὰ τὰς

ΚΑΤΗΓΟΡΙΑΣ.

Συμπληρώσαντες τὸν περὶ κατηγοριῶν λόγον μένει τοῦδε, λείπεται ὀλίγ' ἅττα καὶ περὶ τοῦ ἕτερα μέρους τῆς προκειμένης βίβλου εἰπεῖν. Εἴθισται δὲ τοῖς λογικοδομένοις τὸ μέρος τοῦτο προσαγορεύεσθαι μετὰ τὰς κατηγορίας, ἐν ᾧ ὁ Φιλόσοφος περὶ τινων διαλαμβάνει, ἅπερ ὁμώνυμα ὄντα, οὐκ ἰδίᾳ ἐπί τι γένος ἰδίᾳ ἀναγαγεῖν. θεωρεῖται γὰρ ἐν διαφόροις γένεσι. Τούτων δὲ ἡ γνῶσις εἰς πληρεστέραν γνῶσιν τῆς εἰρημένων ἐν ταῖς κατηγορίαις συμβάλλεται. Ἐν ᾧ δὲ κρεῖττον διαγνῶναι καὶ τάξαι ἕκαστον ἐν τοῖς οἰκείοις γένεσιν ἔχομεν, προσλαβόντες τὴν γνῶσιν τῆς λεγομένων ἐν τούτοις. Ὅθεν καὶ εἰώθασιν ὑπογράφειν τὰ περὶ ὧν ὁ λόγος, ἐνταῦθα διδασκαλίαν ἀναπληροῦσαν τὰ ἐν ταῖς κατηγορίαις εἰρημένα. Εἰσὶ δὲ ταῦτα τὸν ἀριθμὸν πέντε, τὰ Ἀντικείμενα, τὸ Πρότερον, τὸ Ἅμα, ἡ Κίνησις, καὶ τὸ Ἔχειν.

Περὶ τῶν Ἀντικειμένων.

Ὑπογραφὴ τῆς Ἀντικειμένων, καὶ αἰάπτυξις τῆς αὐτῆς.

Λέγεται δὲ Ἀντικείμενα παρὰ τῷ Φιλοσόφῳ ἐν τῷ Δ. τῆς Μεταφυσικῶν, ὅσα μὴ ἐνδέχεται ἐνεῖναι ἅμα τῷ ἀμφοῖν δεκτικῷ, ἢ αὐτὰ ταῦτα, ἢ ἐξ ὧν ταῦτα. Ἔστι γὰρ ἡ ἀντίθεσις μάχη δύο τινῶν, μὴ παραχωρούντων ἀλλήλοις συνυπάρχειν ἐν τῷ αὐτῷ δεκτικῷ. Ἀριθμῷ δὲ ἐχρήσατο ὁ Φιλόσοφος πληθυντικῷ ἐπ' αὐτῷ, ὅτι οὐδὲν αὐτὸ ἑαυτῷ ἀντικεῖσθαι φύσιν ἔχει, ἀλλ' ἄλλῳ, ἢ ἄλλο. Ἅμα δὲ μὴ ἐνεῖναι τῷ αὐτῷ δεκτικῷ ἐννοεῖ ὁ Φιλόσοφος κατὰ τὸ αὐτὸ σημαινόμενον, καὶ πρὸς τὸ αὐτὸ ἑξω-

ἔξωθεν παραβαλλόμενον. Τὸ αὐτὸ γὰρ κατ' ἄλλο καὶ ἄλλο φάναι καὶ ἀποφάναι οὐδὲν κωλύει. καὶ τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο παραβαλλόμενον μέγα καὶ μικρὸν λέγεται. Τῷ κοινῷ δὲ ἀμφοῖν δεκτικῷ εἴρηται, πολλὰ καὶ τῶν μὴ ἀντικειμένων ἐν τοῖς μὴ ἀμφοῖν δεκτικοῖς ὑποκειμένοις συνυπάρχειν οὐ δύναται, ὡς λευκότης φέρε εἰπεῖν, καὶ γραμματικὴ ἐν ἵππῳ. οὐχ ὅτι εἰσὶν ἀντικείμενα, ἅμα γὰρ συνυπάρχουσι τῷ ἀνθρώπῳ. ἀλλὰ παρὰ τὸ μὴ εἶναι τὸν ἵππον δεκτικὸν ἐπιστήμης. Ἢ αὖπὰ δὲ, ἢ ἐξ ὧν ταῦτα προσείληπται ἐν τῇ ὑποκειμένῃ διὰ τὰ μεταξὺ τῶν ἐναντίων. ἅπερ εἰ μὴ καθ' ἑαυτὰ ἀλλήλοις ἀντίκεινται, ἀλλὰ τῶν ἄκρων ἐξ ὧν ταῦτα σύγκεινται, κυρίως καὶ καθ' αὑτὰ ~~ἐστὶν~~ ἀντικειμένων, οὐδὲν ἧττον καὶ τὰ μεταξὺ ~~τῶν ἐναντίων~~ οὐ συνυπάρχειν πέφυκε τῷ αὐτῷ δεκτικῷ. τοῦτο δὲ αὐτοῖς πρόσεστι διὰ τὰ ἄκρα ἐξ ὧν σύγκειται, ἀφ' ὧν καὶ ταῦτα ἀντικείμενα ἔξεστι προσαγορεύειν.

Διαίρεσις τῶν Ἀντικειμένων.

Διαιρεῖ τέτταρα ὁ Φιλόσοφος τὰ Ἀντικείμενα. Εἰς τὰ Ἀντικείμενα, ὡς τὰ Πρός τι. ὃν τρόπον ὁ πατὴρ αὐτικεῖσθαι λέγεται τῷ υἱῷ, καὶ ἀνάπαλιν. καὶ δοῦλος δεσπότῃ, καὶ ὅσ' ἄλλα. Εἰς τὰ ἐναντία, ὡς τὸ ψυχρὸν αὐτίκειται τῷ θερμῷ, καὶ τῷ λευκῷ τὸ μέλαν, καὶ ὅσα τοιαῦτα. Καὶ εἰς τὰ κατὰ στέρησιν, καὶ ἕξιν, ὡς ὄψις καὶ τυφλότης, γνῶσις καὶ ἄγνοια. Καὶ τελευταῖον εἰς τὰ κυρίως αὐτικείμενα, ὡς ἡ κατάφασις, καὶ ἀπόφασις, ὡς ὁρᾷ, οὐχ ὁρᾷ, αἰδήμων καὶ ἀναιδὴς ἐπὶ τῷ λίθου λεγόμενα. Διαφέρει δὲ ἡ κατὰ ἀπόφασιν καὶ κατάφασιν αὐτίθεσις, τῆς κατὰ στέρησιν καὶ ἕξιν αὐτιθέσεως. ὅτι ἡ κατὰ ἀπόφασιν καὶ κατάφασιν αὐτίθεσις μεταξὺ ἐστὶ τῆς καταφάσεως τοῦ ὄντος, καὶ τῆς ἀποφάσεως τοῦ μὴ εἶναι ὀνδεχομένου. Ἡ δὲ διὰ τῆς στερήσεως δηλουμένη ἀπόφασις τοῦ ἐνεῖναι προσήκοντος ἐστίν. Οὗτον ἐκείνη μὲν ἁπλῶς ἐπὶ τοῦ ὄντος θεωρεῖται, αὕτη δὲ ἰδίᾳ ἔστινι γένει τοῦ ὄντος ἐστὶν, οἷον τῇ ποιότητι. ὡς ὁ Φιλόσοφος ἐν τῷ Γ. τῶν Μεταφυσικῶν κεφαλαίῳ δευτέρῳ διδάσκει.

Περὶ

Περὶ Προτέρου.

Τὸ Πρότερον ὅτι ὁμωνύμως λέγεται δῆλον ἐστὶν ἐκ τοῦ κατὰ πολλοὺς λέγεσθαι τρόπους. ᾧ καὶ ἐχρήσατο ὁ Φιλόσοφος ἐν τῷ περὶ Οὐσίας λόγῳ, ἔνθα τῶν δευτέρων οὐσιῶν, τὸ εἶδος πρότερον εἶναι τοῦ γένους ἔλεγε, καὶ τὸν ἄτομον οὐσίαν ἁπλῶς πρώτην πάντων. Οὕτω οὐδὲ ἄπο σκοποῦ ἂν προθέσθαι ἐπὶ τοῦ παρόντος, καὶ παραδοῦναι καθ' ὅσους ἂν λέγοιτο τρόπους. Τούτου τοιγαροῦν καίτοι κατ' ἀρχὰς τεταχῶς λέγεσθαι εἰπὼν πέντε ἐφεξῆς διδάσκει τρόπους. καθ' οὓς πρότερον ἕτερον ἑτέρου λέγεται. Πρόθες δὲ ὅτι καὶ τὸ ὕστερον τοσαυταχῶς ῥηθήσεται.

Πρῶτον τοιγαροῦν καὶ κυριώτατα λέγεται τὸ Πρότερον κατὰ χρόνον, καθὸ πρεσβύτερον ἕτερον ἑτέρου λέγεται καὶ παλαιότερον, ὧν ἡ γένησις μᾶλλον ἢ ἧττον ἀφέστηκε τοῦ ἐνεστῶτος. Λέγεται δὲ ἰδιαίτερον τὸ πρεσβύτερον ἐπ' ἀνθρώπους, τὸ δὲ παλαιότερον ἐπὶ ἀψύχων.

Δεύτερος τρόπος ἐστὶ καθ' ὃν τρόπον πρότερον λέγεται τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. τὸ γὰρ ἑπόμενον τινὸς ἑτέρου τεθέντος, μὴ μέντοι καὶ ἀνάπαλιν πρότερον λέγεται ἐκείνου, ὡς τὸ εἶ πρότερον τῆς δύο. δυοῖν μὲν γὰρ ὄντοιν ἀκολουθεῖ καὶ εἶναι. ἑνὸς δὲ ὄντος, οὐκ ἀναγκαῖον δύο εἶναι. καὶ ἀνθρώπου ὄντος, ἀνάγκη ζῶον εἶναι, ζώου δὲ ὄντος, οὐκ ἔτι καὶ ἄνθρωπον ἀνάγκη εἶναι.

Τρίτον δὲ τὸ πρότερον λέγεται κατὰ τάξιν. τούτου δὲ τρία ἐκτίθησι παραδείγματα ὁ Φιλόσοφος. τὸ προοίμιον ἐν τῷ λόγῳ, ὅτι πρότερον τῇ τάξει τῆς διηγήσεως. Τὰ στοιχεῖα κατὰ γραμματικούς, ὅτι πρότερα τῆς συλλαβῶν. καὶ τὰ κατὰ Μαθηματικοὺς στοιχεῖα, ὅτι πρότερα τῆς διαγραμμάτων τῇ τάξει ὑπάρχουσιν. Ἐννοεῖ δὲ διαγράμματα τὰς μαθηματικὰς ἀποδείξεις, ὅτι ἐπὶ διαγραμμάτων ἐκτίθενται. στοιχεῖα δὲ παρὰ τοῖς μαθηματικοῖς κοινότερον ἐννοεῖ τὰς μαθηματικὰς ἀρχάς, ὁρισμοὺς δηλονότι, ὑποθέσεις, καὶ αἰτήματα, ἐξ ὧν τὰς ἀποδείξεις συνάγουσι.

Τέταρτον λέγεσθαι φησὶ τὸ πρότερον κατ' ἀξίαν. ὃν τρόπον καὶ ἀοίκειον εἶναι διδάσκει, οὐχ ὅτι μὴ ἐστὶν ἐν τῇ λεκτικῇ συνηθείᾳ, τὰ ἀξιώτερα καὶ τιμιώτερα, προσαγορεύειν πρότερα, (εἰώθασι γὰρ οἱ πολλοὶ τοὺς ἐντιμοτέρους, καὶ μᾶλλον ἀγαπωμένους, ὑπ' αὐτῆς προτέρους ἀποκαλεῖν) ἀλλ' ὅτι τυχὸν τὸ πρότερον ἀπὸ τῆς ποσότητος ἠρτῆσθαι δοκεῖ. ἡ δὲ ἀξία ἐν δυνάμει τῆς Ποιότητος ἐστί. Τῶν ἐκτεθέντων δὲ τεττάρων τῶν προτέρων τρόπων

παρὰ

παρὰ πᾶσιν ὁμολογουμένων ὄντων, αὐτὸς καὶ πέμπτον προσίθησι, τὸ αὐτιστρεφόντων μὲν κατὰ τὴν ἀκολούθησιν τῆς ὑπάρξεως, θάτερον δὲ θατέρου ὁπωσοῦν αἴτιον ~~κείνεται~~. Προχειρίζεται δὲ εἰς παράδειγμα τούτων τὸν ἀληθῆ λόγον καὶ τὸ σημαινόμενον ὑπ' αὐτοῦ πρᾶγμα. ὧν πρότερον εἶναι φησὶ τὸ σημαινόμενον πρᾶγμα, τοῦ σημαίνοντος λόγου, ὅτι ἐστὶν αἴτιον τοῦ ἀληθεύειν τὸν λόγον. ~~κείται~~ πολλοὶ, καὶ τῶν νεῶν, καὶ τῶν πάλαι, τὸν ἕκατον τοῦτον τοῦ πρότερου τρόπον ἐπὶ τὸν δεύτερον ἀνάγουσιν, ὅταν τὰ πρότερα κατ' ἐκεῖνον, οὐ μόνον πρότερα καὶ τῷ τὸ εἶναι ἀκολουθήσιν προσαγορεύουσιν, ἀλλὰ καὶ πρότερα τῇ φύσει. Εἰσὶ μέντοι πρότερα τῇ φύσει, εἴτουν κατὰ φύσιν ἰδιαζόντως τὰ κατὰ τὸν πρῶτον τρόπον προχειρισθέντα τῷ Φιλοσόφῳ.

δηλαδὴ ὡς μὴ ὄντα πρότερα

Περὶ τοῦ Ἅμα.

Τὸ δὲ Ἅμα εἶναι, ἀντίκειται τρόπον τινὰ τῷ πρότερον εἶναι. τούτου ὁ Φιλόσοφος δύο τρόπους κοινοτέρους ἐκτίθησιν, ὧν ὁ μὲν κατὰ χρόνον θεωρεῖται, ὁ δὲ κατὰ φύσιν. Καὶ ἅμα μὲν κατὰ χρόνον ἐκεῖνα λέγεται εἶναι, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ ἐστὶ, κοινότερον ἐν νοουμένης τῆς γενέσεως. Καὶ οὗτος ὁ τρόπος τὸ ἅμα εἶναι, ἀντίκειται τῷ πρώτῳ τρόπῳ τοῦ πρότερον εἶναι. κατὰ φύσιν δὲ ἅμα εἶναι φησὶν ὅσα ἀντιστρέφει μὲν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, Τὸ μέντοι ἕτερον οὐδαμῶς ἐστὶ θατέρου αἴτιον κατὰ τὸ εἶναι. τοιαῦτα εἶναι διδάσκει τὰ σχετικὰ, ὡς τὸ διπλάσιον, ἥμισυ, καὶ ὅσ' ἄλλα. καὶ αἱ διαιρετικαὶ τῶν γενῶν διαφοραὶ, ὡς τὸ λογικὸν καὶ ἄλογον, καὶ τὰ τοιαῦτα. Ἀντίκειται δὲ ὁ δεύτερος τοῦ ἅμα τρόπος τῷ τε δευτέρῳ καὶ πέμπτῳ τρόπῳ τοῦ προτέρου. Εἰκὸς δὲ ἐστὶ καὶ ἄλλους εἶναι τοῦ ἅμα τρόπους, οἵτινες ἀντίκεινται τῷ τρίτῳ, καὶ τετάρτῳ τοῦ προτέρου τρόπῳ, τοῦ κατὰ τάξιν δηλαδὴ καὶ ἀξίαν. Τὸ πρότερον, καὶ ὕστερον ὡς ἄκρα ἀλλήλοις ἀντικείμενα, εἰκὸς ἐστὶ τῷ ἅμα ἀμφότερα ἀντιθέτως ἔχειν, ὡς τὰ ἔσχατα τῷ μέσῳ. Ὅθεν ὁσαχῶς τὸ πρότερον ἐνδέχεται λέγεσθαι, τοσαυταχῶς καὶ τὸ ἅμα δοκεῖ λέγεσθαι.

Προστίθησιν ὁ Φιλόσοφος καὶ τρίτον τρόπον τοῦ ἅμα ἐν τῷ Ε. τῆς Φυσικῶν. καθ' ὃν ἅμα τῷ τόπῳ λέγεται ὅσα ἐν τῷ αὐτῷ τόπῳ εἰσίν. Ἐννοεῖται μέντοι τόπος ἐνταῦθα οὐχ ὁ πρώτως καὶ ἀμέσως περιέχων ἕκαστον σῶμα. φαίης δ' ἂν καὶ τῇ ἀξίᾳ ἅμα εἶναι, ὅσα τῆς αὐτῆς ἀξιοῦται τιμῆς.

Περὶ

Περὶ Κινήσεως.

Τί ποτ' ἂν εἴη Κίνησις, καὶ τίνες αἱ κατ' ἐκείνην διαιρέσεις τε, καὶ τὰ πάθη, ὅσα περὶ αὐτὴν θεωρεῖται, διεξοδικώτατα παραδίδωσιν ὁ Φιλόσοφος ἐν τοῖς περὶ Φυσικῆς ἀκροάσεως. Ἐπειδὴ δὲ ἡ Κίνησις ὁμωνύμως λέγεται, ὡς ὑπὸ πλείους ὑπαγομένη κατηγορίας, ἐδέησε τῷ Φιλοσόφῳ ἐπὶ τοῦ παρόντος ἀπαριθμήσασθαι μοῦνα τὰ ἐκείνης γένη, εἰς ἔννοιαν ἀμυδρὰν τῆς αὐτῆς. Ἐννοεῖ δὲ τὴν κίνησιν κοινότερον καθὸ περιέχει καὶ τὴν γένεσιν, ἣν διαιρεῖ εἰς γένεσιν, καὶ φθοράν, ἅτινες θεωροῦνται ἐπὶ τῆς οὐσίας. Εἰς τὴν ἀλλοίωσιν, ἥτις γίνεται μεταξὺ τῶν ἐναντίων Ποιοτήτων. Εἰς αὔξησιν, καὶ μείωσιν, ἅπερ πεφύκασι γίνεσθαι μεταξὺ ἀτελοῦς, καὶ ἐντελοῦς Ποσότητος τοῦ φυσικοῦ σωμάτου. Καὶ τελευταῖον εἰς τὴν κατὰ τόπον κίνησιν, ἣ καὶ ἰδιαίτερον φορὰ προσαγορεύεται.

Ἔστι δὲ γένεσις κίνησις, ἥτοιν μεταβολὴ ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι. Φθορὰ δὲ ἀνάπαλιν, κίνησις εἴτουν μεταβολὴ ἀπὸ τοῦ εἶναι εἰς τὸ μὴ εἶναι. Θεωροῦνται δὲ αὗται ἐπὶ τῆς οὐσίας. Ἀλλοίωσις δέ ἐστι κίνησις ἀπὸ ποιότητος ἐναντίας εἰς ἐναντίαν ποιότητα, ὡς ἀπὸ τοῦ λευκοῦ ἐπὶ τὸ μέλαν. Θεωρεῖται δὲ ἐν Ποιότητι. Αὔξησις δέ ἐστι κίνησις, ἀπὸ τοῦ ἀτελοῦς μεγέθους τοῦ φυσικοῦ σωμάτου, ἐπὶ τὸ ἐντελὲς αὐτοῦ κατὰ φύσιν μέγεθος. Μείωσις δὲ τοὐναντίον, ἀπὸ ἐντελοῦς μεγέθους, ἐπὶ τὸ ἀτελὲς ἐπάνοδος. Θεωροῦνται δὲ ἐν Ποσότητι. Φορὰ δέ ἐστι κίνησις ἀπ' ἄλλου ἐπ' ἄλλον τόπον, ἥτις Ἢ ἐπ' εὐθείας γίνεται, ὡς ἡ τῶν καλουμένων στοιχείων κίνησις. Ἢ κυκλικῶς, ὡς ἡ τῶν οὐρανίων σωμάτων περιφορή. Ἢ γοῦν μικτή, ὡς τῶν ὑπὸ τὴν σελήνην σωμάτων, καὶ ὅσ' ἄλλα τῶν ἐν γενέσει διαφόρους πέφυκε κινεῖσθαι κινήσεις. Θεωροῦνται δὲ πᾶσαι ἐπὶ τῆς Ποῦ κατηγορίας. Ὁρίζεται δὲ ἁπλῶς ἡ κίνησις ἐντελέχεια τοῦ δυνάμει ὄντος ᾗ τοιούτου.

Ἀντίθεσις τῆς Κινήσεως.

Τῇ δὲ Κινήσει ἀντίκειται μὲν ἁπλῶς πᾶσα, κατὰ λόγον στερήσεως, ἡ ἠρεμία. Ἐννοεῖται δὲ ἡ ἠρεμία, οὐχ ἡ στάσις τῶν κατὰ φύσιν ἠρεμούντων, ὡς ἡ τῆς γῆς στάσις περὶ τὸ μέσον, ἢ τοῦ πυρὸς ὑπὸ τὴν κοιλότητα τῆς σελληνιακῆς σφαίρας, ἀλλ' ἡ βίαιος ἠρέμησις, καθ' ἣν τὰ

βία-

βία· ἐχόμενα ἠρέμει, ὡς ἔτι γε πρὸν ἐπὶ τοῦ ἀέρος βιαίως ἐχόμενον, κωλύεται τῆς ἐπὶ τὸ μέσον φορᾶς· ἢ ἀὴρ ὑπὸ τὸ ὕδωρ κατεχόμενος. Ἡ οὖν τοιαύτη ἠρεμησις ἀντίκειται τῇ κινήσει, ὡς εἴρηται, ὡς ἡ στέρησις τῇ ἕξει. Ἑκάστη δὲ τῶν κινήσεων, ἰδίᾳ ἀντίκειται κινήσει, ὡς ἐναντία, οἷον τῇ μὲν ῥώσει ἡ φθορά, τῇ δὲ αὐξήσει ἡ μείωσις, τῇ ἀλλοιώσει, ἡ εἰς τὸ ἐναντίον ἀλλοίωσις. Οὕτω καὶ ἐπὶ τῶν κατὰ τόπον, ἡ ἄνω, τῇ κάτω, δηλαδὴ ἡ ἀπὸ τοῦ πέρατος ἐπὶ τὸ μέσον, καὶ ἀνάπαλιν. Τῇ δὲ κύκλῳ κινήσει, οὐκ ἔστιν ἐναντία κίνησις.

Ἀπορεῖ δὲ ὁ Συμπλίκιος ἐπὶ τοῦ παρόντος, τί μὴ καὶ ἐπὶ τῶν λοιπῶν κατηγοριῶν δίδοται κίνησις, ἵνα ᾖ δέκα τὰ γένη τῆς κινήσεως, ὥσπερ καὶ τοῦ ὄντος; καὶ γὰρ ἐπὶ πασῶν τῶν κατηγοριῶν πέφυκε γίνεσθαι μεταβολή, ἡ δὲ μεταβολὴ διὰ κίνησεως. Εἰσάγει καὶ μάρτυρα τὸν Φιλόσοφον „ ὃς ἐν τῷ Γ. τῶν Φυσικῶν συμπεραίνων φησί. διὸ καὶ κινήσεως καὶ „ μεταβολῆς τόσα εἴδη εἰσί, ὅσα καὶ τοῦ ὄντος. Μέμνηται δὲ καὶ Θεοφράστου ὁμοίως διδάσκοντος, ἐφ' ἑκάστης κατηγορίας κίνησιν εἶναι.

Ἀλλὰ περὶ τούτου πλήρέστερον ἐν τοῖς Φυσικοῖς, νυνὶ δὲ σωστόμως ῥητέον, ὅτι ἐπὶ τῶν λοιπῶν κατηγοριῶν παρὰ τὰς εἰρημένας τέτταρας οὐκ ἔστι κίνησις οὐδὲ μία καθ' αὑτὸ, ἀλλὰ δι' ἄλλο. οὔτε γεννῶνται, ἢ φθείρονται, τὰ ἐκείναις παττόμενα καθ' ἑαυτὰ, ἀλλὰ συμπαράγονται μὲν τῇ παραγωγῇ τῶν εἰρημένων τεττάρων, ὥσπερ καὶ φθείρονται ἑπομένως τῇ φθορᾷ ἐκείνων.

Περὶ τοῦ Ἔχειν.

Ἐπὶ τοῦ παρόντος μὲν ὁ Φιλόσοφος πλείω τίθησι σημασίας τοῦ Ἔχειν. ὀκτώπου χεδόν, ἢ ἐννέα. Ταύτας δὲ ἐν τῷ Δ. τῶν Μεταφυσικῶν εἰς τέτταρας ἀνακεφαλαιοῦται. Πρῶτον μὲν οὖν φησὶν Ἔχειν λέγεται τὸ ἄγειν κατὰ τινὰ ἑαυτοῦ φύσιν, ἢ ὁρμήν. ὃν ξόπον ὁ πυρετὸς λέγεται ἔχειν τὸν ἄνθρωπον, καὶ οἱ τύραννοι τὰς πόλεις. Ἕτερον δὲ ξόπον λέγεται ὡς τὸ δεκτικὸν τοῦ εἴδους, οἷον ὁ χαλκὸς τὸ εἶδος τοῦ ἀνδριάντος, καὶ τινὰ νόσον τὸ σῶμα, καὶ ἁπλῶς ὁποιουῶν εἶδος οὐσιῶδες, ἢ ἐπουσιῶδες. Τρίτον Ἔχειν λέγεται, ὡς τὸ περιέχον τὰ περιεχόμενα, ἢ τὸ ὅλον τὰ μέρη. Τέταρτον ὡς τὸ κωλύον τι κατὰ τινὰ αὐτοῦ ὁρμὴν κινεῖσθαι, ἢ πράττειν, οἷον οἱ λίονες τὰ ἐπικείμενα βάρη. Καίτοι γε ὁ τέταρτος οὗτος ξόπος συμπίπτει τῷ πρώτῳ.

Τοῖς τέτταρσι τύποις ξόποις, περιέχονται πᾶσαι αἱ ἐπτὰ θεῖσαι σημασίαι ἐπὶ τοῦ παρόντος. Ἡ μὲν γὰρ πρώτη καὶ δευτέρα περιέχονται ἐν τῷ δευτέρῳ ξόπῳ. Ἡ δὲ τρίτη καὶ τετάρτη ἀναφέρονται ἐπὶ τὸν ὁμώνυμον τοῦ Ἔχειν παπυρείαν. Ἡ δὲ πέμπτη καὶ ἕκτη ἐν τῷ τρίτῳ, ὡς ἡ ἑβδόμη ἐν τῷ πρώτῳ, εἶτ' οὖν τετάρτῳ. Ἡ δὲ ἑκάτη σημασία καθ' ἣν λέγεται ὁ ἀνὴρ γυναῖκα ἔχειν, καὶ ἡ γυνὴ ἄνδρα, ἀλλοτριώτατον ἐστὶ τῶν σημαινομένων τοῦ Ἔχειν. οὐδὲν γὰρ ἄλλο σημαίνει τὸ ἔχειν γυναῖκα, ἢ ὅτι συνοικεῖν.

Ἐκθεσις λῶν ἀντικειμένων.

Τῶν ἀντικειμένων, τὰ μὲν ἐναρέτων, ἢ κακίας ἐστὶν ἕξις· μεγάλη, ὡς ἡ ἀνδρεία, ἀνανδρία· ἢ σωφροσύνη ἀκολασία· μικρὰ δὲ ἀνδρεία, ἢ πᾶν θάρσος, ἡ πᾶν δεῖμα, ἢ ἀθερμία ἢ ἀψυχία, μικρὸν ἢ μέγαν, ἀνανδρία μὲν ὁ φοβούμενος· μικρὰ δὲ ἀνδρεία ἢ ἕξις τοιαύτη, ἢ τοιαύτη· ὡς φωνὴ ἀκόλαστος, νῦν ἢ ἡμέρα μῶσα ἢ ἀγνοια, μικρὰ δὲ ἀκολασία ἢ ἀσωφροσύνη, ἢ ἀνθρωπικὴ μεγάλη τὸ ἦθος, ἢ δεινὸν ἦθος ἀμαθίαν φρονεῖν, ὡς μεγάλην ἐχρῆν· ἦθος ἢ ἕξις ὡς ἔοικεν ἢ ἀρετή, καὶ ἐν ἀνθρώπῳ τὸ βλαπτόμενον ὡς ἴδιον ἢ ἀγαθὸν ἀνθρώπου, ἢ ἀ θαρραλέα ἀνδρεία ἀνθρώπου τῶν μῶν, ὡς δόξαν καὶ ἀμοιρον ἀνθρώπου.

ΕΙΣ ΤΟ ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ

Τοῦ Ἀριστοτέλους ὑπομνήματα.

Ἀποχρώντως ἐπὶ τοῦ προλαβόντος τῷ τοῦ ὄντος διαίρεσιν εἰς δέκα γενικώτατα γένη ἐκθέμενος, καὶ τῷ τάξιν τῶν κατηγορουμένων ἑφ' ἑκάστου παραδοὺς, καὶ οἱονεὶ πρώτην ὕλην πάσης ὑστερίνας τῆς πραγματείας, ἐντεῦθεν ἤδη διφυῶς μεταβαίνει εἰς τὸ κατασκευὴ τοῦ συλλογισμοῦ. Εἴθισαι δὲ ἑφ' ἑκάστου συγγράμματος τῶν κατὰ φιλοσοφίαν, τινὰς ζητήσεις προβάλλειν, ἃ καὶ προλεγόμενα λέγεται εἰς ῥαστέραν κατάληψιν τῶν ῥηθησομένων. Ἀλλὰ ταῦτα ὁ Φιλόσοφος διὰ τὸ ἐπὶ τοῦ πρώτου κεφαλαίου προθέμενος, ἀπήλλαξεν ἡμᾶς πάσης ἀντιλογίας. δείσει τοιγαροῦν ἡμῖν οὐδὲν ἄλλο, ἢ τὸ τοῦ Φιλοσόφου διασκέψασθαι λέξιν.

Κεφάλαιον πρῶτον.

„ Πρῶτον δεῖ θέσθαι τί Ὄνομα, καὶ τί Ῥῆμα. ἔπειτα τί ἐστὶ Κατά-
„ φασις, καὶ Ἀπόφασις, καὶ Ἀπόφανσις, καὶ Λόγος.

Ἐπὶ παντὸς ἔργου καὶ λόγου πρὸ τῶν ἄλλων πάντων ἐκεῖνο προειλῆφθαι χρεὼν, περὶ ὃ πᾶς ὁ λόγος, εἶτ' οὖν τὸ ἔργον μέλλει αὐύεσθαι, οἷόν ὄξιν ἐπὶ μὲν τῶν θεωρητικῶν ἕξεων τὸ λεγόμενον ἐπιστητὸν γένος, ἐπὶ δὲ τῶν τεχνῶν ὃ καλεῖται ὕλη, περὶ ᾧ ὁ τεχνίτης ἐργάζεται, καὶ ἐξ ἧς τὰ τεχνητὰ κατασκευάζει. ὃ δὴ καὶ ἐπ' ἀμφοῖν κοινότερον τοῖς νεωτέροις ὑποκείμενον ἤκουσεν. Ὅτου χάριν καὶ ὁ Φιλόσοφος διὰ τὸ ἐν

προοιμίοις ἐνταῦθα τὸ ὑποκείμενον ἡμῖν τῆς πραγματείας τίθησιν. Εἶτα τὸν τρόπον καθ' ὃν θεωρεῖται τὸ προτεθὲν διδάσκει. καὶ Τέλειον διαιρέσιν τινα τοῦ αὐτοῦ παραδίδωσιν. Οὕτω οὖν ἀπεικότως καὶ εἰς τέλεια διαιρεῖσθαι τὸ προτεθὲν κεφάλαιον ἕξεσι λέγειν. Τοιγαροῦν ἐπὶ μὲν τῶν πρώτου μέρους οὐχ ἁπλῶς, οὐδ' ἐπὶ μιᾶς φωνῆς προτίθεται τὸ ὑποκείμενον τῆς πραγματείας φαίνεται δοκιμάσας. ἀλλὰ δι' ἀπαριθμήσεως τῶν μερῶν τοῦ αὐτοῦ, καὶ εἰδῶν, ἀρξάμενος ἀπὸ τῶν ἁπλουστέρων καὶ μεμεικτέρων, καὶ προελθὼν μέχρι τοῦ κοινοῦ γένους τούτων, τυχὸν ἵνα διεξοδικώτερα τῇ ἐπιθέσει, τῷ τε προθέσιν ἀριδηλότερον σαφηνίσῃ τῆς πραγματείας, καὶ τῷ τάξιν τῶν ἐκείνου μερῶν συμπαρασήσῃ. Τὸ γὰρ ὑποκείμενον ἐνταῦθα, μιᾷ μὲν φωνῇ ὁλοκλερῶς εἰπεῖν ἐστὶν, ἡ Ἀπόφανσις, εἶτ' οὖν ὁ ἀποφαντικὸς λόγος. μέρη δὲ αὐτοῦ τό,τε Ὄνομα, καὶ τὸ Ῥῆμα. ἐκ τούτων γὰρ ὁ ἀποφαντικὸς σύγκειται λόγος. Εἴδη δὲ τούτου, ἥτε Κατάφασις, καὶ Ἀπόφασις. ἐξ ἴσου γὰρ αὗται τῷ Ἀπόφανσιν, ἤτοι τὸν ἀποφαντικὸν διαιροῦσι λόγον. Ὁ δὲ λόγος κοινότερον ἐννοούμενος, γένος ἐστὶ τοῦ ἀποφαντικοῦ λόγου.

Οὗτοίνυν Φιλόσοφος ἀρξάμενος, ὡς εἴρηται, ἀπὸ τῶν ἁπλουστέρων, Πρῶτον μὲν ἔθετο τί τό,τε Ὄνομα, καὶ τὸ Ῥῆμα ὡς ἁπλούστερα μέρη τοῦ ἀποφαντικοῦ λόγου. Δεύτερον ἔταξε τὰ εἴδη τοῦ αὐτοῦ, Ἀπόφασιν δηλαδὴ, καὶ Κατάφασιν, οἷς ἐπήνεγκε τῷ Ἀπόφανσιν, καὶ τελευταῖον τὸν Λόγον. Ταῦτα δὲ καίτοι πληθωτικῶς ἐξενηνεγμένα, σύζονται μέντοι πάντα τῷ ἀποφαντικῷ λόγῳ. περὶ ἃ πᾶσα ἡ διδασκαλία ἐνταῦθα. Εἴρηται δὲ, πρῶτον δεῖ θέσθαι τί ὄνομα, καὶ τὰ ἑξῆς, ἀντὶ τοῦ ὑποθέσθαι, ἵνα δηλώσῃ ὡς εἴρηται ὅτι τὸ περὶ οὗ ὁ λόγος, ἤτοι τὸ ὑποκείμενον, ὑποθετέον ἐστὶ πρὸ τῶν ἄλλων ἐγνωσμένον. ἔστι γὰρ τὸ κυριώτατον τῶν ἐν τῇ ἀποδεικτικῇ μεθόδῳ ἐγνωσμένων, ὃ ὑποτίθεσθαι πρὸ πάσης διδασκαλίας ὁ Φιλόσοφος παρεγγυᾶται.

„ Ἔστι μὲν οὖν τὰ ἐν τῇ (1) φωνῇ, τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμ-
„ βολα, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ, καὶ τὰ λοιπά.

Τῶν ὑποκειμένων ταῖς τέχναις, ἢ ἐπιστήμαις εἰς θεωρίαν πραγμάτων οὐχ οὕτως ἔπαγον ἰδία τινὶ ἀποκεκλήρωται τέχνη, ὡς μὴ θέμις εἶναι ἑτέρας τέχνης, ἢ ἐπιστήμης ὑποτίθεσθαι θεωρία. ἀλλ' ἐν καὶ τὸ αὐτὸ πρᾶγ-

(1) Τουτέστιν αἱ φωναί.

ὡραῖμα ἐπὶ πολλὰς ὑρεῖν ὄζιν ἀπῆκον ὀπτικήμας, ἢ τέχνας, οἷον τὰ ξύλα οὐ μόνον τέκτονι, ἀλλὰ καὶ ναυπηγῷ ὕλη γίνεται. Καὶ ἐπὶ τῆ θεωρητικῶν ὁ αὐτὸς ἄνθρωπος, τῆ μὲν φυσικῷ ἢ φύσιν ἔχων, τῆ δὲ μεταφυσικῷ, ἥπερ ὄζιν εἶδος τοῦ ὄντος θεωρεῖται. Ἰδιάζεται δὲ ἢ μιᾷ τινι αὐτιτρόφῳ ἕξει, τῆ ἄλλων ἀφοριζόμενον, ἐπὶ μὲν τῆ ὀπτικῶν τῷ ἰδιαιτικῷ τῆς θεωρίας ζόπῳ, ἐπὶ δὲ τῆ τεχνῶν κατὰ τὸ διάφορον τοῦ τέλους ἑκάτης, ὡς ἐπὶ τοῦ αὐτοῦ παραδείγματος. τὰ ξύλα θεωρούμενα μὲν ὅπως ἔχει ἐπιτηδείως εἰς κατασκευὴν ἀβακίου, ἢ κιβωτίου, τοῦ τέκτονος εἰσὶν ὕλη. εἰς δὲ κατασκευὴν νεὼς ἀναφερόμενα, τοῦ ναυπηγοῦ ἰδιαζόντως ὕλη γίνεται.

Ἀμέλειποι καὶ τὰ ἐκτεθέντα εἰς διάσκεψιν ἐνταῦθα, Ὄνομα, Ῥῆμα, καὶ τὰ ἑξῆς, οὐ μόνον ἐπὶ τῆς λογικῆς θεωρεῖται μεθόδου, ἀλλὰ καὶ εἰς γραμματικοὺς, καὶ ῥήτορας ἀνήκει. Διατοῦτο ὁ Φιλόσοφος ἵνα ἡμῖν τὸν ἰδιάζοντα ζόπον τῆς ἐπὶ τοῦ παρόντος αὐτῆ διαλήψεως διαξανώσῃ, καὶ τῆς τῆ γραμματικῶν, καὶ ῥητόρων αὐτιδιαστείλῃ σκέψεως, τέτταρα ταῦτα προχειρίζεται, ἀμηγέπως ἀνήκοντα εἰς τὴν ὕλην τῆς λογικῆς πραγματείας, Πράγματα δηλαδὴ, Νοήματα, Φωνὰς, καὶ Γράμματα. ὧν τὰ μὲν Πράγματα προϋπόκειται, οἷόν τις βάσις ἐχόντη τῆ λοιπῶν. ἐπιγίνεται δὲ τὰ Νοήματα, ἐπειδὰν διὰ τῆ αἰσθήσεων ἀναμαξάμενοι τὰ τῆ πραγμάτων ἐνδάλματα, ἢ γοῦν προϋποκείμενα ἐν τῇ φαντασίᾳ θεωρῶμεν, καὶ εἰσὶ τῆ πραγμάτων τὰ νοήματα, οἷον εἰκόνες τινὲς, καὶ ὁμοιώματα ἐν τῇ ψυχῇ. Τελίτω δὲ τάξιν ἐχήκασιν αἱ Φωναὶ, σημεῖα οὖσαι τῆ νοημάτων, καὶ σύμβολα, ὥσπερ καὶ τὰ γράμματα τῆ φωνῶν. Τέτων δὲ τὰ μὲν πράγματα, ἢ νοήματα φύσει εἰσὶν, ὡς παρὰ πᾶσιν ὄντα ταὐτὰ, τὰ δὲ λοιπὰ δύο αἱ φωναὶ, καὶ τὰ γράμματα, οὐκ ἔτι φύσει, ἀλλὰ θέσει μόνον, ἐκ τῆς ἡμετέρας ἐπινοίας τυγχάνουσι δημιουργήματα. οἱ γὰρ ἄνθρωποι συνελθόντες, συνέθεντο ὁποίαις ἄν τισι φωναῖς σημαίνειν νοῖεν πρὸς ἀλλήλους τὰ πράγματα, τίσι δὲ χαρακτῆρσι τὰς φωνὰς ἀποσημειῶσθαι, διὸ ἢ ἄλλοις μὲν Ἕλλωες, ἄλλοις δὲ Ἰταλοὶ κέχρηνται, ἢ ἄλλοι ἄλλοις. Ὅθεν οὐδὲ ἐφ' ἡμῖν ἐσὶ τὰ πράγματα, ἢ γοῦν τὰ νοήματα μεταποιήσασθαι, ἀλλὰ τοῖς αὐτοῖς ἐντυποῦνται φαντάσμασι, περὶ τῆ αὐτῆ πραγμάτων πάντες ἄνθρωποι. ὥς περ καὶ τὰ πράγματα παρὰ πᾶσιν εἰσὶ τὰ αὐτά. Τὰς δὲ φωνὰς, καὶ τὰ γράμματα, ἅπε δὴ τῆς ἡμετέρας ἐπινοίας ἐξηρτημένα κατὰ τὸ δοκοῦν, οἱ ἄνθρωποι μεταποιεῖν δυύανται. Ὅθεν εἰ καὶ πάντα ταῦτα σωζέχουσιν ἀμηγέπως ἐν λόγῳ

ὕλης,

ὕλης, εἰς τὰ τῆς λογικῆς ἀποτελέσματα. (πάντα γάρ εἰσι τὰ τῆς λογικῆς ἀποτελέσματα πραγμάτων νοουμένων δηλωτικά, διὰ φωνῶν προφερόμενα, καὶ γράμμασιν, οὕτω δὲ ἦσαν σημαινόμενα) κυριώτερον δὲ σωζέχει τὰ πράγματα, ἢ τὰ νοήματα, ὧν ἄνευ οὐκ ἂν γένοιτο συλλογισμός, ἢ ἀπόδειξις, ἢ ὧν ἐν τῇ ἀφομοιώσει τὸ ἀληθὲς ἀποτελεῖται, καὶ ψεῦδος, οὗ εἰς γνῶσιν τε καὶ διάκρισιν πᾶσα ἡ λογικὴ πεφιλοτέχνηται μέθοδος. Διακρίνεται δὲ παρὰ ταῦτα ἡ προκειμένη μέθοδος τῆς ὑπαρχουσῶν ἄλλων λογικῶν (1) ἕξεων διὰ τὸ οἰκεῖον τέλος. ὅτι πάντα τὰ εἰρημένα ἐπὶ τοσοῦτον ὑφίπτεται τῇ λογικῇ, ἐφ' ὅσον εἰς κατασκευὴν συλλογισμοῦ, ἀποδείξεως, ἢ τῶν τοιούτων συμβάλλεται. οὐχ οὕτω δὲ ἐπὶ ῥητορικῆς, ἢ γραμματικῆς, ἡ διάσκεψις τούτων γίνεται.

δεῖσαν,

λείποι, ἐκείνη οἰκεία δείξις.

Ἀπορία.

Ἐπόντος δὲ τοῦ Φιλοσόφου ἐν πεμπταίῳ κεφαλαίῳ τοῦ Θ. τῆς Μεταφυσικῶν, τὸ κατὰ συνθέσιν, ἢ διαίρεσιν ἀληθὲς ἐν τῇ διανοίᾳ εἶναι, πολλοὶ τῶν νεωτέρων ὑπέλαβον τῷ λογικῷ μέθοδον, περὶ τὸ κατ' ἐπίνοιαν ὂν καταγίνεσθαι. φασὶ γὰρ εἰ τὸ ἀληθὲς ἐν τῇ διανοίᾳ, & ἡ ἀφομοίωσις τῶν νοημάτων καὶ λόγων, καθ' ἣν τὸ ἀληθεύειν ἔχουσιν, ἔργον ἐστὶ τῆς διανοίας, & ταύτης ἐν τῷ εἶναι ἤρτηται, τὰ δὲ τοιαῦτα ὄντα διανοίας τυγχάνουσι δημιουργήματα, ἆρα.

Ἀλλ' ἀπαντητέον πρὸς ταῦτα, ὡς εἰ καὶ ἐν τῷ τῷ διάνοιαν ἀναιρεῖν, ἢ σωτηθῆναι τὰ νοήματα, τὸ ἀληθὲς, ἢ τὸ ψεῦδος ἐν αὐτοῖς ἕπεται, οὐ μὴν ἀλλὰ τοῦτο ἡ ἀφομοίωσις τῶν νοημάτων πρὸς τὰ πράγματα, καθ' ἣν τὸ ἀληθὲς σωίζεται, ἢ αὐτὸ τὸ ἀληθὲς ὄντα εἰσὶ κατ' ἐπίνοιαν. Οὐδεὶς γὰρ ἂν εἴποι τὰς τοῦ νοὸς, ἢ διανοίας ἐνεργείας, εἶναι κατ' ἐπίνοιαν ὄντα, ὅτι μὴ ὅσα κατὰ τὸ δοκοῦν σωτίθησιν, οὐδαμῶς ἐπὶ τῶν πραγμάτων ὑπάρχοντα; οὐδὲ τῷ πρὸς τὰ πράγματα ἀφομοίωσιν ἐπὶ τῶν νοημάτων, ὃν κατ' ἐπίνοιαν ἐνδέχεται λέγειν. Εἴσι γὰρ οὐδὲν ἄλλο ἡ ἀφομοίωσις, ἢ αὐτὰ τὰ νοήματα ὡδίπως ἔχοντα. Οὐδὲ τὰς τῶν ὄντων εἰκόνας, ὃν κατ' ἐπίνοιαν ἐνδέχεται λέγειν. Ἡ δὲ ἀφομοίωσις τῶν νοημάτων πρὸς τὰ πράγματα ἐν τοῖς νοήμασι θεωρουμένη, οὐδὲν ἄλλο ὅτι μὴ εἰκών ἐστὶ τῶν πραγμάτων. ἀλλ' οὐδὲ εἰ τῷ ἀφομοίωσιν ὡς φέσιν ἐκλάβῃς, ἔσαι κατ' ἐπίνοιαν ὄν. Θεωρουμένη γὰρ μεταξὺ νοημάτων τε καὶ πραγ-

(1) Λογικαὶ ἕξεις, ὡς λογικὴ, ῥητορικὴ, γραμματική.

πραγμάτων, ~~οὐκ ἔστιν~~, ὅτι μὴ πραγματικὴ χέσις ὁμοιότητος. Ἀλλ' οὐδὲ τὸ ἐν τῇ σωφέσει, ἢ διαιρέσει ἀληθὲς, τὸ κατὰ τὴν ἀφομοίωσιν τῆς νοημάτων πρὸς τὰ πράγματα τῆς ἡμετέρας διανοίας ἐν τῷ εἶναι ἤρτηται, ~~ὅτι~~ μὴ κατὰ πρόφασιν (1) φαίνεις, καὶ οὐδὲ τοῦτο τῆς ἐπινοίας ἀναπλαττούσης, ἀλλὰ τοῦ νοὸς ἐνεργοῦντος καὶ διακοσμοῦντος. μᾶλλον δὲ ἤρτηται τὸ ἀληθὲς πρώτως καὶ καθ' αὐτὸ τῆς πραγμάτων, ὡς ὁ Φιλόσοφος ἐν τῷ τέλει τοῦ περὶ Οὐσίας κεφαλαίου ~~παρηνίσατο~~ λέγων. παρηνίσατο

„ Τὸ ἀληθὲς ἐπὶ τοῦ λόγου ἐξ αὐτῆς προέρχεσθαι τῆς πραγμάτων.
„ ἐκ γὰρ τοῦ εἶναι, ἢ μὴ εἶναι τὸ πρᾶγμα, ὁ λόγος ἀληθὴς, ἢ ψευδὴς
„ λέγεται. καὶ ἐν τῷ περὶ Προτέρου κεφαλαίῳ, ὁμοίως ἔλεγεν. ἔστι δὲ
„ ὁ μὲν ἀληθὴς λόγος οὐδαμῶς αἴτιος τοῦ εἶναι τὸ πρᾶγμα, τὸ μέντοι
„ γε πρᾶγμα φαίνεταί πως αἴτιον, τοῦ ἀληθῆ τὸν λόγον εἶναι.

Μάλιστα δὲ εἴπερ ἰδίῳ λέγειν τινὶ λογικῷ καταγίνεσθαι περὶ τὸ κατ' ἐπίνοιαν ὄν, ὅτι τὸ τέλος αὐτῆς ἐστὶν ὄργανα παραδίδοναι τοῖς φιλοσοφοῦσι καθ' ὁμοιότητα τινὶ πρὸς τὰ πράγματα μάλιστα ἀπηκριβωμένα εἰς γνῶσιν τῆς ἀληθείας, τί μὴ καὶ ὁ Φιλόσοφος τοῦ κατ' ἐπίνοιαν ὄντος ῥηθήσεται θεωρητικός; οὗ τέλος οἰκεῖον ἐστὶν ἡ γνῶσις τῆς ἀληθείας. Ἀλλὰ περὶ τούτων ἡμῖν καὶ ἄλλοθι πλατύτερον εἴρηται. καὶ ταῦτα ὡς ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος παραινεῖ, ἑτέρας ἐστὶ θεωρίας. Ἐκεῖνο δὲ ἡμῖν πρὸ τῆς ἄλλων λεπτέον, ὅτι Ὀνόματα, καὶ Ῥήματα, καὶ τὰ ἐξ αὐτῆς συντιθέμενα, οὐ καθὸ εἰς σύνθεσιν τοῦ κατὰ σχηματικοὺς ὀρθοῦ λόγου

(1) Γ'ξέον ὅτι εἰ τῆς φαινομένης φυσικὰ φυσεχῶς αἴτια εἰσὶν ἐξ ὧν ἀποτελεῖται τὰ τοιαῦτα, λαβόντα τινὰ κίνησιν ἐκ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι, ὅμως ὑποτίνων ἐξυδρικῶς οὐκ ἀτενιζόντων εἰς τὰς ἀληθεῖς αἰτίας, αἱ ἐξωτερικαὶ κατὰ φρόφασιν μόνον σωθέουσαι εἰς ἐκπλήρωσιν τοῦ ἀποτελέσματος, οὐκ ὀρθῶς ἀληθεῖς αἰτίαι νομίζονται. ὡς παρὰ τοῖς ἰατροῖς τὰ πολλὰ τοῦ πάθους γενομένου ὑπὸ τῆς ἔνδον φλησμονῆς τῆς χυμῶν, ἐξωτερικαῖς τισιν αἰτίαις τινὶ ἀρχικῷ ἐκείνου, ἢ τινὶ τέχνῃ οὐκ εἰδότες ὑπονίμουσι φάσκοντες, οἷον ἐκ τῆς χθὲς κινήσεως πυρεταίνειν τὸν ἰασούμενον. οὕτω δὲ παρὰ τοῖς νεωτέροις οὐκ ὀλίγοις πάνυ λογισμομένοις, ὁ νοῦς ποιητικὸν αἴτιον τῆς ἀληθείας καὶ τοῦ ψεύδους νομίζεται, εἰ καὶ παῦται ἐκ τῆς φαινομένων τὸ εἶναι ἔχει. ἔστι γὰρ ὁ νοῦς οἷον κάτοπτρον ἐν ᾧ τὰ τῆς φαινομένων ἐνδάλματα, ὡς ἔχει ὑπὸ τῆς ἑτεροειδῶν διεσαλμένα, δὲ τοῖς ὁμογενέσι δὲ ὁμοειδέσι σωεζομένα φαινόμενα τῆς τε διαιρέσεως καὶ συνθέσεως τῆς ἐν τῷ νῷ αἴτια γίγνεται, δὲ τῆς ἀληθείας δὲ τοῦ ψεύδους, καθὸ τὰ νοήματα τοῖς ἐνδάλμασιν ἀφομοιοῦται καὶ ἀνομοιοῦται, ὃ καὶ ἐν τῇ λεκτικῇ συνθέσει ἐστί. φαμὲν γὰρ ψεῦδές τὸ ἔσοπτρον, ὃ ἄλλως ἀναφαίνει ἢ ὡς ἔχει τὸν ὁρῶντα. εἰδὲ ὁμοίως καὶ ἀπαραλάκτως ἐνδείκνυσι τὸν θεατὴν, ἀληθὲς ἔσοπτρον ἤκουσεν. ὡς γοῦν οὐκ ἔστι τὸ ἔσοπτρον τοῦ καλῶς ἢ κακῶς ἔχειν τὸν θεατὴν αἴτιον, οὕτω μηδ' ὁ νοῦς τῆς ἀληθείας ἔσαι ἢ τοῦ ψεύδους αἴτιος, ἀλλὰ κατὰ πρόφασιν.

γου τῇ θεωρίᾳ τῶν λογικευομένων ὑποπίπτει, ἀλλ' ἢ διὰ τῶν νοημάτων, γίνεται τῆς φύσεως τῶν ὄντων δηλωτικά.

„ Ἔστι δὲ ὥσπερ ἐν τῇ ψυχῇ, ὅτε μὲν νόημα ἄνευ τοῦ ἀληθεύειν ἢ ψεύδε-„ σθαι, καὶ τὰ λοιπά.

ΠΡοθέμενος τὸ ὑποκείμενον τῆς λογικῆς πραγματείας, καὶ τὸν σκοπὸν καθ' ὃν θεωρεῖται διορισάμενος, παραδίδωσιν ἐφεξῆς τὴν διαίρεσιν τῶν θεωρουμένων ἐπὶ τῆς προκειμένης βίβλου. Παραινεῖ δὲ πρὸ τῶν ἄλλων τὴν διαίρεσιν τῶν φωνῶν ἀπὸ τῆς διαιρέσεως τῶν νοημάτων θηρεύειν, οὐ μόνον δὲ, ἀλλὰ καὶ ἁπλότης, καὶ σύνθεσις, καὶ ὅσα ἄλλα περὶ φωνῶν λέγεται, κατὰ τὴν ἁπλότητα καὶ σύνθεσιν τῶν νοημάτων κείνεται. ὥσπερ καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος τὸ ἐν ταῖς φωναῖς ἀπὸ τοῦ ἀληθοῦς, καὶ τοῦ ψεύδους τοῦ ἐν τοῖς νοήμασιν. Ἐξ ὧν ἡμῖν παρατηρητέον, ὅπερ ὁ Φιλόσοφος καὶ ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ πρώτου περὶ ἀποδείξεως δηλώσει. καὶ Ἀμμώνιος ἐδίδαξεν ἐν τῇ πρὸ τῶν κατηγοριῶν θεωρίᾳ, ἐπὶ τῆς πρώτης διαιρέσεως, καὶ ἡμεῖς ἐν ἀρχῇ τῆς πραγματείας, ἐν οἷς περὶ τῆς ὕλης τῆς μεθόδου ἐξετάσομεθα. Τοῦτο δ' ἐστὶν ὅτι ἡ λογικὴ μέθοδος κυρίως καὶ πρώτως περὶ τὸν ἐννοηματικὸν καταγίνεται λόγον, οὗ σύνεσιν καὶ τὸν ἐν τῇ φωνῇ προσλαμβάνει, ὡς ἑρμηνευτικὸν ἐκείνου τοῦ ἐν τῇ νοΐ.

Τοιγαροῦν ὥσπερ τῶν νοημάτων, τὰ μὲν, ἁπλᾶ λέγεται, ὅσα μιᾶς τινὸς ἁπλῆς φύσεως ἐμφαντικά εἰσι. Τὰ δὲ μετὰ σύνθεσεως, ἢ διαιρέσεως θεωροῦνται, ἐν οἷς ἀνάγκη ἐστὶ θατέρῳ τούτων ὑπάρχειν τὸ ἀληθὲς, ἢ τὸ ψεῦδος. Οὕτω δὴ καὶ ἐπὶ τῶν φωνῶν ῥητέον, τὰς μὲν ἁπλᾶς λέγεσθαι, ὅσαι ἁπλῶν νοημάτων εἰσὶν ἐκφαντορικαί. τὰς δὲ μετὰ σύνθεσεως, ἢ διαιρέσεως, ἐν αἷς ἀνάγκη ἐστὶ τὸ ἀληθὲς, ἢ τὸ ψεῦδος ὑπάρχειν. Καὶ ἁπλαῖ μὲν εἰσὶ φωναὶ Ὄνομα καὶ Ῥῆμα. Σύνθετοι δὲ Κατάφασις, καὶ Ἀπόφασις. καλεῖ γὰρ τὴν μὲν Κατάφασιν ὁ Φιλόσοφος σύνθεσιν, ὅτι ἐν αὐτῇ συντίθεται τὸ σημαινόμενον τοῦ κατηγορουμένου, τῷ σημαινομένῳ τοῦ ὑποκειμένου. Διαίρεσιν δὲ ἐννοεῖ τὴν Ἀπόφασιν ἐν ᾗ διαιρεῖται τὸ σημαινόμενον τοῦ κατηγορουμένου, τοῦ σημαινομένου τοῦ ὑποκειμένου. Ὅτι δὲ ἡ ἐν ταῖς φωναῖς ἁπλότης, ἢ σύνθεσις, ἀπὸ τῆς ἁπλότητος ἢ συνθέσεως τῶν νοημάτων ἐστὶ λεπτέα, δῆλον. οὔτε γὰρ ἁπλῆν εἶναι φαμὲν φωνὴν, τὴν μὴ ἐκ διαφόρων συγκειμένην φωνῶν,

ἥτις

ἰδίᾳ ἐν τοῖς δηλουμένοις νοήμασι θεωρεῖται συνθεσις, ὥσπερ οὐδὲ συνθετον καλοῦμεν φωνὴν τὴν ἐκ πολλῶν συγκειμένην φωνῶν, οἷον τὸ δηλουμένου νοήματος ἁπλοῦ, οἷον ἡ ἱπποκένταυρος φωνὴ, συνθετος μὲν ἐστὶν ἐκ διαφόρων φωνῶν, λέγεται μέντοι ἁπλοῦν ὄνομα, ὡς ἁπλοῦ νοήματος ἐκφαντικόν. Ἀλλὰ καὶ οἱ ὁρισμοὶ τῶν πραγμάτων, ὡς τὸ ζῶον λογικὸν θνητὸν, καίτοι συγκείμενοι πλείοσι φωναῖς, ἁπλοῦ ὀνόματος χώραν ἔχουσι παρὰ τοῖς λογικιζομένοις, ὅτι πᾶσαι αἱ τοιαῦται φωναὶ μιᾶς ἁπλῆς φύσεως εἰσὶν ἑρμηνευτικαὶ, καὶ οὔτε ἀλήθειαν, οὔτε ψεῦδος σημαίνουσιν. Ὡσαύτως δὲ καὶ ἐξ ἐναντίας, φωνὴ ἁπλῆ οὖσα, ἔστιν ὅτε συνθεσιν ἔχειν λέγεται, ἰδίᾳ ἐν τοῖς δηλουμένοις νοήμασιν ὑπάρχει συνθεσις. ὡς ἡ ἐννοῶ φωνὴ, ἢ ἐννοεῖς, καίτοι ἁπλῆ οὖσα φωνὴ, συνθετος λέγεται, ἰδίᾳ σωνεισακούεται τὸ ἐγὼ, ἢ σύ. ἐμφαίνει γὰρ τὴνικαῦτα ἔννοιαν οὐσίας, μετὰ τῆς ἐνεργείας δηλαδὴ τῆς νοήσεως. Ἡνίκα δὲ ὁ Φιλόσοφος τὸ Ῥῆμα ἁπλοῦν εἶναι τίθησι φωνὴν, ἐννοεῖ τοῦτο ἄνευ τινὸς προσθήκης κειμένης, ἢ ἐξακουομένης. Διό φησι, τὰ μὲν ὀνόματα αὐτὰ καὶ τὰ ῥήματα, οὐδὲν, οὔτε ψεῦδος, οὔτε ἀληθὲς σημαίνει, ἂν μὴ τὸ εἶναι ἢ τὸ μὴ εἶναι (1) προστεθῇ. Βούλεται δὲ, διὰ τοῦ εἶναι, ἢ μὴ εἶναι, πάντα δηλῶσαι τὰ ῥήματα. ἕκαστον γὰρ τῶν ἄλλων ῥημάτων ἀναλύεται διὰ μετοχῆς εἰς τὸ ὑπαρκτικὸν ῥῆμα, ὡς ἐν τοῖς ἑξῆς αὐτὸς διδάξει ὁ Φιλόσοφος. Τὸ δὲ ἁπλῶς, ἢ κατὰ χρόνον εἶπεν, ἵνα μετὰ τοῦ ἐνεστῶτος, καὶ τὸν παρωχημένον καὶ μέλλοντα συμπεριλάβῃ, ἁπλῶς γὰρ ῥήματα ἐννοεῖ τὰ προσημαίνοντα χρόνον ἐνεστῶτα. κατὰ χρόνον δὲ, τὰ προσημαίνοντα παρωχημένον, ἢ μέλλοντα.

Ἐκ τῶν ἑρμηνευομένων πρόδηλον γίνεται, καὶ τὸ χρήσιμον, ἵνα μὴ τὸ ἀναγκαῖον ἔμπω τῆς προτεθείσης βίβλου. ὁ γὰρ ἀποφαντικὸς λόγος γένος ἐστὶ τοῦ συλλογισμοῦ. ἡ δὲ τοῦ γένους γνῶσις ἀναγκαίως προλαμβάνεται τῆς γνώσεως τῶν αὐτοῦ εἰδῶν. Ὁμοίως δὲ καὶ τὸ αἴτιον τῆς ἐπιγραφῆς ἐκ τῶν αὐτῶν γίνεται γνώριμον. ὁ γὰρ ἀποφαντικὸς λόγος ἑρμηνεία λέγεται, ὡς ἑρμηνευτικὸς τῶν κατὰ τὰς γνωσικὰς δυνάμεις παθημάτων τῆς ἡμετέρας ψυχῆς. διὸ οὐκ ἀπεικότως ἡ βίβλος ἐπιγράφεται περὶ Ἑρμηνείας. Τέσσαρα δ' αὖτις διλόγως ταύτῃ διέλῃ, εἰς τὸ προοίμιον, εἰς τοῦ εἰσαγωγὴν, ἥτις ἐν τῷ πρώτῳ περιέχεται κεφαλαίῳ. εἰς τὴν ἁπλῆν λεγομένην ἑρμηνείαν, οἷον ἐστὶ τὸ Ὄνομα, καὶ τὸ Ῥῆμα. καὶ εἰς τὸν αὐτὸν ἑρμηνευτικὸν λόγον. Τελευταῖον ὁ Φιλόσοφος τὰς ἐναντίας ἀπο-

QQ φά-

(1) Τουτέστιν ἀναμιπτῦ τούτων.

φάσεις ταῖς ἀντιφατικαῖς παραβάλλει, δεικνὺς ὁπότεραι τούτων μείζονος ἀντιθέσεως τυγχάνουσιν οὖσαι.

Περὶ Ὀνόματος.

Τὸ Ὄνομα μὲν ὥρισαι τῷ Φιλοσόφῳ, ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην, ἄνευ χρόνου, ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον. Καὶ τὸ μὲν φωνὴ σημαντικὴ κατὰ συνθήκην, ὡς γένος παρείληπται, ὁμοίως ἐφαρμόττον καὶ ῥήματι, καὶ λόγῳ. εἰσὶ γὰρ ταῦτα πάντα οὐ φύσει σημαντικά, ἀλλ' ὅταν σύμβολα γένηται κατὰ συνθήκην καὶ προαίρεσιν τῶν χρωμένων.

Τὸ δὲ ἄνευ χρόνου διαστέλλει τοῦ ῥήματος τὸ ὄνομα, μετὰ χρόνου γὰρ τὸ ῥῆμα δηλωτικόν. Τὰ δὲ ἑφεξῆς ἐν τῷ ὅρῳ κείμενα εἰς διαφορὰν εἴρηται τοῦ ὀνόματος πρὸς τὸν λόγον. οὐδενὸς γὰρ ὀνόματος μέρος χωρισθὲν ἐκείνου (εἰ καὶ λόγου μέρος διασώζει) γένοιτο ἂν σημαντικὸν καθ' αὑτό, καὶ τοῦτο δῆλον ἐν τοῖς ἁπλοῖς ὀνόμασιν. ἐν δὲ τοῖς συμπεπλεγμένοις δοκοῦσι πῶς τὰ μέρη χωρισθέντα, σημαντικὰ γίνεσθαι καθ' ἑαυτά, ὡς τοῦ νεάπολις, φέρε εἰπεῖν τὸ νέα καὶ πόλις, σημαντικὰ φαίνεται εἶναι, χωρὶς ἀλλήλων προφερόμενα, οὐ μέντοι ὡς μέρη δηλωτικὰ τοῦ αὐτοῦ πράγματος, ἀλλ' ὡς ὁλόκληρα ὀνόματα, καθ' ἑαυτὰ σημαντικὰ γίνεται, ἐκ τοῦ αὐτοῦ, οὗπερ καὶ συμπεπλεγμένα, ἀλλ' ἑκάτερον καθ' αὑτὸ διαφόρου ἐννοίας.

Τρία μέρη φαίνεται εἶναι τῆς ἐκτεθείσης ὑπογραφῆς τοῦ ὀνόματος. Πρῶτον ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην. Δεύτερον τὸ σημαίνειν ἄνευ χρόνου. Καὶ τρίτον ὅτι μηδὲν μέρος τοῦ ὀνόματος σημαντικὸν ἐστὶ κεχωρισμένον. Καὶ τὸ μὲν πρῶτον χώραν ἐπέχει γένους, ὡς εἴρηται. κοινὸν γὰρ πρὸς ἀμφότερα τό,τε Ῥῆμα δηλαδὴ, καὶ τὸ Ὄνομα.

Εἴρηται δὲ φωνὴ σημαντικὴ, πρὸς ἀντιδιαστολὴν τῶν μὴ σημαντικῶν ὀνομάτων καὶ φωνῶν, οἷά εἰσι τὸ λεγόμενον βλίτυρι, κνώξ, καὶ ὅσ' ἄλλα. Διὰ δὲ τοῦ κατὰ συνθήκην, διακρίνεται τῶν μὴ κατὰ συνθήκην σημαντικῶν φωνῶν, οἷόν ἐστιν ὑλακὴ κυνὸς, καὶ σκαμμὸς, καὶ καγχασμὸς ἐπ' ἀνθρώπου. ὧν ἡ μὲν σημαίνει παρουσίαν ζῴου, τὰ δὲ πάθος ἐν ψυχῇ, ἀλλ' οὐ κατὰ συνθήκην, ἀλλ' ἐξ ἰδιότητος φυσικῆς. Τῶν ὀνομάτων δὲ οὐδὲν σημαντικὸν ἐκ φύσεως γίνεται, ἀλλὰ τὸ σημαντικὰ εἶναι ἔχουσι κατὰ σύμβασιν, καὶ ὁμολογίαν τῶν ἐξ ἀρ-

χῆς

χῆς ὀνοματοθέτων. οἱ ἄνθρωποι γὰρ (1) συμβεβηκότες ἀλλήλοις, ταῖς δὲ μὲν ταῖς φωναῖς ταῦτα τῷ ὄντων ἐννοεῖν, ἐκείναις δὲ ἄλλα ἐνομοθέτησαν. Τὸ δὲ δεύτερον δὲ ὅπερ ἐστὶ τὸ σημαίνειν ἀεὶ χρόνου, διαφορὰν τοῦ Ὀνόματος πρὸς τὸ ῥῆμα ἀπεργάζεται. Τὸ δὲ τρίτον μέρος εὑρηται πρὸς ἀντιδιαστολὴν τοῦ Ὀνόματος πρὸς τὸν λόγον. Τὰ γὰρ μέρη τοῦ λόγου κεχωρισμένα γίνεται καθ' ἑαυτὰ σημαντικά. τὰ δὲ μέρη τοῦ Ὀνόματος οὐκ εἰσὶ κεχωρισμένα σημαντικά. Εἰ γὰρ τοῦ καλλιππος ὀνόματος, τὸ ἵππος μέρος ὂν, σημαντικὸν γίνεται κεχωρισμένον, ἀλλ' ὡς ὄνομα καθ' αὑτὸ, οὐχ' ὡς μέρος τοῦ καλλιππος. τὸ γὰρ ἵππος οὐδὲν σημαίνει τοῦ σημαινομένου τῷ καλλίππῳ, ἔχει δὲ λόγον ὁλόκληρον ὀνόματος.

Τίθησι δὲ ὁ Φιλόσοφος, τοῦ Ὀνόματος διαφορὰς τρεῖς. Τὸ μὲν γὰρ, ἀόριστον μόνον Ὄνομα λέγεσθαι βούλεται, Τὸ δὲ, Πτώσεις ὀνόματος. Καὶ παρὰ ταῦτα ὄνομα τὸ ὡρισμένως καὶ ὀρθῶς δηλωτικόν. Καὶ ἀόριστον μὲν ὄνομα καλεῖ οὗ προτεθὲν τὸ ἀρνητικὸν μόριον, δίδωσιν ἀορίστως πάντα τὰ ἄλλα σημαίνειν, πλὴν τοῦ οἰκείου αὐτῷ σημαινομένου, οἷον τὸ οὐκ ἄνθρωπος, σημαίνει πάντα τὰ παρὰ τὸν ἄνθρωπον διὰ τὴν προκειμένην ἄρνησιν, καὶ ὄντα καὶ μὴ ὄντα. Τὰ δὲ τοιαῦτα οὐκ ὀνόματα ἁπλῶς, ἀλλὰ μετὰ προθήκης ὀνόματα ἀόριστα καλεῖται.

Πτώσεις δὲ ὀνόματος ἤκουσαν τῷ Φιλοσόφῳ, ὅσα μὴ κατ' ὀρθὴν πτῶσιν ἐκφέρεται, οἷον φίλωνος, ἢ φίλωνι, καὶ ὅσα τοιαῦτα. Αἴτιον δὲ τῆς προσηγορίας φησὶ, τὸ μὴ ἀληθεύειν, ἢ ψεύδεσθαι, μετὰ τοῦ ἐστὶν, ἢ ἦν, ἢ ἔσται ῥήματος. Κυρίως δὲ Ὄνομα ἐστὶ τὸ κατ' ὀρθὴν πτῶσιν, καὶ ὡρισμένως δηλωτικόν. Ὁ μέντοι ἀποδοθεὶς τοῦ Ὀνόματος λόγος, πάσαις ἐφαρμόττειν δοκεῖ ταῖς ἐκτεθείσαις τοῦ Ὀνόματος διαφοραῖς. λέγεται δὲ παρὰ τῷ Φιλοσόφῳ Ὄνομα, οὐ μόνον τὸ κατὰ γραμματικοὺς, ἀλλὰ κοινότερον πᾶσα φωνὴ ὑποκειμένου χώραν ἐν προτάσεσιν ἀποπληροῦσα. Ἐπὶ τοῦ παρόντος δὲ αὐτῷ ὁ λόγος περὶ μόνου τοῦ κατ' ὀρθὴν πτῶσιν ἐκφερομένου Ὀνόματος. τὰ δὲ λοιπὰ ἀποκλείει.

(1) Η" συνειθότες.

Περὶ Ῥήματος.

Εἴρηται τῷ Φιλοσόφῳ περὶ Ὀνόματος, ἐχομένως δὲ καὶ περὶ Ῥήματος διαλαμβάνει. Προηγεῖται δὲ ταῦτα τοῦ λόγου, ὡς τὰ μέρη τοῦ ὅλου. προληπτέα γὰρ ἡ γνῶσις τῶν μερῶν, τῆς τοῦ ὅλου γνώσεως. Πρότερον δὲ περὶ Ὀνόματος διέλαβεν, ὅτι τὰ Ὀνόματα σημαίνουσιν ὑπάρξιν πραγμάτων, εἴπουν αὐτὰ τὰ πράγματα ὡς ὑπάρχοντα. Τὰ δὲ Ῥήματα τὰς κινήσεις καὶ πάθη τῶν αὐτῶν. Πρότερον δὲ ἐννοεῖται τὰ πράγματα, ὡς ὑπάρχοντα, ἢ ὡς κινούμενα, καὶ πάσχοντα.

(1) Φαίνεται δὲ καὶ τὸ Ῥῆμα οὐχ ἁπλῶς παρὰ τῷ Φιλοσόφῳ λεγόμενον. καὶ γὰρ (2) καθόλου, ἡ ἐν προτάσει κατηγορούμενον ποιοῦσα φωνὴ, Ῥῆμα παρ' αὐτῷ λέγεται, ὁποία ποτ' ἂν ᾖ. καθὸ καὶ τὰ ὀνόματα ἐφ' ὅτε τῆς τοῦ ῥήματος ἀξιοῦται προσηγορίας. Ἀλλὰ ταύτης τὸ, καὶ προσημαίνειν χρόνον, ἐπιγινόμενον συνέλλει, καὶ δεύτερον ἀποτελεῖ τοῦ ῥήματος σημαινόμενον, τὸν μετὰ χρόνου δηλαδὴ σημαντικὸν φωνὴν. Τεῖνον ἧς ἀυθις ἐστὶν ἐπ' ἔλαττον, ἡ πρὸς τοῖς εἰρημένοις καὶ τὸ σημαινόμενον ὡρισμένον ἔχουσα. Τέταρτον καὶ ταύτης ἡ καὶ τῷ χρόνῳ τῷ ἐνεστῶτι μόνῳ περιορίζουσα.

Τελαχῶς οὖν τοῦ Ῥήματος λεγομένου, κατὰ τὸ δεύτερον σημαινόμενον ἐπὶ τοῦ παρόντος μόνον ὁρίζεται λέγων, Ῥῆμα ἐστὶ τὸ προσημαῖνον χρόνον, οὗ μέρος οὐδὲν σημαίνει χωρὶς, καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον.

Τέ-

(1) Ἐπεξήγησις. ῥῆμα λέγεται παρὰ τοῖς λογικοῖς οὐ τὸ παρὰ γραμματικοῖς δεύτερον μέρος τοῦ λόγου, ἀλλ' ὁποίατις αὖ εἴη φωνὴ τὸ κατηγορούμενον ἐν ταῖς προτάσεσιν ἀποτελοῦσα. διὸ καὶ τὰ ὀνόματα, ἐπειδὰν κατηρεῖται, ῥήματα λέγεται εἰσποιούμενα τὸν μετὰ χρόνου σημασίαν τοῦ προτιθεμένου ὑποκειμένου ῥήματος. αὐτὰ δὲ τὰ ῥήματα, καὶ τῇ κλήσει καὶ τῷ κατηγορεῖσθαι τοιαῦτα λεγόμενα, καθ' αὑτὰ μετὰ χρόνου σημαίνουσι, καὶ τῆς φωνῆς ἐπ' ἔλατον εἰσὶ καθὸ καὶ τὰ ὀνόματα φωναὶ εἰσὶ, περιεχούσης τῆς φωνῆς τύπτε ὑποκείμενον καὶ τὸ κατηγορούμενον. κἀκεῖνο εἰδέναι δέον ὅτι τὰ ὡρισμένα τῶν ῥημάτων, κυρίως εἰσὶ ῥήματα, οὐ μὴν, ἀλλ' ὅσα τῷ ἐνεστῶτι χρόνῳ προφέρονται. τὰ γὰρ ἀόριστα οἷον ἐστὶ τὸ, οὐ περιπατῶν, καὶ οἱ περὶ χρόνου τῶν παρὰ λογικοῖς ῥημάτων ὀρθῶς ὑπολείπονται. ἐπεὶ γὰρ ὄργανον σημάνσεως ἡ λογικὴ, ἥτις περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα καταγινομένη, οὔτε περὶ τῶν ῥυσαύτων καὶ φθαρέντων, οὔτε περὶ τῶν ῥυπσομένων καὶ φθαρησομένων λόγους ποιοῦσα, χρῆται ταῖς προτάσεσιν, ἀλλὰ περὶ τῶν ἀφθάρτων καὶ ἐνεργικοτων τὰς ἀποδείξεις ἀπεργαζομένη τῶν ἐνεστώτων ῥημάτων τὸν χρῆσιν ἀπαιτεῖ. (2) Πρῶτον σημαινόμενον.

Τέτταρα εἰσὶ τὰ μέρη τῆς ἐκτεθείσης ὑπογραφῆς, ὧν τὸ πρῶτον ἐστὶν, ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην. οὐκ ἔστι τόπον ἐπέχει χρόνους, ὡς τῷ τε ὀνόματι κοινὸν ὄν, καὶ τῷ λόγῳ. Παρῆκε δὲ ὁ Φιλόσοφος τοῦτο ἐκὼν διὰ συντομίαν, ἔξωθεν συνυπακούεσθαι, ἐκ τῆς περὶ Ὀνόματος εἰρημένων. Δεύτερον μέρος ἐστὶν ὅτι προσημαίνει χρόνον, καθ' ὃ ἀντιδιατέλλεται τοῦ Ὀνόματος τὸ ῥῆμα. Δηλοῖ δὲ τὸ προσημαίνειν χρόνον, τὸ μετὰ τῆς σημαινομένης δηλαδὴ κινήσεως, ἢ πάθους, καὶ τὸν χρόνον συνεμφαίνειν, καθ' ὃν ἡ κίνησις καὶ τὸ πάθος. Εἰ γὰρ καίτινα τῆς ὀνομάτων χρόνον σημαίνειν δοκοῦσιν ὡς ἡμέρα, ἔτος, μῆνὶ, ἢ καὶ προσημαίνειν, ὡς δεῖπνος, ἄριστον, ἀλλ' οὐδὲν σημαίνει τὸ γινόμενον, καθόσον ἐν χρόνῳ γίνεται, ὥσπερ τὸ Ῥῆμα, περὶ ὧν εἰρήσεται ἐφεξῆς ἐν οἰκείοις τόποις. Τρίτον ὅτι τούτου μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον. ὅπερ κοινὸν ὂν καὶ τῷ ὀνόματι ἐν τῷ περὶ ἐκείνου λόγῳ, τῆς προσηκούσης τετύχηκεν ἐξηγήσεως. Τέταρτον μέρος ἐστὶν, ὅτι ἐστὶν ἀεὶ τῆς καθ' ἑτέρου λεγομένων σημεῖον. Βούλεται δὲ ὁ Φιλόσοφος διὰ τούτων δηλῶσαι. ὅτι τὸ Ῥῆμα ἀεὶ ἐν ταῖς ἀποφάνσεσι χώραν καταγορουμένου πληροῖ. ὧν δέποτε ἐν ὑποκειμένου λόγῳ ληφθείη τὸ ῥῆμα, οὐκ ἔστι ῥῆμα, ἀλλ' ὄνομα. Ὥσπερ δὲ ἐπὶ τοῦ ὀνόματος ἡ ἄρνησις προσλαβοῦσα τὸ οἰκεῖον ἐκείνου σημαινόμενον ἀναιροῦσα, κατὰ πάντων ὁμοίως ὄντων τε, καὶ μὴ ὄντων παρεσκεύαζε λέγεσθαι, ταὐτὸ τοῦτο καὶ πρὸ τοῦ ῥήματος τιθεμένη ἡ ἄρνησις ἀπεργάζεται, ἵνα μὴ ἀποφασιν ποιεῖ. ὅθεν καὶ τὸ τοιοῦτον ῥῆμα ἀόριστον ἤκουσεν, ὥσπερ καὶ τὸ ὄνομα. Ἀποποιεῖται δὲ ὁ Φιλόσοφος καὶ τὰ ἀόριστα λεγόμενα ῥήματα, ὥσπερ καὶ τὰ ὀνόματα τῆς ἐκτεθείσης τοῦ ῥήματος ὑπογραφῆς. προσέτιτε καὶ τὰς πτώσεις τούτου, μόνῳ δὲ τῷ ἐνεστῶτι, ἐν πλάτει δήπου ἐννοουμένῳ, ἀπονέμει τὰ πρεσβεῖα τοῦ ῥήματος, παρὰ τοὺς ἄλλους χρόνους. Οἱ δὲ πέριξ χρόνοι ὅ,τε παρωχημένος δηλαδὴ, καὶ ὁ μέλλων πτώσεις ἤκουσαν ῥήματος. Καὶ οὐχ ἁπλῶς ῥήματα, διὰ τὸ μὴ δ' ἁπλῶς, καὶ ἀληθείας καὶ ψεύδους σημαντικὰς ἀποτελεῖν τὰς ἐξ αὐτῆς συνιστημένας προτάσεις, ἀλλὰ καθ' ὅσον ἐπὶ τὸν ἐνεστῶτα ἀναφέρονται, ἐφ' ὃν δὴ καὶ ἀναφερόμενα, οὐδὲ τῆς τοῦ ῥήματος ἐκπίπτει προσηγορίας.

Ἀπο-

Ἀπορίαι περὶ τὰ εἰρημένα τῷ Ὀνόματι, καὶ τῷ Ῥήματι.

Χαίρουσι μάλιστα οἱ νεώτεροι τῇ δι' αὐτιθέσεως διδασκαλίᾳ, καὶ οὐδὲν ἀξιοῦσιν ἀποδέχεσθαι, ἄνευ αὐτιφατικῆς ἐρεύνης. Προχειρισέον δὲ καὶ ἡμῖν ὀλίγα ἅττα τῶν πολλῶν ὧν ἐκεῖνοι παρεισκυκλοῦσι, περὶ τοῦ Ὀνόματος καὶ Ῥήματος διαλεγόμενοι, καὶ πρῶτον περὶ Ὀνόματος.

Τελμηρὸς ἐστὶν ἡ τοῦ Ὀνόματος ὑποτροφή, ὡς εἴρηται ἀνωτέρω. τὸ μὲν γὰρ εἶναι φωνὴν σημαντικὴν κατὰ συνθήκην, προσεχὴς γένους ἔσχηκε χώραν, ᾧπερ δύο ἐπιλέγουσιν ὁ Φιλόσοφος διαφοράς, τό, τε ἄνευ χρόνου σημαίνειν, καὶ τῶν μερῶν μηδὲν εἶναι σημαντικὸν κεχωρισμένον. ἀλλὰ καὶ τὸ προληφθὲν, ὡς προσεχὲς γένος, οὐχ ἁπλοῦν τί ἐστι, σύγκειται γὰρ τεισὶ τούτοις, τῇ τε φωνῇ δηλαδὴ, καὶ τῷ σημαντικὴν εἶναι, καὶ παρὰ ταῦτα, τῷ κατὰ συνθήκην. Εἴληπται οὖν ἡ φωνὴ, ὡς γένος πορρώτατον τοῦ ὀνόματος, ᾗ προσεθὲν τὸ σημαντικὴν εἶναι, διέστειλε τῶν ἀσήμων φωνῶν, οἷαί εἰσι τῶν ἀλόγων ζώων πολλαί. Τὸ κατὰ συνθήκην δ' ἔτον προσληφθὲν, καὶ τῶν σημαντικῶν διεστέλλει φωνῶν, ὅσαι μὴ κατὰ συνθήκην εἰσὶ δηλωτικαί.

Ἐπιχειροῦσι τοιγαροῦν πρῶτον πρὸς ὁλόκληρον τὴν ὑποτροφὴν λόγῳ τοιῷδε. Ἡ ὑγιῶς ἔχουσα ὑποτροφὴ πᾶσι τοῖς ὑποτροφομένοις, εἴπουν ὁριζομένοις ἐφαρμόττει, ἀλλ' ἡ ἀποδοθεῖσα τῷ Φιλοσόφῳ τοῦ ὀνόματος ὑποτροφὴ οὐ πᾶσιν ἐφαρμόττει τοῖς ὁρισοῖς, ἄρα οὐκ ὑγιῶς ἀποδέδοται.

Δείκνυται ἡ ἐλάττων. Τὸ ὁριζόμενον ἐστὶ τὸ σῶμα, ὃ θεωρεῖται τειχῶς, ἐν ψυχῇ, ἐν φωνῇ, ἐν γράμμασιν, ἡ ἀποδοθεῖσα ὑποτροφὴ οὐ πᾶσι τούτοις ἐφαρμόττει, ἄρα οὐ πᾶσι τοῖς ὁρισοῖς.

Ἡ ἐλάττων προδήλος. οὐ γὰρ εἰσὶ φωναὶ τὸ ἐν ψυχῇ Ὄνομα, ἢ γεγραμμένον.

Ἡ ἀπάντησις πρὸς ταῦτα ἐστὶ πρόχειρος. ὁρίζεται γὰρ ἐνταῦθα τῷ Φιλοσόφῳ οὐ τὸ ἐν τῇ ψυχῇ Ὄνομα, εἴπουν νόημα, οὔτε τὸ ἐν γράμμασιν, ἀλλὰ τὸ ἐν τῇ φωνῇ μόνον.

Δεύτερον ἐπιχειροῦσι περὶ τῆς φωνῆς, ὅτι οὐχ ὑγιῶς εἴληπται τῷ Φιλοσόφῳ ὡς γένος. ἔστι γὰρ ἡ φωνὴ τοῦ ὀνόματος ὕλη, ἐξ ἧς καὶ τῷ κατ' αὐτὴν σχηματισμοῦ σωτίθεται τὸ ὄνομα, ἀλλὰ μὴν οὐδεμία ὕλη κατηγορεῖ-

χελιμιδὸν χρυσοῦν δύο λίτρων, ἀνδρικὸν ἢ σαυτῷ χρυσοῦν δύο λίτρων.»
ὁ συλλογισμός ἐστιν, ὅτι ὁ μὲν ἀνδρικὸς [illegible] ἄγαλμα ἢ στεφανὸς χαλκοῦς ἦν
αἱ σφ: χέλιμιδες ἐπιπλοῦν δύο, ἤτοι: ἢ ἐν μεδεῶν 378 ἀνιόντες: ἢ
δὲ ἐσοπλόμου.

ἐκ τῆς ἐμβολῆς:

» ἐν ἐμφύλιον δυνάμεως ἔρχεται, σημαίνει ἐστὶ φόνου. ἀγάλ-
ματι δὲ ἔνοπλον ἢ πλησιάζει ἀνδρὸς ἔνοπλον φονᾷ, σημαίνει δὲ
φόνου, ἐν ἐμφύλιον τῶν ἐμφυλίων δυνάμεως, ἀγάλματι δὲ ἐσοπλόμου
ἀμφοτέρων σημαίνει φονᾷ δύναται ἐν ἀνδρὶ ἐνοπλόμενον.

,, ἐνδέχεται μᾶλλον ἀνὸν ἀναγκαῖον. καθόλου ἀσφαλεῖ. οὐδὲ
χρὴ λέγειν μὴ ἀνάγκη ἀνὸν. μεσεῖ ἀσφαλεῖ. ,, τὸ δὲ καθόλου
σαφῶς ἐστιν ἀνὸν. ,, ὅτι δὲ τὸ καθόλου ἐστὶ ἀνὸν φανερὸν, ἐὰν σαφῶς λέ-
γηται ἐστιν ἀνὸν ἀγαθὸν. ἀγαθὸν μὲν πάντως, ἀλλ' ἀμφίβολον ἢ ἀλη-
θὲς ὄντως, μέρη ἐστὶ τοῦ σαφῶς, ὁ ὄντως ἢ ἐναντίως, ἀμφίβολον ἢ ἀλη-
θὲς ἐστι. ἀντιφατικῶς ἢ σαφῶς ἐστιν ἀνὸν σεσῳσμένου τὸ καθόλου
ἐστιν ἀνὸν. ,, ἢ ἀντικειμένως οὐκ ἢ σεσῳσμένον. ἢ δὲ, ἢ καθόλου ἀνα-
γκαῖος ἐναντίως ἢ τοῦ οὐκ ἢ καθόλου ἀσφαλεῖ. ,, ὑπεναντίως
ἀσφαλεῖ οὐ μόνον ἐνδέχεται πᾶσι σεσῳσμένοις ἢ σεσῳσμένου
μεσεῖ καθόλου ἀντιφατικῶς. οἷον, τὸ σαῦ ἀνὸν γράμμα, τὸ σαῦ
γράμμα ἀνοῦ, ἢ λίγραμμα ἀνοῦ. ἀλλὰ μὴν ἢ ἀναγκαῖος, σεσῳσμέ-
νου καθόλου καθόλου. οἷον, τὸ σαῦ ζῶον ἀνὸν, σαῦ ἀνοῦ ζῶον. ἀλλ' οὐκ
ἢ ἀδυνάτου, σεσῳσμένου καθόλου ἀσφαλεῖ. οἷον, τὸ σαῦ γένος σύλ-
λογος, τὸ δὲ σύλλογος γένος. ,, ἐνδέχεται γράμμα ἀνὸν ἀναγκαῖον,
οὐκ ἐνδέχεται ἢ σαῦ γράμμα ἀνοῦ ἀναγκαῖον. ἢ καθόλου ἀντιστρέφει, ἐνδέ-

γορεῖται ἀληθῶς καθόλου τοῦ ἐξ αὐτῆς σωθέτου, τὸ δὲ γένος κατηγορεῖται κατὰ τοῦ ὁρισοῦ, ἄρα οὐχ ὑγιῶς εἴληπται ὡς γένος ἡ φωνή.

Ἀπαντητέον πρὸς τοῦτο διαιρέσει χρωμένοις, ὅτι ἐπὶ μὲν τῆς οὐσιωδῶν οὐκ ἔξεσι τῇ ὕλῃ καθόλου κατηγορεῖν τοῦ σωθέτου, ἐφ' ὧν τὸ εἶδος οὐσιῶδες ἐσὶ, ἢ μᾶλλον οὐσία τοῦ σωθέτου, ἥπερ ἡ ὕλη. Τὸ δὲ καθόλου κατηγορούμενον τινὸς, λόγῳ γένους, ὡς ὁλοχερῆ δηλοῦν τῇ οὐσίαν ἐκείνου κατηγορεῖται, οἵα οὐκ ἔσιν ἡ ὕλη μόνη ἐπὶ τῆς κατ' οὐσίαν σωθέτων. Ἐπὶ μέντοι τῆς κατὰ συμβεβηκὸς σωθέτων, ἐφ' ὧν τὸ εἶδος οὐκ ἔσι τῆς οὐσίας τοῦ σωθέτου δηλωτικὸν, ἔξεσι τῇ ὕλῃ κατηγορεῖν τοῦ σωθέτου ὡς γένος. μάλισα, ὡς ἐν ἄλλοις, καὶ ἐν τῷ Z. τῆς Μεταφυσικῶν ὁ Φιλόσοφος διδάσκει, οὐκ ἔσιν ἄλλως ὁρίσαθαι τὰ κατὰ συμβεβηκὸς εἴδη, ὅτι μὴ τῇ προσθήκῃ τῆς ὕλης. Εἰδὴ ὕλη ἐσὶν ἡ φωνὴ τοῦ ὀνόματος, τὸ δὲ εἶδος ἐκείνῃ κατὰ συμβεβηκὸς ὑπάρχει τῇ φωνῇ, διὸ λόγως παρείληπται ἐν τῷ ὁρισικῷ λόγῳ τοῦ ὀνόματος ἡ φωνὴ, ἅτε δὴ ὕλη τυγχάνουσα τούτου.

Ἀντιλαμβάνονται δὲ τῆς ἀπαντήσεως ταύτης εἰκότως. ἡ γὰρ ὕλη φασὶν εἶπον τὸ ὑποκείμενον, παραλαμβανόμενον ἐν τῷ ὁρισικῷ λόγῳ τοῦ συμβεβηκότος, ὃ κατ' ὀρθὴν ἐκφέρεται πτῶσιν, ἀλλὰ πλαγίως, ὡς πᾳ τὴν σιμότητα ὁ Φιλόσοφος ὁρίζεται λέγων, ὅτι ἐσὶ κοιλότης ῥινὸς, ἢ ἐν ῥινί. Ἔδει οὖν καὶ ἐν τῷ ὁρισικῷ λόγῳ τοῦ ὀνόματος τὴν φωνὴν εἰλῆφθαι πλαγίως, ὡς λέγεσθαι εἶναι τοῦνομα χῆμα φωνῆς, ἀλλ' οὐ φωνή.

Ῥητέον πρὸς ταῦτα, ὅτι ἀμφοτέρως ἔξεσι λαβεῖν τὸ ὑποκείμενον καὶ τὴν ὕλην ἐν τῷ ὁρισικῷ λόγῳ τοῦ συμβεβηκότος, ὡς αὐτὴν δήπᾳ τὴν σιμότητα ὁρίζεται ὁ Φιλόσοφος πολλαχῇ, οὐ μόνον κοιλότης ῥινὸς, ἢ ἐν ῥινὶ λέγων εἶναι, ἀλλὰ καὶ ῥῖνα κοίλην. τὰ γὰρ συμβεβηκότα κατὰ ἀφαίρεσιν ὁριζόμενα τὸ ὑποκείμενον πλαγίως παραλαμβάνουσι. κατὰ τὸ συγκεκριμένον δὲ θεωρούμενα τὸ ὑποκείμενον ὀρθῶς ἐκφέρεται. ὡς ἐπὶ τοῦ ἐκτεθέντος παραδείγματος τῆς σιμότητος.

Ἐπεὶ τοιγαρτοῦ κἀνταῦθα ὁ Φιλόσοφος κατὰ τὸ συγκεκριμένον ἀπεδέδωκε τὸν τῆς ὀνόματος λόγον, εἰκότως κατ' ὀρθὴν πτῶσιν παρέλαβε τὴν ὕλην, ἥτις ἐσὶν ἡ φωνὴ σημαντικὴ κατὰ συνθήκην.

Εἰς ἀναπλήρωσιν τοῦ προσεχοῦς γένους τοῦ ὀνόματος, προσέθηκεν ὁ Ἀριστοτέλης τὸ σημαντικὴν εἶναι κατὰ συνθήκην τὴν φωνήν. Τούτου δὲ ἐπιλαμβάνονται λόγῳ τοιῷδε. Τὰ ὀνόματα φύσει εἰσὶ σημαντικὰ, ἄρα οὐχ ὑγιῶς εἴρηται τοῦνομα φωνὴν εἶναι κατὰ συνθήκην σημαντικήν.

Δεῖ-

Δείκνυται τὸ προβληθέν. Τὸ γὰρ ὄνομα καὶ αἱ λοιπαὶ κατὰ διάλεκτον φωναί, ὄργανά εἰσι τῆς ἐμφύτου ἡμῶν δυνάμεως λογικῆς. Ὅσα δὲ εἰσὶν ὄργανα ἐμφύτου δυνάμεως φύσει εἰσὶ τοιαῦτα, καὶ οὐ κατὰ συνθήκην καὶ τέχνην. ἆρα τὸ ὄνομα, καὶ αἱ λοιπαὶ πᾶσαι κατὰ διάλεκτον φωναὶ φύσει εἰσὶ τοιαῦται, δηλονότι σημαντικαὶ, καὶ οὐ κατὰ συνθήκην.

Πρόχειρον τὸ λεγόμενον θεωροῦντι, ἐπὶ πάσης ἐμφύτου δυνάμεως. ταῖς γὰρ αἰσθήσεσιν ἐμφύτοις οὔσαις, ἐκ φύσεως δέδοται τὰ αἰσθητήρια, οἷς ὡς ὀργάνοις κεχρημένας, ἐπὶ τῆς οἰκείας προβαίνουσιν ἐνεργείας, καὶ ἐπὶ τῆς ἄλλων ὁμοίως ἔχει. πᾶν ἄρα ὄργανον ἐμφύτου δυνάμεως, ἐκ φύσεως προσίζεται τοῖς κεκτημένοις τὴν δύναμιν.

Ἀπαντητέον πρὸς ταῦτα, ὅτι δέδοται μὲν τῷ ζώῳ ὡς ὄργανον ἡ φωνὴ, μᾶλλον δὲ αὐτὰ ταῦτα, οἷς ἡ φωνὴ προσίζεται, πνεύμων, ἀρτηρία, γλῶσσα, καὶ ὅσ' ἄλλα, ὁ δὲ τοιόσδε ἢ τοιόσδε σχηματισμὸς τῆς φωνῆς, καθ' ὃν αὐτὴ γίνεται σημαντικὴ κατὰ διάλεκτον, οὐκ ἔτι ἐστὶν ἀπὸ φύσεως, ἀλλὰ κατὰ συνθήκην, καὶ τέχνην. Καὶ τοῦτο πρόδηλον. πᾶσι γὰρ ὥσπερ ὁμοίως πρόσεστιν ἡ λογικὴ δύναμις, οὕτω καὶ τὸ ὁπωσοῦν φωνὴν προσίζεσθαι. Οἱ μὲντοι σχηματισμοὶ τῆς φωνῆς, καθ' οὓς ἐκεῖναι σημαντικαὶ γίνονται, οὐκ ἔτι εἰσὶν οἱ αὐτοὶ πᾶσιν ἀνθρώποις, ἀλλ' ἄλλοι ἄλλοις ἐπινενόηνται τοῖς ἔθνεσιν.

Δεύτερον ὑπεχεροῦτι πρὸς αὐτό. τὸ ὄνομα ἔστι φωνὴ, ἡ δὲ φωνὴ κατὰ φύσιν ὑπάρχει τοῖς ζώοις. τὸ ὄνομα ἄρα φύσει ὑπάρχει τοῖς ἀνθρώποις. ὁμοίως καὶ αἱ λοιπαὶ σημαντικαὶ φωναί. Σχηματιστέον δὲ οὕτω. τὸ ὄνομα τὸ εἶναι φωνὴν φύσει ἐστί. τὸ φύσει ὄν, κατὰ φύσιν ἐνεργεῖ· τὸ ὄνομα ἄρα κατὰ φύσιν ἐνεργεῖ. Ἐνέργεια δὲ ὀνόματος ἐστὶ τὸ σημαίνειν. ἄρα τὸ σημαίνειν τὰς φωνὰς κατὰ φύσιν ἐστίν.

Ἀπαντητέον πρὸς ταῦτα. ὅτι τὸ ὄνομα εἴρηται φωνὴ κατὰ τὴν ὕλην, ὕλη γὰρ τοῦ ὀνόματος ἐστὶν ἡ φωνή. Τὸ δὲ οἰκεῖον εἶδος οὐκ ἐν τῷ εἶναι φωνὴν ἔχει, ἀλλ' ἐν τῷ τοιῶσδε ἐσχηματίσθαι, εἰς σημασίαν τινὸς καὶ συνθήκην καὶ ὁμολογίαν τῶν κεχρημένων. λέγεται δὲ ὀνόματα καὶ εἰσὶ σημαντικά, οὐ διὰ τὴν ὕλην, ἀλλὰ διὰ τὸ εἶδος. τοῦτο δὲ κοινόν ἐστι πάσι τοῖς τεχνητοῖς. ἔστι γὰρ τῆς καθέδρας ἡ ὕλη φέρε εἰπεῖν ξύλον, ὅπερ ἐστὶ φύσει. Τὸ δὲ τοιῶσδε ἐσχηματίσθαι ὡς εἶναι εἰς καθισμὸν ὑπηδείαν, τὸ εἶδος ἐστὶ τῆς καθέδρας. ὅπερ οὐκ ἔτι ἐστὶν ἀπὸ φύσεως, ἀλλ' ἀπὸ τέχνης. Λέγεται δὲ καθέδρα, οὐ διὰ τὴν ὕλην, ἀλλὰ διὰ τὸ εἶδος, τὸ τοιόνδε δηλαδὴ σχῆμα τὸ ἐν τῇ ὕλῃ. Ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῆς ἄλλων τεχνητῶν, ὡς παντὶ που δῆλον.

Τῷ

Τῷ ἐμπικῶς προσφερομένῳ, κἀκεῖνο ἐστὶν εἰπεῖν. ὅτι τὸ προσῆκον ἑκάστου τῇ φύσει, κἀκείνῳ συμβατικὸν ὂν, φύσει ὑπάρχει. ὁ δὲ χηματισμὸς τῷ ὀνόματι οἰκεῖον ἐστὶ, καὶ συμβατικὸν ἐκείνου, ἄρα φύσει προσέστι τῷ ὀνόματι.

Ρητέον. ὅτι τὸ φύσει εἶναι, ἐνδέχεται διχῶς λέγεσθαι, ἢ τὸ ἐκ φύσεως παραγόμενον, ἢ τὸ γενόμενον συμβατικὸν τῆς οὐσίας τινός. Ἐνταῦθα ζητεῖται κατὰ τὸν πρῶτον τρόπον τῆς σημασίας τῶν ὀνομάτων, ὅπερ οὐ δίδοται. Κατὰ δὲ τὸν δεύτερον τρόπον, οὐδὲν κωλύει λέγεσθαι τὸν χηματισμὸν τῆς φωνῆς φύσει εἶναι τῷ ὀνόματι, ὡς συμβατικὸν ἐκείνου.

Περὶ τοῦ δευτέρου μέρους τῆς ὑπογραφῆς.

Δεύτερον μέρος τῆς ὑπογραφῆς τοῦ Ὀνόματος ἐστὶ, τὸ ἄνευ χρόνου, προσληφθὲν εἰς διαφορὰν τοῦ ῥήματος, ὅπερ ἐστὶ μετὰ χρόνου σημαντικόν. Ἠπόρηται τοῖς νεωτέροις περὶ τούτου, καὶ πολλὰ προχειρίζονται τῶν ὀνομάτων δοκοῦντα προσσημαίνειν χρόνον, περὶ ὧν ῥηθήσεται ἡμῖν, ἐν οἷς περὶ τῆς τοῦ ῥήματος ὑπογραφῆς.

Περὶ τοῦ ἀορίστου ὀνόματος.

Εἰς διάκρισιν τοῦ κυρίως ὀνόματος παρὰ τοῖς λογικωτέροις ἐλέγετο ἡμῖν μετὰ τοῦ Φιλοσόφου μηδενὸς ὡρισμένως σημαντικὸν εἶναι τὸ ἀόριστον ὄνομα. καὶ διὰ τοῦτο οὐδὲ τοῖς λογικωτέροις εὔχρηστον εἶναι. Πρὸς ὃ ἀπορροῦσι λόγῳ τοιῷδε. Τὸ οὐδείς, ὄνομά ἐστιν ἀόριστον, τοῦτο δὲ ὡρισμένως σημαίνει, οὐκ ὑγιῶς ἄρα εἴρηται μηδενὸς εἶναι σημαντικὸν τὸ ἀόριστον ὄνομα. ὅτι δὲ ὄντως ὄνομα, δείκνυται.

Πᾶσα φωνὴ σημαντικὴ κατὰ συνθήκην λαμβανομένη ἐν ταῖς προτάσεσιν, ἢ ὄνομά ἐστιν, ἢ ῥῆμα, ἢ λόγος. τὸ προληφθὲν ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην, καὶ οὔτε ῥῆμά ἐστιν, οὔτε λόγος. λείπεται ἄρα εἶναι ὄνομα. Ὅτι δὲ ὄντως ἀόριστον ὄνομα δῆλον. ἔχει μὲν γὰρ προκείμενον τὸ ἀρνητικὸν μόριον, ὃν τρόπον εἴρηται τὰ ὀνόματα εἰς ἀόριστον σημασίαν μεταπίπτειν. τὸ γὰρ εἰς ἀριθμητικὸν ὄνομα προσλαβὸν τὸ ἀρνητικὸν μόριον οὐ, πεποίηκε τὸ οὐδείς. Ὅτι δὲ τοῦτο ὡρισμένως ἐστὶ δηλωτικὸν, σωλόγεται ῥᾴδιον. τὸ γὰρ ὑποκειμένου χώραν ἐν προτάσεσιν ὡρισμένως δηλωτικαῖς ἐχούσης, ὄνομα πάντως ἐστὶν ὡρισμένως δηλωτικόν. τοιοῦτον ἐστὶ τὸ οὐδείς. ἐπὶ γὰρ τῆς λεγούσης ἀποφάσεως, οὐδεὶς ἄνθρω-

πος ἐστὶ λίθος, ὡρισμένως οὔσης δηλωτικῆς, τὸ οὐδεὶς ὑποκειμένου χώραν πληροῖ. ἄρα ὡρισμένως δηλωτικά, ἅπερ εἴρηται ἀόριστα ὀνόματα.

Ἀπάντησις.

Πρόχειρος πρὸς ταῦτα ἡ ἀπάντησις ~~ἐκ τῆς ἀνωτέρω εἰρημένων~~. τὸ γὰρ οὐδείς, ὥσπερ καὶ τὸ πᾶς, καὶ τὶς, καὶ οὐ πᾶς, προστέτι δὲ καὶ ἕτερος, καὶ ἄλλος, & ὅσα τοιαῦτα, παρὰ τοῖς λογικιζομένοις οὐκ εἰσὶν ὀνόματα, ἀλλὰ συγκατηγορήματα μόνον προσαγορεύονται. ἅπερ προκείμενα τοῖς ἀληθῶς ὀνόμασι, προσημαίνουσι μὲν, καὶ διορίζουσι τὴν ἐκείνων σημασίαν, καθ' ἑαυτὰ δὲ οὐδενός εἰσι σημαντικά. διὸ οὐδὲ κυρίως ὀνόματα εἰσὶ (1) παρ' ἐκείνοις. Τοὺς δὲ λέγοντας ὅτι τὸ οὐδεὶς ἐν ταῖς προτάσεσιν ὀνόματος χώραν ἀποπληροῖ, οὐκ ἀποδεκτέον. τοῖς δὲ ἐμπεδοῦσι τοῦτο διὰ τὸ προλαμβάνεσθαι ἐν ταῖς προτάσεσι, ῥητέον. ὅτι λαμβάνεται μὲν, ἀλλ' οὔτε ὡς ὄνομα, οὔτε ὡς ῥῆμα, ἀλλ' ὡς συγκατηγόρημα μόνον ὡς εἴρηται. Καὶ τοῦτο δῆλον, εἰ καθ' ἑαυτὸ ληφθείη ἐν τῇ προτάσει. τὸ γὰρ οὐδεὶς ἔχει, μὴ συνεξακουομένου τινὸς ὀνόματος, οὐδὲν ὡρισμένον σημαίνει. Λέγεται γὰρ οὐδεὶς κατὰ τῶν ὄντων τε, καὶ μὴ ὄντων. Καὶ ἐπὶ τῆς προχειριθείσης δὲ προτάσεως, τῆς οὐδεὶς ἄνθρωπος ἐστὶ λίθος, πρόδηλον τὸ ἐλάττωμα. οὐδὲ γὰρ καθ' ἑαυτὸ τὸ οὐδεὶς κεῖται, ἀλλὰ πρόκειται τῷ ἄνθρωπος ὀνόματι, καὶ διορίζει τούτου τὴν σημασίαν κατὰ παντὸς ἀνθρώπου ἀποφατικῶς. Ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῆς ἄλλων συγκατηγορημάτων.

Ἀλλ' ἐρεῖ τις, ὅτι καὶ καθ' ἑαυτὰ δύναται τὰ συγκατηγορήματα ὑποκειμένου χώραν ἐν προτάσεσιν ἔχειν, οἷον τὸ οὐδεὶς ἐστὶ προσδιορισμὸς ἀποφατικὸς, ἐπὶ ταύτης γὰρ τῆς ἀποφάσεως, τὸ οὐδεὶς καθ' ἑαυτό ἐστιν ὑποκείμενον.

Ῥητέον. ὅτι τοῦτον τὸν τρόπον λαμβανόμενα ἐν ταῖς προτάσεσι τὰ συγκατηγορήματα, οὐδετέρου χώραν ἔχουσιν, οὔτε ὀνόματος, οὔτε συγκατηγορήματος. οὐδενὸς γὰρ μόνοις σημαντικά, ἀλλ' αὐτὶ πραγμάτων κεῖνται, καὶ ἑτέρων δέονται ὀνομάτων εἰς δήλωσιν. Ὁ γὰρ εἰπὼν τὸ οὐδεὶς ἐστὶ συγκατηγόρημα, ἢ προσδιορισμὸς, δηλῶσαι βούλεται, ὅτι ἡ φωνὴ αὕτη τὸ οὐδεὶς, ἐστὶ συγκατηγόρημα, ἢ ὅπως ἄλλως φαίης. Τὸ δὲ ὄνομα ἀεὶ σημαντικόν ἐστιν ἑτέρου τινὸς, καὶ ὑποτίθεται αὐτὶ σημαινομένου τινὸς πράγματος.

Ἀπο-

(1) Τοῖς λογικιζομένοις.

Ἀποριαι.

Παρὰ ταῦτα εἴρηται περὶ τοῦ ἀορίστου ὀνόματος, μηδενὸς εἶναι σημαντικὸν ὡρισμένως, ἀλλὰ περὶ πάντων ὁμοίως ὄντων τε, καὶ μὴ ὄντων ὑποτίθεσθαι. Ὅτι δὲ τοῦτο οὐκ ἀληθὲς, δείκνυται. ἡ γὰρ φωνὴ αὕτη νοητὸν, ἀληθῶς ἐστὶν ὄνομα παρὰ τοῖς λογικοῖς καὶ ὡρισμένως, καὶ κυρίως ὄνομα. τοῦτο δὲ οὐδενὸς ἰδίᾳ ἐστὶ σημαντικὸν, ἀλλὰ περὶ πάντων ὁμοίως ὄντων τε, καὶ μὴ ὄντων ὑποτίθησιν. οὐχ ὑγιῶς ἄρα εἴρηται τοῦ ἀορίστου ὀνόματος τὸ ἴδιον εἶναι περὶ πάντων ὁμοίως ὑποτίθεσθαι ὄντων τε καὶ μὴ ὄντων, ἀλλ' εἰσὶ τινὲς ἐκείνοις ἀληθῶς καὶ κυρίως ὀνόματα οἷον τὸ ἀνάμαλον. μόνα ὀνόματα

Δείκνυται ἡ ἐλάττων. τῇ φωνῇ ταύτῃ νοητὸν ἀκηκοότες, εἰς ἔννοιαν ἐρχόμεθα πάντων τῶν ὁπωσοῦν νοηθῆναι δυναμένων. τοιαῦτα δέ εἰσι πάντα ὅσα τε ὄντα, καὶ μὴ ὄντα, ἡ φωνὴ ἄρα αὕτη νοητὸν, περὶ πάντων ὁμοίως ὑποτίθεται ὄντα τε καὶ μὴ ὄντα.

Ἀπαντητέον πρὸς ταῦτα. ὅτι ἡ φωνὴ αὕτη νοητὸν, ὥσπερ καὶ πᾶσα καθόλου σημαντικὴ φωνὴ, σημαίνει μὲν καὶ ὑποτίθησι περὶ πολλῶν, ἢ καὶ περὶ πάντων τῶν ὄντων, οὐ μέντοι ἅπερ εἰσὶ πολλὰ, καὶ ἀλλήλων διενηνοχότα, ἀλλὰ καθὸ ὑπὸ μίαν κοινὴν σημαίνεται φύσιν, οἷον τὸ ἄνθρωπος, ἢ τὸ ζῶον ὄνομα. Ταῦτα γὰρ οὐ δηλοῖ τὰς καθ' ἕκαστα τούτων διαφορὰς, ἀλλ' ἐφ' ὅσον ὑπὸ τὴν κοινὴν ἐνοῦται φύσιν, τὴν τοῦ ἀνθρώπου φέρε εἰπεῖν, ἢ τοῦ ζώου. καὶ εἰσὶν αἱ καθόλου σημαντικαὶ φωναὶ τῶν καθόλου φύσεων ὡρισμένως δηλωτικαὶ, ἐνδεικνύμεναι τὴν ἔννοιαν τούτων. ὥστε τὰ καθόλου ὀνόματα οὐκ εἰσὶ πολλῶν σημαντικὰ ἀορίστως, ἀλλὰ μιᾶς τινος φύσεως ὡρισμένως. Οὐχ οὕτω δὲ τὰ ἀόριστα σημαίνει ὀνόματα μίαν τινὰ κοινὴν φύσιν, ἀλλὰ πολλὰ, ἢ πολλά, καὶ ταῦτα συγκεχυμένως καὶ ἀορίστως.

Περὶ τῶν τοῦ ὀνόματος πτώσεων.

Εἴρηται τὰ ὀνόματα ἐν ταῖς πλαγίαις οὐχ ἁπλῶς ὀνόματα λέγεσθαι παρὰ τοῖς λογικοῖς, ἀλλὰ πτώσεις ὀνομάτων, διὰ τὸ μήτε ἀλήθειαν σημαίνειν, μήτε ψεῦδος μετὰ τοῦ ἐστὶν, ἢ ἦν, ἢ ἔσται ῥήματος.

Ἀποροῦσι πρὸς τοῦτο πρῶτον τῆς αὐτῆς ἐννοίας γίνονται δηλωτικὰ τὰ ὀνόματα ἐν ταῖς πλαγίαις πτώσεσιν, ἢ καὶ ταῖς ὀρθαῖς. εἰ ἄρα ὀρθῶς

καὶ πλαγίως ἐνφερόμενα τῆς αὐτῆς ἐννοίας γίνεται δηλωτικά, ὁμοίως εἰσὶ κυρίως ὀνόμασι. Τὸ ἡγούμενον οὐκ ἀμφισβητήσιμον. οὐ γὰρ ἀπόχρη ἡ κατὰ γραμματικοὺς διαφορὰ εἰς ἐναλλαγὴν τῆς σημαινομένης ἐννοίας διὰ τῶν ὀνομάτων.

Ἀπάντησις.

Ἀπαντητέον ἐστὶ διαιροῦσι τὸ ἡγούμενον. ὅτι σημαίνει τὴν αὐτὴν ἔννοιαν οὐσιωδῶς ἐν ταῖς πλαγίαις, καὶ ἐν ταῖς ὀρθαῖς πτώσεσι τὰ ὀνόματα, οὐ μὴν κ) κατὰ τὸν αὐτὸν τρόπον. Τοῖς λέγουσι δὲ ὡς οὐκ ἀπόχρη ἡ κατὰ γραμματικοὺς διαφορὰ εἰς ἐναλλαγὴν τῆς ἐννοίας, ῥητέον. Ὅτι οὐσιωδῶς μὲν τῆς ἐννοίας λαμβανομένης, οὐδεμία διαφορὰ γίνεται κατὰ τὴν σημασίαν, εἴτε ὀρθῶς, εἴτε πλαγίως ἐξενεχθείη τὰ ὀνόματα. ἡ γὰρ διαφορὰ τῶν πτώσεων οὐ μεταβάλλει τὴν σημασίαν τῶν ὀνομάτων, ἀλλὰ τὸν τρόπον τῆς σημασίας· ὁ δὲ διάφορος τρόπος τῆς σημασίας ἀπόχρη τοῖς ὀνόμασι πλαγίως ἐνφερομένοις ἐμποιῆσαι τὸ μήτε ἀληθείας, μήτε ψεύδους γίνεσθαι σημαντικά.

Ἀντιφέρουσι πρὸς ταῦτα, ὅτι καὶ ἐν ταῖς πλαγίαις πτώσεσι σημαίνουσιν, ὥσπερ καὶ ἐν ταῖς ὀρθαῖς. συμπλέκομεν γὰρ αἱ πλάγιαι πτώσεις τοῖς ἀπροσώποις ῥήμασιν, οἷον μέλει μοι τοῦδε, καὶ ὅσα τοιαῦτα, ὡρισμένως σημαίνουσιν ἀλήθειαν, ἢ ψεῦδος. ἆρα καὶ ἐν ταῖς πλαγίαις πτώσεσι σημαίνουσιν, ὥσπερ κ) ἐν ταῖς ὀρθαῖς.

Ἀπάντησις.

Ἔστι πρὸς ταῦτα Πρῶτον εἰπεῖν, ὅτι αἱ πλάγιαι πτώσεις, εἰ κ) δοίημεν ταύτας μετὰ τῶν ἀπροσώπων ῥημάτων ἀλήθειαν, ἢ ψεῦδος (1) σημαίνειν, ἀλλὰ μετὰ τοῦ ὑπαρκτικοῦ ῥήματος ἐφ' ὃ πάντα τὰ ῥήματα ἀναλύεται, οὐδεμίαν ἀλήθειαν, ἢ ψεῦδος σημαίνουσι. Δεύτερον τυχὸν, καὶ δυσφυέστερον πρὸς τὸ αὐτὸ ῥητέον, ὅτι καὶ ἐν τοῖς ἀπροσώποις ῥήμασι συμπεπλεγμέναι αἱ πλάγιαι πτώσεις, οὐδεμίαν ἀλήθειαν, ἢ ψεῦδος σημαίνουσι καθ' ἑαυτὰς, ὅτι μὴ τῇ δυνάμει τῆς ὀρθῆς πτώσεως, ἥτις δυνάμει αὐταῖς ἐμπεριέχεται. τὸ γὰρ μέλειμοι τοῦδε ταὐτὸ σημαίνει, ὡς εἴτις ἔλεγε μέλησις ἐστὶν ἐμοὶ τοῦδε. Ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῶν ἄλλων ἀπροσώπων ῥημάτων.

Ἀπο-

(1) Ὡς τὸ Φίλωνος ἐστί.

Ἀποριαι περὶ τὴν ὑπογραφὴν τοῦ Ῥήματος.

Εἰς πληρεστέραν κατάληψιν τῆς ἐρημενῶν περὶ τῆς ὑπογραφῆς τοῦ Ῥήματος προχειρισέον τινὰ, ὧν δύναται περὶ αὐτὴν οἱ νεώτεροι. τέτταρα δὲ ἐστὶ τὰ μέρη ταύτης. ὧν πρῶτον ἐστὶ τὸ φωνὴν εἶναι σημαντικὴν κατὰ συνθήκην. ὅπερ κοινὸν ὂν ὡς προσεχὲς γένος ἔχει τῷ ὀνόματι, ἐξέτασαι δύναται ἐν τοῖς περὶ ὀνόματος. Περὶ δὲ τῶν λοιπῶν ἑφεξῆς θεωρητέον. ἀλλὰ πρὸ τούτων διοριστέον περὶ τῆς ἀορισίας τοῦ Ῥήματος.

Ὅπως γίνεται τὸ Ῥῆμα ἀόριστον.

Λέγεται δὲ καὶ τὸ Ῥῆμα εἰς ἀόριστον μεταπίπτειν σημασίαν, ὃν τρόπον καὶ τὰ ὀνόματα προκειμένης αὐτῷ τῆς ἀρνήσεως. ἀλλ' ἐπὶ τῶν ῥημάτων ἐκ δύναται ἡ ἄρνησις ὁπωσοῦν προκειμένη ἀορισίαν ἐμποιῆσαι. ποιεῖ γὰρ ὡς τὰ πολλὰ οὕτω κειμένη πρότασιν ἀποφατικὴν, ἀλλ' οὐκ ἀεὶ ἀόριστον ῥῆμα ᾧ πρόκειται. Ἀλλ' ὁπλοϊκὰ ἀναλυομένου τοῦ Ῥήματος διὰ τοῦ ὑπαρκτικοῦ, ἡ ἄρνησις προτίθεται τῇ ἐξ αὐτοῦ μετοχῇ, οἷον ἐστὶ μὴ ἔχων, ἐστὶ μὴ γράφων. Τοιαῦτα γὰρ οὐδὲν ὡρισμένως σημαίνει. ὅτε γὰρ λίθος, φέρ' εἰπεῖν, ἐστὶ μὴ ἔχων, καὶ τὸ φυτὸν, καὶ ἡμεῖς νῦν, καὶ μυρία ἄλλα.

Τῆς δὲ ἀρνήσεως προτιθεμένης τῷ ῥήματι τῷ ὑπαρκτικῷ, ἐπὶ τῆς τοιαύτης ἀναλύσεως οἷον οὐκ ἔστι γράφων, ἀποφατικὴν ἔπω ποιεῖ τὴν πρότασιν, καὶ τὸ ῥῆμα ὑποκασκόμενον μὲν, οὐκ ἀόριστον δέ.

Ἀπορία.

Ἀπορεῖται πρὸς ταῦτα λόγῳ τοιῷδε. τὸ Ῥήματος χώραν ἔχον ἐν προτάσει ὡρισμένως σημαινούσῃ, ὡρισμένον ἐστὶν, ἀλλὰ μὴν ἐπὶ τῆς ἐκτεθείσης προτάσεως τοιοῦτον ἐστὶ τὸ μὴ ἔχον, ἄρα.

Δείκνυται ὅτι ἡ ἐκτεθεῖσα πρότασις ὡρισμένως ἐστὶ σημαντική. λέγοντες γὰρ ὁ λίθος ἐστὶ μὴ ἔχων, σημαίνομεν τὸν λίθον μὴ ἔχοντα. Τοῦτο δὲ ὡρισμένον τί ἐστιν. ἄρα καὶ τὸ ἐπέχον Ῥήματος χώραν ἐπ' αὐτῆς ὡρισμένον ἐστίν.

Ἀπαν-

Ἀπάντησις.

Ἀπαντῶσι δὲ, ἀναιρετέα ἐστὶν ἡ ἐλάττων πρότασις τοῦ ἐπιχειρήματος· διὰ γὰρ τῆς λεγούσης ὁ λίθος ἐστὶ μὴ ἔχων, οὐδὲν σημαίνεται ὡρισμένως, οὐ γὰρ ἀναιρεῖται τοῦ λίθου ἡ ἐνέργεια τῷ ἔχειν. οὐ γὰρ ἀποφατικὴ ἡ οὕτω προχειρισθεῖσα πρότασις, ἀλλὰ καταφατικὴ, ἅμα κατηγοροῦσα τῷ λίθῳ συγκεχυμένως καὶ ἀορίστως, τὸ ὅτι ἐστὶ μὴ ἔχων.

Περὶ τῶν πτώσεων τοῦ Ῥήματος.

Ὁμοίως ἐλέγετο τὸ Ῥῆμα κυρίως περιορίζειν τὸν χρόνον τῷ ἐνεστῶτι, τοὺς δὲ παρὰ τὸν ἐνεστῶτα χρόνους πτώσεις λέγεσθαι ῥήματος, καὶ οὐχ ἁπλῶς ῥήματα. Τὸ δὲ αἴτιον ἐδηλοῦτο διὰ τὸ τὸν ἐνεστῶτα χρόνον σημαίνειν καθ' ἑαυτὸν ἀλήθειαν ἢ ψεῦδος ἐπὶ τῆς ἀποφάσεων. Τοὺς δὲ λοιποὺς οὐκ ἄλλως, ἢ ἀναφερομένους ἐπὶ τὸν ἐνεστῶτα.

Ἀπορία.

Ἐπιχειροῦσι πρὸς τοῦτο λέγοντες, πρῶτον ὅτι αἱ πτῶσεις οὗται. ὁ Ἀδὰμ ὑπῆρξεν, ἢ ὁ ἀντίχειστος ἔσται, εἰσὶ χρόνου παρῳχημένου καὶ μέλλοντος, οὓς καλεῖ πτώσεις ῥήματος. ἀλλὰ μὴν οὗται σημαίνουσιν ἀλήθειαν ὡρισμένην καὶ ἀμετάπτωτον. εἰσὶ γὰρ τῆς θεοπνεύστου Γραφῆς μὴ οὐκ ἔστι σφάλεσθαί ποτε. αἱ πτώσεις ἄρα τοῦ ῥήματος σημαίνουσιν ἀλήθειαν, ὥς περ καὶ τὸ κατὰ τὸν ἐνεστῶτα Ῥῆμα.

Ἀπάντησις.

Ῥητέον πρὸς ταῦτα ὅτι σημαίνουσιν ἀλήθειαν, ἀλλ' οὐ καθ' ἑαυτὰ, οὐδ' ἧ πτώσεις εἰσὶ ῥήματος, ἀλλ' ἐφ' ὅσον ἐπὶ τὸν ἐνεστῶτα ἀναφερόμεναι τὴν ὡρισμένην ἀλήθειαν ἐμφαίνουσι. οὐ γὰρ μὴν ἀληθὲς εἰπεῖν ὅτι Ἀδὰμ ὑπῆρξεν, εἰμὴ μὴν ποτε ἀληθὲς εἰπεῖν, ὅτι ἐστὶν ὁ Ἀδὰμ. οὐδὲ ἔστιν ἀληθὲς ὅτι ὁ ἀντίχειστος ἔσται, εἰμὴ μέλλει ποτὲ ἀληθεύειν ὅτι ὁ ἀντίχειστος ἐστίν.

Τὸ

Τὸ προσημαῖνον χρόνον.

Οὕτω δὲ κειμένης τῆς ἐννοίας τῆς ἀορίστων καὶ πτωτικῶν ῥημάτων, ἐπὶ τὴν θεωρίαν ἤδη μεταβατέον τῆς μερῶν τῆς ἐπιγραφῆς τοῦ Ῥήματος. ἰῶ δὲ μετὰ τὸ κοινὸν τῆς ὑπογραφῆς τὸ ῥήματος μέρος, τὸ προσημαῖνον χρόνον, εἰς διαφορὰν προβληθὲν τοῦ ὀνόματος. οὗ εἰς κατάληψιν, συμβάλλεται πρῶτον λαβεῖν, ὅτι ἄλλο ἐστὶ σημαίνειν χρόνον, καὶ προσημαίνειν ἁπλῶς χρόνον. Σημαίνειν μὲν χρόνον ἐστὶν, ὧν ὁ χρόνος αὐτὸς ἐστὶ τὸ σημαινόμενον καθ' ἑαυτὸ ὡς πρᾶγμα. οἷον ἐστὶν αὐτὸ τοῦτο τὸ τοῦ χρόνου ὄνομα, καὶ ὅσα σημαντικὰ τῆς διαφορᾶς καὶ μερῶν τοῦ χρόνου, οἷον ἔτος, μὴν, ἡμέρα, καὶ τὰ τοιαῦτα. Καὶ τὸ προσημαίνειν τε χρόνον οὐχ ἁπλῶς ἐννοεῖται. ἔστι γὰρ ἃ προσημαίνει χρόνον οὐκ ἐν κινήσει, ὡς δεῖπνον, ἄριστον, καὶ πολλὰ ἄλλα. ἅπερ σημαίνει μὲν προηγουμένως τὴν ἐνέργειαν, προσημαίνοντα ἅμα καὶ τὸν χρόνον, καθ' ὃν εἴωθε γίγνεσθαι, οὐ προσημαίνει δὲ τοῦτον ὡς ἐν διεξόδῳ καὶ ῥέοντα, ἀλλ' ὅτι τὰ προηγουμένως αὐτοῖς σημαινόμενα κατά τινα χρόνον γίγνεσθαι μόνον δηλοῖ. Ἄλλον ξόπον ἐννοεῖται τὸ προσημαίνειν χρόνον, λύπη ὁ χρόνος ἐν κινήσει προσημαίνεται καὶ ῥοῇ, καὶ αὕτη ἐστὶν ἰδιάζουσα σημασία τοῖς Ῥήμασι. Σημαίνει μὲν γὰρ ἅπαν Ῥῆμα προηγουμένως ἐνέργειά τινα, ἢ πάθος, ἢ τι τοιοῦτον ἕτερον, ἅμα δὲ προσημαίνει καὶ τὸν χρόνον, καθ' ὃν ταῦτα γίνονται, ὡς κινούμενον, καὶ ῥέοντα. σημαίνει γὰρ τὴν ἐνέργειαν, ἢ τὸ πάθος, ὡς γινόμενον, καὶ ἐν διεξόδῳ ὄν.

Ἀπορία.

Ἀποροῦσι περὶ τὸ προτεθὲν τῆς ὑπογραφῆς μέρος. καὶ πρῶτον οὐ πᾶν Ῥῆμα ἐστὶ προσημαῖνον χρόνον· τὸ γὰρ ἥρεμῶ, καὶ εἰμὶ, ὁμοίως καὶ τὸ κάθημαι, καὶ κεῖμαι, καὶ ἄλλα ῥήματα, ὅτι, οὐ προσημαίνουσι χρόνον. οὐ πᾶν ἄρα ῥῆμα προσημαίνει χρόνον. Δείκνυται τὸ ἡγούμενον. τὰ γὰρ ἐκτεθέντα ῥήματα, οὔτε ἐνέργειαν σημαίνει, οὔτε πάθος. Τὰ δὲ μὴ σημαίνοντα ἐνέργειαν, ἢ πάθος, οὔτε κίνησιν σημαίνει, καὶ ἀκολούθως οὐδὲ χρόνον. ὁ γὰρ χρόνος μέρος κινήσεως ὤν, οὐκ ἄνευ κινήσεως ὑπάρχει.

Ἄπαν-

Ἀπάντησις.

Ἀπαντητέον ὅτι τὰ ἐκτεθέντα ῥήματα καὶ ὅσα ἄλλα, παραπλησίως τυγχάνει σημαντικὰ, καίτοι μὴ σημαίνοντα ἐνέργειαν κυρίως, ἢ πάθος, τὸ σημαινόμενον μέντοι κατὰ βάσιν ἐνεργείας, ἢ πάθους δηλοῖ. Τὸ γὰρ ἥρεμῶ ῥῆμα τῷ ἠρέμησιν αὐτῷ σημαίνει, ὡς ἐν χρόνῳ γινομένῳ, καὶ οἱόν τινα ἐνέργειαν μεβουμένῳ χρόνῳ. ἡ γὰρ παράτασις τῆς ἠρεμήσεως ἐν χρόνῳ δήπου ἐστίν. Ὁμοίως δὲ τὸ κάθημαι, καὶ κεῖμαι, τῷ κάθησιν, καὶ θέσιν ὡς παρατεινομένῳ σημαίνουσι, καὶ οἱόν τινα ἐνέργειαν χρόνῳ μεβουμένῳ. Ἀλλὰ καὶ τὸ ὑπαρκτικὸν ῥῆμα εἰ καὶ μὴ ἐνέργειαν σημαίνει, ἀλλὰ τῷ ὕπαρξιν μετὰ διαμονῆς τινός, καὶ παραπάσεως δηλοῖ, ἥτις ἐν χρόνῳ ἐστὶ, καὶ μεβεῖται χρόνῳ.

Ἀπορεῖται δεύτερον περὶ τοῦ αὐτὸ ὅτι καὶ τῶν ὀνομάτων εἰσὶν, ἃ προσημαίνει χρόνον, ὃν βάσιν καὶ τὰ ῥήματα. προσημαίνειν γὰρ χρόνον τὰ ῥήματα εἴρηται, ὅτι τὸ σημαινόμενον αὐτοῖς, ὡς ἐν γενέσει καὶ ῥοῇ δηλοῖ. ἀλλὰ μὴν ὡσαύτως εἰσὶ σημαντικὰ καὶ τὰ ὀνόματα πᾶσα, ῥοῦς, κίνησις, καὶ ὅσ' ἄλλα. ἡ γὰρ κίνησις τῷ ῥοῇ αὐτῷ σημαίνει ὡς γινόμενόν τι καὶ ἐν χρόνῳ παρατεινόμενον. οὐκ ἄρα μόνον τὰ ῥήματα προσημαίνει χρόνον, ὃν βάσιν εἴρηται.

Ἀπάντησις.

Πρὸς ταῦτα ῥητέον, ὅτι ἡ κίνησις σημαίνει μὲν τῷ ῥοῇ ὡς πραγμάτι καθ' ἑαυτὸ, ἀλλ' οὐχ ὡς γινόμενον ἐν χρόνῳ ἐνεστῶτι, ἢ μέλλοντι. ὃν βάσιν σημαίνει μόνα τὰ ῥήματα. ὡς

Ἀντιφέρουσι πρὸς ταῦτα λέγοντες, ὅτι τὸ σημαίνειν τὶ ἐν γενέσει καὶ ῥοῇ, σημαίνειν ἐστὶν ἐνέργειάν τινα, τοῦ ποιοῦντος προϊοῦσαν ἐπὶ τὸ πάσχον. ἀλλὰ μὴν ἡ κίνησις οὕτω σημαίνει τῷ ῥοῇ, ἄρα σημαίνει ταύτῃ ὡς ἐν γενέσει, καθάπερ τὰ ῥήματα.

Ἀπαντητέον ὡς καὶ πρότερον. ὅτι ἡ κίνησις ὥσπερ καὶ ποίησις, καὶ πάθησις τῷ φύσιν αὐτῷ σημαίνει τῆς ῥοῆς, ὡς πράγματι καθ' ἑαυτὸ, οὐ μέντοι σημαίνουσι ταύτῃ, ὡς ἐν γενέσει καὶ διεξόδῳ γινομένῳ. Ἄλλο γάρ ἐστὶ τὸ σημαίνειν τὶ, ὅπερ ἐν χρόνῳ πέφυκε γίγνεσθαι, καὶ κατὰ διέξοδον, καὶ ἄλλο ἐστὶ σημαίνειν τοῦτο ὡς γινόμενον, καὶ ἐν χρόνῳ. ἐκείνως γὰρ καὶ τὰ ἐκτεθέντα σημαίνει ὀνόματα, καὶ ὅσα ἄλλα παραπλήσια, οὕτω δὲ μόνα τὰ ῥήματα σημαίνειν πέφυκεν.

Ἀπο-

Ἀπορία.

Ἀπορεῖν ἔτι εἰώθασι περὶ τῶν τοιούτων προτάσεων. οἷον, ἐστὶ Θεός. ἐστὶν οὐσία αἰθητικὴ τὸ ζῶον. ἢ ὁ ἄνθρωπος λογικὸν ζῶον. ταῦτα γὰρ ὡσαύτως ἀεὶ ἔχει, καὶ πρὸ τοῦ τὸν χρόνον γενέσθαι ἀληθεῖς ἦσαν αἱ εἰρημέναι προτάσεις. τὸ ἐστὶν ἄρα ῥῆμα ἐν αὐταῖς οὐ προσημαίνει χρόνον, εἴγε πρὸ τοῦ χρόνου ἐννοεῖται σημαῖνον.

Ἀπάντησις.

Ἀπαντῶσιν οἱ νεώτεροι διαιροῦντες τὸν χρόνον, ὡς κοινότερον, καὶ ἰδίως λεγόμενον. καὶ ἰδίως μὲν τοῦ χρόνου λαμβανομένου, μὴ προσημαίνειν χρόνον φασὶν ἐν ταῖς εἰρημέναις προτάσεσι τὸ ἐστὶ ῥῆμα, Κοινότερον δὲ εἰ ληφθείη ὁ χρόνος, φασὶ καὶ ἐν ταύταις προσημαίνειν χρόνον τὸ ἐστὶ ῥῆμα. Τιθέασι γὰρ τὴν φωνὴν ταύτην, χρόνου κοινότερον σημαντικὴν εἶναι, μὴ μόνον τοῦ μετὰ κινήσεως θεωρουμένου, χρόνου, ἀλλὰ καὶ ὑπὲρ τοῦτον, τῆς ἀϊδιότητος δηλαδὴ, καὶ αἰῶνος. Ὅταν τὸ ἐστὶ ῥῆμα ἐν ταῖς ἐκτεθείσαις προτάσεσιν, εἰ καὶ μὴ προσημαίνει χρόνον τὸν μετὰ κινήσεως, ἀλλὰ προσημαίνειν φασὶ χρόνον τὸν μετὰ ἀϊδιότητος, καὶ αἰῶνος λεγόμενον.

Ἀπορία.

Ὁμοίως δὲ ἀποροῦσι καὶ περὶ τῶν τοιούτων προτάσεων, οἷον γεννᾷ ὁ Πατὴρ, ἐπὶ Θεοῦ νοουμένης, ἢ ὁ Θεὸς παράγει, τῆς παραγωγῆς νοουμένης ἐκ τοῦ μηδενὸς ὄντος. γεννᾷ γὰρ ὁ Θεὸς, καὶ παράγει ἀμέσως καὶ καθ' ἑαυτὸν ἀχρόνως.

Ἀπάντησις.

Ἀλλ' ἀπαντῶσι λέγοντες, ὅτι ὁ χρόνος σημαίνει πρὸς τοῖς εἰρημένοις, καὶ τὸν ἄτμητον τοῦ χρόνου συνδεσμον, οἷον τὸ νῦν, καθ' ὃν σημασίαν φασὶ τὸ ἐστὶ ῥῆμα προσημαίνειν χρόνον ἐν ταῖς εἰρημέναις προτάσεσι. γεννᾷ γὰρ ὁ Πατὴρ, καὶ παράγει ὁ Θεὸς ἐν ἀτμήτῳ

χρόνῳ. ταῦτα μέντοι ὁ Φιλόσοφος οὐκ οἶδεν, οὐδ' ἡ περιπατητικὴ διδασκαλία προσίεται.

Περὶ Μετοχῶν.

Ἀλλὰ τί χρὴ λέγειν περὶ μετοχῶν, ποῖ δέ κε ταπτέαι, ἐν ῥήμασιν, ἢ ἐν ὀνόμασιν; ἢ (1) ὅτι οὐδέτερον εἰσὶν ἐντελῶς καθ' ἑαυτὰς, ἀλλὰ τοῦτο αὐτὸ (2) μετέχουσαι ἀμφοῖν ὀνόματός τε καὶ ῥήματος. ὅθεν καὶ προσημαίνουσι μὲν χρόνον ὡς κε τὰ ῥήματα, οὐ μέντοι κατὰ τρόπον συμφωνίας πρὸς τὸν ἐνεργοῦντα, ἢ πάσχοντα. διὸ καὶ δέονται ὑπαρκτικῆς ῥήματος εἰς λόγον κατηγορουμένου. οὐ γὰρ ἔχουσιν ἄλλως γενέσθαι κατηγορούμενα, καὶ ῥήματος λόγον ἐπιχεῖν ἐν προτάσεσιν.

„ Καὶ ἔστιν ἀεὶ τῷ καθ' ἑτέρου λεγομένων σημεῖον.

Ἔσχατον ἰῷ μέρος τῆς ὑπογραφῆς, δι' οὗ ἀξιοῦται τὸ ῥῆμα σημεῖον ἀεὶ εἶναι τῷ καθ' ἑτέρου λεγομένων. τοῦτο προσήκει τῷ ῥήματι διὰ τὸ σημαίνειν ἀεὶ τὰ καθ' ὑποκειμένου τινὸς λεγόμενα, ἢ ἐν ὑποκειμένῳ ὄντα. Ὅθεν κε δυνάμιν ἔσχηκε τὸ ῥῆμα συμπλέκειν τῷ ὑποκειμένῳ τὰ ὁπωσοῦν ἐν ἑτέροις ὑπάρχοντα.

Ἀπορία.

Ἀπορεῖται πρὸς τοῦτο πρῶτον, ὅτι οὐκ ἀεὶ τὸ κατηγορούμενον ἐστὶ ῥῆμα. Ἔστι γὰρ κατηγορούμενον τὸ καθ' ἑτέρου λεγόμενον. οὐ μὴν ὄντος ἀεὶ ῥήματος, συμπλέκεται μὴ ἀεὶ εἶναι τὸ ῥῆμα μόνον τῷ καθ' ἑτέρου λεγομένων σημεῖον.

Δείκνυται ἡ ἐλάττων. ἐπὶ τῆς δὲ γὰρ τῆς ἀποφάσεως, ἄνθρωπος ἐστὶ ζῶον. κατηγορούμενον ἐστὶ τὸ ζῶον, ὅπερ ἐ ῥῆμα ἐστὶν, ἀλλ' ὄνομα. ἄρα.

Ἀπάντησις.

Τοῦτο ἐκτεθὲν ἐπιχείρημα, καίτοι μὴ αὐτικείμενον τῇ ἀριστοτελικῇ λέξει, (οὐ γὰρ εἴρηται τῷ Φιλοσόφῳ ὅτι ἐστὶν ἀεὶ τὸ ῥῆμα μόνον τῷ καθ'

(1) Ἀντὶ τοῦ ῥητέον. λύσις γὰρ ἐστὶ τῆς ἀπορίας. (2) Εἰσὶ δηλαδή.

καθ' ἑτέρου λεγομένων σημεῖον). ἐπεὶ δὲ συμβάλλεται τὸ, ἔστι ῥῆμα εἰς κατάληψιν τῆς ἰδιότητος τοῦ κατηγορουμένου, τίνα ξόπον ἐκεῖνο λέγεται ῥῆμα, ἄξιον ἀναπτύξαι.

Ἀπαντῶσι τοιγαροῦν τινὲς διαιροῦντες τὸ κατηγορούμενον ἐπὶ τῆς ἐκ τρίτου προσκατηγορουμένου προτάσεων διχῶς. τὸ μὲν ὑλικῶς λέγοντες κατηγορούμενον, τὸ δὲ εἰδικῶς. ὕλλω γὰρ κατηγορουμένου φασὶν εἶναι τὸ ὄνομα, ὡς ἐπὶ τῆς ἐκτεθείσης προτάσεως τὸ ζῶον. εἶδος δὲ τούτου εἶναι φασὶ τὸ ὑπαρκτικὸν ῥῆμα. Καὶ οὕτως ἀεὶ φιλοσοφοῦσι περὶ τὸ κατηγορουμένου, ἐπὶ τῆς ἐκ τρίτου προσκατηγορουμένου προτάσεων.

Φαίνεται μέντοι ἡ ἀπάντησις αὕτη ἀντικειμένη τῇ Φιλοσόφῳ καὶ τῇ κοινῇ τῆς διαλεκτικῶν δόξῃ. τίθησι γὰρ ὁ Φιλόσοφος τὸ ἔστι ῥῆμα ἐπὶ τῆς εἰρημένων προτάσεων ἐν λόγῳ συνδέσμου, δι' οὗ τὸ κατηγορούμενον συνάπτεται τῷ ὑποκειμένῳ. Παρὰ ταῦτα δὲ ὅσα τῆς καθόλου φύσεως εἰσὶ σημαντικὰ ὀνόματα, κυρίως γίνεται κατηγορούμενα ἐν ταῖς κατὰ φύσιν κατηγορίαις. φύσει γὰρ τὰ καθόλου κατηγορεῖται τῆς ὑφ' αὐτά. ἀνοίκειον δὲ ἐστὶ τὸ κυρίως κατηγορούμενον, ὑλικῶς λέγεσθαι κατηγορεῖσθαι. Βέλτιον οὖν ἐστὶ λέγειν ἐπὶ τῆς ἐκ τρίτου προσκατηγορουμένου προτάσεων, τὰ σημαίνοντα τὴν κατηγορουμένην φύσιν ὀνόματα εἰς ῥήματων ἰδιότητα μεταπίπτειν, ἐρανιζόμενα πρὸς τοῦ ὑπαρκτικοῦ ῥήματος τὴν δύναμιν τῆς συνάψεως, καὶ τοῦ (1) προσσημαίνειν χρόνον.

Ἔνστασις.

Ἐπιλαμβάνονται δὲ τῆς εἰρημένων, ὅτι ἐστὶ τὸ ῥῆμα σημεῖον τῆς ἐν ὑποκειμένῳ ὄντων, καὶ καθ' ὑποκειμένου λεγομένων. Φασὶ γὰρ ἀντικεῖσθαι ταῦτα οἷς ἀνωτέρω ἐλέγετο. τὰ ῥήματα σημαίνειν ἐνέργειαν, ἢ πάθος. ἡ γὰρ ἐνέργεια ἢ τὸ πάθος, συμβεβηκότα ὄντα, τῆς ἐν ἑτέρῳ ὄντων ἀεὶ σημεῖον δοκεῖ εἶναι, καὶ οὐ τῆς καθ' ὑποκειμένου λεγομένων, ἅπερ οὐσιωδῶς κατηγορεῖται, καὶ οὐσίαι εἰσίν.

Λύσις.

Ἀπαντητέον διαιρέσει χρωμένοις τῆς ῥημάτων, εἴς τε τὰ καθ' αὐτὰ ῥήματα, καὶ τὰ διὰ συνδέσμου τοῦ ἐστὶ γινόμενα. ἤγουν εἰς τὰ ῥή-

(1) Καὶ τὴν δύναμιν τοῦ προσσημαίνειν χρόνον.

ματα τῆς ἁπλῶν προτάσεων, καὶ τῆς ἐκ τρίτου προσκατηγορουμένου, τὰ ῥήματα τοῦ πρώτου τρόπου, σημαίνουσιν ὡς εἴρηται ἐνέργειαν, ἢ πάθος, ἤγουν κατὰ τρόπον ἐνεργείας, ἢ πάθους λέγονται, καὶ ταῦτα σημεῖα ἐστὶ τῆς ἐν ἑτέρῳ ὄντων. Τὰ δὲ τοῦ δευτέρου τρόπου ῥήματα, πολλάκις σημαντικὰ γίνεται, καὶ τῆς καθ' ὑποκειμένου λεγομένων, καὶ οὐτιωδῶς κατηγορουμένων.

Διαίρεσις πρώτη τῶν ὀνομάτων.

ΤΑ δὴ κατὰ γραμματικοὺς ῥήματα ἐπουσιώδη τὴν σημασίαν ἔχηκε πάντα, πλὴν τοῦ ὑπαρκτικοῦ λεγομένου ῥήματος, καὶ κατὰ πλειόνων ἐνδέχεται κατηγορεῖσθαι. Τοῦ δὲ ὀνόματος πολυειδῶς τεμνομένου, ἐκείνη ἔσω πρώτη διαίρεσις, ἡ εἰς τὸ καθόλου (ὃ καὶ κοινὸν), καὶ τὸ καθ' ἕκαστα. Καὶ καθόλου μέν ἐστι, τὸ καθόλου πράγματος σημαντικὸν, τοιοῦτον δὲ ὃ ἐπὶ πλειόνων πέφυκε κατηγορεῖσθαι, οἷον τὸ ἵππου. κατηγορεῖται γὰρ κατά τε ἀνθρώπου, καὶ ὄρνιθος. Καθ' ἕκαστα δὲ ὃ μὴ ἐπὶ πλειόνων πέφυκε κατηγορεῖσθαι, ἀλλὰ καθ' ἑνὸς μόνου ἀτόμου. Τοῦτο δὲ τεταγμένως ἐνδέχεται λέγειν, Ἢ ὡς τὰ κύρια τῆς ὀνομάτων λεγόμενα, οἷον Σωκράτης, Πλάτων. Ἢ ὡς αἱ δεικτικαὶ ἀντωνυμίαι, οὗτος, ἐκεῖνος. Ἢ καθ' ὑποθέσιν, ἵνα ὑὸν Σωφρονίσκου λέγοντες, τὸν Σωκράτην δηλοῦμεν, μονογενῆ ὄντα τοῦ Σωφρονίσκου υἱόν. Ἢ ἐφ' οὗ μερικός τις προσκειται προσδιορισμός, ὡς τὶς ἄνθρωπος. ὃ καὶ μερικὸν λέγεται, ἀορίστως ἔντι σημαῖνον τῷ ἀριθμῷ. ταῦτα γὰρ πάντα ἀτόμου τινὸς καὶ καθ' ἕκαστα φαίνεται δηλωτικά.

Διαίρεσις δευτέρα τῶν ὀνομάτων.

ΤΟῦ δὲ καθόλου δευτέρα διαίρεσις ἔστω, ἡ εἰς ὁμώνυμα, συνώνυμα, καὶ παρώνυμα, ἃ καὶ τῷ Φιλοσόφῳ προκεχείρισται, εἰς κατάληψιν τῆς ἐν ταῖς κατηγορίαις. Καὶ ὁμώνυμα μὲν εἴρηται, ὅσα ὁμωνύμων πραγμάτων δηλωτικά. Συνώνυμα δὲ τὰ συνωνύμους φύσεις δηλοῦντα, ὥσπερ καὶ παρώνυμα, τὰ παρωνύμως σημαντικά. Εἰσὶ δὲ ὁμώνυμα πράγματα, ὧν ὄνομα μόνον κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας, ἤτοι ὁ ὁρισμὸς ἕτερος, οἷον ἄνθρωπος ὅ,τε ζῶν καὶ ὁ γεγραμμένος. Λέγεται δὲ πολλαχῶς τὰ ὁμώνυμα, ὧν εἰσὶ καὶ τὰ ἀφ' ἑνὸς, ἢ πρὸς ἕν,

ὡς

ὡς καὶ τὰ ἐπὶ πάντων λεγόμενα, οἷον τὸ σῶ, τὸ ὂν, τὸ ἀγαθὸν, καὶ τὰ τοιαῦτα. λέγεται γὰρ ταῦτα πάντα ἀφ' ενὸς τρόπου, καὶ κυρίως τοιούτου. Ὄντα γὰρ λέγεται τὰ παρὰ τιὼ (1) οὐσίαν ὑπὸ τῆς οὐσίας καὶ ἐπὶ τιὼ οὐσίαν ἀναφερόμενα. Καὶ τὸ σῶ πολλαχῶς λέγεται, ἀπὸ τοῦ ἁπλουσάτου ενὸς, καὶ παντελῶς ἀτμήτου, καὶ τἆλλα ὡσαύτως. Συωώνυμα δὲ εἰσὶν ὧν τό,τε ὄνομα κοινὸν, καὶ ὁ λόγος τῆς οὐσίας ὁ αὐτός. οἷον ζῶον, ὅ,τε ἄνθρωπος, καὶ ὁ βοῦς. ἄμφω γὰρ κοινῷ ὀνόματι ζῶα προσαγορεύεται, καὶ τὸν αὐτὸν ὁρισμὸν τῷ εἶναι ζῶα ὑπδέχεται. Τοιαῦτα δὲ εἰσὶ τὰ γένη, καὶ τὰ εἴδη τῶν ὄντων, καὶ αἱ διαφοραί. Παρωνύμως δὲ κατηγορεῖται κατὰ τῆς οὐσίας αἱ λοιπαὶ δύο τῶν καθόλου φύσεων, τὸ ἴδιον, καὶ τὸ συμβεβηκός. Βούλεται δὲ ὁ Φιλόσοφος παρώνυμα λέγεσθαι, ὅσα ὁτιοῦν παραγόμενα, ἔχει μὲν τιὼ προσηγορίαν τιὼ αὐτιὼ τοῦ ὀνόματος, διαφέρει δὲ ἐκείνου κατὰ τὰς τελευταίας συλλαβάς. οἷον ὁ γραμματικὸς λέγεται ὑπὸ τῆς γραμματικῆς, ἣς φυλάττει μὲν τιὼ αὐτιὼ προσηγορίαν τῆς γραμματικῆς, διαφέρουσαν ὅμως κατὰ τιὼ τελευταίαν συλλαβιώ. Διὸ βούλεται μὲν τὰ παρώνυμα κοινωνεῖν ἅμα καὶ διαφέρειν, τοῖς ἀφ' ὧν παρωνομάζονται, κατὰτε τοὔνομα, καὶ τὸ πρᾶγμα, οἷον ὑπὸ τῆς αἰσθήσεως φέρε εἰπεῖν παρωνόμασαι τὸ ζῶον, καὶ κοινωνεῖ τῇ αἰσθήσει κατὰ τοὔνομα, αἰσθητικὸν λεγόμενον, καὶ διαφέρει ἅμα κατὰ τὸ αὐτὸ ὄνομα, ὅτι αἱ λιπτικαὶ τύπων συλλαβαὶ διάφοροι εἰσί. Πάλιν κοινωνεῖ τῇ αἰσθήσει κατὰ τὸ πρᾶγμα. μετέχει γὰρ ἐκείνης τὸ ζῶον. διαφέρει δὲ κατὰ τὸ αὐτὸ, ὅτι ἡ μὲν αἴσθησις διαφορά ἐστιν οὐσιώδης, τὸ δὲ ζῶον γένος ἐστὶ καὶ οὐσία. Ἐξαρκεῖν μέντοι φαίνεται παρὰ τῷ Φιλοσόφῳ εἰς παρωνυμίαν, ἓν μόνον κατὰ τὸ πρᾶγμα κοινωνεῖ, καὶ διαφέρει τὰ παρώνυμα τοῖς ἀφ' ὧν παρωνόμασαι, ὡς ὁ σπουδαῖος ὑπὸ τῆς ἀρετῆς, τὰ τοιαῦτα κατὰ μὲν τὸ πρᾶγμα κοινωνεῖτε καὶ διαφέρει, κατὰ δὲ τοὔνομα οὐδαμῶς.

Περὶ Κατηγοριῶν.

Ἐκ δὲ τῶν γενῶν καὶ εἰδῶν, σύγκειται ἑκάστη τοῦ ὄντος Κατηγορία. εἰσὶ δὲ αὗται τὸν ἀριθμὸν δέκα, ὡς ἐλέγετο, Οὐσία, οἷον ἄνθρωπος. Ποσὸν, οἷον δίπηχυ. Ποιὸν, οἷον λευκόν. Πρός τι, οἷον διπλάσιον. Ποῦ, οἷον ἐν ἀγορᾷ. Ποτὲ, οἷον χθές. Κεῖσθαι, οἷον καθῆσθαι.

(1) Τὰ συμβεβηκότα.

θῆθαι. Ἔχειν, οἷον ὡπλίθαι. Ποιεῖν, οἷον τέμνειν. Πάχειν, οἷον τέμνεθαι. ταῦτα γὰ πάντα σιωνύμως κατηγορεῖται κατὰ τῆ ὑφ' αὐτά.

Ἕτεραι διαιρέσεις τῶν ὀνομάτων κατὰ τοὺς νεωτέρους.

Καὶ ἄλλας ἐκτίθενται οἱ νεώτεροι τῆ ὀνομάτων διαιρέσεις, ὁποία ἐσὶν ἐκείνη ἡ εἰς τὰ ἐξ ἀφαιρέσεως λεγόμενα, καὶ συγκεκειμένα γινομένη. Καὶ εἰσὶ τὰ μὲν ἐξ ἀφαιρέσεως οἷον, ἀνθρωπότης, ἱππότης. τὰ δὲ συγκεκειμένα, οἷον ἄνθρωπος, ἵππος. Τινὲς δὲ καὶ τὰ παρωνύμως λεγόμενα ἐν τοῖς συγκεκειμένοις τάττουσι, θερμὸν, λευκὸν, ὥσπερ καὶ ἐν τοῖς κατὰ ἀφαίρεσιν, ἢ ἐξηρημένοις ἀπαριθμοῦσι λευκότητα, θερμότητα, καὶ ὅσ' ἄλλα.

Ἑτέρα διαίρεσις.

Προσέτι διαιροῦσι τὰ ὀνόματα εἰς τὰ τῆς πρώτης γνώσεως, καὶ τὰ τῆς δευτέρας. Πρώτης γνώσεως ὀνόματα φασὶν εἶναι, ὅσα προτίθεται εἰς δήλωσιν τῆ ἐντὸς ἐπινοίας ὄντων, οἷον ἄνθρωπος, ζῶον, καὶ ὅσα ἄλλα. Δευτέρας δὲ γνώσεως ὀνόματα εἶναι βούλονται, ἅπερ ἐπινοεῖσθαι παρὰ τῆ πρώτως τεθέντων εἰς δήλωσιν τῆ ἀπὸ τῆς ἐπινοίας ἐξηρτημένον τὸ εἶναι ἐχόντων. ὡς τὸ εἶδος, τὸ γένος, καὶ ὅσα ἄλλα. Πρώτην δὲ γνῶσιν εἶναί φασι τὸ πρῶτον ἔννοημα τῆς ψυχῆς συλληφθὲν ὑπὸ τοῦ νοὸς τοῦ ἡμετέρου ἀμέσως τοῖς πράγμασιν ἐφαρμόττον, ὅπερ ἐσὶν αὐτοῦ τοῦ πράγματος ὁμοίωμα καὶ καθ' αὐτὸ παρασατικὸν, καὶ οὐδὲν ἄλλο ἢ αὐτὸ τὸ πρᾶγμα, ὡς νοούμενον ἢ φωνούμενον. Δευτέραν δὲ γνῶσιν φασὶν ἔννοημα μὲν ἐν ψυχῇ συλληφθὲν ὑπὸ τοῦ ἡμετέρου νοὸς, οὐκ ἀμέσως δὲ τοῖς πράγμασιν ἐφαρμόττον, ἐντὸς ἐπινοίας οὖσιν. ἀλλὰ τοῖς πρώτοις νοήμασιν ἅπερ εἰσὶν ἐντὸς ἐπινοίας, ὡς ἐπὶ τῆ εἰρημένων. ἀνθρώπου μὲν ἡ ζώου φύσις ἐννοουμένη πρώτη ἐσὶ γνῶσις. (τὸ γὰρ τοιόνδε ἔννοημα ἀμέσως τοῖς πράγμασιν ἐφαρμόττει ἐντὸς ἐπινοίας οὖσιν) Ἡ δὲ τοῦ γένους ἢ εἴδους ἰδιότης ἐννοουμένη ἐν τοῖς πράγμασιν, οὐκ ἐντὸς ἐπινοίας ἁρμόττει, ἢ τῆ ἀνθρώπῳ, ἢ τῆ ζώῳ, ἀλλ' ἤδη ἐφ' ὅσον ἅπερ ἐπὶ τῆς ἡμετέρας ἐπινοίας, συγχαρεῖ οὐ γὰρ ἔσιν ἄλλως, εἶδος ὁ ἄνθρωπος, ἢ τὸ ζῶον γένος, ὅτι μὴ κατ' ἐπίνοιαν θεωρούμενα, τῆ περιεσατικῶν ἁπάντων γεγυμνωμένα, καὶ

καὶ πρὸς τὸ πλῆθος τῶν ἐν οἷς ὑπάρχουσιν ἀναφερόμενα. Οὗτον καὶ κατ' ἐπίνοιαν ὄντα φασιν εἶναι γένος, εἶδος, καὶ ὅσ' ἄλλα, περὶ ὧν οἱ λογικιδόμενοι πραγματεύονται. Ἀλλὰ ταῦτα εἰς ἄλλον τεταμιεύθω πρόθεσιν τοῦ λόγου καιρικωτέραν.

Τὰ ὀνόματα τεχνῶς.

- Τὰ μὲν ἀόριστα ὀνόματα λέγεται.
- Τὰ δὲ πτώσεις μόνον ὀνόματος.
- Τὰ δὲ ὡρισμένως καὶ ὀρθῶς δηλωτικά.

Τὰ ῥήματα παρὰ τοῖς Φιλοσόφοις τεχνῶς.

- Πρῶτον λέγεται αὐτῶν ῥῆμα ἡ καθόλου ἐν χρόνοις κατηγορούμενον ποιοῦσα φωνή.
- Δεύτερον, ἡ μετὰ χρόνου σημαντικὴ φωνή.
- Τρίτον, ἡ πρὸς τοῖς εἰρημένοις καὶ τὸ σημαινόμενον ὡρισμένον ἔχουσα.
- Τέταρτον, ἡ τῶν χρόνων τῶν ἐνεστῶτι μόνῳ περιεχόντων τὸ σημαινόμενον.

Εἰς τὰ ῥήματα οὐκ ἐπιδέχεται ὁ ὁμοιότητος ἢ τις ἄλλη.

Εἰς τὸ καθόλου, καὶ τοῦτο τεχνῶς.

- Εἰς ὁμώνυμα.
- Συνώνυμα.
- Καὶ παρώνυμα.

Καὶ εἰς τὸ καθ' ἕκαστα, ὅπερ τεχνῶς ἐνδέχεται λέγεσθαι.

- Ἢ ὡς τὰ κύρια τῶν ὀνομάτων, οἷον Σωκράτης, Πλάτων.
- Ἢ ὡς αἱ δεικτικαὶ ἀντωνυμίαι, οὗτος ἐκεῖνος.
- Ἢ καθ' ὑπόθεσιν, ὡς ἂν Σωφρονίσκου υἱὸν λέγοντες, τὸν Σωκράτην δηλοῦμεν μονογενῆ ὄντα τοῦ Σωφρονίσκου υἱόν.
- Ἢ ἐφ' οὗ μεθικός τις φύσκεται προσδιεσμός, ὡς ὁ τὶς ἄνθρωπος.

Ἔτι

Ἔτι διαιροῦσι τὸ ὄνομα διχῶς οἱ νεώτεροι.

Εἰς τὰ ἐξ ἀφαιρέσεως λεγόμενα, οἷον ἀνθρωπότης, ἱππότης.

Καὶ εἰς τὰ συγκεκειμένα, οἷον ἄνθρωπος, ἵππος.

Ἔτι διαιροῦσιν αὐτὸ οἱ νεώτεροι.

Εἰς τὰ τῆς πρώτης γνώσεως ὀνόματα, ἅπερ φατὶν εἶναι ὅσα πρὸς τίθεται εἰς δήλωσιν τῆς ἐκτὸς ὑπονοίας ὄντων, οἷον ἄνθρωπος, ζῷον, καὶ ὅσ' ἄλλα.

Καὶ εἰς τὰ τῆς δευτέρας ἅπερ ὑπονοοῦνται παρὰ τῆς πρώτως τεθέντων εἰς δήλωσιν τῆς ἀπὸ τῆς ὑπονοίας ἐξηρτημένων τὸ εἶναι ἐχόντων, ὡς τὸ ῥῆμα, τὸ εἶδος, καὶ ὅσ' ἄλλα.

Περὶ τῆς κατὰ συμπλοκὴν ἑρμηνείας, ἤτοι περὶ Λόγου.

Περὶ μὲν τῆς ἁπλῶν φωνῶν, ἃς καὶ ἁπλῆν ἑρμηνείαν, ὡς ἁπλῶν πραγμάτων δηλωτικάς, ὁ Φιλόσοφος καλεῖ, ἄλις εἰρήσθω τὰ εἰρημένα. Ἐχόμενον δὲ εἰπεῖν περὶ τῆς κατὰ συμπλοκὴν, ἤτοι περὶ Λόγου. Ἔστι δὲ Λόγος, ὡς τῷ Φιλοσόφῳ ὥρισται, φωνὴ σημαντικὴ κατὰ συνθήκην, ἧς τῶν μερῶν τι σημαντικόν ἐστι κεχωρισμένον, ὡς φάσις, ~~ἀλλ'~~ οὐχ ὡς κατάφασις, ἢ ἀπόφασις. Τὸ μὲν οὖν φωνὴ σημαντικὴ κατὰ συνθήκην, κοινὸν ἐστι γένος τοῦτε λόγου, καὶ τῆς ἐκείνου μερῶν, ὀνόματός τε, καὶ ῥήματος. Τὸ δὲ τὰ μέρη αὐτοῦ χωριζόντα γίνεσθαι σημαντικὰ, αὐτιδιαστέλλει αὐτὸν ἐκείνων. οὐ πάντα δὲ τὰ παραλαμβανόμενα ἐν τῷ λόγῳ, οἷον Πρόθεσις, Συνδεσμος, καὶ τὰ τοιαῦτα κεχωρισμένα γίνεται σημαντικὰ καθ' ἑαυτὰ, ἀλλὰ τὸ ὄνομα μόνον & ῥῆμα, καὶ ταῦτα ὡς Φάσις μόνον. Ἔστι δὲ Φάσις καθ' ἑαυτὴν φωνὴ σημαντικὴ κατὰ συνθήκην, ὡς μέρος καταφάσεως, ἢ ἀποφάσεως, ψεύδους ἢ ἀληθείας ἀνεπιδέκτος. Δῆλον δὲ ἐκ τούτων, ὡς ὁ Φιλόσοφος οὐ περιείληφεν ἐπὶ τῆς ἐπιτεθείσης ὑπογραφῆς τὸν συνθετον καὶ ὑποθετικὸν λόγον, (ἐκείνου γὰρ τὰ μέρη κεχωρισμένα, οὐχ ὡς φάσις, μόνον γίνονται σημαντικὰ, ἀλλ' ὡς ἀποφάνσεις,) ~~ἀλλὰ~~ τὸν ἁπλοῦν μόνον, καὶ κατηγορικόν. ~~λόγον.~~

Τεία

Τρία μέρη τῆς ἐκτεθείσης ὑπογραφῆς ἀναφαίνεται. Ὧν τὸ μὲν πρῶτον ἐστὶν ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην, ὃ καὶ χώραν ἐπέχει γένους. Δεύτερον ὅτι τῶν μερῶν αὐτοῦ ἔστι τινὰ σημαντικὰ κεχωρισμένα, οἷον τὸ ὄνομα, καὶ τὸ ῥῆμα. Εἴρηται δέ τι τῶν μερῶν, ἐπεὶ οὐχ ἁπλῶς τὰ μέρη, ὅτι ἐν τῷ καλλίππος ἔχει λόγῳ, τὸ ἵππος μέρος ὄν, οὐδὲν σημαίνει κεχωρισμένον, ὡς ἄλλο τὸ καλλίππος. Τρίτον δὲ ὅτι σημαίνουσι τὰ μέρη τούτου κεχωρισμένα, οὐχ ὡς κατάφασις, ἢ ἀπόφασις, ἀλλ' ὡς φάσις μόνον. Γίνεται δὲ ὁ λόγος σημαντικὸς, ὡς ὄργανον τεχνητὸν, καὶ οὐχ ὡς φυσικόν.

Διαίρεσις τοῦ Λόγου.

Διαιρεῖται δὲ ὁ Λόγος κατὰ πρώτην τομὴν εἰς δύο ἰδιωτέρους. Τὸ μὲν γὰρ αὐτοῦ σημαίνει τὰ παθήματα τῆς ὀρεκτικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς. τὸ δὲ τὰ παθήματα τῆς γνωστικῶν δυνάμεων. Τὸ πρῶτον μέρος διαιρεῖται εἰς τέτταρα. Ἢ γὰρ χρώμεθα αὐτῷ προσάττοντες τοὺς ὑπηκόους πράξεως χάριν τινὸς, ἢ δεήσεως. Ἢ δυσχόμενοι ὡς πρὸς κρείττους δεόμενα τούτων. Ἢ καλοῦμεν ἐκείνους, οὓς βουλόμεθα πρὸς ἡμᾶς ἐπιστρέφεσθαι. Ἢ ἐρωτῶντες ἐκείνους, ἀφ' ὧν δεόμεθα γνώσεως τινός. Ταῦτα τὰ τέτταρα σημαινόμενα τοῦ λόγου, οὐ τυγχάνουσιν ἀληθείας, ἢ ψεύδους δηλωτικά. οὐδὲ τοῖς διαλεκτικοῖς περὶ τούτων γίνεται λόγος, ἀλλὰ περὶ μόνου τοῦ ἑτέρου μέρους, ὃ καὶ καλεῖται ἀπόφανσις, καὶ ἀποφαντικὸν εἶδος τοῦ λόγου, ὡς δι' αὐτοῦ τὰ δοκοῦντα ἡμῖν περὶ τῶν πραγμάτων ἀποφαινομένοις, ἐν ᾧ τὸ ἀληθεύειν, ἢ ψεύδεσθαι ὑπάρχει, ἐξαγγελτικῷ ὄντι τῶν διανοητικῶν τῆς ψυχῆς παθημάτων.

Περὶ Ἀποφάνσεως, ἤτοι Ἀποφαντικοῦ λόγου.

Ἀπόφανσις ἐστὶ λόγος ἀποφαντικὸς, δεκτικὸς ἀληθείας ἢ ψεύδους. Μέρη δὲ προσεχῆ τοῦ ἀποφαντικοῦ λόγου δύο, ἀπόφασις, καὶ κατάφασις, ὧν ἑκάτερος αὖθις εἰς δύο πέμνεται. ὁ μὲν γὰρ ἐστὶ κατηγορικὸς, ὁ δὲ ὑποθετικός. Κατηγορικὸς μὲν ἐστὶ λόγος ἀποφαντικὸς ὁ ἁπλοῦς τι τινὶ ὑπάρχειν, ἢ οὐχ ὑπάρχειν σημαίνων. Ὑποθετικὸς δὲ ἐστὶ λόγος ἀποφαντικὸς, ἐκ τοῦ εἶναί τι, ἢ μὴ εἶναι, ἕτερόν τι εἶναι, ἢ μὴ

εἶναι σημαίνων. Καὶ τοῦτο διχῶς. ἢ κατὰ συνάφειν, ἢ κατὰ διάζευξιν. Κατὰ συνάφειν μὲν, εἰ ἔχει, κινεῖται. οὗ τὸ εἰ μόριον χαρακτηρίζει. Κατὰ διάζευξιν δὲ οἷον ἢ ἡμέρα ἐστὶν, ἢ νύξ. ἐς τῷ ἢ μορίῳ διαζευκτικῷ κέχρηται. ἔστι δὲ ὁ ὑποθετικὸς λόγος ἐκ τῆς κατηγορικῶν συνθετος.

Ἑτέρα διαίρεσις τοῦ ἀποφαντικοῦ Λόγου.

Ἑτέραν διαίρεσιν ὁ ἀποφαντικὸς δέχεται λόγος κατὰ τὸ συν καὶ τὸ πλῆθος. Καὶ εἷς μὲν λόγος λέγεται ἀποφαντικὸς, διχῶς, ἢ ὁ συν δηλῶν, ἢ ὁ συνδέσμῳ εἷς. Ἔστι δὲ συν δηλῶν λόγος, ἐν ᾧ ἑκατέρα τῆς συμπληρώσεων αὐτοῦ φάσεων μιᾶς τινὸς φύσεως τυγχάνει δηλωτική. κἂν ὁρισμὸς ὅλος αὐτὶ ὀνόματος, ἢ ῥήματος, ἢ καὶ ἀμφοῖν ληφθείη, οἷον τὸ ζῶον, λογικὸν θνητὸν, ἐστὶν οὐσία ἔμψυχος αἰσθητική. Συνδέσμῳ δὲ εἷς λέγεται λόγος, ἐν ᾧ πλείους παραλαμβανόμενοι λόγοι, ἀκολουθίαν, ἢ διάστασιν σημαίνουσιν, ὡς οἱ ὑποθετικοί.

Πολλοὶ δὲ λέγονται λόγοι ὁμοίως διχῶς. ἢ γὰρ μετὰ συνδέσμου τινὸς, ἢ ἀσυνδέτοι. Μετὰ συνδέσμου μὲν οἷον Σωκράτης περιπατεῖ, καὶ πλάτων διαλέγεται. Ἀσυνδέτοι δὲ, οἱ τῷ σημαινομένῳ πολλοὶ, τῇ δὲ φωνῇ εἷς, ὡς οἱ ἐξ ὁμωνύμων ὅρων συγκείμενοι, ὡς νύμφη ἐστὶν ἢ ἔλαφος· ἢ ἀμφοτέρως πολλοὶ, οἷον Σωκράτης ἐστὶν, ἄνθρωπος ἐστίν. Ἐπὶ δὲ τοῦ παρόντος ἡ θεωρία ἐστὶ, περὶ τοῦ συν δηλοῦντος λόγου, ὃν διειλόμεν ἀνωτέρω εἰς τε τὴν κατάφασιν καὶ ἀπόφασιν.

Περὶ Ἀντιφάσεως.

Κατάφασις οὖν ἐστὶν ἀπόφανσις τινὸς κατά τινος. Ἀπόφασις δέ ἐστιν ἀπόφανσις τινὸς ἀπό τινος. Ἀντίκεινται δὲ ἀλλήλαις, αὐτιφατικῶς μὲν ἰδίκα τοῦ αὐτοῦ εἰσὶ κατηγορουμένου, καὶ ὑποκειμένου, καὶ κατὰ τὸν αὐτὸν τρόπον σημαντικαὶ, καὶ ἐν τῷ αὐτῷ χρόνῳ, καὶ μὴ ὁμωνύμως, καὶ ὅσ' ἄλλα, ὡς μὴ δέποτε συναληθεύειν, ἢ συμβιβάζεσθαι. Λέγεται γὰρ αὐτίφασις μάχη καταφάσεως, καὶ ἀποφάσεως, ἀεὶ διαιροῦσα τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. Ἔστι δὲ ὑποκείμενον ἐν ταῖς ἀποφάνσεσιν, ὅπερ ὁ Φιλόσοφος ὄνομα καλεῖ ἐνταῦθα. τοιοῦτον δὲ ᾧ τὸ ἄρθρον πρόσκειται, ἢ δυνάμει, ἢ ἐνεργείᾳ, καθ' οὗ καὶ τὸ κατηγορούμενον λέγεται. Κατηγορούμενον δὲ ἔξι, τὸ ῥῆμα καλούμενον τῷ Φιλόσοφῳ. τοιοῦτον δὲ τὸ

κατ

κατ' ἄλλου ἀγορευόμενον. Οἷον, ῥῆμα μὲν κατὰ γραμματικούς ἐστιν, οὐδεμιᾶς δεῖται συμπλοκῆς. ὄνομα (1) δέ ἐστιν, διακείνεται τοῦ ὑποκειμένου, τῷ ἔχειν ἀεί τὸ ἐστὶ προσκείμενον ἑαυτῷ, ἢ δυνάμει, ἢ ἐνεργείᾳ, οἷον ὁ Σωκράτης περιπατεῖ, ὁ Σωκράτης οὐ περιπατεῖ. Ἐφ' ὧν τὸ μὲν Σωκράτης ὑποκείμενον λέγεται. πρόσκειται γὰρ αὐτῷ τὸ ἄρθρον, καὶ ἔστι καθ' οὗ τὸ περιπατεῖν ἀγορεύεται. κατηγορούμενον δὲ τὸ περιπατεῖν. τοῦτο γὰρ ἐστὶ τὸ κατὰ τοῦ Σωκράτους ἀγορευόμενον. καὶ εἰσὶν ἀντιφατικῶς μαχόμεναι αὗται. σύγκεινται γὰρ ἐκ τῆς αὐτῆς ὑποκειμένου τε, καὶ κατηγορουμένου, ὁμοίως σημαντικῶν, καὶ ἐν τῷ αὐτῷ χρόνῳ καὶ τὰ λοιπά.

Περὶ τῶν λοιπῶν Ἀντιθέσεων τῶν ἐν ταῖς προτάσεσι.

Μιᾷ μὲν οὖν καταφάσει, μία ἀπόφασις ἀντίκειται. ὃν τρόπον εἴρηται ἀντιφατικῶς. Ἐνδέχεται μέντοι καὶ πλείους γίνεσθαι τὰς ἀντιθέσεις τῆς αὐτῆς, ὧν αἱ διαφοραὶ ἀπὸ τῆς διαφορᾶς τῆς σημαινομένων πραγμάτων, καὶ τῆς περὶ αὐτὰ θεωρουμένης λαμβάνονται. Ἐφ' ἑκάστης οὖν ἀποφάσεως τρία ἐξ ἀνάγκης θεωρεῖται. Πρῶτον τὰ δηλούμενα πράγματα ὑπότε τοῦ ὑποκειμένου, καὶ κατηγορουμένου. Δεύτερον ὁ τρόπος ἄλληλα τούτων σχέσις. Καὶ τρίτον ὁ προσημαινόμενος χρόνος.

Διαφοραὶ τῶν Ἀντιθέσεων ἀπὸ τοῦ ὑποκειμένου.

Ἐκ τῶν τειῶν δὴ τούτων αἱ διαφοραὶ λαμβάνονται τῆς ἀποφάσεων καὶ τῆς κατ' αὐτὰς ἀντιθέσεων. Ἀλλὰ πρῶτον ἐκεῖνο λεκτέον, ὅτι τῆς ἀποφάσεων δίδοται ποιότητε, καὶ ποσότης παρὰ τοῖς λογικευομένοις. Ποιότητα μὲν ἐννοοῦσι, τὸ ἀποφατικὰς, ἢ καταφατικὰς εἶναι. Ποσότητα δὲ τὸ καθόλου, ἢ ἐπὶ μέρους εἶναι σημαντικάς. Τὰ γοῦν ὑποκείμενα, πράγματα εἰσί. Τῶν δὲ πραγμάτων, τὰ μὲν εἰσὶ καθόλου, τὰ δὲ καθ' ἕκαστα. Καὶ καθόλου μὲν ἐστὶν, ὃ ἐπὶ πλειόνων πέφυκε κατηγορεῖσθαι, οἷον ζῷον, ἄνθρωπος. Καθ' ἕκαστα δὲ, ὃ μὴ ἐπὶ πλειόνων, οἷον Σωκράτης, Πλάτων. Τὰ μὲν οὖν καθ' ἕκαστα ἀδιαίρετα εἰσὶν, ἐξ ὧν αἱ καθ' ἕκαστα σύγκεινται ἀποφάσεις. Τὸ δὲ καθόλου τεμερῆ ποιεῖται

(1) Διακείνεται γὰρ τὸ κατηγορούμενον (ὄνομα ὂν κατὰ γραμματικοὺς) τῷ ὑποκειμένῳ τῷ μεταξὺ τοῦ ὑποκειμένου καὶ κατηγορουμένου τῷ, ἐστὶν ἐμπεπτωκέναι. δι' οὗ ταῦτα συνάπτεται. ἐκεῖνο γὰρ ἀμέσως, τοῦτο δὲ τὸ ὄνομα δηλαδὴ, ἀμέσως συνάπτεσθαι τῷ ὑποκειμένῳ πέφυκασι.

τὴν ἀπόφανσιν. ἢ γὰρ αὐδὲ προσδιορισμοῦ λαμβάνεται, καὶ ποιεῖ τὰς ἀπροσδιορίστους ἀποφάνσεις. Ἢ μετὰ προσδιορισμοῦ λαμβάνεται καὶ τοῦτο διχῶς, Ἢ μετὰ καθόλου, καὶ ἀποτελεῖ τὰς καθόλου ἀποφάνσεις. Ἢ μετὰ μεριχοῦ, ἃ λέγεται μεριχὴ ἀπόφανσις. προσδιορισμοὶ δέ εἰσι τέσσαρες. δύο μὲν καθόλου ὁ πᾶς καὶ οὐδείς, δύο δὲ μεριχοί ὅ τις, καὶ οὐ πᾶς. καὶ τῆ καθόλου καταφατικὸς μέν ἐσιν ὁ πᾶς, ἀποφατικὸς δὲ ὁ οὐδείς. ὡσαύτως δὲ καὶ τῆ μεριχῶν, ὁ μὲν τὶς ἐσὶ καταφατικὸς, ὁ δὲ οὐ πᾶς ἀποφατικός. προσδιορισμοὶ δὲ λέγονται, ὅτι οἱονεὶ προσρήματά τινα ὄντες τοῖς ὑποκειμένοις προσκείμενοι διορίζουσιν ὅπως ἔχει τὸ κατηγορούμενον πρὸς τὸ πλῆθος, τῆ ὑπὸ τὸ ὑποκείμενον ἀτόμων. Κατὰ μὲν οὖν τὴν διαίρεσιν τοῦ ὑποκειμένου, τέτταρα φαίνονται ποικιλόμενα αἱ καταφάσεις, ἐπὶ τῆ αὐτῆ πραγμάτων ὑποκειμένου τε, καὶ κατηγορουμένου. αἷς ἰσάριθμοι ἀποτελούμεναι ἀποφάσεις ἐπὶ τῆ αὐτῆ πραγμάτων, ἐπείναις ἀντικειμένως ἔχουσαι, τέτταρας ἀποτελοῦσιν ἀποφάνσεως ἀντιθέσεις. ἑκάστη γὰρ καταφάσει, ἀεὶ ἀπόφασις ἀντίκειται. ὥσπερ καὶ ἀνάπαλιν, ἑκάστη ἀποφάσει, καταφασις. οὐχ ἡ τυχοῦσα δὲ τῆ τυχούσῃ, ἀλλ' ὅσαι τοῦ αὐτοῦ εἰσὶ κατηγορουμένου, κατὰ τοῦ αὐτοῦ ὑποκειμένου. Τῷ αὐτῷ τοιγαροῦν ὑποκειμένῳ φέρε εἰπεῖν ἀνθρώπῳ, ὁ Πᾶς προσαπτόμενος προσδιορισμὸς, δίδωσιν ἡμῖν ἐννοεῖν, ὅτι καθόλου λαμβάνεται, καὶ ποιεῖ τὴν καθόλου, ὡς καθόλου καταφατικὴν ἀπόφανσιν, οἷον πᾶς ἄνθρωπος περιπατεῖ. Ὁ δὲ Οὐδεὶς προσδιορισμὸς, τῷ αὐτῷ προσεθεὶς ὑποκειμένῳ ποιεῖ τὴν καθόλου, ὡς καθόλου ἀποφατικὴν ἀπόφανσιν, οἷον οὐδεὶς ἄνθρωπος περιπατεῖ. Καὶ ἀντίκεινται αἱ τοιαῦται ἀλλήλαις ὡς ἐναντίαι. ὅτι ὡς ἔχουσι τὰ ἐναντία κατὰ τὴν περὶ τὸ ἀμφοῖν δεκτικὸν συνύπαρξιν, ἢ ἀπουσίαν, οὕτω ἃ ἄνται πεφύκασι πρὸς τὸ συναληθεύειν, ἢ συμψεύδεσθαι.

Τῇ αὐτῇ δὲ καθόλου σημαντικῇ φωνῇ ὁ οὐ πᾶς προσαπτόμενος προσδιορισμὸς, ὥσπερ καὶ ὁ τὶς, ποιοῦσι τὴν τῆ ὑπεναντίων λεγομένων συζυγίαν. οἷον τὶς ἄνθρωπος περιπατεῖ, οὐ πᾶς ἄνθρωπος περιπατεῖ. Ὑπεναντίαι δὲ ἤκουσαν ἄνται, ὅτι ὑπὸ τὰς ἐναντίας κεῖνται (καὶ ὅτι οὐδὲ κυρίως εἰσὶν ἐναντίαι. συναληθεύσει γὰρ ὥσπερ κατωτέρω εἰσόμεθα. Ἐνίοτε δὲ αὖδ τινὸς προσδιορισμῦ ἡ καθόλε φάσις ὑποκειμένου ἐν ταῖς ἀποφάνσεσι γίνεται. οἷον ἄνθρωπος περιπατεῖ, ἄνθρωπος οὐ περιπατεῖ. Ἃ εἴρηται ἡ τοιαύτη συζυγία τῷ Φιλοσόφῳ ἀπροσδιόριστος, ὡς καθόλε καὶ μὴ καθόλε. Καθόλου μὲν διὰ τὴν ὑποκειμένην (1) φύσιν, ὅτι ἐσὶ

(1) Φάσιν.

ἐστὶ (1) σημαντικὴ φύσεως ἐν πλείοσιν ὑπαρχούσης. Ὡς μὴ καθόλου δέ, διὰ τὸ ἀμοιρεῖν τῆς καθόλου προσδιορισμῶν.

Παρὰ ταύτας δέ εἰσιν αἱ καθ' ἕκαστα, ἐφ' ὧν ἡ ὑποκειμένη φύσις ἑνός τινὸς ἀτόμου τυγχάνει δηλωτική. οἷον Σωκράτης περιπατεῖ, Σωκράτης οὐ περιπατεῖ, ἐξ ὧν ἡ καθ' ἕκαστα συζυγία ἀποτελεῖται.

Τέσσαρες οὖν αὗται ἀντιθέσεις τῆς ἐκ τοῦ αὐτοῦ ὑποκειμένου, καὶ κατηγορουμένου ἀποφάσεων, κατὰ τὴν διαφορὰν τῆς λήψεως τοῦ ὑποκειμένου πολυπλασιαζόμεναι, αἷς καὶ πέμπτη ἀναφαίνεται τῆς διαφερουσῶν κατά τε ποσότητα, καὶ ποιότητα ἀντίθεσις. ἥτις καὶ ἀντιφατικὴ λέγεται, ὡς μήποτε συμβαδομένη, ἢ σωζαληθεύουσα. οἵαί εἰσιν, ἡ πᾶς ἄνθρωπος περιπατεῖ, καὶ ἡ οὐ πᾶς ἄνθρωπος περιπατεῖ, αἱ αὐταῖς ἀντικείμεναι, οἷον ἡ οὐδεὶς ἄνθρωπος περιπατεῖ, καὶ ἡ τὶς ἄνθρωπος περιπατεῖ.

Παρὰ ταύτας δέ ἐστιν ἡ τῆς ὑπαλλήλων ἀντίθεσις, ἢ μᾶλλον εἰπεῖν ἀκολουθία. ἀντίκεινται γὰρ αὗται κατὰ μόνην ποσότητα. κατὰ δὲ ποιότητα ὁμοφωνοῦσιν, ὡς ἡ καθόλου καταφατικὴ, τῇ ἐπὶ μέρους καταφατικῇ, καὶ ἡ καθόλου ἀποφατικὴ, ὁμοίως τῇ ἐπὶ μέρους ἀποφατικῇ. Εἰς εὐκρινεστέραν δὲ κατάληψιν ἐκκείσθωσαν ἑξῆς ἐπὶ διαγράμματος.

λαί


ἐν ποσότητι μὴ αὐτὰ μόνον ἀντίκεινται, ὡσαύτως δὲ ἐν ποιότητι αἱ ὑπαλλ:

ληλοι ὁμοφωνοῦσι μόνον.

Οὐ

(1) Αὕτη ἡ συζυγία.

Pag. 334.



Διαφορὰ τῶν ἀντιθέσεων ἀπὸ τῆς σχέσεως τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον.

Τούτων δὲ αὐθις τῷ ἐκτεθεισῶν συζυγιῶν ἑκάστη ἴσχως συμβαίνει ποικίλεσθαι, κατὰ τὸ τριττὸν τῆς σχέσεως τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον. Ἢ γὰρ τὸ κατηγορούμενον φύσει ἀεὶ συμπίπτει τῷ ὑποκειμένῳ, ὡς τῷ ἀνθρώπῳ τὸ ἀναπνεῖν. Ἢ φύσει ἀεὶ τοῦ αὐτοῦ ἠλλοτρίωται, ὡς τοῦ λίθου τὸ αἰσθάνεσθαι. Ἢ ποτὲ μὲν ὑπάρχει τὸ κατηγορούμενον

νον τῷ ὑποκειμένῳ, ποτὲ δὲ οὔ, ὡς τῷ ἀνθρώπῳ τὸ περιπατεῖν. Τὰς δὲ τοιαύτας σχέσεις, ἢ διαφορὰς, καὶ ὕλας καλεῖν ἠξίωσαν οἱ λογικεύομενοι, ὡς τοῖς ὑποκειμένοις πράγμασι συναναφαινομένας. ἐφ' ὧν ὡς ἐπίτινος ὕλης οἱ ἀποφαντικοὶ σχηματίζονται λόγοι. Ὧν ἡ μὲν πρώτη καθ' ἣν ἀεὶ ὑπάρχει τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, ἀναγκαία εἴρηται ὕλη, ὡς ἀναγκαίως ἀεὶ ὄντος ἐκείνῳ. τὸ γὰρ ἀναπνεῖν, ἀναγκαίως ἔνεστιν ἀεὶ τῷ ἀνθρώπῳ. Ἡ δὲ μετ' αὐτὴν καθ' ἣν ἀεὶ ἠλλοτρίωται τοῦ ὑποκειμένου τὸ κατηγορούμενον, ἀδυνάτως ἤκουσεν, ὅτι ἀδυνάτου ἐστὶ τῷ ὑποκειμένῳ συνυπάρξαι τὸ κατηγορούμενον. ἀδυνάτον γὰρ τὸν λίθον αἰθάνεσθαι. Ἡ δὲ τρίτη ἐνδεχομένη ἤκουσεν. ἐνδέχεται γὰρ ὑπάρχειν τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, καὶ μὴ ὑπάρχειν, ὡς τὸ περιπατεῖν τῷ ἀνθρώπῳ.

Διαφορὰ τῶν Ἀντιθέσεων ἀπὸ τοῦ χρόνου.

Λοιπὴ δὲ ἔσαι ταῖς ἐκτεθείσαις ἡ κατὰ τὸ κατηγορούμενον διαίρεσις τῆς ἀποφάσεων, τριμερὴς δὲ καὶ αὕτη. ἐπειδὴ γὰρ τὸ κατηγορούμενον προσημαίνει χρόνον, ὁ δὲ χρόνος τριμερής. (διαιρεῖται γὰρ κατὰ τὸ ἐνεστὸς, καὶ παρελήλυθὸς, καὶ μέλλον.) πρόδηλον ὅτι τριχῶς ποικίλεσθαι ἐνδέχεται ἀπὸ τοῦ κατηγορουμένου ἑκάστη τῆς ἐκτεθεισῶν τῆς ἀποφάσεως συζυγιῶν.

Ἐκτιθέασιν οἱ νεώτεροι καὶ ἄλλας τῆς Ἀποφάσεων ἀντιθέσεις διαφόρους, οἷον τὰς μὲν κατὰ φύσιν, τὰς δὲ παρὰ φύσιν τὴν κατηγορίαν ποιεῖσθαι, ὡς αἵδε. πᾶς ἄνθρωπος ζῶον, καὶ τι ζῶον ἄνθρωπος. Καὶ τὰς μὲν ταυτολογούσας, οἷον ἄνθρωπος ἐστὶν ἄνθρωπος, τὰς δὲ μή. Καὶ τὰς μὲν καθ' αὑτὸ, τὰς δὲ κατὰ συμβεβηκὸς τὴν κατηγορίαν ποιεῖσθαι. Ἀλλ' αὗται καὶ ὅσαι ἄλλαι τοῦ αὐτοῦ γένους, ἐπὶ τὴν σχέσιν ἀνάγονται τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον, ἧς αἱ γενικώτεραι διαφοραὶ ἐξετέθησαν.

Διαφορὰ τῶν ἀποφάσεων ἀπὸ τῆς λεκτικῆς σωνηθείας.

Πᾶσαι μέντοι αἱ τοιαῦται διαφοραὶ τῆς ἀποφάσεων, εἴτε παρὰ τὴν σχέσιν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον, εἴτε παρὰ τὴν διαφορὰν

φορὰν τοῦ προσημαινομένου χρόνου τῷ κατηγορουμένῳ, κατὰ τὰς ἐκτεθείσας ἐπὶ τοῦ ἀνωτέρω διαγράμματος πρὸς ἀλλήλας διατάττονται, καὶ κατὰ τὰς λοιπὰς ἑφεξῆς ἀντιθέσεις, ὡς ἐπὶ τοῦ διαγράμματος καθορᾶται. Τὰς δὲ ἐκτεθείσας ἀντιθέσεις πάσας τειχῶς ἔτι διελεῖν ἐνδέχεται, κατὰ τὴν διαφορὰν τῆς ἐν αἷς χηματίζονται λέξεων. Ἢ γὰρ ἐξ ὀνόματος μόνον καὶ ῥήματος σωτιθέμεθα, ἃς καὶ ἁπλᾶς φίλον καλεῖν, ὡς τὸ ἄνθρωπος περιπατεῖ. Ἢ μετὰ τοῦ ἐστὶ ῥήματος, ἃς καὶ ἐκ τρίτου προσκατηγορουμένου φασὶν, ὡς τὸ ἄνθρωπος ἐστὶ δίκαιος. Καὶ τρίτον μετὰ τρόπου, ὡς τὸ ἀναγκαίως ὁ ἄνθρωπος ἀναπνεῖ. Τριῶν οὖν οὐσῶν τῆς κατὰ τὰς Ἀποφάνσεις χηματικῶν διαφορῶν, πάσαις, καὶ ἑκάστῃ ἰδίως προσόντα, ἑφεξῆς ῥητέον ἡμῖν, καὶ πρῶτον περὶ τῆς ἁπλῶν, εἰς ἀφαίρεσιν καταλῆψιν, ἐπὶ διαγράμματος ἐκθεμένων.

Ὅπως ἔχουσιν ἐφ' ἑκάστης ἀντιθέσεως αἱ ἀντικείμεναι Ἀποφάνσεις, πρὸς τὸ σωαληθεύειν, ἢ συμψεύδεσθαι.

Αἱ μὲν οὖν καθόλου, ὡς καθόλου, ἅμα μὲν ἀληθεῖς, οὐκ ἂν γένοιντο ποτε ἐπὶ πάσης ὕλης· ἅμα δὲ ψευδεῖς, ἐπὶ τῆς ἐνδεχομένης φαίνονται ὕλης. οἷον πᾶς ἄνθρωπος περιπατεῖ, οὐδεὶς ἄνθρωπος περιπατεῖ. Ἐπὶ δὲ τῆς ἀναγκαίας, καὶ ἀδυνάτου ὕλης, ἀεί ἐστιν ἡ μὲν ἑτέρα ψευδὴς, ἡ δὲ ἑτέρα ἀληθής. Αἱ δὲ κατὰ μέρος ψευδεῖς μὲν οὐκ ἂν ποτε ἄμφω εἶεν, ἄμφω δὲ ἀληθεῖς γίνονται ἐπὶ τῆς ἐνδεχομένης ὕλης. οἷον τὶς ἄνθρωπος περιπατεῖ, τὶς ἄνθρωπος οὐ περιπατεῖ. Ἐπὶ δὲ τῆς ἀναγκαίας καὶ ἀδυνάτου ὕλης, ἀεὶ ἡ μὲν ἑτέρα ἐστὶν ἀληθὴς, ἡ δὲ ἑτέρα ψευδής. καὶ ἕπεται ἑκατέρα ἐπὶ τῆς ἀναγκαίας καὶ ἀδυνάτου ὕλης, τῇ ἐναντίᾳ ὑφ' ἣν τάττεται, πρὸς ἣν καὶ ὑπάλληλος λέγεται ἑκατέρα ἑκατέρᾳ, ἡ μὲν Τὶς, τῇ Πᾶς, ἡ δὲ οὐ Πᾶς, τῇ Οὐδείς. Ὧν τῆς μὲν καθόλου ἀληθευούσης, ἐξ ἀνάγκης ἀληθεύει καὶ ἡ ὑπ' αὐτὴν μερικὴ, ἅτε δὴ μέρος ἐκείνης, καὶ ὑπ' ἐκείνης περιεχομένη. Ψευδομένης δὲ τῆς καθόλου οὐκ ἀναγκαίως ψεύδεται καὶ ἡ ὑπ' αὐτὴν μερικὴ. ἐνδέχεται γὰρ τὸ κατηγορούμενον πᾶσι μὲν τοῖς ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις μὴ ὑπάρχειν, ἀλλά τισι μόνον, ὡς ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἐφ' ἧς ἀληθεύει μὲν ἡ κατὰ μέρος, ψευδομένης τῆς καθόλου. Τῆς δὲ μερικῆς ψευδομένης ἐφ' οἱασοῦν ὕλης, ἀναγκαίως ψεύδεται καὶ ἡ καθόλου.

λε. τὸ δὲ καπάτι τῆς οἰκείων μερῶν μὴ ὂν ἀληθὲς, καθόλε ἂν ἔσιν ἀληθές.

Τῷ αὐτῷ δὴ τούτῳ σίχουσι κανόνι καὶ αἱ ἀπροσδιόρισοι. τὰ μὲν γὰρ ἄλλα αἱ αὐταί εἰσι ταῖς κατὰ μέρος, ὡς ὁ ζόπος καπαγγέλει τῆς προφορᾶς, πλὴν αἱ ἀπροσδιόρισοι ἀδιαφόρως, καὶ ἀντὶ τῆς καθόλου λαμβάνονται, ἐξακουομένων δηλονότι τῆς καθόλου προσδιορισμῶν. διὸ καὶ εἴρηται „ τῆς Φιλοσόφῳ. αὗται μὲν οὐκ εἰσὶν ἐναντίαι, τὰ μέντοι δηλούμενα ἐσὶν „ εἶναί ποτε ἐναντία. ἀλλ' ἰδίκα ἀντὶ τῆς καθόλου λαμβάνονται, κατ' ἐκείνας καὶ συμφθείρονται. Λοιπὴ οὖν ἡ τῆς καθ' ἕκασα συζυγία, ἃς κατὰ ἀντίφασιν ἀντικεῖθαι φησὶν ὁ Φιλόσοφος ὅσαι τοῦ αὐτοῦ εἰσὶ κατὰ τοῦ αὐτοῦ, καὶ ὅσα ἀνωτέρω εἴρηται, ὧν τῆς ἑτέρας ἀληθευούσης, ἐξ ἀνάγκης ψευδὲς ἔζιν ἡ ἑτέρα ἐπὶ πάσης ὕλης. Ταύταις ὁμοίως ἔχουσιν ἀντιφατικῶς καὶ αἱ ἐναγώνιοι κατὰ τὸ ἐκτεθὲν διάγραμμα, δηλονότι ἡ Πᾶς & Οὐ πᾶς. ἥτε Οὐδεὶς καὶ Τίς. ἅυται γὰρ ἐπ' οὐδεμιᾶς ὕλης συναληθεύουσιν, ἢ συμψεύδονται, ἀλλ' ἀεὶ διαιροῦσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ὅπερ ἐσὶ τῆς Ἀντιφάσεως τὸ ἀξίωμα, ἃς καὶ καθόλου τῆς καθόλου καλεῖ ὁ Φιλόσοφος διὰ τῆς καθόλε τυχὸν, ὡς τελειοτέρας εἰληφὼς τὴν ἐπωνυμίαν.

Οὐκ ἐπὶ παντὸς μέντοι χρόνου πᾶσαι ὁμοίως ἀληθεύουσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἀλλ' αἱ μὲν ἐναγώνιοι ἀντιφάσεις, ἀπαραλλάκπως ἔχουσι κατὰ τὰ εἰρημένα, ἐπὶ πάσης ὕλης καὶ παντὸς χρόνου μαχόμεναι ἀλλήλαις ἀσπονδα. ἐπὶ δὲ τῆς τῆς καθ' ἕκασα καὶ μελλόντων ἀντιθέσεως ἐκ ἀναμφισβπήπως ἔχουσιν, οἱ ἐκτεθέντες κανόνες. ζιχῶς γὰρ τούτων κατὰ τὴν ὕλην διαιρουμένων, ὥσπερ καὶ αἱ λοιπαί, ἐπὶ μὲν τῆς ἀναγκαίας ὕλης οἷον ὁ ἥλιος ἐς ἄυριον ἀνατελεῖ, ἢ μετὰ κηλὸν ἔσαι ἐν ταύρῳ. καὶ ἐπὶ τῆς ἀδυνάτου οἷον ὁ ἥλιος ἐς αὔριον ἐκ ἀνατελεῖ, ἢ μετὰ κηλὸν ἀμέσως ἔσαι ἐν λέοντι, ἀναμφίλεκτα τὰ εἰρημένα περὶ αὐτῶν. ἐπὶ παντὸς δὲ χρόνου ἡ μὲν ψευδὴς, ἡ δὲ ἀληθής. Ἐπὶ δὲ τῆς ἐνδεχομένης ὕλης δοκεῖ πως ἀμφισβπήσιμον, εἰ ἀεὶ διακρίνουσι τὸ ἀληθὲς, καὶ τὸ ψεῦδος, οἷον εἰς νέωται ἔσαι ναυμαχία Ἰωάννοις καὶ Ἐνετοῖς, εἰς νέωται ἐκ ἔσαι ναυμαχία. ἄδηλον γὰρ ἐπὶ τούτων ὁποτέρα ἐσὶν ἀληθὴς, ἢ ψευδής.

Ζήτημα.

Πότερον ἐν τοῖς μέλλουσιν ἐνδεχομένοις, θατέρα τῶν μερικῶν προτάσεων, ὡρισμένως ἀληθεύει ἢ ψεύδεται, ἢ ἀναγκαίως μὲν, ἀορίςως δέ;

Τεξαχῶς δὲ τὼ περὶ τούτου ζήτησιν, καὶ δόξαν ἐνδέχεται γενέσθαι. Ἢ γὰρ ἀμφότεραι ἀληθεύουσιν ἐρεῖτις, καὶ ἢ τὸ ἔσαι, καὶ μὴ ἔσαι ὑποφαίνουσα. Ἢ ἀμφότεραι ψεύδονται. Ἢ τὼ μὲν ὡρισμένως ἀληθῆ φησειέτις, τὼ δὲ ὡρισμένως ψευδῆ, καὶ οὐχ ὁπότερα τύχῃ. Ἢ γοῦν ἀνάγκη μὲν θάτερον μόριον τῆς Ἀντιφάσεως ἀληθὲς εἶναι, ἢ ψευδές, οὐ μέντοι τόδε, ἢ τόδε, ἀλλ' ἀορίστως ὁπότερον ἔτυχε. Τούτων οὖν τὼ τελευταίαν δόξαν αἱρεῖται ὁ Φιλόσοφος, καὶ ἀποδείκνυσι.

Πρὸς μὲν οὖν τὰς δύο πρώτας ῥᾴονος γίνεται ἡ ἀπάντησις, τοιόνδε τὶ λημμάτιον προλαβοῦσιν. Ἔξεσι γὰρ καὶ ἀπὸ τῆς ἀληθείας τῶν λόγων ἐπὶ τὸ εἶναι τῶν πραγμάτων, καὶ ἀπὸ τοῦ εἶναι τούτων ἐπὶ τὼ τῶν λόγων ἀλήθειαν ἐπιχειρεῖν. Ὡς γὰρ ἔχουσι τὰ πράγματα πρὸς τὸ εἶναι, ἢ μὴ εἶναι, ἕτως οἱ λόγοι πρὸς τὸ ἀληθεύειν ἢ ψεύδεσθαι. Καὶ ἀνάπαλιν, ὡς ἔχουσιν οἱ λόγοι πρὸς τὸ ἀληθεύειν ἢ ψεύδεσθαι, οὕτω τὰ δηλούμενα πράγματα πρὸς τὸ εἶναι ἢ μὴ εἶναι. Εἰ ἐν ἀδυνάτον τὸ αὐτὸ πρᾶγμα καὶ πάντα ἅμα ἔσεσθαι καὶ μὴ ἔσεσθαι, ἀδυνάτον καὶ τὸς λόγους ἅμα ἀληθεύειν, ἢ ψεύδεσθαι, τοὺς ἀποφάσκοντας ἢ καταφάσκοντας τὸ αὐτὸ, καὶ τὸ αὐτοῦ.

Ἡ δὲ ξίτη ὡρισμένως λέγουσα, θάτερον μόριον τῆς ἀντιφάσεως ἀληθεύειν ἐπὶ τῶν μελλόντων, τὸ δὲ ἕτερον ψεύδεσθαι, τὸ ἐνδεχόμενον αἱρεῖν δοκεῖ, Ἔχει μέντοι πιθανότητος εἰκασίαν τινά. Εἰ γὰρ ἐκ τῶν εἰρημένων ἀνάγκη ἐσὶ τὼ κατάφασιν, ἢ ἀπόφασιν ἀληθεύειν, ἢ ψεύδεσθαι, πάντα ἔσαι ἀναγκαῖα τὰ γινόμενα, & οὐχ ὁπότερα ἔτυχεν. Εἰ γὰρ ὁποτέρως ἔτυχεν ἐγίγνετο, ὁμοίως ἂν ἐγίγνετο, ἢ οὐκ ἐγίγνετο. νῦν δὲ τὰ πράγματα, ὁμοίως γενέσθαι, καὶ μὴ γενέσθαι ἀδυνάτον, ἀλλ' ἐξ ἀνάγκης ἐσὶ θάτερον μέρος ἐσόμενον. εἴπερ ἐξ ἀνάγκης ὁ φὰς ἀληθεύει, ἢ ὁ ἀποφάς. Καὶ (1) ἄλλως δὲ τοῦτο ἀπὸ τοῦ ἐπιβεβηκότος σαφὲς γίνεται, περὶ γὰρ (φέρε εἰπεῖν) τοῦ γεγονότος ἤδη λευκοῦ, ἀληθὲς λῦ εἰπεῖν περὶ γενέσθαι, ὅτι ἔσαι λευκόν. Εἰ δὲ ἀληθὲς λῦ εἰπεῖν ὅτι ἔσαι, ἀδυνάτον λῦ μὴ ἔσεσθαι. ὡς γὰρ οἱ λόγοι πρὸς τὸ ἀληθεύσιν, οὕτως ἔχει τὰ πράγματα πρὸς τὸ εἶναι ὡς εἴρηται. Τὸ δὲ ἀδυνάτον μὴ γενέσθαι, ἀνάγκη ἐσὶ γενέσθαι. Τοιγαροῦν ἅπαντα τὰ ἐσόμενα, ἐξ ἀνάγκης γίνεται. ἀλλὰ καὶν μὲν ὅ φήσῃ τις, ὅ δὲ ἀποφήσῃ, τὰ πράγματα οὐδὲν ἧττον ἕξει ἀναγκαίως, εἴπερ ὡρισμένως τὸ ἕτερον μόριον ἀληθεύει τῆς ἀντιφάσεως. οὐ γὰρ παρὰ τὸ φάναι, ἢ μὴ φάναι τὰ πράγματα ἀναγκαίως συμβαίνει γίνεσθαι, ἢ μὴ, ἀλλὰ διὰ τὼ ἔκβασιν τῶν πραγμάτων ἀληθεύουσιν οἱ περὶ αὐτῶν λόγοι, ἢ ψεύδονται.

Θέσις

(1) Δεύτερος λόγος.

Θέσις. δοκεῖ γὲν ἡμῖν ὅτι θάτερον μόριον τῆς Ἀντιθέσεως ἀναγκαίως μὲν ἀληθάει, ἢ ψάδεται, ἀλλ' ἀορίςως, ἵνα μὴ τὰ ἐνδεχόμενα ἐκ μέσου γένηται.

Ἐπὶ μὲν οὖν τῆς ἐνδεχομένης ὕλης ὡρισμένως θάτερον μόριον τῆς Ἀντιφάσεως ἀεὶ ἀληθάειν, ἐπὶ τῷ καθ' ἕκασα, καὶ μελλόντων, τὸ ἐνδεχόμενον αἱρεῖθαι δοκεῖ τοῖς ἐκτεθεῖσι λόγοις. Τὰ δὲ ἐκ τούτου συμβαίνονα ἄτοπα, ἅπαντα τὸν ἀνθρώπινον ἀναῤῥέπει βίον. μάταιον γὰρ ἂν ἦν ἡμῖν τὸ βουλεύεθαι, καὶ πράξεσιν ἐγχειρεῖν. μάταιοι δὲ καὶ οἱ νόμοι, καὶ αἱ πολιτεῖαι πᾶσαι. Ὡ αὐτὴ ἡ φύσις μάτην ἂν ἐποίει βουλευτικὸν ζῶον τὸν ἄνθρωπον. Ἐπεὶ δὲ πᾶν τα εἶναι ἀδύνατον, καὶ λέγειν ἀόριτον, τὸ ἐνδεχόμενον τίθεθαι ἀναγκαῖον. ὥσπερ γὰρ τὸ βουλεύεθαι αἴτιον ἐςὶν ἐνδεχόμενον, καὶ τὰ πράγματα ἔσαι ἐνδεχόμενα, ὧν αἴτιον γίνεται. Ἔςι δὲ τὸ ἐνδεχόμενον διττόν. τὸ μὲν γὰρ ἐξίσου ἐνδέχεται, καὶ γενέθαι, καὶ μή. οἷον εἰς αὔριον τὸν Σωκράτην διαλεχθήσεθαι, ἢ μή. ἢ λούσεθαι, ἢ μή, καὶ ἐνὶ λόγῳ, ὅσα ἐπὶ τῇ προαιρέσει κεῖται τῇ ἡμετέρᾳ. Τοῦ δὲ, τὸ μὲν ὡς ἐπὶ τὸ πολὺ μὴ γίνεθαι, θάτερον δὲ ἐπ' ἔλαττον γενέθαι, ὡς τὸν σκάπτονται θησαυρῷ ἐντυχεῖν. Ἐπὶ μὲν οὖν τοῦ ἐξίσου ἐνδεχομένου, ἐξίσε ἐνδέχεται τὴν κατάφασιν ἀληθεύειν, ἐπὶ δὲ τοῦ ὡς ἐπὶ τὸ πολὺ μὴ ἐμβαίνοντος, ὡς τὰ πολλὰ ἡ Ἀπόφασις. Οὐ μὴν ἀλλ' ἐνδέχεταί γε ἀληθεῦσαι, καὶ τὴν κατάφασιν, ἀλλ' ἐπ' ἔλαττον, ἀόριτον μέντοι ἐπ' ἀμφοτέρων, (1) καὶ τὸ ἀληθεύειν καὶ ψεύδεθαι ὑπάρχει.

Πρὸς δὲ τοὺς σωιζῶντας λόγους τὸ ὡρισμένως ἀληθεύειν θάτερον τῆς τῆς ἀντιφάσεως μορίων, ἐπὶ τῷ καθ' ἕκασα ἐνδεχομένων καὶ μελλόντων. ῥητέον, Ὅτι τὸ ἐνδεχόμενον οὐδὲν κωλύει ἀναγκαίως ἐσόμενον λέγεθαι ἐξ ὑποθέσεως. οἷον ἐπὶ τῆς, Σωκράτης φιλοσοφήσει, Σωκράτης οὐ φιλοσοφήσει ἀντιφάσεως, εἴτις ὑποθείη θάτερον μόριον ὡρισμένως ἐξ ἀνάγκης ψευδόμενον, ἀληθεύσει ἐξ ἀνάγκης τὸ ἕτερον, τοιοῦτος ἐςὶν ὁ Φιλοσόφε λόγος. ὑποθεὶς γὰρ τὸ ἕτερον μόριον τῆς Ἀντιφάσεως ἐμβεβηκὸς, ὅτι ἔσαι ἀληθὲς, συμπέραινεν ὅτι ἀδύνατον ἦν πρὸ οἵου δήποτε χρόνε εἰπεῖν μὴ ἔσαι ἀληθὲς, εἰ τοῦτο ἦν ἐξ ἀνάγκης ἐσόμενον. Ἀλλ' οὐδὲν θαυμασόν. τὸ γὰρ εἶναι τὸ ὂν, ὅταν ᾖ, ὡς φησιν ὁ Φιλόσοφος ἀναγκαῖον ἐςὶν, ὥσπερ καὶ τὸ μὴ ὂν μὴ εἶναι, ὅταν μὴ ᾖ. Ἀλλ' οὐ τοῦτο

(1) Τῶν ἐνδεχομένων τοῦτε ἐξίσε, ἢ τοῦ μὴ ἐξίσε, δηλαδὴ τοῦ ὡς ἐπὶ τὸ πολὺ, καὶ ὡς ἐπ' ἔλαττον.

μόνον ζητεῖται, ἀλλ' εἰ πρὸ τοῦ γενέσθαι ἀναγκαίως ἐστὶν ἐσόμενον ὡρισμένως τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως. Τὸ γὰρ ἐξ ὑποθέσεως ἀναγκαῖον, οὐ μόνον ἐπὶ τῶν ἐνδεχομένων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀδυνάτων ἀληθεύει. Εἰ γὰρ καὶ ὑπόθεσιν ὁ Ὄνος μετέβαλλεν εἰς Κολοιόν, ἔφυσεν ἐξ ἀνάγκης καὶ πτερά. Πρὸς δὲ τὸν λέγοντα ὅτι ἀνάγκη ἀεὶ τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως ἀληθεύειν, ῥητέον. Εἰ μὲν ὑφ' ἓν προφέρεται κατὰ διάζευξιν ἡ Ἀντίφασις, οἷον ἀνάγκη λούσεσθαι τὸν Σωκράτη ἄριστον, ἢ μὴ λέσεσθαι, τὸ ὅλον ἐστὶν ἀληθές. (περὶ παντὸς γὰρ εἰπεῖν εἶναι, ἢ μὴ εἶναι ἀληθές.) Ἦν δὲ κεχωρισμένως τὸ ἕτερον μόριον λέγοιτο ἀληθεύειν ἐξ ἀνάγκης, ἢ γοῦν κεχωρισμένως ὅτι ψεύδεται, ὡρισμένως μὲν, εἰ ἀξιοῖ ὁ ἀποφαινόμενος, οὐκ ἀληθές. (ἀόριστον γὰρ ἐπὶ τῶν ἐνδεχομένων τὸ μέλλον, καὶ ἀμφιρεπές.) ἀορίστως δὲ ἀληθεύσει. Ἔστιν ἄρα καὶ ἐπὶ τῶν ἐνδεχομένων, καὶ μελλόντων ἀεὶ τὸ ἕτερον μέρος ἀληθές, ὡς τὸ ἀξίωμα τῆς ἀντιφάσεως ἀπαιτεῖ, ὃ μὴν ὡρισμένως, ἀλλ' ἐπὶ μὲν τῶν ἐξ ἴσου ἐνδεχομένων ὁπότερον ἔτυχεν, Ἐπὶ δὲ τῶν μὴ (1) ὁμοίως ἐνδεχομένων μᾶλλον μὲν ἀληθὴς ἡ ἑτέρα. ὃ μέντοι ἤδη ἀληθὴς, ἢ ψευδὴς ὡρισμένως.


Περὶ τῶν ἐξ ἀορίστου ὑποκειμένου.

Ταῦτα περὶ τῶν ἁπλῶν πεθεωρηκότες ἀποφάσεων, ἐκεῖνο ἐπειπεῖν ἔτι καιρός. ὡς εὔχρηστοι μὲν τοῖς φιλοσοφοῦσι παρὰ τὰς ἐκτεθείσας ἁπλᾶς ἀποφάσεις, οὐκ εἰσὶν ἕτεραι ἐξ ὑποκειμένου μόνου καὶ κατηγορουμένου. Ἰσάριθμοι δὲ γίνονται ταύταις αἱ ἐξ ἀορίστου ὑποκειμένου συγκείμεναι, ἀλλ' εἰς εὕρεσιν ἀληθείας πάνυ σμικρὰ χρησιμεύουσι, πλὴν τὸ τὴν κατηγορίαν ὁμοίως ποιεῖσθαι κατάτε τῶν ὄντων, καὶ μὴ ὄντων ἀορίστως. οἷα δήπου τυγχάνει δηλωτικὸν τὸ ἀόριστον ὑποκείμενον. Εἰσὶ δὲ τοιαῦται, οἷον πᾶς οὐκ ἀνὸς ἀναπνεῖ, οὐδεὶς οὐκ ἄνος ἀναπνεῖ. τὶς οὐκ ἄνος ἀναπνεῖ, οὐ πᾶς οὐκ ἄνος ἀναπνεῖ. καὶ ἐπὶ τῶν λοιπῶν ἀντιθέσεων ὁμοίως, ἃς ἔγωγε δοκεῖ ἐκθετέον ἐπὶ διαγράμματος. Ἐκτὸς δὲ τούτων οὐκ ἔστιν ἄλλας ἐπινοῆσαι. τὸ γὰρ κατηγορούμενον ἐν ταῖς ἁπλαῖς ἀποφάσεσιν, οὐκ ἐνδέχεται γενέσθαι ἀόριστον. προτιθεμένη δὲ ἡ ἄρνησις τῷ κατηγορουμένῳ ῥήματι, ὃ τὸ ῥῆμα ἀόριστον, ἀλλ' ἀποφατικῶς ποιεῖ τὴν ἀπόφανσιν.

Κα-

(1) Ἔστι δὲ μὴ ὁμοίως ἐνδεχόμενα ὡς τὰ ἐπ' ἔλαττον ἢ τὰ ἐπὶ τὸ πλεῖστον, μᾶλλον ἀληθὲς θάτερον μέρος τῆς ἀντιθέσεως ἑκατέρας. οἷον μᾶλλον ἐστὶν ἀληθὲς εἰπεῖν ὅτι χειμῶνος ὕει, ἢ οὐχ ὕει, ὡς ἢ ὁ σκάπτων μᾶλλον ἀληθές εἰπεῖν θησαυρὸν ἂν εὑρήσει, ἢ ὡς εἰπεῖν εὑρήσει. ἐπίσης δὲ ἢ ἐξ ἴσου ἀληθεῖς ἀντιθέσεις εἰσὶν, ὡς ὁ Σωκράτης ἄριστον λούσεται, ἢ οὔ.

Pag. 341.



Αὗται ἐπιδέχονται πάντας τοὺς ἐκτεθέντας κανόνας ὁμοίως ταῖς ἀνωτέρω, πλὴν πρὸς ἑαυτὰς συμβαλλόμεναι. ταῖς γὰρ ἐξ ὑποκειμένου ὡρισμένου ἀξύμβλητοί εἰσι.

Περὶ τῶν ἐκ τείτου προσκατηγορουμένου Ἀποφάνσεων.


Ἐκ τείτου προσκατηγορουμένου λέγονται ἀποφάνσεις, αἷς τὸ ἐσὶ ξίτον πρόσκειται, ἢ ἁπλῶς, ἢ κατὰ χρόνον, οἷον πᾶς ἄνθρωπος ἐσὶ ζῶον. τὸ γὰρ Ἐσὶν ἐνταῦθα τείτον πρόσκειται, οὐχ ὅτι τείτον ἐσὶ μέ-

ρος

ρος τῆς ἀποφάνσεως παρὰ τὸ ὑποκείμενον ἢ κατηγορούμενον, ταὐτὸ γὰρ δύναται, πᾶς ἄνθρωπος ἐστὶ περιπατῶν, τῇ πᾶς ἄνθρωπος περιπατεῖ. ἀλλ' ὅτι τρίτον ἀριθμεῖται ἐν ταῖς τοιαύταις ἀποφάνσεσι, ἢ συνδέσμου λόγον ἔχει συνδέον τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον. Ἐπιδέχονται δὲ τὴν αὐτὴν διαίρεσιν κατάγε τὰς διαφορὰς τοῦ ὑποκειμένου, ὕλης τε & χρόνου, αἱ ἐκ τρίτου προσκατηγορουμένου ἀποφάνσεις, ἥ τε καὶ αἱ ἁπλαῖ, καὶ σὺν λόγῳ ὅσα περὶ ἐκείνων εἴρηται, & περὶ τούτων λεγόμενα κρατεῖ. Εἰς σαφήνειαν δὲ ἢ αὗται ἐκκείσθωσαν, ἑφεξῆς ἐπὶ διαγράμματος ὁμοίως ταῖς ἀνωτέρω.


Pag. 342.





Διὰ δὲ ταύτας προσέσι τὸ, Ὃ κατηγορούμενον ἀόριστον ἐνδέχεται εἶναι. ἐπ' ἐκείνων γὰρ ἡ ἄρνησις προτιθεμένη τῷ κατηγορουμένῳ ἁπλῶς ὄντι τὴν ὑπόφασιν ἀποπλεῖ. ἐπὶ τούτων δὲ δυοῖν ἐνδέχεται τὴν ἄρνησιν προκεῖσθαι. Ἢ γὰρ πρὸ τοῦ ἐσὶ σωδέσμου, καὶ ποιεῖ τὴν ἀπόφασιν, Ἢ πρὸ τοῦ κατηγορουμένου ὀνόματος, Ὃ ποιεῖ οὐκ ἀπόφασιν, ἀλλὰ κατάφασιν ἐκ μεταθέσεως. Ἐκ μεταθέσεως δὲ ἦκται αὗται, διὰ τὸ ἐναλλαγμένον τῆς τούτων πρὸς τὰς ἁπλᾶς τάξεως. Ἡ μὲν γὰρ ἀπόφασις ὑπὸ τὴν ἁπλῆν κατάφασιν πίπτεται, ἢ ἕπεται. ἡ δὲ κατάφασις ὑπὸ τὴν ἁπλῆν ἀπόφασιν, ἧς προηγεῖται. Ἐκκείθωσαν δὲ τούτων εἰς σαφεστέραν κατάληψιν αἱ ἀντιθέσεις ἐφεξῆς. καὶ πρῶτον τῶν ἀποροδιωρίσεων.


Pag. 343.



Δύο μὲν οὖν αὗται ἀντιθέσεις, ἡ μὲν ἁπλῆ λεγομένη, ἡ δὲ ἐκ μεταθέσεως, τὸ αὐτὸ ἔχουσαι ὑποκείμενον πᾶσαι ἀποροδιώρισοι, καὶ σωθήσονται ἐπὶ τῆς ἐνδεχομένης ὕλης. Ὡσαύτως δὲ καὶ εἰ καθόλου λαμβάνειν τοὔνομα, δύο ὁμοίως φανήσονται ἀντιφάσεις, τὸ αὐτὸ ἔχουσαι ὑποκείμενον. Ἐκκείθωσαν εἰ δοκεῖ καὶ αὗται, ἐπὶ διαγράμματος.

Ἀντι-


Pag. 344.




Τοσαῦται μὲν οὖν τῷ ἐκ τρίτε προσκατηγορουμένε ἀποφάσεων ἐξ ὡρισμένε σύγκεινται ὑποκειμένε, δύο μὲν ἀπροσδιόριστοι, ἁπλῆ, καὶ ἡ ἐκ μεταθέσεως. δύο δὲ προσδιωρισμέναι, ὁμοίως ἡ μὲν ἁπλῆ, ἡ δὲ ἐκ μεταθέσεως. τὰς δὲ καθ' ἕκαστα δικλόγως παρέλειπεν ὁ Φιλόσοφος ὡς μικρὰ πρὸς ἐπιστήμην συμβαλλομένας. οὐδεμία γὰρ Ἐπιστήμη ἐστὶ τῶν καθ' ἕκαστα. Εἰσὶ παρὰ ταύτας καὶ ἕτεραι δύο τῷ ὑποκειμένῳ προσχρώμεναι ἀορίστῳ, τοῦ κατηγορουμένου ἀορίστου, ἢ ὡρισμένου τυγχάνοντος. Καὶ τούτων αἱ μὲν εἰσὶν ἀπροσδιόριστοι, ἃς ὁ Φιλόσοφος ἐνταῦθα ἐκτίθεται. αἱ δὲ μετὰ προσδιορισμοῦ. Ἀπροσδιόριστοι οὖν εἰσὶν, ὡρισμένου μὲν τοῦ κατηγορουμένου, καταφατικὴ μὲν, οἷον οὐκ ἄνθρωπος ἐστὶ δίκαιος, ἀποφατικὴ δὲ, οἷον ἐκ ἄνθρωπος οὐκ ἔστι δίκαιος; μία αὖτη ἀντίφασις. Ἑτέρα ἀόριστον καὶ τὸ κατηγορέμενον ἔχουσα. καταφατικὴ μὲν, οἷον οὐκ ἄνθρωπος ἐστὶν οὐ δίκαιος, ἀποφατικὴ δὲ, οἷον οὐκ ἄνθρωπος οὐκ ἔστιν οὐ δίκαιος. Μετὰ προσδιορισμοῦ δὲ εἰσὶν, ὡρισμένου μὲν τοῦ κατηγορουμένου καθόλου καταφατικὴ, οἷον πᾶς οὐκ ἄνθρωπος ἐστὶ δίκαιος. Ἀποφατικὴ δὲ κατὰ μέρος, οἷον οὐ πᾶς οὐκ ἄνθρωπος ἐστὶ δίκαιος.

» Τὸ δὲ τρίγωνον ἀντίθετον ἐστὶ σχήματι ὀρθογωνίῳ, ὃ μέν ἐστιν ἰσόπλευρον μὲν, οὐκ ἰσοσκελὲς δὲ, ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον, ὧν ἡ μὲν μία ἴση ἐστὶ τῇ λοιπῇ δυσὶ, ἡ δὲ τρίτη τῶν ἄλλων ἐστὶν ἐλάττων· ὃ δὲ ἰσοσκελὲς μὲν, ἰσόπλευρον δὲ οὐκ ἔστιν, ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον, ὧν ἡ μὲν μία ἴση ἐστὶ τῇ λοιπῇ δυσὶ, ἡ δὲ τρίτη τῶν ἄλλων ἐστὶν ἐλάττων· ὃ δὲ σκαληνὸν τρίγωνον, ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον, ὧν αἱ τρεῖς ἄνισοι ἀλλήλαις εἰσίν· ὃ δὲ ἀμβλυγώνιον τρίγωνον, ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον, ὧν ἡ μία γωνία ἀμβλεῖά ἐστιν· ὃ δὲ ὀξυγώνιον τρίγωνον, ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον, ὧν αἱ τρεῖς γωνίαι ὀξεῖαί εἰσιν· « ἐν δὲ τοῖς 344 ἐστὶ τὸ τρίπλευρον σχῆμα, ἐν δὲ τοῖς 345 τὸ τρίγωνον, καὶ ἐν τοῖς 346 τὸ τρίγωνον.

καιος. Ἀορίστου δὲ ἢ τοῦ κατηγορουμένου ὑπάρχοντος, καθόλου μὲν καταφατικὴ, οἷον πᾶς οὐκ ἄνθρωπος ἐστὶν οὐ δίκαιος. Ὑποφατικὴ δὲ κατὰ μέρος, οἷον οὐ πᾶς οὐκ ἄνθρωπος ἐστὶν οὐ δίκαιος. Ἐκκείσθωσαν δὲ ἢ αὗται ἐπὶ διαγράμματος.



Ὁμοίως δὲ εἰ καθόλου ληφθείη τὸ νόημα, δύο γενήσονται ἀντιφάσεις, ἀφ' ἀορίστου ὑποκειμένου ἀμφότεραι. Ἐκκείσθωσαν ἢ αὗται ἐφεξῆς.



Τεταχῶς οὖν πᾶσαι αἱ τῷ ἐκ τρίτου προσκατηγορουμένου ἀποφάνσεων ἀντιθέσεις ποικίλλονται. Ἢ γὰρ ἐξ ἀμφοτέρων ὑποκειμένου καὶ κατηγορουμένου σύγκεινται ὡρισμένων, ἃς καὶ ἁπλᾶς καλεῖν εἰώθασιν. Ἢ ἐξ ἀμφοτέρων ἀορίστων. Ἢ τὸ μὲν ὑποκείμενον ὡρισμένον ἔχουσι, τὸ δὲ κατηγορούμενον ἀόριστον. Ἢ ἀνάπαλιν, τὸ μὲν κατηγορούμενον ἐστὶν ὡρισμένον, τὸ δὲ ὑποκείμενον ἀόριστον. Ἐνίοτε δὲ καὶ ἡ ἑτέρα ἀντίφασις πολυπλασιάζεται, ἡ Οὐδεὶς καὶ Τίς. οἷον οὐδεὶς ἄνθρωπος ἐστὶ δίκαιος. τὶς ἄνθρωπος ἐστὶ δίκαιος. Ἀλλὰ τὰ εἰρημένα περὶ τῆς ἑτέρας ἀντιφάσεως, ἐπ' ἀμφοῖν ἐννοείσθω. ἑκάστῃ δὲ αὐτῶν εἰς τρία τέμνειν ἐνδέχεται, εἴς τε τὰς προδιωρισμένας δηλονότι, ἀπροσδιορίστως τε, καὶ καθ' ἕκασα. ἐφ' ὧν ἁπλῶς ἁπασῶν αἱ δύο ἀεὶ ἀλλήλαις ἀντίκεινται ἀντιφατικῶς. πλείους δὲ οὐκ ἐνδέχεται. Τῶν μὲν οὖν ἐξ ἀορίστου μόνου κατηγορουμένου, ἃς καὶ ἐκ μεταθέσεως προσαγορεύεσθαι ἔφημεν, τοιαύτη ἐστὶ συσοιχία, εἴπερ ἀναλογία πρὸς τὰς ἁπλᾶς, οἷα καὶ τῷ τερπτικῶν πρὸς τὰς αὐτὰς ἁπλᾶς δηλαδή. Ἵνα δὲ σαφὴς ἡμῖν γένηται ἡ τοιαύτη ἀναλογία, τὰς ἐκτεθείσας ἀνωτέρω ἐπὶ διαγράμματος ἀντεξετάσεον. Τῆς

μεν

μὲν οὖν ἁπλῆς καταφατικῆς, οἷον πᾶς ἄνθρωπος ἐστὶ δίκαιος, κατὰ ἀντίφασιν ἀντικειμένης, πρὸς τὴν οὐ πᾶς ἄνθρωπος ἐστὶ δίκαιος, πρόδηλον ὅτι ἀεὶ ἡ μὲν ἀληθὴς, ἡ δὲ ψευδής. οὕτω γὰρ ἀεὶ ἔχει τὰ τῆς ἀντιφάσεως μόρια. Τὸν αὐτὸν δὴ τρόπον ἔχουσι πρὸς ἀλλήλας, ἥτε ἐκ μεταθέσεως καταφάσις, καὶ ἡ ἀπόφασις. ἀντιφατικῶς γὰρ καὶ ἐκείνων ἀντικειμένων, ἀεὶ ἡ μὲν ἑτέρα ἐστὶν ἀληθὴς, ἡ δὲ ἑτέρα ψευδής. Αἱ δὲ ἐναγώνιοι, ἤτοι ἡ ἁπλῆ κατάφασις, ἢ ἡ ἐκ μεταθέσεως, οἷον πᾶς ἄνθρωπος ἐστὶ δίκαιος, πᾶς ἄνθρωπος ἐστὶν οὐ δίκαιος, ὡς ἐναντίαι ἀντίκεινται. διὸ κατ' ἐκείνας οὐδέποτε μὲν ἅμα εἰσὶν ἀληθεῖς, ἅμα δὲ ψευδεῖς ἐνδέχεται εἶναι. Ἡ δὲ ἁπλῆ ἀπόφασις καὶ ἡ ἐκ μεταθέσεως, οἷον οὐ πᾶς ἄνθρωπος ἐστὶ δίκαιος, οὐ πᾶς ἄνθρωπος ἐστὶν οὐ δίκαιος, ὡς ὑπεναντίαι ἀντίκεινται, διὸ οὐδέποτε μὲν ἅμα εἰσὶ ψευδεῖς, ἔστι δ' ὅτε σωαληθεύουσιν. Ἡ δὲ ἁπλῆ ἀπόφασις, καὶ ἡ ἐκ μεταθέσεως κατάφασις, οἷον ἃ πᾶς ἄνθρωπος ἐστὶ δίκαιος, πᾶς ἄνθρωπος ἐστὶν οὐ δίκαιος, ὑπάλληλον ἔχουσι τάξιν, ἡ μὲν κατάφασις ἐστὶ καθόλου, ἡ δὲ ἀπόφασις μερική, Διὸ ἀληθευούσης μὲν τῆς ἐκ μεταθέσεως καταφάσεως, ἀεὶ σωαληθεύει καὶ ἡ μερικὴ ἀπόφασις, οὐκ ἀεὶ δὲ ἀνάπαλιν. Ἐπὶ δὲ τῶν καθ' ἕκαστα, καὶ ἀνάπαλιν ἐστὶν ἀληθές. εἰ γὰρ ὁ Σωκράτης οὐκ ἔστι δίκαιος, ἀληθὲς εἰπεῖν ὅτι ἐστὶν οὐ δίκαιος. ὁμοίως δ' ἔχουσιν ἥτε καθόλου ἁπλῆ κατάφασις, καὶ ἡ μερικὴ ἀπόφασις ἐκ μεταθέσεως. οἷον πᾶς ἄνθρωπος ἐστὶ δίκαιος, οὐ πᾶς ἄνθρωπος ἐστὶν οὐ δίκαιος. Ἀνάπαλιν δ' ἔχουσιν ἐν τῇ σωεπείᾳ. ἀληθευούσης γὰρ τῆς ἁπλῆς καταφάσεως, σωαληθεύει καὶ ἡ ἐκ μεταθέσεως ἀπόφασις, καὶ ἔτι δὲ καὶ ἀνάπαλιν, ὅτι μὴ ἐπὶ τῶν καθ' ἕκαστα μόνον. δοθέντος γὰρ τοῦ τὸν Σωκράτη μὴ εἶναι μὴ δίκαιον, ὑγιῶς ἂν ἐπαγάγῃς, ἄρα δίκαιος. Ἐπὶ τῶν μὴ ὄντων μέντοι, οὔτε ἐπὶ τῶν καθ' ἕκαστα, ἕπεται ἡ ἁπλῆ κατάφασις τῇ ἐκ μεταθέσεως ἀποφάσει, οὔτε ἡ ἐκ μεταθέσεως κατάφασις τῇ ἁπλῇ ἀποφάσει. δοθέντος γὰρ μὴ ὑπάρχειν τὸν Σωκράτη, ἀληθὲς μὲν ἐστὶν εἰπεῖν, ὅτι Σωκράτης οὐκ ἔστιν οὐ δίκαιος, οὐκ ἀληθὲς δὲ ἐπαγαγεῖν, ἄρα Σωκράτης ἐστὶ δίκαιος. τὸ γὰρ μὴ ὄν, οὔτε ἐστὶ δίκαιον, οὔτε ἐστὶ μὴ δίκαιον. Οὕτω μὲν οὖν ἔχουσιν ἥτε ἁπλῆ ἀντίφασις, καὶ ἡ ἐκ μεταθέσεως πρὸς ἀλλήλας ἐπὶ τῶν μετὰ προσδιορισμοῦ ἀποφάσεων. Ἐπὶ δὲ τῶν ἀπροσδιορίστων οὐ παντάπασιν ἔχει ὁμοίως. τῶν μὲν γὰρ προσδιορισμένων αἱ καταφάσεις, οὐδέποτε σωαληθεύουσι, τὰς δὲ ἀποφάσεις ἐνδέχεται σωαληθεύειν, ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἅτε δὴ μερικαί. Τῶν δὲ ἀπροσδιορίστων, αἵτε καταφάσεις ἀλ-


λήλαις συναληθεύουσι, καὶ αἱ ἀποφάσεις ἐπὶ τῆς ἐνδεχομένης ὕλης. Κἀπ' ἐκείνων μὲν οὐδέποτε αἱ ἀντιφατικῶς ἀντικείμεναι συναληθεύουσιν, ἐπὶ τούτων δὲ ἐνδέχεται. ἰσοδυναμοῦσι γὰρ αἱ ἀπροσδιόριστοι ταῖς μερικαῖς ὡς εἴρηται. αἱ δὲ μερικαὶ συναληθεύουσιν ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἅτε ἐκ διαφόρων συγκείμεναι ὑποκειμένων.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

Κεφάλαιον δέκατον.

ΤΑύτῃ οὖν τῇ συζυγίᾳ τῇ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς, ἀπὸ τῆς ἀναλογίας τῇ στερητικῶν πρὸς τὰς αὐτὰς ἁπλᾶς θηρεύειν ἡμᾶς „ ἐδίδαξεν ὁ Φιλόσοφος ἀνωτέρω, ἐν οἷς ἔλεγε, τὰ μὲν δύο πρὸς τὴν „ κατάφασιν ἢ ἀπόφασιν ἕξει κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις, τὰ δὲ δύο „ οὔ. ὑποθέμενος τὴν ἐν τοῖς Ἀναλυτικοῖς περὶ τέτων διδασκαλίαν. εἰπὼν γὰρ τὰ μὲν δύο, ἐδήλωσε τὰς ἐκ μεταθέσεως ἀποφάσεις. αἵτινες πρὸς τὴν κατάφασιν ἢ ἀπόφασιν τὴν ἁπλῆν, τὴν αὐτὴν ἔχουσι συζυγίαν καὶ ἀκολουθίαν, ὑπερ καὶ αἱ στερητικαί. τῆς τε γὰρ στερητικῆς ἀντιφάσεως, ἡ μὲν ἀπόφασις, ἕπεται τῇ ἁπλῇ καταφάσει, οὐκ ἔτι δὲ καὶ ἀνάπαλιν. ὅ,τι γὰρ ἐστὶν ἴσον, τοῦτο οὐκ ἔστιν ἄϊσον. οὐ μὴν ὅ,τι οὐκ ἔστιν ἄϊσον, ἤδη ἐστὶν ἴσον. Τὰ γὰρ μὴ ὄντα ποσὰ, ἢ καὶ μὴ ὅλως ὄντα, οὐκ εἰσὶν ἄϊσα. τὸ γὰρ ἄϊσον ἴδιον τῶ ποσοῦ. Ἡ δὲ κατάφασις ἡ στερητικὴ προηγεῖται τῆς ἁπλῆς ἀποφάσεως, οὐκ ἔτι δὲ καὶ ἀνάπαλιν. ὅ,τι μὲν γὰρ ἐστὶν ἄϊσον, τοῦτο οὐκ ἔστιν ἴσον. ὅτι δὲ οὐκ ἔστιν ἴσον οὐ πάντως ἐστὶν ἄϊσον. τὸ γὰρ μὴ ποσὸν, καὶ ὅλως τὸ μὴ ὂν, οὔτε ἴσον ἐστὶν, οὔτε ἄϊσον. Διαγεγράφθωσαν δ' αὗται, εἰ δοκεῖ, τοῖς ἐκτεθεῖσιν ὅροις. Ἔστω ἁπλῆ μὲν κατάφασις, ἐστὶν ἴσον, ἐφ' ἧς τὸ α. Ἁπλῆ δὲ ἀπόφασις, οὐκ ἔστιν ἴσον, ἐφ' ἧς τὸ β. Κατάφασις στερητικὴ, ἐστὶν ἄϊσον, ἐφ' ἧς τὸ γ. Ἀπόφασις στερητικὴ, οὐκ ἔστιν ἄϊσον, ἐφ' ἧς τὸ δ.


Pag. 349.




Ἔστι δέ τις τῆς σερητικῶν διαφορὰ πρὸς τὰς ἐκ μεταθέσεως, ὅτι τῆς σερητικῆς καταφάσεως δοθείσης, ἕπεται καὶ ἡ ἐκ μεταθέσεως κατάφασις, καὶ ἡ ἁπλῆ ἀπόφασις. Δοθείσης δὲ τῆς ἐκ μεταθέσεως καταφάσεως, οὐκ ἕπεται ἡ σερητικὴ κατάφασις. ἐπὶ πλέον γὰρ τῆς σερητικῆς καταφάσεως ἡ ἐκ μεταθέσεως, καὶ ἀμφοτέρων ἡ ἁπλῆ ἀπόφασις. Διὸ ἕπεται μὲν ἡ ἁπλῆ ἀπόφασις, τῇ ἐκ μεταθέσεως καταφάσει, καὶ ἀμφότεραι τῇ σερητικῇ. ὅ,τι γὰρ ἐστὶν ἄδικον, τοῦτο πάντως ἐστὶν οὐ δίκαιον, ⁊ οὐκ ἔστι δίκαιον. ὅ,τι δὲ ἐστὶν οὐ δίκαιον, τοῦτο οὐκ ἔστιν ἐξ ἀνάγκης καὶ ἄδικον, ἀλλὰ τὰ οὐδετέρως ἔχοντα. Ἀνάπαλιν δὲ ἡ ἑτέρα ἔχουσε τάξις. ἐπὶ τούτων γὰρ ἡ μὲν σερητικὴ ἀπόφασις, ἐπὶ πλέον ἐστὶ τῆς ἐκ μεταθέσεως ἀποφάσεως, καὶ ἀμφότεραι τῆς ἁπλῆς καταφάσεως. Διὸ καὶ ἕπεται ἡ σερητικὴ ἀπόφασις, τῇ ἐκ μεταθέσεως ἀποφάσει, ⁊ ἀμφότεραι τῇ ἁπλῇ καταφάσει. ὅ,τι μὲν γὰρ ἐστὶ δίκαιον, τοῦτο οὐκ ἔστιν οὐ δίκαιον, καὶ οὐκ ἔστιν ἄδικον. καὶ ὅ,τι οὐκ ἔστιν οὐ δίκαιον, ἀληθεύει εἰπεῖν, ὅτι οὐκ ἔστιν ἄδικον. ὅ,τι δὲ οὐκ ἔστιν ἄδικον, τοῦτο οὐκ ἀληθὲς εἰπεῖν, ὅτι οὐκ ἔστιν οὐ δίκαιον. Ἐπὶ γὰρ τῆς οὐδετέρως διμοιρουύτων, ἀληθὲς μὲν εἰπεῖν,

ὅτι

ὅτι οὐκ εἰσὶν ἄδικα, οὐ μέντοι ἀληθὲς, ὅτι οὐκ εἰσὶν οὐ δίκαια. μόνον γὰρ ἐπὶ τῆς δικαίων τοῦτο, καὶ ἐπὶ τῆς μὴ ὄντων ἀληθεύει. Τεταχθωσαν δὲ ἐφεξῆς ἐπὶ διαγραμμάτων εἰς ἐναντίαν κατάληψιν, μετὰ τὴν ἁπλῆν κατάφασιν, ἡ ἐκ μεταθέσεως ἀπόφασις, μεθ' ἣν ἡ σεριτική. μετὰ δὲ τὴν ἁπλῆν ἀπόφασιν ἡ ἐκ μεταθέσεως κατάφασις, μεθ' ἣν ἡ σεριτική.



Pag. 350.



δηλαδὴ ὧν ἢ μὴ ὄντων

Τοι-

Τοιαύτη μὲν οὖν ἡ τῶν στερητικῶν ἀντιφάσεων πρός τε τὰς ἐκ μεταθέσεως καὶ ἁπλᾶς συνέπεια, ταῖς δὲ ἐξ ὑποκειμένης ἀορίστου, οὐδεμία ἐστὶ συμφωνία, ἡ παράθεσις, πρὸς τὰς τὸ ὑποκείμενον ὡρισμένον ἐχούσας. παρεξεπαζόμεθα μέντοι καὶ αὗται πρὸς ἀλλήλας, δείκνυνται ὅσαις τὸ κατηγορούμενον ὑπάρχει ἀορίστου, πρὸς τὰς ἐκ μόνης τοῦ ὑποκειμένου ἀορίστου, ἔχουσαι ὁμοίως, ὥσπερ καὶ αἱ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς. ὅσα δὲ περὶ ἐκείνων εἴρηται, καὶ περὶ τούτων λεγόμενα ἀπαραλλάκτως κρατεῖ.

Κανὼν καθ' ὃν δεῖ πάσας τὰς ἐκτεθείσας εἰς τόδε ἀποφάνσεις, ἰσοδυναμούσας ἀλλήλαις ποιῆσαι.

Ἵνα δὲ οἱασοῦν ἀποφάνσεως προτεθείσης, τὴν ἰσοδυναμοῦσαν ἔχωμεν ἐκ πρώτης ὑπολήψεως διαγινώσκειν, ἐπιπομωτάτην τινὰ μέθοδον ἐπὶ τοῦ παρόντος ἐκτίθεται ὁ Ἀμμώνιος, λίαν πάνυ τεχνικὴν παρὰ τοῦ αὐτοῦ καθηγεμόνος καὶ διεργέτου παραλαβὼν ἔχει φησίν. Εἴ τις δὲ τὰς μὲν κατὰ τὸ ὑποκείμενον καὶ τὸ ποσὸν ὁμοίως ἐχούσας, κατὰ δὲ τὸ ποιὸν, καὶ τὸ κατηγορούμενον διαφόρως, ἰσοδυναμεῖν. τὰς δὲ μὴ οὕτως ἐχούσας, οὐδαμῶς. Ἀλλ' οὗτος μὲν ὁ κανὼν ὅπως αἱ ἐκ μεταθέσεως ταῖς ἁπλαῖς ἰσοδυναμοῦσι, δείκνυσιν.

Ἐκ δὲ τῆς τάξεως τοῦ ἀποφατικοῦ μορίου, καὶ ὅπως ἀλλήλαις ἰσοδυναμοῦσι, θηρᾶσαι ἔξεσιν. Εἰ μὲν γὰρ προτεθείη ἡ ἄρνησις τῷ προσδιορισμῷ ἐφοιασοῦν προτάσεως προσδιωρισμένης, ἰσοδυάμον ταύτῃ ἐργάζεται τῇ ἐκείνης ἀντιφατικῇ. Εἰδὲ τῷ κατηγορουμένῳ προτεθείη, ὡς ἐπὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου ἀποφάσεων, ἢ τῷ προσκατηγορουμένῳ, ὡς ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου ἀποφάνσεων, ἰσοδυάμον ποιήσει τῇ ἐκείνης ἐναντίᾳ, ἢ γὲν ὑπεναντίᾳ, εἰ μεσικὴ εἴη. Εἰδὲ ἐπ' ἀμφοτέρων προτεθείη ἡ ἄρνησις, τοῦτε προσδιορισμῷ, καὶ τῷ κατηγορουμένῳ, ἡ ἀπόφανσις ἐξισωθήσεται τῇ ὑπ' αὐτὴν ὑπαλλήλῳ. Σαφηνείας δὲ χάριν καὶ αὗται διαγεγραφθωσαν ἑφεξῆς.

Καθόλου ἐναντίαι

Πᾶς ἄνος ἐστὶ δίκαιος. οὐχὶ ὁ πᾶς ἄνος ἐστὶ δίκαιος. ὁδεὶς ἄνος ὐκ ἔστι δίκαιος. ὅτις ἄνος ὐκ ἔστι δίκαιος.	Οὐδεὶς ἄνος ἐστὶ δίκαιος. οὔτις ἄνος ἐστὶ δίκαιος. πᾶς ἄνος ὐκ ἔστι δίκαιος. ὐχὶ οὐ πᾶς ἄνος ὐκ ἔστι δίκαιος.

Τραπέζιοι.

Διαγώνιοι ἀντιφατικαὶ

Διαγώνιοι ἀντιφατικαὶ

Τραπέζιοι.

Τὶς ἄνος ἐστὶ δίκαιος. οὐχὶ οὐδεὶς ἄνος ἐστὶ δίκαιος. ὁ πᾶς ἄνος ὐκ ἔστι δίκαιος. ὁ πᾶς ἄνος ὐκ ἔστι δίκαιος.	Οὐ πᾶς ἄνος ἐστὶ δίκαιος. ὁ πᾶς ἄνος ἐστὶ δίκαιος. τὶς ἄνος οὐκ ἔστι δίκαιος. ὐχὶ ὁδεὶς ἄνος οὐκ ἔστι δίκαιος.

Μερικαὶ ὑπεναντίαι.

Περὶ τῶν μὴ τρόπου Ἀποφάνσεων.

ἀντὶ τῆ ἕξεως

ΤΩν εἰς τέλα καθόλου τοῦ ἀποφαντικοῦ λόγου μερῶν, τὰ μὲν δύο τό,τε ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, καὶ τὸ ἐκ τέλους προσκατηγορουμένου, ἀποχρόντως ἡμῖν μέχει τοῦδε διήρθρωται, πόσαι αἱ τούτων ἀντιφάσεις, τίνες σωαληθεύουσιν, ἢ συμφθείρονται, ὁπόσαι αἱ ἀντιφάσεις, τίς ἡ τούτων σωακολούθησις, τίς ὁ τρόπος τῆς εὑρέσεως τῆ ἰσοδωναμούσων, ἰδίοις ἕκασα κανόσι διορισαμένοις. νυῦ ἤδη καὶ περὶ τῆ μετὰ τρόπου ἀποφάνσεων διασκεπτέον μετὰ τοῦ Φιλοσόφου. τίνι λόγῳ καὶ ἐπὶ τούτων ἐκ τῆ καταφάσεων γίνονται αἱ ἀποφάσεις. καὶ τίς πρὸς ἀλλήλας ἡ σωακολούθησις. Πολὺ δὲ πρότερον διοριστέον ἡμῖν περὶ τρόπου καὶ τῆς τούτου τάξεως ἐν ταῖς ἀποφάνσεσι.

ὁρισμὸς τοῦ νόηεως


Τρόπος μὲν οὖν κοινότερον λέγοιτ' ἂν πᾶσα φωνὴ καθ' τι συμβεβηκὸς τινὸς

τὴν σημασίαν τῆς ἐν αἷς πρόσκειται λέξεων διορίζουσα. Πολυχεδὲς δὲ τῆς τοιούτων ξόπων τὸ πλῆθος, καὶ ἡμῖν οὐ πάνυ τι περιληπτὸν, καὶ περ τῇ οἰκείᾳ φύσει οὐκ ἄπειρον. τῆς τε δὴ ὀνομάτων τὰ ἐπίθετα καὶ τῆς ἐπιρρημάτων, πλὴν ὀλίγων, ξόποι λέγοιντ' ἂν κατὰ τὴν δὲ τὸ ξόπου τὴν ἑρμηνείαν. Διορίζουσι δὴ τὰ μὲν τῆς ὀνομάτων, τὰ δὲ τῆς ἐπιρρημάτων τὸ σημαινόμενον. ὁ γὰρ εἰπὼν ἄριστον μάχεσθαι ὑπὲρ πατρίδος, διωρίσατο, οἷον ἐστὶ τὸ μάχεσθαι ὑπὲρ τοιούτου. καὶ ὁ εἰπὼν ὁ σοφὸς διαλέγεται Πλάτων, τὸ σημαινόμενον τῆς Πλάτωνος φωνῆς διωρίσατο. Τῶν δὲ ἐπιρρημάτων, τὰ μὲν διορίζουσι κατὰ χρόνον τὴν τῆς ὑποκειμένων σημασίαν, ὡς τὸ παχέως ἔχει. Τὰ δὲ κατὰ ποιότητα, οἷον καλῶς, ἡδέως. Τὰ δὲ κατὰ ποσότητα, ὡς τὸ ἅπαξ, ἢ πολλάκις. Τὰ δὲ κατὰ χέσιν, ὡς τὸ μᾶλλον, ἢ ἧττον, καὶ τὰ τοιαῦτα. Τέσσαρες δὲ εἰσι καθολικώτατοι ξόποι, καὶ τῇ τῆς πραγμάτων φύσει οἰκεῖοι, μᾶλλον δὲ τρεῖς, κατὰ τὰς τρεῖς τῆς ὑλῶν διαφορὰς θεωρούμενοι. Ἀναγκαῖον δηλονότι, Ἀδύνατον, καὶ Ἐνδεχόμενον. Προσλαμβάνει δὲ ὁ Φιλόσοφος τούτοις, καὶ τὸ Δυνατόν. ὃ τὰ μὲν ἄλλα, τῇ ἐνδεχομένῳ ἐστὶ ταυτοσήμαντον, πλὴν ἐνίοτε καὶ τῇ ἀναγκαίῳ ἰσοδυναμεῖ, ὡς ἐν τοῖς ἑξῆς εἰσόμεθα. Ἐκφέρεσθαι δὲ τούτοις διχῶς ἐνδέχεται, Ἢ ἐπιρρηματικῶς, ὡς ὅταν λέγωμεν, ἀναγκαίως κινεῖται ὁ ἥλιος, Ἢ ἐν σχήματι ὀνομάτων, οἷον ἀναγκαῖον ἐστὶ κινεῖσθαι τὸν ἥλιον. Οἰκείονται δὲ τὰς τοιαύτας φωνὰς ὧδί. Τρόπος ἐστὶ φωνὴ σημαίνουσα ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ.

Διαφορὰ τρόπων πρὸς τοὺς προσδιορισμούς.

Εἴρηται δὲ ἡμῖν ἀνωτέρω καὶ περὶ τοῦ Προσδιορισμοῦ, ὅτι ἐστὶ φωνὴ διορίζουσα, ὅπως ἔχει τὸ κατηγορούμενον πρὸς τὸ πλῆθος τῆς ὑπὸ τὸ ὑποκείμενον ἀτόμων. Ἀλλ' ὁ μὲν Προσδιορισμὸς μόνῳ τῷ κατὰ ποσότητα χέσιν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον ἐδήλου. Ὁ δὲ ξόπος προηγουμένως μὲν, τῇ χέσιν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον σημαίνει, ἑπομένως δὲ, καὶ τὴν ποσότητα καὶ ποιότητα τούτων συνεμφαίνει. Ἐννοείσθω δὲ ποιότης ἀδιαφόρως καὶ ἐπὶ τῆς οὐσιωδῶν. διενήνοχε δὲ καὶ τῆς ὕλης ὁ ξόπος. Ἡ μὲν γὰρ ὕλη ἐν τῇ φύσει τῆς παραλαμβανομένων πραγμάτων ἀσυμφώνητος θεωρεῖται. τοὺς δὲ ξόπους ἐνεργείᾳ δέον προσκεῖσθαι ταῖς ἀποφάνσεσι γραφομένοις ἢ ἐκφωνουμένοις. Ὅθεν ἡ αὐτὴ ἀπόφανσις παρὰ τὴν ὕλην ἀληθεύουσα, διὰ τὸν προτιθέμενον ξόπον ἐνίοτε ψεύδεται. ὅτι μὲν ὁ ἥλιος κινεῖται ἀληθές. εἰ δέ προσθείη τις ὅτι ἐνδέχεται κινεῖσθαι, ψευδῆ πεποίηκε τὴν ἀπόφανσιν.

Διενηνόχασι δὲ ἀλλήλων οἱ ῥόποι κατάτε ποιότητα καὶ ποσότητα. Κατὰ ποιότητα μὲν, ὅτι οἱ μὲν εἰσι καταφατικοί. οἷον ἀναγκαῖον, ἐνδεχόμενον, ἢ δυνατόν. οἱ δὲ ἀποφατικοὶ, οἷον ἀδύνατον, ἐνδεχόμενον μὴ, ἢ δυνατὸν μή. Κατὰ ποσότητα δὲ τὸ μὲν ἀναγκαῖον τῷ ἀδυνάτῳ συμφωνεῖ, ἐπεὶ ἄμφω εἰσὶ καθόλου. σημαίνει γὰρ, τὸ μὲν ἀναγκαῖον, τὸ κατηγορούμενον ἐν πᾶσι τοῖς ὑπὸ τὸ ὑποκείμενον ὑπάρχειν ἀτόμοις. ὃ γὰρ ἐξ ἀνάγκης τινὶ πρόσεστι, τοῦτο καὶ πᾶσι τοῖς ὁμοειδέσιν ἀναγκαῖον ἐνεῖναι, καὶ ἀναλογεῖπως τῷ Πᾶς προσδιορισμῷ. τὸ δὲ ἀδύνατον, ἐν μηδενὶ σημαίνει τῷ ὑπὸ τὸ ὑποκείμενον ἀτόμων τὸ κατηγορούμενον ὑπάρχειν. ὃ γὰρ ἀδύνατον ἐνυπάρχειν τινὶ, καὶ πρὸς πάντα τὰ ἐκείνου ὁμοειδῆ ὁμοίως ἔχει. διὸ καὶ τῷ οὐδεὶς ἀναλογεῖ. ἀλλὰ καὶ ἄμφω ἰῶ σημαίνουσι τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον σχέσιν, ἐπὶ παντὸς χρόνου ἐκτείνουσιν, εἰ μὴ τὸ ἀναγκαῖον, ἢ ἀδύνατον, ἐξ ὑποθέσεως λαμβάνοιντο. Οἱ δὲ λοιποὶ δύο, διὰ τὸ μήτε παντὶ, μήτε ἀεὶ ἐνεῖναι τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον σημαίνειν, μερικοὶ εἰσὶν, ὡς τὸ Τὶς, ἢ τὸ Οὐ πᾶς, προσλαμβάνοντες τὴν ἄρνησιν. Χρὴ μέντοι εἰ μέλει τελείως ἡ ἀπόφανσις καθόλου εἶναι, ἢ μερικὴ, καὶ τὸν ὑποκείμενον ὅρον καθόλου ἔχειν, ἢ μερικόν. ἄλλως δὲ κατὰ μόνον τὸν ῥόπον λέγοιντ' ἂν καθόλου. Ταῦτα δὲ σαφέστερον ἐκ τοῦ ἑπομένου δηλωθήσεται διαγράμματος.



Οἱ δὲ νεώτεροι τῶν ἐξηγητῶν οὐ δὲ τὴν τάξιν αὐτῶν εἴασαν ἀπεείργασον. φασὶ γὰρ ὡς εἰ μὲν ὁ ῥόπος παντὸς προτεθῇ τοῦ λεγομένου,

νου, δηλονότι πάσης τῆς ἀποφάσεως, ἢ ὑποτεθῇ, τιμικαῦτα δύο ἐνεργειῶν πολλάκις ἀντικειμένων συνίθεσιν δηλοῦσθαι ἐν τῇ αὐτῇ, τῆς τε ὑποτιθεμένης ὡς ἐνυπαρχούσης, καὶ πρὸς ἣν τὸ δυνάμει. οἷον δυνατὸν τὸν κάμνοντα ὑγιαίνειν, ἢ τὸν κάμνοντα ὑγιαίνειν ἐστὶ δυνατόν. ἐφ' ἧς φασί, τό,τε κάμνειν, καὶ ὑγιαίνειν, ἅμα κατηγορεῖται τοῦ αὐτοῦ, ὡς ἐνδέχεσθαι εἶναι τὸν αὐτὸν ἅμα καὶ κάμνοντα, καὶ ὑγιαίνοντα. καὶ ταύτην συνίθετον ἀποκαλοῦσιν ἀπόφασιν μετὰ ξόπου. Ἐὰν δὲ ὁ ξόπος μεταξὺ τεθείη, οἷον τὸν κάμνοντα δυνατὸν ἐστὶν ὑγιαίνειν, ἢ τὸ λευκὸν δυνατὸν ἐστὶ γενέσθαι μέλαν, τὴν δύναμιν οὐ πρὸς ἀμφότερα ἅμα, ἀλλὰ παρὰ μέρος σημαίνειν, οἷον τὸν κάμνοντα δυνατὸν ἐς ὑγείαν ἐλθεῖν, ἐκ ποδῶν χωρισθείσης τῆς νόσου. ἢ τὸ λευκὸν γενέσθαι μέλαν, φθαρέντος τοῦ λευκοῦ. ἣν καὶ ἁπλῆν ὀνομάζουσι μετὰ ξόπου ἀπόφασιν. Ταῦτα μὲν ἐκεῖνοι, ἅπερ ἐστὶ μὲν ἀληθῆ, εἰ καὶ τὴν ἔννοιαν κατὰ τὸν αὐτὸν χρόνον συμμεμιγμένην τυποῦμεθα, τοῦτε ὑγιαίνειν φέρειν εἰπεῖν, & τοῦ κάμνειν. εἰδὲ διηρημένως ἡμεῖς ἐννοῶμεν ταῦτα ἐν τῇ αὐτῇ, κατ' ἄλλον μὲν χρόνον ἐνεῖναι τὸ κάμνειν, κατ' ἄλλον δὲ τὸ ὑγιαίνειν, μικρὰ διοίσει ἡ τῆς φωνῶν συνάφις γραφομένων, ἢ ἐκφωνουμένων. οὕτω γὰρ τὴν συνίθεσιν ἐννοεῖ ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ, κεφαλαίῳ τείτῳ τῆς Σοφιστικῶν ἐλέγχων, οὐ παρὰ τὴν λέξιν δηλαδὴ, ἀλλὰ τὴν κατὰ τὰς ἐννοίας. ἀλλὰ καὶ ἀδιαφόρως, ποτὲ μὲν προτίθησι, ποτὲ δὲ ὑποτίθησι τοὺς ξόπους, μηδὲ μίαν συνίθεσιν ἀντικειμένων ἐνεργειῶν ἐννοῶν ἐν τοῖς λεγομένοις, Ὑπὸ παντὸς τῆς ἀποφάσεως ὁ ξόπος τεθείη, διηρημένως ἀεὶ ἐννοεῖν ἀνάγκη τὰς ἀντιθέτους ἐντελεχείας, εἰ μήτις σοφιστικώτερον σχολὴν ἐθέλει, ἢ καθ' ὑπόθεσιν λέγοιτο. Τὰ μὲν οὖν περὶ ξόπου, ἐπὶ τοσοῦτον διωρίσθω. ζητεῖ δὲ ἐνταῦθα ὁ Φιλόσοφος ὅπως ἐκ τῆς καταφάσεων γίνεσθαι χρὴ τὰς ἀποφάσεις ἐπὶ τῆς μετὰ ξόπου ἀποφάσεων. πότερον τοῖς ὑποκειμένοις πράγμασι προσθετέον τὴν ἄρνησιν, ὡς ἐπὶ τῆς ἁπλῆς ξόπου ἀποφάσεων, ἢ ταῖς προσθέσεσι; καλεῖ δὲ ἐνταῦθα ὑποκείμενα μὲν πράγματα, τὴν ἄλλως ἀπόφασιν, ὑποκείμενον δηλαδὴ, κατηγορούμενον, καὶ προσκατηγορούμενον. πρόσθεσιν δὲ τὸν ξόπον. Ζητεῖ γοῦν εἰ καὶ ἐνταῦθα τῷ κατηγορουμένῳ ἢ τῷ προσκατηγορουμένῳ δεῖ κεῖσθαι τὴν ἄρνησιν, ἐν τῇ τῆς ἀποφάσεων γενέσει, ἢ τῷ ξόπῳ.

Ἵνα δὲ τὴν τοῦ δευτέρου δεῖξιν αὐύποπτον καταστήσῃ, συνηγορεῖ τέως τῷ πρώτῳ, εἶτα δείκνυσιν, ὡς εἰ θείμεν, πρὸ τοῦ ῥήματος τὴν ἄρνησιν ἐστὶ, κατάφασις δηλονότι γίνεσθαι τὴν ἀπόρρησιν ἐκ τῆς καταφάσεως, συμβήσεται

σεται κατὰ τοῦ αὐτοῦ ἅμα τὰ τῆς ἀντιφάσεως συναληθεύειν μόρια, κατάφασις δηλαδὴ καὶ ἀπόφασις, ὅπερ ἐναργῶς ἄτοπον. τοῦ γὰρ δυνατοῦ, ὥσπερ καὶ τῆς δυνάμεως, ξιχῶς λεγομένου, (τό,τε γὰρ μὴ ἐνεργοῦν, δυνάμιν ἔχειν λέγεται, ὅρος ὧν πέφυκεν ἐνέργειαν, καὶ δυνατὸν ἐνεργεῖν, ὡς τὸν Σωκράτη δυνατὸν περιπατεῖν, ἢ διαλέγεσθαι. τό,τε ἀεὶ μετὰ τῆς ἐνεργείας ὄν, ὡς τὸν Ἥλιον δυνατὸν κινεῖσθαι. καὶ τὸ μηδέποτε εἰς ἐνέργειαν ἀχθησόμενον, ὁδεῦον μόνοι ἐπ' ἀυτῆ, ὡς ἡ ἐπὶ τῆ μεγεθῶν ἐπ' ἄπειρον τομὴ, καὶ ἡ ἐπὶ τὸ πλέον τῆ ἀριθμῶν πρόοδος) ἐπὶ τῆ μὴ ἀεὶ ἐνεργουῦσιν, τουτέσιν ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἀμφότερα (1) ἀληθεύειν ἅμα ἐνδέχεται. τὸ γὰρ δυνατὸν τέμνεσθαι, ἢ βαδίζειν, δυνατὸν ἐστὶ, καὶ μὴ τέμνεσθαι, ἢ μὴ βαδίζειν. Ὡς τε δυοῖν ἐξ ἀνάγκης συμβήσεται θάτερον, ἢ τὸ τῆς ἀντιφάσεως ἀναιρεθῶναι ἀξίωμα, ἢ τῷ ῥόπῳ, καὶ μὴ τῷ εἶναι προστιθέναι τῶ ἄρνησιν. εἰ οὖν τὸ πρῶτον ἀδύνατον, τὸ δεύτερον ἂν εἴη αἱρετόν.

Ὡς περ οὖν ἐπὶ τῆ ἄνευ ῥόπου (ἔστι δὲ ὁ λόγος περὶ τῆ ἀπροσδιορίστων) ἡ ἄρνησις τῷ προσκατηγορουμένῳ τιθεμένη, τῶ ἀντιφατικῶς ἀντικειμένῳ ἀπόφασιν ἀποτέλει, ἕτως ἐπὶ τῆ μετὰ τρόπου, τῷ τρόπῳ. Καὶ ὥσπερ ἐν ἐκείναις ἐπὶ τῆ προσδιορισμένων, πρὸ μὲν τοῦ προσδιορισμοῦ τιθεμένη ἡ ἄρνησις ἐποίει τῶ ἀντικειμένῳ κατὰ ἀντίφασιν, πρὸ δὲ τοῦ ῥήματος τιθεμένη, ἐπὶ μὲν τῆ καθόλου τῶ ἐναντίαν, ἐπὶ δὲ τῆ κατὰ μέρος τῶ ὑπεναντίαν, οὕτως ἔχει καὶ ἐπὶ τῆ μετὰ τρόπου. πρὸ μὲν γὰρ τοῦ τρόπου τιθεμένη τῆς ἀρνήσεως, ἡ κατὰ ἀντίφασιν ἀντικειμένη ἀποτελεῖται ἀπόφασις. οἷον ἀναγκαίως ὁ ἄνθρωπος ἀναπνεῖ, οὐκ ἀναγκαίως ὁ ἄνθρωπος ἀναπνεῖ. ἀδυνάτως ὁ ἄνθρωπος ἀναπνεῖ, οὐκ ἀδυνάτως ὁ ἄνθρωπος ἀναπνεῖ. Πρὸς ἀπαρέμφατον δὲ τῆς συντάξεως ἀποδιδομένης, ὃ καὶ μᾶλλον ἐστὶν ἐν τῇ λεκτικῇ σωνηθείᾳ, τοῦ μὲν ἐν τῇ ἀποφάνσει ῥήματος εἰς ἀπαρέμφατον μεθαρμοττομένου, τῷ δὲ τρόπῳ, τοῦ ἐστὶ προσκειμένου, γραφομένῳ, ἢ ἐξακουομένῳ, τωυτὸν τῶ ἄρνησιν πρὸ τοῦ ἐστὶ τιθέσθαι ἀναιροῦσαν τὸν τρόπον, καὶ ἔσαι τὸ αὐτό. οἷον ἀνάγκη ἐστὶ τὸν ἄνθρωπον ἀναπνεῖν, ἀνάγκη οὐκ ἔστι τὸν ἄνθρωπον ἀναπνεῖν. ἢ ἀνάγκη τὸν ἄνθρωπον ἀναπνεῖν, ἐκ ἀνάγκη τὸν ἄνθρωπον ἀναπνεῖν. Εἰ δὲ πρὸ τοῦ ῥήματος τοῦ κατηγορουμένου ἐν τῇ ἀποφάνσει, δηλαδὴ τοῦ ἀπαρεμφάτῳ τάξης τῶ ἄρνησιν, οὐ τῶ ἀντιφάσκουσαν, ἀλλὰ τῶ ἐναντίαν, ἢ ὑπεναντίαν ποιήσῃς. οἷον ἀνάγκη ἐστὶ τὸν ἄνθρωπον περιπατεῖν, ἀνάγκη ἐστὶ τὸν ἄνθρωπον μὴ περιπατεῖν, ἐναντίαι εἰσί. τὸ δὲ ἐνδέχεται τὸν ἄνθρωπον

(1) Τοῦτο ἐστὶ τὸ συμβησόμενον ἄτοπον.

πον περιπατεῖν, καὶ μὴ περιπατεῖν, ὑπεναντίαι. αὗται δὲ καὶ ἐκ μεταθέσεως ἀποφάνσεις λέγονται, ὅταις δηλονότι πρὸ μὲν τοῦ τρόπου οὐ τίθεται ἄρνησις, ἀλλὰ πρὸ τοῦ κατηγορουμένου μόνον, ὡς ἐν τῇ ἀνῳ τρόπου ἀποφάνσει. Τῇ μὲν οὖν δυνατὸν εἶναι, ἡ οὐ δυνατὸν εἶναι ἀντιφάσκει. τῇ δὲ ἐνδεχόμενον εἶναι, ἡ οὐκ ἐνδεχόμενον εἶναι. τῇ δὲ ἀδύνατον εἶναι, ἡ οὐκ ἀδύνατον εἶναι. καὶ τῇ ἀναγκαῖον εἶναι, ἡ οὐκ ἀναγκαῖον εἶναι. Ὁμοίως δὲ καὶ τῇ ἐκ μεταθέσεως. τῇ μὲν δυνατὸν μὴ εἶναι, ἡ οὐ δυνατὸν μὴ εἶναι. τῇ ἐνδεχόμενον μὴ εἶναι, ἡ οὐκ ἐνδεχόμενον μὴ εἶναι. τῇ ἀδύνατον μὴ εἶναι, ἡ οὐκ ἀδύνατον μὴ εἶναι. Ϲ τῇ ἀναγκαῖον μὴ εἶναι, ἡ οὐκ ἀναγκαῖον μὴ εἶναι.

καθόλ: Ἀνάγκη ἐστὶ τὸν ἄνον περιπατεῖν.
ἀδύνατον ἐστὶ τὸν ἄνον μὴ περιπατεῖν.
οὐ δυνατόν ὄζι τὸν ἄνον μὴ περιπατεῖν.
οὐκ ἐνδεχόμενον ἐστὶ τὸν ἄνον μὴ περιπατεῖν.

Καθόλου ἐναντίαι.

ἀδόρ: ~~Οὐ~~ δυνατόν ὄζι τὸν ἄνον περιπατεῖν.
ἀνάγκη ἐστὶ τὸν ἄνον μὴ περιπατεῖν.
οὐκ ἐνδεχόμενον ἐστὶ τὸν ἄνον περιπατεῖν.
οὐ δυνατὸν ἐστὶ τὸν ἄνον οὐχὶ μὴ περιπατεῖν.

Ἀντιφατικαὶ

τὸ δὲ ἐν διαγράμμα, ὡς νῦν ἐκτεθέν, ἐν ἁπλῇ ἀντιφάσει

τὸ δὲ ἐν διαγράμμα, ὡς νῦν ἐκτεθέν, ἐν ἁπλῇ ἀντιφάσει χρῆσιν, ὁδηγητέον ἐστί.


καθόλ: Ἐνδεχόμενον ἐστὶ τὸν ἄνον περιπατεῖν.
δυνατόν ἐστι τὸν ἄνον οὐχὶ μὴ περιπατεῖν.
οὐκ ἀδύνατόν ὄζι τὸν ἄνον περιπατεῖν.
οὐκ ἀνάγκη ἐστὶ τὸν ἄνον μὴ περιπατεῖν.

Μερικαὶ ὑπεναντίαι.

ἀδόρ: Δυνατόν ὄζι τὸν ἄνον μὴ περιπατεῖν.
ἐνδεχόμενον ἐστὶ τὸν ἄνον μὴ περιπατεῖν.
οὐκ ἀνάγκη ἐστὶ τὸν ἄνον περιπατεῖν.
οὐκ ἀδύνατόν ὄζι τὸν ἄνον μὴ περιπατεῖν.

Οὕτω μὲν οὖν αἱ ἀντιφάσεις ἐπὶ τῇ μετὰ τρόπε ἀποφάνσεων γίνονται, ἑφεξῆς δὲ καὶ περὶ τῆς ἀκολουθίας τῇ αὐτῇ ὁ Φιλόσοφος διαλαμβάνει.

βάσει. ἐφ' ἧς τὰς μὲν τοῦ δυνατοῦ καὶ ἐνδεχομένου ἀποφάνσεις ἑπομένας ἀλλήλαις, καὶ ἀντιστρεφούσας ὑποτίθεμενος, τῇ μὲν καταφάσει τὴν κατάφασιν, τῇ δὲ ἀποφάσει τὴν ἀπόφασιν, τὰς ἁπλᾶς ταῖς ἁπλαῖς, καὶ τὰς ἐκ μεταθέσεως ταῖς ἐκ μεταθέσεως, ταύταις ἀκολουθεῖν φησὶ τὰς τῶ ἀδυνάτου, ἀντιφατικῶς μὲν, ἀντιστραμμένως δέ. Ἐννοεῖ δὲ ἀντιφατικῶς, ὡς ὅλης τῆς τοῦ ἀδυνάτου ἀντιφάσεως, ὑπὸ τὰς ἀντιφάσεις τοῦ δυνατοῦ, καὶ ἐνδεχομένου κειμένης, τῆς μὲν ἁπλῆς ὑπὸ τὰς ἁπλᾶς, τῆς δὲ ἐκ μεταθέσεως ὑπὸ τὰς ἐκ μεταθέσεως. Ἀντιστρόφως δὲ εἴρηκεν, ὅτι ἡ κατάφασις τοῦ ἀδυνάτου ὑπὸ τὴν (1) ἐκείνων ἀπόφασιν κεῖται, ἡ δὲ ἀπόφασις ὑπὸ τὴν κατάφασιν. Αἱ δὲ τοῦ ἀναγκαίου ἀποφάνσεις οὐχ ὁμοίως ἔχουσι ταῖς τοῦ ἀδυνάτου. ἡ μὲν γὰρ τοῦ ἀναγκαίου ἀπόφασις ἐκ μεταθέσεως, τῇ ἁπλῇ ἀποφάσει τῶ ἀδυνάτου, καὶ ταῖς τῶ δυνατῶ, καὶ ἐνδεχομένω καταφάσεσιν ἕπεται. ἡ δὲ κατάφασις ἐκ μεταθέσεως, τῇ ἁπλῇ καταφάσει τοῦ ἀδυνάτου, καὶ ταῖς (2) ἐκείνων ἀποφάσεσι. Τετάχθωσαν δὲ ἐφεξῆς ἐπὶ τεττάρων γραμμῶν, κατὰ τὸ ἐπιπεδον ἀνωτέρω τῆς ὑποκειμένου, καὶ κατηγορουμένου ἀποφάνσεων διάγραμμα. ὧν τῇ μὲν γεγράφθωσαν ἐφεξῆς ὅσαι τῇ καθόλου ἁπλῇ καταφατικῇ ἔπονται, ἐφ' ἧς τὸ α. κατ' ἀντικρὺ δὲ, ὅσαι τῇ καθόλου ἁπλῇ ἀποφατικῇ, ἐφ' ἧς τὸ β. καὶ ἔσονται αὗται ἀντικείμεναι κατ' ἐναντίωσιν. ὧν ὑπὸ μὲν τὰς καθόλου καταφατικὰς, τετάχθωσαν ὅσαι τῇ μερικῇ καταφατικῇ ἰσοδυναμοῦσιν, ἐφ' ὧν τὸ γ. ὑπὸ δὲ τὰς λοιπὰς αἱ κατὰ μέρος ἀποφατικαὶ, ἐφ' ὧν τὸ δ.



Τοῦ-

(1) Τοῦ δυνατοῦ δηλαδὴ καὶ ἐνδεχομένου. (2) Τοῦ δυνατοῦ δηλαδὴ καὶ ἐνδεχομένου.

Τούτων οὖν πᾶσαι αἱ ἐν τῇ αὐτῇ ~~τεταγμέναι σελίδι~~, ἀλλήλαις ἰσοδυναμοῦσιν, ἑκάστη δὲ τῇ ἐν τῇ αὐτῇ σελίδι, ἀντίκειται πρὸς ἑκάστην τῇ ἐτέρᾳ σελίδι, καὶ πᾶσαι πάσαις, καὶ ἑκάστη πάσαις. αἱ μὲν ὑπὸ τὸ Α̅ ταῖς ὑπὸ τὸ Β̅ ἀντίκεινται ἐναντίως, ταῖς δὲ ὑπὸ τὸ Δ̅ κατ' ἀντίφασιν. ταῖς δὲ ὑπὸ τὸ Γ̅ εἰσὶν ὑπάλληλοι. Ὡσαύτως καὶ αἱ ὑπὸ τὸ Β̅ ἀντίκεινται ταῖς ὑπὸ τὸ Γ̅ κατὰ ἀντίφασιν, ταῖς δὲ ὑπὸ τὸ Δ̅ εἰσὶν ὑπάλληλοι. αἱ δὲ ὑπὸ τὸ Δ̅ ὑπεναντίως ἔχουσι ταῖς ὑπὸ τὸ Γ̅. μερικαὶ δὲ αὗται πᾶσαι, καταφατικῶν μὲν ἔχουσαι δυνάμιν αἱ ὑπὸ τὸ Γ̅. ἀποφατικῶν δὲ αἱ ὑπὸ τὸ Δ̅.

Εἰδέ τις καὶ ἄνευ τῆς πολυπραγμόνου ταύτης περιεργείας πασῶν τῶν μετὰ ξόπου ἀποφάνσεων τὰς συνεπομένας, εἴποιν συναληθευούσας, ἢ καὶ συμψευδομένας δείκνειν δι' ἐφέσεως ἔχοι, τῷ ἐκτεθέντι ἀνωτέρω περὶ τῆς συνεπείας τῶν ἄνευ ξόπου ἀποφάνσεων, κἀνταῦθα χρησάμενος κανόνι, ῥᾴς' ἂν τῆς ἐφέσεως τύχοι, εἴγε μόνον τῇ μνήμῃ διασώζει τὰ περὶ ποιότητος, καὶ ποσότητος λεχθέντα τῶν ξόπων. πρὸ μὲν γὰρ τοῦ προσδιορισμοῦ ἐν ἐκείναις τῇ ἀρνήσεως τιθεμένης, ἡ ἀντιφάσκουσα ἀπετελεῖτο, ἐπὶ τούτων δὲ πρὸ τοῦ ξόπου τιθεμένη, δύναται τὰ ἴσα. Καὶ ὥσπερ ἐν ἐκείναις μετὰ τὸ ὑποκείμενον τιθεμένης τῆς ἀρνήσεως, τὴν ἐναντίαν, ἢ ὑπεναντίαν συνέβαινε γίνεσθαι, οὕτω κἀπὶ τούτων. πρὸ δὲ τοῦ προσδιορισμοῦ, ἅμα, καὶ μετὰ τὸ ὑποκείμενον τιθεμένη ἐν ἐκείναις, ἰσοδυναμοῦσαν ἐποίει τῇ ὑπ' αὐτῇ ὑπαλλήλῳ, κἀνταῦταις ὁμοίως.

Ἵνα δὲ μὴ μόνον τὰς ἰσοδυναμούσας, ἀλλὰ καὶ τὰς ὅπως δήποτε ἀντικειμένας προχειρότερον ἔχοιμεν σωρεῦσαι, τέτταρες αὗται ἐξορίζονται φωναί, ταῖς ἐκτεθείσαις τέτταρσι σελίσιν ἰσάριθμοι.

Καθόλου καταφατικαί.	Α̅πετέλι.	Καθόλου ἀποφατικαί.	Ι̅οβόρα.	Μερικαὶ καταφατικαί.	Ε̅πάραπος.	Μερικαὶ ἀποφατικαί.	Ο̅δίιε.

Ὧν ἑκάστη τέτταρας ἔχουσα συλλαβὰς, κατὰ τὸν ἀριθμὸν τῶν περιεχομένων ἐν ἑκάστῃ σελίδι ἀποφάνσεων, γραφομένας διὰ τῶν τοιούτων φωνηέντων. Α̅, Ε̅, Ο̅, Ι̅. καὶ τὸ μὲν Α̅, ἐξ ἀμφοτέρων σημαίνει τὴν ἀποφανσιν καταφατικὴν, τῶν τε ξόπου καὶ τὸ εἶναι. τὸ δὲ Ε̅. ἐξ ἀμφοτέρων ἀπο-

ἀποφατικόν. τὸ δὲ Ο, ἀποφατικὸν κατὰ τὸν τρόπον. τὸ δὲ Γ, ἀποφατικὸν κατὰ τὸ εἶναι. καὶ ἔστιν ἡ μὲν πρώτη φωνὴ τῆς καθόλου καταφατικῶν δηλωτική. ἡ δὲ δευτέρα τῆς καθόλου ἀποφατικῶν. ἡ δὲ τρίτη τῆς μερικῶν καταφατικῶν, ἡ δὲ τετάρτη τῆς μερικῶν ἀποφατικῶν.

Γεγράφθωσαν οὖν, ἡ μὲν πρώτη πρὸ τῆς πρώτης σελίδος καὶ βάθος, ὡς ἑκάστη τῆς ἐν αὐτῇ συλλαβῶν, μιᾷ τινι τῆς ἐν σελίδι ἀποφάνσεων συστοιχεῖν. ἡ μὲν πρώτη τῇ πρώτῃ. ἡ δὲ δευτέρα τῇ δευτέρᾳ, καὶ ἑφεξῆς. ὡσαύτως οὖν καὶ αἱ λοιπαὶ φωναὶ ταῖς οἰκείαις σελίσι προσγεγράφθωσαν. Ἔχων ἔν διὰ μνήμης τὴν τάξιν τῆς ἀποφάνσεων ὅτι ἐφ' ἑκάστης σελίδος, πάντων μὲν προηγοῦνται αἱ τοῦ ἀναγκαίου, μεθ' ἃς αἱ τοῦ δυνατοῦ, καὶ ἐνδεχομένου τάττονται, τελευταῖαι δὲ αἱ τοῦ ἀδυνάτου, εἰ μή τινα τῆς μετὰ τρόπου ἀποφάνσεων βούλῃ ποιῆσαι καθόλου καταφατικὴν, ἐνάρμοσον τῇ καθόλου καταφατικῇ λέξει ἐπὶ τῆς οἰκείας τάξεως. καὶ εἴσῃ παραχρῆμα ἐκ τοῦ προκειμένου φωνήεντος ὁποίαν εἶναι δεῖ, ἢ ἁπλῆν, ἢ ἐκ μεταθέσεως, ἢ καταφατικὴν, ἢ ἀποφατικήν. ἧς ἔσοι βουλομένῳ καὶ τὴν ἀντιφάσκουσαν ἑλεῖν, τάξον αὐτὴν ἐπὶ τῆς ἀντικειμένης κατὰ ἀντίφασιν λέξεως. Εἰ δὲ βούλει πάσας τὰς ἐκείνης ἀντιφατικὰς, τάξον πάσας ἐπὶ τῆς ἀντιφασκούσης δηλονότι λέξεως. Εἰ δὲ τὰς ἐναντίας, ἐπὶ τῆς ἐναντίας λέξεως. καὶ τὰς λοιπὰς ὡσαύτως ἐπὶ τὴν οἰκείαν λέξιν ἑκάστην, καὶ τάξιν.

Ἰστέον ὅτι τῆς μετὰ τρόπου ἀποφάνσεως μέρη εἰσὶ δύο. ὧν τὸ μὲν ἕτερον ἐστὶν ὁ τρόπος. ὃν ὁ Φιλόσοφος προσθήκην ἐκάλεσε. τὸ δὲ λοιπὸν ἐστὶν ὅλη ἡ ἁπλῆ ἀπόφανσις, ἣν καὶ λεγόμενον εἰώθασι προσαγορεύειν οἱ σχολαστικοί. ἐπὶ τῆς δε, δυνατὸν ἐστὶ τὸ ἄνθρωπον περιπατεῖν, τὸ μὲν δυνατὸν ἐστὶν ὁ τρόπος. τὸν δὲ λοιπὸν ὅτι τὸ λεγόμενον, ὅτι ἀπόφανσις.

Διαφέρει ὁ τρόπος τῆς προσθήκης

Τὸ μὲν σημαίνει τὰ παθήματα τῆς ὀρεκτικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς, ὥπερ τεθραχῶς ἠρώμεθα.

Τὸ δὲ τὰ παθήματα τῆς γνωστικῶν δυνάμεων, ὃ καλεῖται ἀπόφανσις, ἢ ἀποφαντικὸν εἶδος τοῦ λόγου. περὶ ἧ τοῖς διαλεκτικοῖς γίνεται λόγος.

Ἢ προσάπτοντες τὴν ὑπηκόως πράξεως χάριν τινὸς, ἢ διακονίας.

Ἢ δύχόμβοι ὡς πρὸς κρείττους δεόμβοι τούτων.

Ἢ καλῶμβ ἐκείνες, ἃς βουλόμεθα πρὸς ἡμᾶς ἐπιστρέψαι.

Ἢ ἐρωτῶντες ἐκείνους ἀφ' ὧν δεόμεθα γνώσεως τινός.

Διαιρεῖται ὁ ἀποφαντικὸς λόγος εἰς δύο.

- Εἰς ὑπόφασιν, ἣ ἄντιφασις.
  - Εἰς κατηγορικήν.
  - Καὶ ὑποθετικήν, ἣ ἄντιφασις.
    - Ἢ κατὰ συμβεβηκός.
    - Ἢ κατὰ διάζευξιν.
- Καὶ εἰς κατάφασιν, καὶ ἄντιφασις ὁμοίαν ἐπιδέχεται διαίρεσιν.

Ἔτι διαιρεῖται ὁ ἀποφαντικὸς λόγος τριῶν εἰς δύο.

- Εἰς τὸν κατὰ τὸ ἓν λεγόμενον, ἣ οὗτος διχῶς.
  - Ὁ ἓν δηλῶν.
  - Καὶ ὁ ἓν συμπέρασμα ὤν.
- Καὶ εἰς τὸν κατὰ τὸ πλῆθος, καὶ οὗτος διχῶς.
  - Ἢ γὰρ λέγονται οἱ πολλοὶ μετὰ συμπέρασμα,
  - Ἢ ἀσύμπετοι.

Ἑκάστη τῶν συζυγιῶν τετραχῶς ποικίλλεται κατὰ τὸ τεττάρων τῆς σχέσεως τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον.

- Ἢ γὰρ τὸ κατηγορούμενον φύσει ἀεὶ συμπάρχει τῷ ὑποκειμένῳ, ὡς τῷ ἀνθρώπῳ τὸ ἀνατρέπεσθαι.
- Ἢ φύσει ἀεὶ τοῦ αὐτοῦ ἀλλοτρίωται, ὡς τοῦ λίθου τὸ αἰσθάνεσθαι.
- Ἢ ποτὲ μὲν ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, ποτὲ δὲ οὔ, ὡς τῷ ἀνθρώπῳ τὸ περιπατεῖν.

ΕΙΣ ΤΑ ΠΡΟΤΕΡΑ

ΑΝΑΛΥΤΙΚΑ

ΠΡΟΘΕΩΡΙΑ.

Ικανῶς ἑρμηνεύσαντες τὸ περὶ Ἑρμηνείας βιβλίον, καιρὸς ἤδη καὶ ἐπὶ τῆς θεωρίας τῶν προτέρων Ἀναλυτικῶν μεταβῆναι. εἴρηται δὲ ὡς πᾶσαι αἱ φωναὶ ὕλη τῆς λογικῆς πραγματείας τυγχάνουσιν, αἱ τῶν παθημάτων δηλονότι ἑρμηνευτικαὶ τῶν γνωστικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς. Διττοῦ γένους τυγχάνουσιν ὔσαι αἱ γνωστικαὶ δυνάμεις ἐν ἡμῖν. αἱ μὲν γὰρ αἰσθητικαί. αἱ δὲ λογικαί. ἀλλ' ἐκεῖναι μὲν ἄλογοι, καὶ οὐδεμία ἐπιστημονικὴ γνῶσις κατ' ἐκείνας ποιεῖται. καί τοι οὐδὲ ἄνευ ἐκείνων τῶν ἐπιστημονικῶν ἀρχῶν τὴν γνῶσιν ἐσὶ λαβεῖν. αἱ δὲ λογικαὶ ὁμοίως διχῶς λέγονται. Νοῦς μὲν καθ' ὃν περὶ τοὺς ὅρους ἀμέσως ἐνεργεῖ καὶ ἀρχὰς ἡ ἡμετέρα ψυχή, οὐ διάτινος μέσου δηλονότι ἐπὶ τὸν τοῦ γνωστοῦ καταλῆψιν ὁδεύουσα, ἀλλ' ἁπλῶς τόδε ἐν τῷδε γινώσκουσα, ἢ ἄνευ τοῦδε τόδε, καθὸ δὴ καὶ νοερὰ λέγεται.

Διάνοια δὲ καθόσον ἀνειλημμένως ἐνεργεῖ, μεταβαίνουσα ἐκ προτάσεων εἰς συμπέρασμα, ἥτις καὶ ἰδιαίτερον λόγος κέκληται τῷ Φιλοσόφῳ ἐν τῷ ϛ'. τῶν Νικομαχείων, καθ' ὃν καὶ λογικὴ ἤκουσεν ἡ ἡμετέρα ψυχή, ἧς ἔργον γίνονται πᾶσαι αἱ λοιπαὶ ἀληθευτικαὶ ἕξεις, τοῦ νοὸς αὐτῇ συναντιλαμβανομένου.

Τῶν οὖν κατ' αὐτὰς παθημάτων τὰς ἑρμηνευτικὰς φωνὰς διασκέπτεται ἡ λογικὴ πραγματεία, ὑπερ εἰσὶν ἑρμηνευτικαὶ τῶν αὐτῶν. Τειχῆ δὲ τούτων τὴν διανομὴν ἐχόντων, τριμεροῦς καὶ αἱ φωναὶ τετυχήκασι διαιρέσεως. ἢ γὰρ ἁπλῶν εἰσὶ νοημάτων ἐξαγγελτικαὶ, ἢ τῶν περὶ συνθέσιν καὶ διαίρεσιν ἁπλῶς θεωρουμένων, τὸ δέτι τῷδε ὑπάρχειν ἢ μὴ σημαίνουσαι, καθὸ καὶ ψεύδους εἰσὶ καὶ ἀληθείας δεκτικαί. ἢ συνθέτων ἤδη καὶ πολλῶν νοημάτων ἐξ ἑτέρων ἑτέρα συναγομένα δηλωτικαὶ γίνονται διαφόρως σχηματισθεῖσαι. Καὶ τὰ μὲν δύο πρῶτα τῆς τοῦ τρίτου ἕνεκεν σκέψεως ἀξιοῦνται παρὰ τοῖς διαλεκτικοῖς. τοῦ δὲ τρίτου ἐντελοῦς ὄντος, τὴν γνω-

γνῶσιν καὶ συνθέσιν κοινὴ πᾶσα ἡ λογικὴ πραγματεία ποιεῖται πρόθεσιν. Ἀμέλειποι, ἐπειδὴ τὴν τῶν μερῶν γνῶσιν τοῦ ὅλου δεῖ προλαμβάνεσθαι, καὶ τούτων τὴν ὡς ἀκέπως, τῆς σχετικῶς αὐτῶν ὡς πρὸς τὸ ὅλον ἐχόντων, εἰκότως ὁ Ἀριστοτέλης μετὰ τὴν τῶ πρώτου καὶ δευτέρου μέρους τῆς διαιρέσεως διάσκεψιν, πανυ καὶ περὶ τοῦ τρίτου εἰπεῖν προβάλλεται.

Ὅπως διαιρεῖται τὰ πρότερα Ἀναλυτικὰ τῶν ὑστέρων κατὰ τὸ θεωρούμενον πρᾶγμα.

Ἔστι μὲν οὖν ἐνταῦθα προκείμενον περὶ οὗ ὁ λόγος, ἰδίᾳ μὲν τοῖς προτέροις δυσὶ βιβλίοις ὁ ἁπλῶς συλλογισμὸς καθ' ἑαυτὸν θεωρούμενος, τῆς τῶν εἰδῶν αὐτοῦ θεωρίας ἀπηλλαγμένος, (πρόθεσιν γὰρ ποιεῖται ὁ λόγος τὴν τούτου γνῶσίν τε καὶ κατασκευὴν) κυριώτατον δὲ τοῖς προτέροις, καὶ ὑστέροις ἀναλυτικοῖς, καὶ σκοπιμώτατον, καὶ οὗ τῆς γνώσεως κυρίως καὶ πρώτως ἐφιέμεθα ἐπὶ τούτων, ἐστὶν ἡ ἀπόδειξις. καὶ τοῦτο σαφῶς ἡμᾶς ἐκδιδάσκει ἐπὶ τοῦ παρόντος. δύθις μὲν ἐν προοιμίοις περὶ ἀποδείξεως, καὶ ἐπιστήμης ἀποδεικτικῆς εἶναι τὴν σκέψιν ἐπαγγελάμενος. καὶ ἐν τῷ πέρατι τοῦ δευτέρου τῶν ὑστέρων ἀναλυτικῶν πρὸ τῆς ἐκάστου κεφαλαίου, ὡς περὶ μιᾶς πραγματείας τῶν τε προτέρων, καὶ ὑστέρων Ἀναλυτικῶν διαπεραίνει τὸν λόγον. Ἐν δὲ κεφαλαίῳ τεσσάρτῳ καὶ τὴν αἰτίαν ἐκτίθεται, τίνος χάριν οὐ περὶ ἀποδείξεως δύθις ποιεῖται τὸν λόγον, ἀλλὰ περὶ συλλογισμοῦ πρότερον. τὰ γὰρ γένη τῶν εἰδῶν καὶ τάξει προηγεῖται τῇ φύσει τῇ φύσει πρότερα γὰρ τῇ φύσει ἐκείνων, (οὐ γὰρ ἀντιστρέφει κατὰ τὸ τοῦ εἶναι ἀκολουθησιν.) καὶ τῆς διδασκαλίας δὲ παρακολουθοῦν, τὰ καθόλου τῶν κατὰ μέρος προηγεῖσθαι βούλεται. ὁ γὰρ εἰδὼς τὸ καθόλου φύσιν, ῥᾳδίως ἔσεται ἐν τῷ κατ' εἶδος, τοὺς λόγους ἑκάστου τῆς διαφορᾶς προσλαβών. Τούτου χάριν ὁ Ἀριστοτέλης πρὸ τῆς ἀποδείξεως ἐν δυσὶν ὅλοις βιβλίοις τὸν περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διαπεραίνει λόγον. ἐν δὲ τοῖς λοιποῖς δυσὶ, περὶ ἀποδείξεως ποιεῖται τὸν διάσκεψιν.


τῇ φύσει τῇ διδασκαλίᾳ.

Ἐπιγέγραπται δὲ τὰ μὲν περὶ τοῦ ἁπλῶς συλλογισμοῦ Ἀναλυτικὰ πρότερα, τὰ δὲ περὶ ἀποδείξεως ὕστερα. τὸ δὲ αἴτιον τῆς ἐπιγραφῆς γνώριμον ἔσαι προεγνωκόσι τί ποτ' ἐστὶν ἀνάλυσις. Ἔστι τοίνυν Ἀνάλυσις ἀναδρομὴ ἀπὸ τοῦ ὁποσουοῦν συνθέτου, εἰς τὰ ἐξ ὧν ἡ σύνθεσις ἁπλᾶ, τυγχάνειν εἰς τὰς οἰκείας ἀρχάς. Ἀναλύσεως δὲ διττὸν γένος ἐστίν. ἡ μὲν δὴ ἐν πράγμασι κυρίως θεωρεῖται, ἥπερ αὐθις δίχως λέγεται. ἡ γὰρ εἰς

μέρη καὶ μέρια τοῦ ὅλου συσατικὰ γίνεται, ὡς τῶν ἀνομοιομερῶν, καὶ ὀργανικῶν σωμάτων, ἢ εἰς μέρη τοῦ εἶναι ἁπλῶς καὶ τῆς οὐσίας συσατικὰ, ὡς ἡ τῶν σωθέτων καὶ ὁμοιομερῶν σωμάτων εἰς τὰ ἁπλᾶ σώματα ἀναδρομή, ἢ τῶν ἁπλῶν ἑκάσου εἰς τὰ ἐξ ὧν αὐτοῦ τὸ εἶναι. τῶν γὰρ στοιχείων ἕκασον, ἀναλύεται εἰς ὕλλω καὶ μορφὼ, ἐξ ἧς συνέσηκεν.

Ἕτερον δὲ ἀναλύσεως γένος κατὰ μίμησιν τούτου γινόμενον ἐστὶν, ὃ λόγῳ μόνῳ καὶ ἐπινοίᾳ πέφυκεν ὑποτελεῖσθαι. διχῆ δὲ καὶ τούτου θεωρουμένου, θάτερον μὲν εἶδος εἰς τὸ μορφὸ, θάτερον δὲ εἰς τὸ ὕλλω ἀφορᾷ τοῦ συλλογισμοῦ. καὶ τὸ μὲν εἰς τὸ ὕλλω ἄνηκον, ἐστὶ κυρίως ὑπὸ τῶν ἐκ τῶν ἀρχῶν ἐπὶ τὰς ἀρχὰς ἀνάκαμψις καὶ ἐπάνοδος. ᾧ κέχρηται μὲν οἱ Γεωμέτραι ἑφ' ἑκάστου προβλήματος, τὸ συναχθὲν ἀναλύοντες, μέχρις ἂν ἐπὶ τὰς κοινὰς ἐννοίας καὶ τὰ αἰτήματα ἀναδράμωσι. Κέχρηται δὲ καὶ Ἀριστοτέλης τύπῳ ἐν τοῖς περὶ ἀποδείξεως, διδάσκων, τῷ, ἕως τὸ ἀπόδειξιν χρὴ ἀναλύειν, μέχρι τῶν πρώτων καὶ αὐτοπίστων προτάσεων. Θάτερον δὲ εἶδος τὸ κατὰ τὸ μορφὸ, ἐν δυσὶ τοῖς πρώτοις βιβλίοις ἐφαρμοττόσατο, διδάσκων περὶ τοῦ ἁπλῶς συλλογισμοῦ ὅπως τὸ ἀναγκαῖον τῆς συναγωγῆς τῶν συλλογισμῶν κατὰ τὸ μορφὸ εἰς τὰς οἰκείας ἀνάγωμεν ἀρχὰς, ~~τὸ κατὰ παντὸς, καὶ κατὰ μηδενός~~ καθὸ τὰς ἀτελεῖς εἰς τὰς τελείους ἀνάγομεν συλλογισμὸς, καὶ τὰς σωθέτους εἰς τὰς ἁπλοῦς, καὶ τούτους αὖ εἰς προτάσεις, κἀκείνας εἰς ὅρους, καὶ εἰς τὸ οἰκεῖον ἕκασον σῆμα. τὰ μὲν οὖν τῆς ἐπιγραφῆς, τοιαῦτα.

ἢ ὡδὶ λέγων· ἢ τὸ ἐν ὅλῳ εἶναι, καὶ μὴ εἶναι λέγομεν, καὶ τὸ ἢ τὸ μηδὲν τὸ σῶμα, καὶ μηδενὸς παντὸς, καὶ μηδενὸς παντὸς εἶναι.



Διαίρεσις τῶν Προτέρων.

Ἡ δὲ διαίρεσις τούτων ἑκάστου ἐπὶ μὲν τῆς περὶ ἀποδείξεως ὁπήποτ' ἂν ἔχοι, ἐκεῖσε γεγονότες εἰσόμεθα. τῆς δὲ λοιπῶν δύο, τὸ μὲν πρῶτον εἰς τρία σχοινικῶς τῷ διαιρουμένῳ δέχεται, ᾧ αὐτὸς ὁ τῆς λόγου πατὴρ ἐν κεφαλαίῳ λβ'. ἐνταῦθα ἐκτίθεται. Καὶ ἐν μὲν τῷ πρώτῳ τμήματι μέθοδον ἡμῖν παραδίδωσι τῆς τῶν συλλογισμῶν γενέσεως. ἐν δὲ τῷ δευτέρῳ περὶ ἀπορίας προτάσεων πραγματεύεται, ἐπὶ δὲ τοῦ τρίτου διδάσκει τῷ, ξόπῳ τὰ ἐν τοῖς τῶν παλαιῶν συγγράμμασιν. ἐπιχειρήματα, ὁπωσδήποτε ἐκτεθειμένα, ἢ κἀ ἡμῖν παρὰ τῶν προσδιαλεγομένων προτεινόμενα ἀναλύειν ἐχοιμεν, κἀ διαγινώσκειν ἐν τίνι τῶν τελείων σχημάτων συλλελόγισαι. κἀ τ' ἀληθῆ τῶν φαινομένων κἀ μὴ ὄντων, ὡς πρός τινι βασάνῳ τούτοις παρεξετάζειν τε, καὶ διακρίνειν. Ἡ μὲν οὖν τοῦ πρώτου διαίρεσις ὁλοχερέστερα ἄυτη.

Τίς δ' ἂν εἴη ἰδία ὁ τοῦ δευτέρου σκοπὸς, παρὰ τοῖς Ὑπομνηματισαῖς ἠμφισβήτηται, ἄλλως ἄλλοις ἀποδεδωκόσιν. Ἔστι μέντοι ἐν τούτοις ὁ τοῦ Ἀλεξάνδρου σκοπὸς ἀκλινέστερον ἐχειρισμένος τῇ ἀληθείᾳ. φησὶ γὰρ σκοπὸν εἶναι τῷ Φιλοσόφῳ ἐν (1) ἐκείνῳ περὶ τῶν ἐπιλοίπων τοῦ πρώτου διαλαβεῖν. Ἐπειδὴ γὰρ ἐν τοῖς προλαβοῦσιν ὅσα εἰς ἀπαρτισμὸν ἥκει τὸ ἁπλῶς συλλογισμοῦ, ἀναλυτικῇ μεθόδῳ κεχρημένος ἐδίδαξεν, ἐχόμενον ᾗ κἀ τὰ ἐκείνῳ ἤδη ἀπηρτισμένῳ ἀμηγέπως ἑπόμενα διασκέψασθαι. Εἰδὲ ἐκ τῶν τούτων γνώσεως ἡ περὶ ἀποδείξεως διδασκαλία δοδωτέρα καθίσταται, οὐ διὰ τοῦτο, τῆς ἀληθείας ὁ τοῦ Ἀλεξάνδρου λόγος ἐκπέπτωκεν, ὥς τινες ἐφαντάσθησαν. ἐπεὶ καὶ πᾶσα ἡ τῶν προτέρων ἀναλυτικῶν θεωρία, μᾶλλον δὲ ἡ λογικὴ ἅπαξάπασα πραγματεία, ὡς σκοπιμώτατον τέλος εἰς τοῦτο τῆς ἀποδείξεως ἀναφέρεται κατάληψιν.

Τέμνεται οὖν καὶ (2) τοῦτο εἰς τρία. ὧν τὸ πρῶτον τμῆμα τὰς διαφόρους τοῦ συλλογισμοῦ ἀναπτύσσει δυνάμεις. τὸ δεύτερον τὰ ἐκείνου ἐλαττώματα περιέχει μὴ ὑγιῶς ἐκλαμβανομένου. ἐν δὲ τῷ τρίτῳ ὅσα ἐκείνῳ συγχρῶ διδασκόμεθα. καὶ ὅτι οὐδὲν (3) τῶν λοιπῶν ἐπιχειρημάτων δύναμιν ἔχουσιν ἀποδεικτικὴν, ὅτι μὴ εἰς συλλογισμὸν ἀναγόμενον. Τοῦ δὲ πρώτου αὖθις τὸ πρῶτον τμῆμα τρεῖς διαιρέσεις δείκνυται. προεκτίθεται γὰρ

(1) Τῷ δευτέρῳ βιβλίῳ τῶν προτέρων. (2) Τὸ δεύτερον. (3) Ἤτοι ἐνθύμημα, ἐπαγωγὴ, παράδειγμα.

γὰρ πάντων τῆς ἄλλων ὁ Φιλόσοφος (οἷς προϊόντος τοῦ λόγου μέλλει χρῆσθαι) οἷον ἀρχάς τινας καὶ προκρούσματα. Ἐφεξῆς δὲ τὰ χήματα τῆς συλλογισμῶν διδάσκει. ἐν δὲ τῷ τείτῳ μέρει περὶ μίξεων τῆς κατὰ τὰς προτάσεις διεξοδικότερον κέχρηται λόγῳ. Τελευταῖον δὲ περίτινων κοινῶν τοῖς τρισὶ χήμασι προσηκόντων ἁλαμβάνει.

Τούτων δὲ τῆς τετάρων αὖθις μερῶν, ἐπὶ μὲν τοῦ πρώτου δύο ταῦτα ποιεῖται. ἐκτίθησι πρῶτον μὲν τὰ κοινὰ τῆς τελῶν προλαπτέα χημάτων. δεύτερον δὲ τὰ ἑκάστου ἴδια. Τὰ μὲν οὖν κοινὰ τῆς τελῶν προλαπτέα χημάτων εἰσὶν, οἱ ὁρισμοὶ, καὶ διαιρέσεις τῆς τε προτάσεων, ὅρων, καὶ συλλογισμῶν.

Τί ἐστὶ πρότασις; ~~καὶ ὁσαχῶς διαιρεῖται.~~

Πρότασις οὖν καὶ ἀπόφανσις τῷ μὲν ὑποκειμένῳ εἰσὶ ταυτὰ, χέσει μόνῃ διαφέροντα. καθ' ὅσον γὰρ ἑρμηνεύεται καὶ εἰς φῶς ἄγει τὰ τῆς ἡμετέρας ψυχῆς παθήματα, ἀπόφανσις εἴρηται. καθὸ δὲ παρὰ τοῦ ἑρωτῶντος ἐν ταῖς διαλέξεσι προτείνεται, & μέρος γίνεται τοῦ συλλογισμοῦ, πρότασις λέγεται. ὅθεν καὶ διαχήματα πολλαχῆ τὰς προτάσεις καλεῖ ὁ Φιλόσοφος κατὰ ζῆλον τῆς γεωμετρικῶν. ἄτινα εἰσὶν αἱ γραμμαὶ, διὰ τὸ ὁμοίως καὶ ἐκ τῆς προτάσεων ἀποτελεῖσθαι τὰ χήματα τῆς συλλογισμῶν, ὡς περ καὶ ἐκ τῆς γραμμῶν τὰ κατὰ γεωμετρίαν χήματα. Αὕτη οὖν γενικῶς λαμβανομένη ἡ πρότασις, (ἣν καὶ ἁπλῶς συλλογιστικὴν ὁ Ἀριστοτέλης καλεῖ) ὁρίζεται τῷ Φιλοσόφῳ κἀνταῦθα, ὥσπερ καὶ ἐν τῷ περὶ Ἑρμηνείας, ὅτι ἐστὶ λόγος καταφατικὸς τινὸς κατά τινος, ἢ ἀποφατικὸς τινὸς ἀπό τινος. οἷον ὁ ἄνθρωπος ἐστὶ λογικὸς, ἢ ὁ ἄνθρωπος οὐκ ἐστὶ λίθος. ὧν ἡ μὲν ἐστὶ καταφατικὴ, ἡ τὸ λογικὸν κατὰ τοῦ ἀνθρώπου καταφάσκουσα. ἡ δὲ ἀποφατικὴ, ἡ τὸν λίθον ἀποφάσκουσα τούτου. Ὅτι δὲ αἱ μὲν αὐτῶν ἁπλαῖ εἰσὶν, αἱ δὲ συνθετοι, αἱ δὲ ξοπικαὶ, ἄλλαι δὲ ὑποθετικαὶ, καὶ τὰ ὅμοια, κατὰ τίτε κοινωνοῦσι, καὶ κατὰ τί διαφέλλονται, ἐξ ὧν περὶ τῆς ἀποφάσεων εἴρηται ἐν τῷ περὶ Ἑρμηνείας, δῆλον γίνεται τῷ καὶ μικρὸν ἐπισήσαντι. Ἔστι δὲ ὁ λόγος οὗτος ὑπογραφικὸς τῆς συλλογιστικῆς προτάσεως, καὶ οὐ κυρίως ὁρισμὸς, ἢ δοκεῖ Ἀλεξάνδρῳ. λαμβάνεται γὰρ ἐκ τῆς ἀπαριθμήσεως τῆς ὑπὸ τὸ ὁρισόν. ἐκ μὲν τῆς καταφάσεως, καὶ ἀποφάσεως, ὧν κατηγορεῖται, ἐδήλωσεν αὐτῷ, ὅπερ διαιρετικῷ μᾶλλον προσήκει, ἢ ὁρισικῷ λόγῳ. Τοῦτο δὲ γίνεται ὁπλωί-

κα τὸ

καὶ τὸ ὡς γένος λαμβανόμενον, οὐκ ἔστι τὶς ἄλλη φύσις παρὰ τὰ ὧν κατηγορεῖται, ἐδὲ γένος κυρίως. τινὰ γὰρ μὴ ἔχοντες διὰ τῆ καθολικωτέρων τινὶ φύσιν δηλῶσαι τοῦ ὁρισοῦ, ἀγαπῶμεν δι' ἀπαριθμήσεως τῆ σημαινομένων δηλοῦν τὸ κοινῶς λεγόμενον. Ἐπεὶ οὖν καὶ ὁ ἀποφαντικὸς λόγος ὁ ἀντὶ γένους ἐνταῦθα παραληφθεὶς, οὐ δὲ μία ἄλλη ἐστὶ φύσις παρὰ τινὶ κατάφασιν καὶ ἀπόφασιν, ἐν αἷς αὐτοῦ τὸ εἶναι, διάτοι τοῦτο οὐδὲ γένος ἐστὶν ἁπλῶς, οὐδὲ ὁρισμὸς κυρίως ὁ λόγος, ἐν ᾧ τὸ τοιοῦτον ὡς γένος παραλαμβάνεται. Ἐφαρμόττει δὲ ὁ λόγος οὐ πάσῃ προτάσει, ὡς ὁ αὐτὸς παρασημειοῦται Ἀλέξανδρος. οὐ γὰρ τῇ ὑποθετικῇ, ἧς τὸ ἀληθὲς καὶ τὸ ψεῦδος οὐκ ἐν τῷ τί κατάτινος, ἢ ἀπότινος, ἀλλ' ἐν ἀκολουθίᾳ καὶ μάχῃ διορίζεται. ἰδίως οὖν ἐφαρμόττει τῇ κατηγορικῇ, καὶ ταύτῃ καθόλου, καθόσον εἰς συλλογισμὸν παραλαμβάνεται, καὶ καλεῖται συλλογιστική.

Διαίρεσις Προτάσεως.

Διαιρεῖ δὲ ταύτῃ ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος τεχνῶς, κατὰ ποιότητα, ποσότητα, καὶ κατὰ τινὰ ὕλην. Καὶ Ποιότης μὲν ἐστὶν ἡ ἐν ταῖς προτάσεσι, τὸ τινὶ μὲν, καταφατικὴν εἶναι, τινὶ δὲ, ἀποφατικήν. Ποσότης δὲ τὸ τινὶ μὲν, καθόλε, τινὶ δὲ μερικήν. περὶ ὧν ἄλις εἴρηται ἐν τῷ περὶ Ἑρμηνείας. Τρίτη ἐστὶ διαίρεσις, καθ' ἣν ἡ μὲν Ἀποδεικτικὴ λέγεται, ἡ δὲ, Διαλεκτικὴ, καὶ ἡ λοιπὴ παρὰ ταύτας Σοφιστική, ἥτις κατὰ τινὰ ὕλην διαίρεσις λέγεται. Ἔστι δὲ Ἀποδεικτικὴ πρότασις ἡ ἐν ἀναγκαίᾳ ὕλῃ, ἀληθὴς οὖσα ἀεὶ, καὶ διὰ τῆ ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη, ἀκόλουθος δηλονότι ταῖς καιναῖς ἐννοίαις, καὶ ταῖς οἰκείαις τῆς προκειμένης ἐπιστήμης ἀρχαῖς τε καὶ ὑποθέσεσιν. Ἡ δὲ Διαλεκτικὴ, λῆψις ἐστὶ τοῦ φαινομένου καὶ ἐνδόξου, καὶ ποτὲ μὲν ἀληθὴς, ποτὲ δὲ ψευδὴς εἶναι δυναμένη. περὶ ἧς ἐν τοῖς Τοπικοῖς ἰδίᾳ πραγματεύεται ὁ Φιλόσοφος. Σοφιστικὴ δὲ ἐστὶν, ἡ ἔνδοξος μὲν φαινομένη, τυγχάνουσα ἀληθὴς δοκοῦσα, ἀεὶ δὲ ψευδομένη. ἐν αἷς πάσαις ὁμοίως ὁ κοινὸς ἀποδεδομένος τῆς προτάσεως ὅρος ἐφαρμόττει. ἑκάστη γὰρ τούτων ὁμοίως ἐστὶν ἀποφατικὸς λόγος τινὸς ἀπότινος, ἢ καταφατικὸς τινὸς κατάτινος. Διαφέρει δὲ ἀποδεικτικῆς ἡ διαλεκτικὴ λόγῳ διττῷ, κατά τε τινὶ ἡμετέραν χρῆσιν, καὶ τινὶ τῆ ὑποκειμένων πραγμάτων ὕλῃ. καὶ μὲν τινὶ ἡμετέραν χρῆσιν, ὅτι ἡ μὲν ἀποδεικτικὴ, λῆψις ἐστὶ θατέρου μορίου τῆς ἀντιφάσεως, τοῦτε ἀ-

λη-

λη θοῦς ὄντος, καὶ ἀκολούθου ταῖς οἰκείαις ἀρχαῖς τε, καὶ ὑποθέσεσιν. ἡ δὲ ἀναλυτικὴ, ἐστὶν ἐρώτησις τῆς ἀντιφάσεως, τουτέστι δι' ἐρωτήσεως τῆς ἀντιφάσεως, λαμβανομένη. ὅλης γὰρ τῆς ἀντιφάσεως, ἢ δυνάμει, ἢ ἐνεργείᾳ ἐν τῇ ἐρωτήσει προτιθεμένης, λαμβάνει τὸν δοθέντα ὁ ἐρωτῶν. Ἀλλ' αὕτη μὲν ἡ διαφορὰ τόγε νῦν ἔχον παραιτέα. οὐ γὰρ διαφέρει πρὸς συλλογισμοῦ γένεσιν κατάγε τὴν παροῦσαν διάσκεψιν. καὶ γὰρ ὁ ἀποδεικνύων καὶ ὁ ἐρωτῶν ὁμοίως συλλογίζεται, λαβὼν τί κατάτινος ὑπάρχειν, ἢ μὴ ὑπάρχειν. ἡ δὲ κατὰ τὴν ὕλην αὐτῶν διαφορὰ γενικῶς λαμβανομένη, χρήσιμος ἐν τοῖς μετὰ ταῦτα γίνεται.

Περὶ Ὅρου.

Ἐχρὴν εἰπεῖν προσεχῶς μετὰ τὴν διαίρεσιν τῆς προτάσεων περὶ αὐτιστροφῆς τῆς αὐτῆς, ἀλλ' ἵνα μὴ μεταξὺ ἀμφισβεῖται ὁ ὅρος ἐξ ὧν αἱ προτάσεις ἢ εἰς οὓς ἀναλύονται, δεῖν ἔγνωμεν καὶ περὶ τούτου ὀλίγα πρὸ διαλαβεῖν. Εἴρηται δὲ ἐνταῦθα Ὅρος κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν ἀγροῖς, καὶ χωρίοις ὁροθεσίων, οἷς ἑκάτερα ἑκάτερα περιγράφεται, καὶ τῶν ἄλλων χωρίζεται, περὶ οὗ καὶ ἐν τοῖς προλεγομένοις ἁπάσης τῆς λογικῆς πραγματείας πλατύτερον εἴρηται. Ἐπεὶ δὲ κἀν ταῖς προτάσεσι τό, τε κατηγορούμενον, καὶ τὸ ὑποκείμενον, οἷον ἀποτερματισμοί τινες τούτων τυγχάνουσι, τὸν αὐτὸν λόγον ἔχοντα, οἷς τὰ ὁροθέσια ἐπὶ τῆς χωρίων, καὶ τὰ πέρατα ἐπὶ τῆς γραμμῶν, ὅροι καὶ ταῦτα ἤκουσαν. Ὁρίζεται δὲ τῷ Φιλοσόφῳ ὁ ὅρος, Ὅτι ἐστὶν εἰς ὃν διαλύεται ἡ πρότασις, οἷον τό, τε κατηγορούμενον, καὶ τὸ ὑποκείμενον.

Διαίρεσις τῶν Ὅρων.

Εἰσὶ δὲ οἱ Ὅροι δύο μόνοι, Ὑποκείμενος καὶ Κατηγορούμενος. πλείους δὲ ἐν μιᾷ προτάσει ὑπάρχειν ἀδύνατον, ὥσπερ ἀδύνατον καὶ πλείους τῆς ζ ὅρων ἐν ἑνὶ συλλογισμῷ. τὸ γὰρ εἰσὶ προσκατηγορούμενον, καταφατικῶς μὲν λεγόμενον, συμθέσεν σημαίνει τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον, ἀποφατικῶς δὲ, διαίρεσιν, προσημαῖνον ἅμα καὶ τὸν χρόνον, ὥσπερ καὶ ὁ ζόπος τὴν συμφέρειαν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον δηλοῖ. ἀλλὰ ταῦτα συνδέσμοι, ἢ ζόποι, ἢ συγκατηγορήματα, ἢ προσκατηγορήματα ῥητέον, ὅροι δὲ οὐκ ἂν ποτε· οὐκ ἔστι γὰρ τρίτος ἐν μιᾷ προτάσει παρὰ τὸ ὑποκείμενον καὶ κατηγορούμενον.

Πρὸς τὴν δυναμένην σύνταξιν τῆς μεριστῆς ἀναφορᾶς ἀναφορῶν, ἡμιόλιος ἔσται, ὡς δὲ πρὸς ἐλάττονα λόγον συγκριθῶν, διπλάσιος ἔσται ὁ δὲ λόγος τῆς ἐκκειμένης ἀναφορᾶς πρὸς τὸν λόγον αὐτὸν ἀναπληρώσει. ἡ μεριστὴ ἀναφορὰ συνέστηκεν, ἐκ δύο ἀναφορῶν ἐλαττόνων ἀνίσων, ἐκ μὲν τῆς ἐλαττονος ἀναφορᾶς ἐλάττων ἐστὶν ὁ λόγος τοῦ ἡμιολίου λόγου, ἐκ δὲ τῆς μείζονος ἀναφορᾶς μείζων ἐστὶν ὁ λόγος τοῦ ἡμιολίου λόγου, ἵνα αὐτὸν ἐκ τῶν ἐλαττόνων ἀναφορῶν συνεστηκὼς ἐκπληρώσῃ. ἐὰν γὰρ μείζων ἡ ἐλάττων ἀναφορὰ τῆς μεριστῆς ἀναφορᾶς, ἐλάττων ἔσται ὁ λόγος τῆς ἐλαττονος ἀναφορᾶς τοῦ ἡμιολίου λόγου, ἐὰν δὲ ἐλάττων ἡ ἐλάττων ἀναφορὰ τῆς μεριστῆς ἀναφορᾶς, μείζων ἔσται ὁ λόγος τῆς μείζονος ἀναφορᾶς τοῦ ἡμιολίου λόγου, ἐὰν δὲ ἴση ἡ ἐλάττων ἀναφορὰ τῇ μεριστῇ ἀναφορᾷ, ἴσος ἔσται ὁ λόγος τῆς μείζονος ἀναφορᾶς τῷ ἡμιολίῳ λόγῳ. ἐὰν δὲ ἴση ἡ μείζων ἀναφορὰ τῇ μεριστῇ ἀναφορᾷ, ἴσος ἔσται ὁ λόγος τῆς ἐλαττονος ἀναφορᾶς τῷ ἡμιολίῳ λόγῳ. ἐὰν δὲ ἡ μεριστὴ ἀναφορὰ μείζων ἢ ἐλάττων ἀναφορᾶς καὶ μείζων ἢ μείζονος ἀναφορᾶς, ἐλάττων ἔσται ὁ λόγος τῆς ἐλαττονος ἀναφορᾶς τοῦ ἡμιολίου λόγου, μείζων δὲ ἔσται ὁ λόγος τῆς μείζονος ἀναφορᾶς τοῦ ἡμιολίου λόγου. ἐὰν δὲ ἡ μεριστὴ ἀναφορὰ ἐλάττων ἢ τῆς μείζονος ἀναφορᾶς καὶ μείζων ἢ τῆς ἐλαττονος ἀναφορᾶς, μείζων ἔσται ὁ λόγος τῆς ἐλαττονος ἀναφορᾶς τοῦ ἡμιολίου λόγου, ἐλάττων δὲ ἔσται ὁ λόγος τῆς μείζονος ἀναφορᾶς τοῦ ἡμιολίου λόγου. ἐὰν δὲ ἡ μεριστὴ ἀναφορὰ ἴση τῇ μείζονι ἀναφορᾷ, ἴσος ἔσται ὁ λόγος τῆς ἐλαττονος ἀναφορᾶς τῷ ἡμιολίῳ λόγῳ, ἐλάττων δὲ ἔσται ὁ λόγος τῆς μείζονος ἀναφορᾶς τοῦ ἡμιολίου λόγου. ἐὰν δὲ ἡ μεριστὴ ἀναφορὰ ἴση τῇ ἐλάττονι ἀναφορᾷ, ἴσος ἔσται ὁ λόγος τῆς μείζονος ἀναφορᾶς τῷ ἡμιολίῳ λόγῳ, μείζων δὲ ἔσται ὁ λόγος τῆς ἐλαττονος ἀναφορᾶς τοῦ ἡμιολίου λόγου. ἐὰν δὲ ἡ μεριστὴ ἀναφορὰ ἐλάττων ἢ τῆς μείζονος ἀναφορᾶς καὶ μείζων ἢ τῆς ἐλαττ

» Διχῶς γίνεται· ἢ γὰρ ἡ ἀνὴρ ἢ γυνὴ σεσηπὸς μέντοι σαπρὸς ἢ σαπρός, ἢ ὅτος μεταβάλλει τὸν ὄμον, ὡς ὁ ἡδὺς ἀνὸς ἐστὶν ὅτος, ἢ ἡδὺς ὅτος ἐστὶν ἀνός, ἢ ὅτι ἀμφὼ ἀμφὶ ἀντιτεφεῖ ὕωθε κέρεσθαι, παθὸν τὸ μερικὴ παλιμφαίνει, ἢ ἡ παθὸν ἀνομφαίνει ἀντιτρέφει. ἢ μὲν μέντοι ἡ ἀνὴρ σαπρὸς ἢ σαπρός, μένει ἡ ἀντιτεφεῖ, παθὸν τὸν ὄμον ἀντίθεσιν, ἡ ἀνὴρ ἀνὴ σεσηπὸς μένει σαπρός, ὡς ἀνὴρ ἡ παθὸν παλιμφαίνει, ἢ ὅτι ἐστὶ ἑαυτὸν, ἀλλὰ σεσηπὸν μερικὸν παλιμφαίνει ἀντιτρέφει. οἷον, σὰς ἀνὸς ἐστι ξῶον, ἢ ὄλεθρον ἐστιν ἀνὸς, παλιμφαίνει καὶ ἀμφὶ ἀντιτεφεῖ ἐοικὸς λέγεται, ἡ ἐπὶ παθὸν εἶδος ἢ γένος, ἡ δὲ μερικὸς μένος ἢ ἕδος ἐμφαίνει· ἀλλ' ἀνὴρ ἢ ἕδος ἐστὶ ἢ ἰδέα, ἢ ἀνὴρ παθὸν παλιμφαίνει σεσηπὸς ἑαυτὸν ἀντιτρέφει, ὡς ἀνὴρ ἴσον ἢ χρεμέτιστικὸν, ἢ πωλος ἢ ὀλαυλικὸν, ἢ ἄλλων ἀοιδίμων, ἀλλ' ὁ ἢ ἀνὴρ ἀοιδῶν ἀρὶ παθόλου φωνοῦ, μένος, ἕδος ἐστὶ ἢ ἡδέως, ἐμφύλως ἀνὴρ ἡδίστερον ἴδοι ἂν ἄνδρα· ἀοιδίμων ἢ ἀμφὶ ἀμφὶ ἀντιτεφεῖ, ἢ ἡ παθὸν ἀμφὶ ἀνομφαίνει ἀμφὶ· ἐπὶ σπανίδος ἀν ἀντιτεφεῖ μένος, ὁπόταν ἢ ἀντιτρέφεται σεσηπὸς·

μενον, κἂν καί τινες ἄλλαι φωναὶ πλεονάσειεν, καὶ οὐδὲ ἁπλῶς ἐνφέρεται τὸ ὑποκείμενον, ἢ τὸ κατηγορούμενον, ὅτι τὰ τοιαῦτα οὐδὲν λυμαίνεται τὸν τοῦ κατηγορουμένου, ἢ ὑποκειμένου λόγον. Ἔστι δὲ ὑποκείμενος μὲν Ὅρος καθ' οὗ ἕτερον καταφάσκεται, ἢ ἀποφάσκεται. Κατηγορούμενος δὲ ὁ τῷ ὑποκειμένῳ ἐπιφερόμενος καὶ κατ' ἐκείνου ἀγορεύόμενος. ὡς ἐπὶ ταύτης τῆς προτάσεως, ὁ ἄνθρωπος ἐστὶ ζῶον, ὑποκείμενον μὲν ἐστὶν ὁ ἄνθρωπος, καθ' οὗ τὸ ζῶον καταφάσκεται, κατηγορούμενον δὲ τὸ ζῶον, ὃ κατὰ τοῦ ἀνθρώπου λέγεται.

Περὶ ἀντιστροφῆς τῶν Προτάσεων.

Ἔστι δὲ Ἀντιστροφὴ χωρικώτερον λαμβανομένη, ἰσοστροφίτις, ἢ ἰσοδυναμία, ἔστιν ὅτε ἢ μετάθεσιν, ἢ ἀντίθεσιν τῆς ὅρων ἐπιδεχομένη. Θεωρεῖται δὲ τοὐλάχιστον ἐν δυσί. τὰ γὰρ ἰσοστροφοῦντα, χρεικῶς ἀναφέρονται πρὸς ἄλληλα, τοιαῦτα δὲ τοὐλάχιστον δύο. Γίνεται δὲ μάλιστα ἐν τρισὶν, ἐν ὅροις, ἐν προτάσεσι, καὶ συλλογισμοῖς. Ἀλλ' ἡ μὲν τῆς ὅρων ἐν τῷ περὶ τῆς Πρός τι κεφαλαίῳ δεδίληπται ὅτι ὁ πατὴρ υἱοῦ πατὴρ, καὶ ὁ υἱὸς πατρὸς υἱός, καὶ τὰ ἑξῆς. ἡ δὲ τῆς συλλογισμῶν ἐν (1) τοῖς μετὰ ταῦτα, ὑπὸ τοῦ Ἀριστοτέλους διαφανωθήσεται. μόνη δὲ ἡ τῆς προτάσεων τὰ νῦν εἰς ἐξέτασιν πρόκειται. Ἡ μὲν οὖν κατὰ τὰς προτάσεις ἀντιστροφὴ, ἣν δοκεῖ Ἀλεξάνδρῳ, κοινωνία ἐστὶ δύο προτάσεων, κατὰ τοὺς ὅρους ἀνάπαλιν τιθεμένους, μετὰ τῆς σωαληθεύειν. ἧς τρία εἰσὶν εἴδη. Πρῶτον ἐστὶν ἀντιστροφὴ ἁπλῆ. Δεύτερον συὼ ἀντιθέσει ἀντιστροφή. Καὶ τρίτον, ἐνδεχομένη ἀντιστροφή. Συμβαίνει δὲ τὴν ἁπλῆν ἀντιστροφὴν διχῶς γίνεσθαι. ἢ γὰρ μεταβάλλεται ἡ θέσις τῆς ὅρων, ὑπομενούσης τῆς αὐτῆς ποσότητος, καὶ ποιότητος τῆς προτάσεως. οἷον οὐδεὶς ἄνθρωπος ἐστὶν ἵππος, καὶ οὐδεὶς ἵππος ἐστὶν ἄνθρωπος. καὶ ἡ τοιαύτη ἀντιστροφὴ, ἁπλῶς ἁπλῆ εἴωθε λέγεσθαι. καθ' ἣν ἥτε μερικὴ καταφατικὴ, καὶ ἡ καθόλου ἀποφατικὴ ἀντιστρέφει. ἡ δὲ καθόλου καταφατικὴ, ἀνιστρέφει μὲν, ἐν τοῖς ἀντιστρέφουσιν, ἀλλ' οὐκ ἐν πᾶσιν. Ἡ μὴ μενούσης τῆς αὐτῆς ποσότητος γίνεται ἡ ἀντιστροφὴ, κατὰ τὴν τῆς ὅρων ἀντίθεσιν, ὑπομενούσης τῆς αὐτῆς ποιότητος. οἷον πᾶς ἄνθρωπος ἐστὶ ζῶον, καὶ τὶ ζῶον ἐστὶν ἄνθρωπος, καὶ καλοῦσι ταύτην οἱ πολλοὶ καὶ συμβεβηκὸς ἁπλῶς.

Ἡ δὲ συὼ ἀντιθέσει ἀντιστροφὴ γίνεται ὁπωσοῦν αἱ ἀντιστρέφουσαι

(1) Ἤγουν ἐν τῷ δευτέρῳ τῆς προτέρων.

προτάσεις, οὐ μόνον διαφέρουσιν ἀλλήλων κατὰ τὴν τάξιν τῶν ὅρων, ἀλλὰ καὶ κατὰ ποιότητα, τῶν αὐτῶν ὅρων, ἐξ ὡρισμένων ἀορίστων λεγομένων. οἷον πᾶς ἄνθρωπος ἐστὶ ζῶον, καὶ παῦ τὸ μὴ ζῶον, ἐστὶ μὴ ἄνθρωπος. περὶ ἧς εἰσέπειτα ἔσται λόγος τῷ Φιλοσόφῳ. Ἐνδεχομένη δὲ ἐστὶν ἀντιστροφὴ, ὁπωσοῦν ἡ πρότασις μεταβαλλομένης τῆς ποιότητος, τὴν αὐτὴν σώζει τῶν ὅρων θέσιν, οἷον τὶς ἄνθρωπος περιπατεῖ, τὶς ἄνθρωπος οὐ περιπατεῖ, ἥτις οὐδὲ πυρίως ἐστὶν ἀντιστροφὴ, περὶ ἧς ὁ Φιλόσοφος ἐν κεφαλαίῳ ιβ'.

Ἐπεὶ οὖν τῶν προτάσεων αἱ μὲν μετὰ χρόνου προφέρονται, αἱ δὲ ἄνευ χρόνου. καὶ τῶν μετὰ χρόνου, αἱ μὲν μετὰ χρόνου ἀναγκαίου, καὶ λέγονται ἀναγκαῖαι, ὁπωσδήποτε τῆς ὕλης ἐχούσης. οἷον ὁ ἄνθρωπος ἀναγκαίως περιπατεῖ. αἱ δὲ μετὰ χρόνου ἐνδεχομένου, καὶ λέγονται ἐνδεχόμεναι, οἷον ἐνδεχομένως ὁ ἄνθρωπος περιπατεῖ, ἢ ἀναπνεῖ. Περιέχονται δὲ ταῖς μὲν ἀναγκαίαις καὶ αἱ ἀδυνάτοι. τὸ γὰρ ἀδυνάτον περιπατεῖν, ἀναγκαῖον μὴ περιπατεῖν. καὶ τὸ ἀναγκαῖον περιπατεῖν, ἀδυνάτον μὴ περιπατεῖν. Ὑπὸ δὲ τὰς ἐνδεχομένας καὶ αἱ κατὰ τὸ δυνατὸν προτάσεις περιέχονται. τὸ γὰρ δυνατὸν καὶ ἐνδεχόμενον ταυτὰ ἐστὶ καταπάντα ὡς ἐν τῷ περὶ Ἑρμηνείας εἴρηται. Τὰς δὲ μηδενὸς διαιρούσας χρόνου, τὸ ὑπάρχειν προτάσεις ἐνταῦθα ὁ Φιλόσοφος ἐκάλεσεν. οἷον ἄνθρωπος περιπατεῖ, ἄνθρωπος ἀναπνεῖ.

Τῶν μὲν οὖν τοῦ ὑπάρχειν προτάσεων, ἡ μὲν καθόλου ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει, τυτέστι κατὰ τὴν ἁπλῶς ἁπλῆν ἀντιστροφὴν, φυλαττομένου σὺν τῷ ποιῷ καὶ τοῦ ποσοῦ τοῦ αὐτοῦ. οἷον οὐδεὶς ἵππος λίθος. καὶ οὐδεὶς λίθος ἵππος. ὁμοίως δὲ καὶ ἡ κατὰ ἀντίφασιν ταύτῃ ἀντικειμένη μερικὴ καταφατικὴ ἔχει. ἀληθοῦς γὰρ οὔσης τῆς, τὶς ἄνθρωπος ἔχει, σωαληθεύει, καὶ τὸ τὶ ἔχον ἐστὶν ἄνθρωπος. Ἡ δὲ ἑτέρα ἀντίφασις, οὐχ ὁμοίως ἔχει. ἡ μὲν γὰρ καθόλου καταφατικὴ οὐ πρὸς ἑαυτὴν ἀντιστρέφει, ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικὴν, ὅπερ ἐστὶν εἰπεῖν ἀντιστρέφει κατὰ τὴν ἁπλῆν ἀντιστροφὴν κατὰ συμβεβηκός. ἀληθοῦς γὰρ οὔσης τῆς πᾶς ἄνθρωπος ζῶον, οὐκ ἔτι καὶ ἡ παῦ ζῶον ἄνθρωπος ἀληθεύει, ἀλλ' ἡ ἐπὶ μέρους, ἡ τὶ ζῶον ἐστὶν ἄνθρωπος. Ἡ δὲ μερικὴ ἀποφατικὴ, οὔτε πρὸς ἑαυτὴν, οὔτε πρὸς ἑτέραν ἀντιστρέφει. εἰ γὰρ ἀληθὲς, οὐ παῦ ζῶον ἐστὶν ἄνθρωπος, οὐκ ἤδη ἀληθὲς καὶ ἡ ὃ πᾶς ἄνθρωπος ἐστὶ ζῶον. οὐδὲ εἰ ἀληθὲς, οὐ πάντα ἄνθρωπον εἶναι λίθον, ἔστι ἀληθὲς καί τινα λίθον εἶναι ἄνθρωπον, ἅπερ ἐστὶ μερικὴ καταφατική.

Ἀντι-

Ἀντιστροφὴ τῶν Προτάσεων τοῦ ἐνδεχομένου.

Παραπλησίως δὲ ἐχήπασι κατὰ τὰς αὐτὰς ἀντιστροφὰς ἥ τε μετὰ βότου ἀναγκαίου ταῖς τοῦ ὑπάρχειν. Περὶ δὲ τῆς μετὰ βότου ἐνδεχομένου ἐκεῖνο προληπτέον, ὅτι τὸ ἐνδεχόμενον τειχῶς λέγεται. τό, τε γὰρ ἀεὶ ὡσαύτως ἔχον, ἐνδεχόμενον λέγεται ἐνίοτε. οἷον ἐνδέχεται αὔριον ἀνατεῖλαι τὸν ἥλιον. ἢ τὸ μετὰ τῆς ἐνεργείας ὄν, οἷον ἐνδέχεται βαδίζειν Σωκράτη, ὅτε βαδίζει. καὶ τρίτον τὸ κυρίως ἐνδεχόμενον, τὸ μήπω δηλαδὴ ἐνεργείᾳ ὄν, δυνατὸν δὲ γενέσθαι, καὶ μή. Αἱ μὲν οὖν καταφατικαὶ προτάσεις τοῦ ἐνδεχομένου, ἢ ἐπὶ ~~παντὸς~~ σημαινομένου ὁμοίως ἀντιστρέφουσιν, ὡς ἐν ἀνωτέρω εἴρηται περὶ τῆς τοῦ ὑπάρχειν ἢ τοῦ ἀναγκαίου. ἐπὶ μὲν τοῦ πρώτου ἢ δευτέρου ~~σημαινομένου ἢ~~ αἱ ἀποφατικαὶ, ~~τοῦ ἀνωτέρω~~ ~~ταῖς ἀνωτέρω~~ ἐπὶ δὲ τοῦ βότου σημαινομένου καὶ κυρίως ἐνδεχομένου, οὐχ ὁμοίως ἀντιστρέφουσιν αἱ ἀποφατικαὶ προτάσεις τὸ ἐνδεχομένου, ταῖς ἀποφατικαῖς προτάσεσι τοῦ ὑπάρχειν ἢ τοῦ ἀναγκαίου. ἐπ' ἐκείνων γὰρ ἡ μὲν καθόλου ἀποφατικὴ ἀντέστρεφε πρὸς ἑαυτήν. ἡ δὲ μερικὴ ἀποφατικὴ, οὐδὲ ὅλως ἀντέστρεφεν. ἐπὶ τούτου δὲ, ἡ μὲν καθόλου ἀποφατικὴ, οὐκ ἀντιστρέφει δηλονότι πρὸς ἑαυτήν, ἀλλὰ πρὸς τὴν κατὰ μέρος ἀποφατικήν. οἷον ἐνδέχεται τὸ (1) λευκὸν μηδενὶ ἀνθρώπῳ ὑπάρχειν, ἢ ἐνδέχεται τὸν ἄνθρωπον τινὶ λευκῷ μὴ ὑπάρχειν. τὸ δὲ αἴτιον, ὅτι ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἡ καθόλου ἀποφατικὴ, ἰσοδυναμεῖ τῇ καθόλου καταφατικῇ. ὃ γὰρ ἀποφάσκει, τοῦτο αὐτὸ καὶ καταφάσκει δυνάμει. καὶ ὃ καταφάσκει ἡ καταφατικὴ, τοῦτο αὐτὸ καὶ ἀποφάσκει δυνάμει. ὁ γὰρ εἰπὼν ἐνδέχεται μηδένα ἄνθρωπον περιπατεῖν, καὶ ἐνδέχεται πάντα ἄνθρωπον περιπατεῖν, αἰνίττεται. εἰ γὰρ μὴ τὸ δεύτερον ἦν ἐνδεχόμενον, οὐ δὲ τὸ πρῶτον. Ἐπεὶ οὖν ἡ καθόλου καταφατικὴ, οὐ κατὰ τὴν ἁπλῶς ἁπλῶν ἀντιστροφὴν ἀντιστρέφει, ἀλλὰ κατὰ τὴν κατὰ συμβεβηκὸς ἁπλῆν, ὁμοίως ἀντιστρέφει καὶ ἡ καθόλου ἀποφατικὴ ἐπὶ (2) τοῦ οὕτως ἐνδεχομένου ἰσοδυναμοῦσα ἐκείνῃ. Ἡ δὲ μερικὴ ἀποφατικὴ ἐπὶ ταύτης τῆς ὕλης, ἀντιστρέφει μὲν, ἀλλ' οὐ κατὰ τὴν ἁπλῆν ἀντιστροφήν. ἀληθὲς γὰρ ἐστὶν εἰπεῖν, ἐνδέχεθαί τινα ἄνθρωπον μὴ εἶναι δίκαιον, καὶ ἐνδέχεθαί τι δίκαιον μὴ εἶναι ἄνθρωπον, ἀλλ'

(1) Τὸ ἐν κύκνῳ δηλαδὴ ἢ χιόνι, καὶ τὸ ἐν ἄλλοις τὸ παρὰ τὸν ἄνθρωπον. (2) Τοῦ τείτου σημαινομένου.

ἀντιστρέφει, καθ' ὃ ἔφημεν ἐνδεχομένως ἀντιστροφὴ, τῆς μὲν τάξεως τῶν ὅρων, μενούσης τῆς αὐτῆς, τοῦ δὲ ποιοῦ μεταβαλλομένου. οἷον τὶς ἄνθρωπος περιπατεῖ, τὶς ἄνθρωπος οὐ περιπατεῖ, καθ' ὃ ἡ ἐπὶ μέρους καταφατικὴ ἀντιστρέφει ἐπὶ τοῦ οὕτως λεγομένου ἐνδεχομένου.

Ἐπιλαμβάνονται δέ τινες τῶν εἰρημένων ἀντιστροφῶν, ὡς μὴ καλῶς ἐχουσῶν. ὅτε γὰρ καθόλου ἀποφατικὴ οὐκ ἐπὶ πάντων δοκεῖ ἀντιστρέφειν πρὸς ἑαυτὴν ἐπὶ τῆς ὑπαρχούσης ὕλης. οὔτε ἡ καθόλου καταφατικὴ πρὸς τὴν ἐπὶ μέρους καταφατικήν. ἀληθὴς μὲν γὰρ ἡ λέγουσα, οὐδεὶς τοῖχος ἐστὶν ἐν παστάδι, οὐκ ἀληθὴς δὲ καὶ ἀντιστρέψαντα εἰπεῖν, οὐδεὶς πάστας ἐστὶν ἐν τοίχῳ. καὶ ἀληθὴς μὲν ἡ λέγουσα, οὐδεὶς ἀμφορεὺς ἐν οἴνῳ, οὐκ ἀληθὴς δὲ, ἡ οὐδεὶς οἶνος ἐν ἀμφορεῖ. Ὁμοίως καὶ ἐπὶ τῆς καθόλου καταφατικῆς. ἀληθὲς μὲν τὸ εἰπεῖν πᾶς οἶνος ἐν ἀγγείῳ, οὐκ ἀληθὲς δὲ, τὶ ἀγγεῖον ἐν οἴνῳ. ἢ ἀληθὲς μὲν εἰπεῖν, πᾶς πρεσβύτης νέος ἦν πρότερον, οὐκ ἀληθὲς δὲ ἀντιστρέψαντα εἰπεῖν, τὶς νέος πρεσβύτης ἦν πρότερον.

Ἀλλὰ πρὸς τούτους πρόχειρος ἡ ἀπάντησις. συμβαίνει γὰρ ὁ παραλογισμὸς παρὰ τὸ μὴ τὰς αὐτὰς ὅρους μεταλαμβάνειν ἐν τῇ ἀντιστροφῇ. ἄλλο γὰρ πάστας, καὶ ἄλλο ἐν παστάδι εἶναι, καὶ ἄλλο ἀμφορεὺς καὶ ἐν ἀμφορεῖ εἶναι. διὸ τῆς, οὐδεὶς τοῖχος ἐν παστάδι, ἀντιστρέφουσα ἐστὶν ἡ οὐδὲν ἐν παστάδι ὄν, ἐστὶ τοῖχος. τῆς δὲ οὐδεὶς ἀμφορεὺς ἐν οἴνῳ, ἡ οὐδὲν ἐν οἴνῳ ὄν, ἐστὶν ἀμφορεύς. Ὁμοίως δὲ καὶ ἐπὶ τῆς καθόλου καταφατικῆς ἀντιστρέφουσα ἐστὶ, τῆς λεγούσης πᾶς οἶνος ἐν ἀμφορεῖ, ἡ λέγουσα τὶ ἐν ἀμφορεῖ ὄν, ἐστὶν οἶνος. τῆς δὲ πᾶς πρεσβύτης νέος ἦν πρότερον, ἡ τὶς νέος ὢν πρότερον, πρεσβύτης ἐστίν.

Ἀπορία.

Ἐπί τε τῆς μετὰ βόπου ἀναγκαίου ὁμοίως ἐλέγχειν πειρῶνται τὴν τῆς καθόλου καταφατικῆς ἀντιστροφὴν εἰς τὴν μερικὴν καταφατικὴν, διὰ παραδείγματος τοιοῦδε. Πᾶς Φιλόσοφος ἐξ ἀνάγκης ἐστὶν ἄνθρωπος. οὐκ ἀληθὲς δὲ καὶ ἀντιστρέψαντα εἰπεῖν, τὶς ἄρα ἄνθρωπος ἐξ ἀνάγκης ἐστὶ Φιλόσοφος.

Λύσις.

Αἴτιον δὲ τούτου ὅτι, τῆς μὲν Φιλοσόφου ὁ λόγος περὶ τοῦ ἁπλῶς ἀναγκαίου ἐστὶν, οἱ δὲ τὸ καθ' ὑπόθεσιν ἀναγκαῖον λαμβάνουσιν. ὑπο-

τιθέα-

τιθέασι γὰρ εἶναι Φιλοσόφες, ὅπερ οὐκ ἔστιν ἀναγκαῖον. ἐκ δὲ ταύτης τῆς ὑποθέσεως συμβαίνει τούτους ἐξ ἀνάγκης ἀνθρώπους εἶναι. οὐδὲν μέντοι κωλύει, κειμένης τῆς ὑποθέσεως, καίτινα ἄνθρωπον ἐξ ἀνάγκης εἶναι Φιλόσοφον. εἴρηται γὰρ τῷ Φιλοσόφῳ ἐν τῷ περὶ Ἑρμηνείας. τὸ ὂν ὅταν ᾖ, ἀναγκαῖον εἶναι. ὥσπερ καὶ τὸ μὴ ὂν μὴ εἶναι, ὅταν μὴ ᾖ. ὡς τε ὑγιῶς ἀεὶ ἔχουσιν αἱ ῥηθεῖσαι ἀντιφάσεις, τῷ ὅρων ὀρθῶς μεταλαμβανομένων.

Θεοφράστου καὶ Εὐδήμου ἀπορία.

Περὶ δὲ τῆς καθόλου ἀποφατικῆς ἐπὶ τῆς ἐνδεχομένης ὕλης, Θεόφραστος διηνέχθη πρὸς τὸν Ἀριστοτέλη καὶ Εὔδημος, οἷς καὶ τοῖς νῦν πάντες κατακολουθοῦσιν. ἀντιστρέφειν γάρ φασι καὶ ἐπὶ τῆς ἐνδεχομένης ὕλης πρὸς ἑαυτὸν, ὥσπερ καὶ ἐπὶ τῆς ὑπαρχούσης καὶ ἀναγκαίας. καὶ τοῦτο ἐμπεδῶσαι πειρῶνται δυσὶν ἐπιχειρήμασι, διάτε δείξεως ἐνθετικῆς, καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.

ζήτησις δόξις ἐστὶν ἢ ἔνδοξων καθ' ἕλκτα καὶ διαλύσιμος γρα

Ἡ μὲν οὖν ἐνθετικὴ δεῖξις ἐστὶ τοιαύτη, εἰ ἐνδέχεται τὸ λευκὸν ἐν οὐδενὶ εἶναι ἀνθρώπῳ, ἐνδέχεται ἀπεζευχθαι τὸ λευκὸν παντὸς ἀνθρώπου. καὶ ὁ ἄνθρωπος ἄρα ἀπεζευγμένος ἔσται παντὸς λευκοῦ. Ἡ δὲ εἰς ἀδύνατον δεῖξις ἐστὶν ὅδε· ἐπεὶ ψεῦδος τὸ ἐνδέχεσθαι μηδενὶ λευκῷ τὸν ἄνθρωπον εἶναι, ὥσπερ μηδενὶ ἀνθρώπῳ ἐνδέχεσθαι τὸ λευκὸν εἶναι, ἀληθὲς ἔσται τὸ μὴ ἐνδέχεσθαι μηδενὶ λευκῷ τὸν ἄνθρωπον εἶναι. κατάφασις δὲ καὶ ἀπόφασις ταῦτα. εἰδὲ τοῦτο ἀληθές, καὶ τὸ ἐξ ἀνάγκης τινὶ λευκῷ ὑπάρχει ὁ ἄνθρωπος ἀληθές. αἱ γὰρ τοῦ ἐνδεχομένου προτάσεις πρὸ τοῦ ῥόπου λαμβάνουσαι τὴν ἄρνησιν, ἰσοδυναμοῦσι ταῖς ἀναγκαίαις. ἐὰν δὲ ἀληθὲς ᾖ τὸ ἐξ ἀνάγκης τινὶ λευκῷ ὑπάρχει ὁ ἄνθρωπος. καὶ τὸ λευκὸν ἐξ ἀνάγκης ὑπάρχει τινὶ ἀνθρώπῳ, ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαι μηδενὶ ἀνθρώπῳ τὸ λευκόν. τὸ αὐτὸ ἄρα καὶ ἐνδέχεται μηδενὶ, καὶ ἐξ ἀνάγκης τινὶ τὸ αὐτὸ, ὅπερ ἐστὶν ἡ ἀντίφασις.

Πρὸς τὰς αὐτὰς ἀπάντησις.

Ταῦτα μὲν οὖν οἱ περὶ Θεόφραστον, καὶ Εὔδημον. ὁ δὲ Ἀριστοτέλης ἐνταῦθα μὲν ἁπλούστερον τῇ καθόλου ἀποφατικῇ ἐνδεχομένῃ, μὴ ἀντιστρέφειν πρὸς ἑαυτὴν ὑποθέμενος, προϊὼν ἐν κεφαλαίῳ ιζ' ἀκριβέστερον τῇ περὶ τούτου ποιεῖται διάσκεψιν. Εἰ δὲ ὁ λόγος περὶ τοῦ

κυρίως

κυρίως ἐνδεχομένου καὶ μέλλοντος, ἐφ' οὗ ἰσοδυναμεῖ ἡ καθόλου ἀποφατικὴ, τῇ καθόλου καταφατικῇ. εἰ γὰρ ἐνδέχεται αὔριον μηδένα ἄνθρωπον περιπατῆσαι, ἐνδέχεται καὶ πάντα ἄνθρωπον. ἄλλως γὰρ οὐκ ἂν λύοιμεν ἐνδεχόμενον μὴ περιπατῆσαι, ἀλλ' ἀναγκαῖον. τοῦ γὰρ ἐνδεχομένου ἴδιον, ἀμφότερα δέχεσθαι τὰ ἀντικείμενα. ἀληθεύσης οὖν τῆς τὸ λευκὸν μηδενὶ ὑπάρχειν ἀνθρώπῳ, ἀληθεύει καὶ ἡ τὸ λευκὸν ἐνδέχεται παντὶ ἐνεῖναι ἀνθρώπῳ. εἰ τοίνυν ἀληθὲς, ἀντιστρέψαντα εἰπεῖν, ὁ ἄνθρωπος ἐνδέχεται μηδενὶ ὑπάρχειν λευκῷ, ἀληθὲς ἂν λύοι, καὶ ὁ ἄνθρωπος ἐνδέχεται παντὶ ὑπάρχειν λευκῷ. ἔδει σωιέβαινον ἀντιστρέφειν τὴν καθόλου καταφατικὴν ἐνδεχομένῳ πρὸς ἑαυτὴν, ὅπερ ἄτοπον. Εἶτα καὶ ἐξ αὐτῆς τῆς ὕλης τὸ ἑπόμενον ἄτοπον, προφανές. εἰ γὰρ ἐπειδὴ ἐνδέχεται τὸ λευκὸν μηδενὶ ἀνθρώπῳ ὑπάρχειν, ἐξὸν ἀντιστρέψαντα εἰπεῖν, ὅτι καὶ ὁ ἄνθρωπος μηδενὶ λευκῷ ὑπάρχει, λύοι ἂν ἀληθὲς εἰπεῖν τὸν ἄνθρωπον ἐνδέχεσθαι εἶναι κύκνον, ψιμμύθιον, χιόνα, καὶ τὰ τοιαῦτα. εἰ γὰρ ἐνδέχεται μηδενὶ ὑπάρχειν λευκῷ, ἐνδέχεται καὶ παντὶ ὑπάρχειν. Δῆλον οὖν ὅτι εἰ ἐνδέχεται τὸ λευκὸν μηδενὶ ὑπάρχειν ἀνθρώπῳ, ἴσως οὐχ ὁμοίως ἐνδέχεται καὶ τὸν ἄνθρωπον ἐν μηδενὶ ὑπάρχειν λευκῷ. τισὶ γὰρ λευκοῖς ἐξ ἀνάγκης οὐχ ὑπάρχει. Λύεται οὖν ἐντεῦθεν καὶ τὸ „ πρῶτον ἐπιχείρημα τῶν ἀντικειμένων λόγων. ἔστι γὰρ καὶ ὁ ἄνθρωπος „ ἀπεζευγμένος παντὸς λευκοῦ, ἀλλ' οὐκ ἐνδεχομένως. τὸν εἰς ἀδύνατον δεῖξιν τῶν ἐναντίων φθάσας ἐξέθετο ὁ Φιλόσοφος ἐν οἷς εἴρηται, καὶ ἐπέλυσατο. Ἔστι δὲ ἡ λύσις, ὅτι ἡ μεταλήψις, ἧς οὐκ ἐνδέχεται μηδενὶ, εἰς τὴν ἐξ ἀνάγκης τινὶ, οὐχ ὑγιής. ἧς γὰρ οὐκ ἐνδέχεται μηδενὶ ἀληθεύσασης, οὐ μόνον ἡ ἐξ ἀνάγκης τινὶ ἀληθὴς ἔσαι, ἀλλὰ καὶ ἡ ἐξ ἀνάγκης μὴ παντί. ἀμφότεραι γὰρ αὗται ἀναιρετικαί εἰσι τῆς ἀντικειμένης αὐτῇ προτάσεως. ἡ μὲν ἐξ ἀνάγκης τινὶ καθ' αὑτὸ, ἡ δὲ ἐξ ἀνάγκης μὴ παντὶ, διὰ τὸ ἀναιρεῖν τὴν ἐνδέχεσθαι παντὶ, ἧς ἀναιρεθείσης, συναναιρεῖται καὶ ἡ ἐνδέχεται μηδενί. Ὁ οὖν ὑποτιθέμενος τὴν οὐκ ἐνδέχεται μηδενὶ, οὐχ ἧττον ὑποτίθεται ἀληθῆ τὴν ἐξ ἀνάγκης μὴ παντὶ, ἥτις ἐστὶ μερικὴ ἀποφατική, ἢ τὴν ἐξ ἀνάγκης τινὶ, ἥτις ἐστὶ μερικὴ καταφατική. Οὐ δεῖ οὖν διὰ τὴν, οὐκ ἐνδέχεται οὐδενὶ, ἀληθεύουσαν, μεταλαβεῖν ὡρισμένως τὴν ἐξ ἀνάγκης τινί. ἀλλ' ἔστι ⸌ τὴν ἐξ ἀνάγκης μὴ παντὶ λαβεῖν, ἧς ὑποτεθείσης ἀληθοῦς, οἷον ἐξ ἀνάγκης τινὶ λευκῷ μὴ ὑπάρχειν τὸν ἄνθρωπον, οὐκ ἔτι ἕπεται τὸ, καὶ τὸ λευκὸν ἐξ ἀνάγκης ὑπάρχειν τινὶ ἀνθρώπῳ, ὅπερ λύει τὸ συναγόμενον

ἄτο-

ἄτοπον διὰ τῆς ἐς ἀδυνάτον δείξεως. δῆλον οὖν ὅτι ὀρθῶς ἔχει τὰ ἐκτεθέντα τῷ ἀρχῷ τῷ Φιλοσόφῳ.

Περὶ Συλλογισμοῦ.

Συλλογισμὸς μὲν λέγεται καὶ ὁ λογισμὸς, ἤτοι ἡ συμψήφισις. λέγεται καὶ φάσις νομικὴ παρὰ τοῖς ῥήτορσιν, ὡς παρ' Ἑρμογένει ἐν τῷ περὶ φάσεων. οἰκείως δὲ τῇ νῦν πραγματείᾳ ὁ Συλλογισμὸς εἶδος ὢν ἐστὶ τῆς πίστεως, ἤτοι τοῦ πιστωτικοῦ λόγου, ὅς τις καὶ ἐπιχείρημα λέγεται. Ἔστι δὲ ἡ τοιαύτη πίστις, εἴποιμ ἐπιχείρημα, λόγος ἀποφαντικὸς ἀδήλου τινός. καὶ ἀμφισβητουμένου διὰ γνωρίμων τε καὶ σαφῶν πιστωτικός. Τούτου δὲ τρία εἰσὶ τὰ εἴδη, ἢ γοῦν τέτταρα. Ἢ γὰρ μέρος ἐκ μέρους πιστῶσαι πειρᾶται, οἷον μὴ δεῖν Ἀθηναίους Μεγαρεῦσι πολεμεῖν ὁμόροις οὖσι. καὶ γὰρ Θηβαῖοι πολεμοῦντες Φωκεῦσιν ὁμόροις οὖσι κακῶς ἀπήλαξαν. Ἢ δὲ τοιαύτη πίστις παράδειγμα λέγεται. Ἢ διὰ τοῦ καθ' ἕκαστα γνωρίμωντε καὶ πιστῶν πρόεισιν ἐπὶ τὸν καθόλου πίστιν. οἷον πᾶν ζῶον τὸν κάτω γένυν κινεῖ. καὶ γὰρ ὁ ἄνθρωπος, καὶ βοῦς, καὶ λέων, καὶ ἵππος τὸν κάτω γένυν κινοῦσι. καὶ καλεῖται τὸ τοιοῦτον εἶδος τῆς πίστεως ἐπαγωγή. Ἢ γοῦν διὰ τοῦ καθόλου τὸ καθόλου, ἢ τοῦ καὶ μέρος τὶ δείκνυσι, καὶ λέγεται πίστις συλλογιστικὴ, καὶ συλλογισμός.

Ἔστι δὲ παρὰ ταῦτα, καὶ τὸ ἐνθύμημα διὰ μιᾶς προτάσεως συμπεραῖνον, ὡς ἀτελὴς συλλογισμός. ἐξ ὧν μόνος ὁ Συλλογισμὸς ἔχηκε τὸ ἀναγκαῖον ἐν ταῖς πίστεσι, τὰ δὲ λοιπὰ πιθανὸν μὲν, οὐκ ἔτι δὲ καὶ ἀναγκαῖον, δεικνύουσι τὸ ἀμφισβητούμενον. τὸ μὲν γὰρ Παράδειγμα ἐπαγωγὴ ἐστὶν ἐλλειπὴς, ὥσπερ καὶ τὸ Ἐνθύμημα συλλογισμὸς ἐλλειπής. Ἡ δὲ ἐπαγωγὴ ἐκ τῆς τοῦ καθ' ἕκαστα καὶ αἰσθητοῦ ἀπαριθμήσεως τὸ καθόλου σωάγουσα, οὐ καθ' ἑαυτὸν, ἀλλὰ διὰ τὸν ὕλην φαίνεται ἀληθεύουσα. ὁ γὰρ εἰπὼν Σωκράτης, Πλάτων, καὶ οἱ λοιποὶ πάντες ἄνθρωποι λογικοί. διὰ τοῦτο πᾶς ἄνθρωπος λογικός. οὐδὲν ἄλλο φησὶν, ἢ πᾶς ἄνθρωπος λογικὸς, ὅτι πᾶς ἄνθρωπος λογικός. Ἀλλὰ περὶ τούτων ἐν τῷ ἑξῆς βιβλίῳ ἀκριβέστερον. ἐπὶ δὲ τὸ παρόντος ὁ λόγος ἐστὶ περὶ Συλλογισμοῦ, ὃς μόνος καθ' ἑαυτὸν ἀναγκαίως συμπεραίνων, τοῦ λοιπῶν οὐκ ἄλλως, ὅτι μὴ ἐπὶ τοῦτον ἀναγομένων, διακρίνεται τούτων.

Τριχῇ δὲ τοῦ Συλλογισμοῦ θεωρουμένου, ἔστε τῇ διανοίᾳ, καθὸ καὶ διανοητικὸς λέγεται, καὶ ἐν φωνῇ, καὶ τρίτον ἐν τοῖς γεγραμμένοις, ἀδιαφόρως

φόρως ὁ ἀποδιδόμενος λόγος ἐνταῦθα αὐτῷ ἐφαρμόττει. ἔστι δὲ τοιοῦτος. Συλλογισμός ἐστι λόγος, ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῷ κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. ἐφ' οὗ γένος μὲν τυγχάνει ὁ λόγος, οὐχ ἁπλῶς δὲ, ἀλλ' ἡ πιστικός, ὡς ἀνωτέρω εἴρηται. τὰ δὲ λοιπὰ διαφορᾶς ἀναπληροῖ τόπον. ὧν τὸ μὲν τεθέντων τινῶν, περὶ τῆς προτάσεων εἴρηται. Δηλοῖ δὲ ὁμολογουμένας εἶναι δεῖν ταύτας, ἢ γοῦν ὡς ὁμολογουμένας κεῖσθαι. εἰ γὰρ καὶ προφανῶς ψευδεῖς ὦσιν αἱ προτάσεις, κειμένων μέντοι ὡς ὁμολογουμένων, οὐδὲν κωλύει ἀπαρτίζεσθαι συλλογισμὸν, ὡς ἐνταῦθα περὶ αὐτοῦ γίνεται λόγος. Τεθέντων δὲ καὶ οὐ ληφθέντων εἴρηται, διὰ τὰς ὑποθετικὰς προτάσεις, αἵτινες οὐχ ὡς ὁμολογούμεναι τίθενται, ἔσθεν οὐδὲ ἀπάρκεις πρὸς συλλογισμοῦ γενέσιν, ἂν μὴ διὰ κατηγορικῶν πιστωθῶσι. Πληθυντικῶς δὲ ἐξενήνεκται, διὰ τὸ μηδὲν διὰ μιᾶς προτάσεως συλλογιστικῶς δείκνυσθαι, ἀλλ' ἐξ ἀνάγκης δυοῖν, δι' οὗ ἀποκλείονται τοῦ συλλογισμοῦ, οἱ μονολήμματοι λεγόμενοι. οἷον ἡμέρα ἐστὶν, ὁ ἥλιος ἆρα ὑπὲρ τὸν ἡμέτερον τυγχάνει ὁρίζοντα. Ἕτερον δέ τι τῶν κειμένων προσέθηκε, δηλῶν τὸ συμπέρασμα, ὅπερ ἐστὶν ἕτερον τῶν κειμένων προτάσεων. ἐκεῖναι γὰρ ὄργανον καὶ αἴτια τοῦ συμπεράσματος, τοῦτο δὲ ἐκείνων ἐνέργεια καὶ ἀποτέλεσμα. καὶ ἐκεῖναι μὲν σαφεῖς ὡς εἴρηται, καὶ ὁμολογούμεναι, τοῦτο δὲ ἀσαφὲς, καὶ δι' ἐκείνων δεικνύμενον. Διακρίνονται δὲ τούτῳ τοῦ κυρίως Συλλογισμοῦ καὶ οἱ δίφοροι καλούμενοι, οἵτινες τὸ αὐτὸ ταῖς προτάσεσιν ἔχουσι συμπέρασμα. οἷον εἰ ἡμέρα ἐστὶν, ἡμέρα ἐστὶν, ἀλλ: ἐστὶν ἡμέρα, ἆρα ἡμέρα ἐστί. Τὸ δὲ ἐξ ἀνάγκης, οὐ τὸ σωναγόμενον πάντως ἀναγκαῖον εἶναι δηλοῖ, (τοῦτο γὰρ ἐνίοτε καὶ ἐνδεχόμενον, καὶ τοῦ μὴ ὑπάρχειν εἶναι ἐνδέχεται) ἀλλ' ὅτι ἡ ἐπιφορὰ ἡ σωναγωγὴ τούτου ἀναγκαίως ἕπεται, δι' οὗ ὁ Συλλογισμὸς ἀντιδιαστέλλεται τῆς τε Ἐπαγωγῆς, καὶ τοῦ Παραδείγματος, ὧν ἐστί τι τὸ σωναγόμενον, ἀλλ' οὐκ ἀναγκαίως ἑπόμενον.

Συμβαίνει δὲ εἴρηται οὐχ ὅτι τῷ Συλλογισμῷ συμβέβηκε τὸ συμπέρασμα, ἀναγκαίως γὰρ ὡς εἴρηται τῷ συλλογισμῷ παρέπεται, ἀλλ' ὅτι διὰ τοῦ συλλογισμοῦ συμβαίνει γίνεσθαι παρ' ἡμῶν τὴν ἐπιφοράν, ὥσπερ καὶ αὐτὸς ὁ Συλλογισμός. οὐ γάρ ἐστιν ὁ Συλλογισμὸς ἀναγκαῖόν τί ἐν τῇ φύσει τῶν ὄντων, ἀλλ' ἔργον ἡμέτερον. Ὃ δὲ τελευταῖον ἐπήνεγκε τῷ ταῦτα εἶναι, αὐτὸς ἐξηγήσατο ὁ Φιλόσοφος εἰπών. λέγω δὲ τῷ ταῦτα εἶναι, τῷ διὰ ταῦτας συμβαίνειν, ἤτοι διὰ τὰς προτάσεις. αἴτιον γὰρ τοῦ συμπεράσματος αἱ προτάσεις. καὶ τοῦτο διχῶς, ἢ τῷ μόνῳ τῷ

λόγῳ

λόγῳ τοῦ σχηματισμοῦ μόνης τῆς ἐπιφορᾶς αἴτιοι γίνονται. ἢ καὶ τῷ λόγῳ τῷ σημαινομένων πραγμάτων αἴτιοι τυγχάνουσι τῆς συναγωγῆς τοῦ σημαινομένου πράγματος διὰ τῆς ἐπιφορᾶς. ἀλλὰ τοῦ μὲν δευτέρου ἕνεκα ἐν τοῖς περὶ ἀποδείξεως ἡ διάσκεψις γίνεται, ἐνταῦθα δὲ μόνον τὸ πρῶτον ζητεῖται, διὸ καὶ τὸ διὰ ταῦτα συμβαῖνον, ταυτὸν φησὶ βούλεται, τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν, πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. τουτέστιν αὐτάρκως ἔχειν τὰς εἰρημένας προτάσεις, πρὸς ἀναγκαίαν ἐπαγωγὴν τοῦ συμπεράσματος. Διὰ ταύτης δὲ τῆς προσθήκης ἀποκλείονται τοῦ συλλογισμοῦ, οἵτε ἀμεθόδως συμπεραίνοντες, οἷον τὸ α τοῦ β ἐστὶ μεῖζον, καὶ τὸ β τοῦ γ, καὶ τὸ α ἄρα τοῦ γ ἔσται μεῖζον. καὶ ὧν αἱ προτάσεις οὐ συλλογιστικῶς κεῖνται, ὡς ἔχει τὸ ἐκτεθὲν παρὰ τῷ Φιλοσόφου ἐν τῷ τέταρτῳ τμήματι τοῦ παρόντος, κεφαλαίῳ λγ'. οἷον μὴ οὐσίας ἀναιρουμένης, οὐκ ἀναιρεῖται οὐσία. τῶν δὲ μερῶν ἀναιρουμένων, σωναναιρεῖται καὶ τὰ ἐκ τούτων. τὰ μέρη ἄρα τῶν οὐσιῶν οὐσίαι. καὶ ὅλως οἷς τι παρέλκει, ἢ ἐλλείπει, ἔσται τι ἀναγκαῖον, ἀλλ' οὐ συλλογιστικῶς. οὐ γὰρ διὰ τῶν εἰρημένων, ἀλλὰ διὰ τινων ὕλλων. Τεκμήριον δὲ τούτου ὅτι μεθαρμοττομένης τῆς ὕλης, οὐκ ἔτι τὸ ἐπιφερόμενον ἀναγκαῖον δείκνυται, τοῦ αὐτοῦ μένοντος λόγου, κατὰ τὸν αὐτὸν σχηματισμόν. οἷον κατὰ τὸν ἀνώτερω λόγον, ἔστω Λ Ζ ὧν μὲν ἐφ' οὗ τὸ α, ἐφ' οὗ τὸ β δὲ Ἀγαμέμνων, καὶ ἐφ' οὗ τὸ γ Ὀρέστης, τὸ μὲν α πατὴρ τοῦ β, τὸ β δὲ πατὴρ τοῦ γ, οὐκ ἔτι δὲ καὶ τὸ α τοῦ γ πατήρ. οὐ γὰρ κατὰ πᾶσαν ὕλλω ὁμοίως ἔχει τὸ α πρὸς τὸ γ, ὡς τὸ β πρὸς τὸ γ.

Ἔστι μέντοι καὶ τῶν κυρίως συλλογισμῶν διαφορά τις κατὰ τὸ τέλειον, καὶ ἀτελὲς, ἣν ἐνταῦθα ὁ Φιλόσοφος ἐκτίθεται, τέλειον μὲν καλῶν συλλογισμὸν ἐν ᾧ προφανὲς τὸ ἀναγκαῖον τῆς συναγωγῆς τὸ συμπέρασματος, ὁποῖοι εἰσὶ πάντες οἱ ἐν τῷ πρώτῳ σχήματι. ἀτελῆ δὲ, τὸν δεόμενον μιᾶς, ἢ πλειόνων ἀντιστροφῶν, ὡς ἂν καταφανὲς γένοιτο τὸ ἀναγκαῖον τῆς ἐπαγωγῆς τοῦ συμπεράσματος, τοιοῦτοι δὲ εἰσὶν οἱ τοῦ δευτέρου, καὶ τρίτου σχήματος. οἵτινες δὶ ἀντιστροφῆς, ἢ θατέρας, ἢ καὶ ἀμφοτέρων τῶν ἐν αὐτοῖς εἰρημένων προτάσεων, ἐπὶ τὸ πρῶτον μεθαρμόζονται σχῆμα, οὗ τὸ ἀναγκαῖον ἐστὶ προφανές. Αἱ μὲν οὖν κοιναὶ τοῦ παντὸς λόγου ἐνταῦθα ἀρχαὶ, αἵτε προτάσεις, καὶ ὅλως ὁ συλλογισμὸς περὶ οὗ ἐνταῦθα, κείσθωσαν ὡς διώρισαι. ῥητέον δὲ ἐφεξῆς καὶ περὶ τῶν ἀρχῶν ἰδίᾳ ἑκάστου σχήματος.

Ἴδιαι μὲν οὖν ἀρχαὶ τῆς ἀναγκαίας ἐπαγωγῆς ἐν τοῖς πράγμασι τοῖς

κατὰ παντὸς, ἢ ἐν ὅλῳ εἶναι, καὶ τὸ κατὰ μηδενὸς, ἢ ἐν μηδενὶ εἶναι. ἐκ τούτων γὰρ ἡ ἐν τῷ πρώτῳ σχήματι συλλογιστικὴ ἀνάγκη, καὶ δυνάμεις ἤρτηται. Ἔστι δὲ τὸ μὲν κατὰ παντὸς, τὸ λέγεσθαι τὸ κατηγορούμενον, οὕτω κατὰ τοῦ ὑποκειμένου, ὡς μηδὲν εἶναι λαβεῖν τῶν ὑπὸ τὸ ὑποκείμενον, καθ' οὗ τὸ κατηγορούμενον μὴ λέγεται. οἷον τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου λέγεται. οὐδὲν γὰρ ἐστὶ τῶν ὑπὸ τῷ ἀνθρώπῳ ἄτομων, καθ' οὗ τὸ ζῶον οὐ ῥηθήσεται. Ἐν ὅλῳ δὲ λέγεται, ἡνίκα ὁ ὑποκείμενος ὅρος οὔπω περιέχεται ἐν ὅλῳ τῷ κατηγορουμένῳ, ὡς μηδὲν τούτου ἐκτὸς ἐκείνου πίπτειν, οὗ λέγεται ὡς ἐν ὅλῳ εἶναι. Ὁμοίως δὲ κατὰ μηδενὸς λέγεται ὁ κατηγορούμενος ὅρος, ὅταν μηδὲν ᾖ λαβεῖν τῶν ὑπὸ τῷ ὑποκειμένῳ καθ' οὗ κατηγορηθείη, οἷον ὁ λίθος κατὰ μηδενὸς ἀνθρώπου. οὐδὲν γάρ ἐστι τῶν ὑπὸ τῷ ἀνθρώπῳ ἄτομων, καθ' οὗ ὁ λίθος κατηγορηθείη. Ἐν μηδενὶ δὲ λέγεται τὸ ὑποκείμενον, ὅταν τοῦ κατηγορουμένου εἰς τὸ παντελὲς ἠλλοτρίωται, ὡς ἐν μηδενὶ μέρει τοῦ κατηγορουμένου τὸ ὑποκείμενον περιέχεσθαι. Ἔστι δὲ τὸ κατὰ παντὸς, καὶ τὸ ἐν ὅλῳ εἶναι τῷ πράγματι μὲν ταὐτὰ, τῷ δὲ λόγῳ διαφέροντα. ἀπὸ μὲν γὰρ τοῦ κατηγορουμένου ἀρχόμενοι, καὶ ἐπὶ τὸ ὑποκείμενον τελευτῶντες κατὰ παντὸς λέγομεν, οἷον τὸ ἔμψυχον κατὰ παντὸς ζώου, ἀρχόμενοι δὲ ἀπὸ τοῦ ὑποκειμένου, καὶ ἐπὶ τὸ κατηγορούμενον ἀπίοντες ἐν ὅλῳ λέγομεν, οἷον τὸ ζῶον ἐν ὅλῳ τῷ ἐμψύχῳ. Ὡσαύτως δ' ἔχει καὶ τὸ κατὰ μηδενὸς, ἢ ἐν μηδενὶ τοσοῦτον ἐκείνων διαφέροντα, καθ' ὅσον ἐκεῖνα μὲν κατάφασιν δηλοῖ, ταῦτα δὲ ἀπόφασιν.

Ἔστι μέντοι τάξις ἡ ἀπὸ τοῦ κατηγορουμένου προϊοῦσα ἐπὶ τὸ ὑποκείμενον ἐπιστήμαις πρεπωδεστέρα, καὶ τῷ φύσιν μιμουμένῃ τῶν ὄντων, ἀπὸ τῶν καθολικωτέρων ἐπὶ τὰ μερικώτερα ὁδεύουσα. ἔστι γὰρ τὸ μὲν κατηγορούμενον, ὅπερ ἐστὶ τὸ κατὰ παντὸς λεγόμενον, ἐπὶ πλέον ἐκείνου καθ' οὗ λέγεται, ἢ γοῦν ἐπίσης. τὸ δὲ ὑποκείμενον ἤτοι τὸ ἐν ὅλῳ τῷ κατηγορουμένῳ λεγόμενον ἐπ' ἔλαττον ἐκείνου, ἢ γοῦν ἐπίσης, ἐπὶ πλέον δὲ οὐδαμῶς. Ἀμέλει, ἐκ τούτων δύο οὗτοι συνάγονται κανόνες. ἐκ μὲν τοῦ κατὰ παντὸς καταφατικῶς οὕτως, ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται καθόλου, ὅσα κατὰ τοῦ κατηγορουμένου καθόλου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. κατηγορεῖται γὰρ ὁ μέσος ὅρος τοῦ ἐλάττονος, τοῦ δὲ μέσου ὁ μείζων ὅρος. ὥς τε κατὰ τὸν ῥηθέντα κανόνα, ὁ μείζων ὅρος κατηγορηθήσεται ἐξ ἀνάγκης καὶ τοῦ ἐλάττονος, ὅπερ ἐστὶ τὸ συμπέρασμα. Ἐκ δὲ τοῦ κατὰ μηδενὸς ἀποφατικῶς, ὧδε. ὅταν ἕτερόν τι καθόλου τινὸς ἑτέρου ἀποφάσκεται, καὶ πάντων ὧν ἐκεῖνο κατηγορεῖται

ἀπο-

ἀποφάσκεται. οἷον τὸ ἀναίθητον καθόλου ἀποφάσκεται τοῦ ζώου, τὸ δὲ ζῶον καθόλου λέγεται τοῦ ἀνθρώπου, ᾗ τὸ ἀναίθητον ἄρα κατ' οὐδενὸς ῥηθήσεται ἀνθρώπου. Κατὰ μὲν οὖν τὸν πρῶτον κανόνα τὰ καταφατικὰ πάντα συνάγεται συμπεράσματα ἐν τῷ πρώτῳ σχήματι, κατὰ δὲ τὸν δεύτερον τὰ ἀποφατικά, κατὰ τοὺς αὐτοὺς δὲ καὶ ἐν τοῖς λοιποῖς σχήμασιν, ἀλλ' ἧττον σαφῶς.

Περὶ τῶν συλλογιστικῶν Σχημάτων.

ΤΑῦτα προτεθεωρηκότες μεταβαίνομεν ἤδη καὶ ἐπὶ τὴν τῶν συλλογιστικῶν Σχημάτων ἔρευναν. Ἔστι δὲ Σχῆμα, περὶ οὗ ἐνταῦθα ὁ λόγος, κοινωνία δύο προτάσεων καθ' ἕνα ὅρον, ἐξ ὧν τρίτου τι συνάγεται τὸ συμπέρασμα. Εἴρηται κοινωνία δύο προτάσεων ἀνωτέρω καὶ ἡ ἀντιστροφὴ, καὶ προσέτι αἱ κατὰ τὰς ἀντιθέσεις τῶν ἀποφάνσεων συζυγίαι. ἀλλ' ἐπ' ἐκείνων μὲν κατ' ἀμφοτέρους κοινωνοῦσι τοὺς ὅρους αἱ δύο προτάσεις αἱ ἀντικείμεναι, ἢ ἀντιστρέφουσαι, αἱ μὲν τὴν τάξιν τῶν ὅρων φυλάττουσαι τὴν αὐτὴν, ἐπὶ δὲ τῶν ἀντιστρεφουσῶν, τῆς τάξεως τῶν ὅρων μεταβαλλομένης. Τούτων δὲ διενήνοχεν ἡ κατὰ τὸ συλλογιστικὸν σχῆμα συζυγία, τῶν θατέρου μόνον τῶν ὅρων ἔχειν κοινὸν, οἷον πᾶς ἄνθρωπος λογικός. πᾶν λογικὸν γελαστικόν. κοινὸν γὰρ ἐν ταύταις τὸ λογικόν. Τὴν τοιαύτην οὖν συζυγίαν τῶν προτάσεων, ἐκάλεσεν ὁ Φιλόσοφος Σχῆμα. Ἀπὸ τῶν κατὰ γεωμετρίαν σχημάτων, οἷς ἀναλόγως ἐσχήκασιν. ὅ,τι γὰρ παρ' ἐκείνοις εἰσὶ τὰ σημεῖα, τὰς γραμμὰς περατοῦντα, τοῦτο οἱ ὅροι ἐπὶ τῶν προτάσεων. Ὅθεν καὶ ὁ Φιλόσοφος τὰς προτάσεις διαστήματα χαίρει καλεῖν. ὡς γοῦν ταῖς γραμμαῖς παρ' ἐκείνοις περατοῦνται τὰ σχήματα, καὶ συνίστανται, οὕτω καὶ ἐνταῦθα τὸ συλλογιστικὸν σχῆμα ταῖς προτάσεσι σχηματίζεται, καὶ συνίσταται.

λῶν

Τίς ὁ μέσος Ὅρος, καὶ τί τὸ μεῖζον ἄκρον, καὶ ἔλαττον.

ΤΡιῶν οὖν ὄντων ἐπὶ τῆς τοιαύτης συζυγίας ὅρων, οἱ μὲν δύο τὸ προβλήματος εἰσὶ τοῦ ἀμφισβητουμένου, ἐφ' οὗ ὁ Συλλογισμὸς συνέστηκε. προσλαμβάνεται γὰρ ἕκαστος τῶν Συλλογισμῶν, εἰς δεῖξιν τινὸς ἀμφισβητουμένου προβλήματος, καὶ τοῦτο τέλος ἔχει, οὗ ἕνεκα καὶ τὴν ἀρχὴν ἐπινενόηται. Πρόβλημα δὲ, καὶ Πρότασις, καὶ Συμπέρασμα, τῷ

μὲν ὑποκειμένῳ εἰσὶ ταυτὰ, χέσει μόνῃ διαφέροντα. ὁ γὰρ αὐτὸς λόγος ἀποφαντικὸς, ᾗ μὲν γίνεται μέρος συλλογισμοῦ, Πρότασις ἤκουσε, καθὸ δὲ σωάγεται διὰ συλλογισμοῦ, Συμπέρασμα. προβαλλόμενος δὲ εἰς ζήτησιν, Πρόβλημα. Προβλήματος δὲ δύο εἰσὶν ὅροι, ἅτε δὴ καὶ προτάσεως. τὸ μὲν γὰρ ἐν προτάσει ὑποκείμενον, διδόμενον ἐν τῷ προβλήματι λέγεται. τὸ δὲ κατηγορούμενον ἐν ἐκείνῃ, ἐν τούτῳ ζητούμενον, περὶ οὗ δηλαδὴ ζητεῖται, εἰ ἐνυπάρχει τῷ διδομένῳ, ἢ μή. ἔστω παραδείγματος χάριν, πρόβλημα, εἰ ὁ ἄνθρωπος ἐστὶ γελαστικόν. τὸ μὲν οὖν ὑποκείμενον ὁ ἄνθρωπος ἐστὶν, ὅπερ δίδοται, ἤτοι ὡς ὁμολογούμενον τίθεται, κατηγορούμενον δὲ, τὸ γελαστικὸν, περὶ οὗ ζητεῖται, εἰ ἐνυπάρχει τῷ ἀνθρώπῳ, ἢ μή. Παραλαμβάνεται οὖν, τρίτος ἔξωθεν ὅρος ὁμολογουμένως ἔχων τὴν σωάφειαν, ἢ διάστασιν πρὸς τοὺς κειμένους τοῦ προβλήματος ὅρους, οἷος ἐστὶν ἐπὶ τοῦ ἐπτεθέντος προβλήματος τὸ λογικὸν, ὃς ἐν ἑκατέροις συμπλεκόμενος τοῖς τοῦ προβλήματος ὅροις, ἣν ἔφημεν, ἀποτελεῖ τὴν προτάσεων τὴν συζυγίαν, καὶ τὴν ληφθέντων ἐν τῷ προβληθέντι ὅρων, παείσησι τὴν σωάφειαν, ἢ διαίρεσιν. καὶ λέγεται οὗτος μέσος ὅρος, ὅτι μέσου χέσιν ἔχηκε πρὸς ἐκείνους. ἐκεῖνοι δὲ οἱ τοῦ προβλήματος ὅροι, ἄκρα ἤκουσαν ἐπὶ τοῦ συλλογισμοῦ σωαπτόμενα διὰ τοῦ μέσου, ἢ διαιρούμενα. Γνωρίζεται δὲ ὁ μέσος ὅρος ἐφ' ἑκάσης συζυγίας τῷ ἐν ἀμφοτέραις λαμβάνεσθαι ταῖς προτάσεσι, μὴ δὲ ἐν τῷ συμπεράσματι. τίθεται. τὴν δὲ λοιπῶν, ὁ μὲν μείζων λέγεται ὅρος, ὁ δὲ ἐλάττων. μείζων μὲν, ὁ ἐν τῷ συμπεράσματι κατηγορούμενος, ταυτὸ δ' εἰπεῖν καὶ ἐν τῷ προβλήματι. τὸ γὰρ σωαγόμενον αὐτὸ δήπου ἐστὶ τὸ τὴν ἀρχὴν προβαλλόμενον, ἤτοι ἀμφισβητούμενον, τὸ δὲ ὑποκείμενον ἐν τῷ συμπεράσματι, ἐλάττων ἤκουσεν ὅρος, ἢ ἄκρον. Αἴτιον δὲ τῆς τοιαύτης προσρήσεως, ὅτι τοῦ κατηγορουμένου ἴδιον, τὸ ἐπιπλέον λέγεσθαι τοῦ ὑποκειμένου, καὶν ἐνίοτε ἀντιστρέφει. διὸ καὶ μείζων ὅρος ἢ ἄκρον ὠνόμασαι. τοῦ δὲ ὑποκειμένου, τὸ ἔλαττον εἶναι, ᾗ ἐλάττων διὰ τοῦτο εἰκότως ἤκουσεν ὅρος, ἢ ἄκρον. Ὁμοίως δὲ καὶ πρότασις, ἡ τὸν μέσον ὅρον ἔχουσα συντεταγμένον τῷ μείζονι ἄκρῳ, μείζων λέγεται, ἡ δὲ τῷ ἐλάττονι ἐλάττων. ᾗ ταῦτα μὲν ἐπὶ πάσης συζυγίας εἰσὶ κοινά.

Πόσα

Πόσα Σχήματα, καὶ ὅθεν ἡ διαφορὰ τούτων καὶ τάξις.

Ὁ δὲ μέσος ὅρος, ὃς ἢ τῶν συλλογικῶν ἁπλῶς τῶν προτάσεων ἀποτελεῖ συζυγίαν, αἴτιος γίνεται καὶ τῆς διαφορᾶς τῶν αὐτῶν, τῇ διαφόρῳ πρὸς τοὺς ὅρους κοινωνίᾳ. Ὅπερ μὲν γὰρ τῷ μὴ κατηγορουμένῳ ἐν τῷ προβλήματι ὑποκειται, τῷ δὲ ὑποκειμένῳ κατηγορεῖται, τὸ τελεώτατον γίνεται τῶν συλλογισμῶν χῆμα. οἷον ἐπὶ τοῦδε τοῦ προβλήματος, εἰ ὁ ἄνθρωπος ἐστὶν αἰσθητικὸν, ληφθείτω μέσος ὅρος, τὸ ζῶον, ὅπερ ὑποκείμενον μὲν τῷ αἰσθητικῷ, ὅπερ ἐστὶ τὸ μεῖζον ἄκρον, διὰ τὸ κατηγορεῖσθαι ἐν τῷ προβλήματι, ποιεῖ τὸν πρότασιν ταύτην, πᾶν ζῶον ἐστὶν αἰσθητικὸν, ἥτις καὶ μείζων λέγεται, κατηγορούμενον δὲ τοῦ ἀνθρώπου, ὅπερ ἐστὶ τὸ ἔλαττον ἄκρον, ποιεῖ τὸν ἐλάττονα, οἷον πᾶς ἄνθρωπος ζῶον, ἐξ ὧν συνάγεται τὸ μεῖζον ἄκρον κατὰ τοῦ ἐλάττονος, οἷον πᾶς ἄνθρωπον εἶναι αἰσθητικὸν, ὅπερ ἐστὶ τὸ ἀμφισβητούμενον. Ἡ τοιαύτη δὲ τοῦ μέσου πρὸς τοὺς ἄκρους κοινωνία, καὶ πρῶτον καλεῖται χῆμα διὰ πολλὰ, καὶ ὅτι προφανὲς ἐν αὐτῷ τὸ ἀναγκαῖον τῆς συναγωγῆς καὶ δι' αὐτοῦ τὰ λοιπὰ ἐμπεδοῦται, καὶ ὅτι πρὸς γνῶσιν ἀποδεικτικῆς ἐπιστήμης τὰ μάλιστα συντελεῖ, καὶ ὅτι ἐν αὐτῷ πᾶν εἶδος συνάγεται προβλήματος, καθόλου, καὶ ἐπὶ μέρους, καταφατικά τε καὶ ἀποφατικά. καὶ τὰ λοιπὰ δὲ δύο ἐξ αὐτοῦ τῶν γνῶσιν ἴσχει. τῇ γὰρ ἀντιστροφῇ τῆς μείζονος ἐν τούτῳ προτάσεως, τὸ δεύτερον ἀποτελεῖται χῆμα. ὥσπερ αὖ ἡ ἐλάττων ἐν τούτῳ ἀντιστραφεῖσα ποιεῖ τὸ τρίτον. εἰκότως οὖν καὶ πρῶτον κέκληται χῆμα διὰ πολλὰ, ἅτε δὴ ἀρχηγικὸν, καὶ παντὶ τέλειον ὄν. Ὅτῳ δὲ ὁ μέσος ὅρος ἀμφοτέρων κατηγορεῖται τῶν ἐν τῷ προβλήματι ἄκρων, τὸ δεύτερον ἀποτελεῖται χῆμα. οἷον ὁ λίθος κατ' οὐδενὸς ζώου, ὁ λίθος κατὰ παντὸς σαπφείρου, τὸ ζῶον ἄρα κατ' οὐδενὸς σαπφείρου, καθ' ὧν ἀμφοτέρων κατηγορεῖται ὁ λίθος. Προηγεῖται δὲ τοῦ λοιποῦ τοῦτο, τῶν δευτέραν ἐχόντος τάξιν, διὰ τὸ καθόλου συνάγεσθαι ἐν αὐτῷ προβλήματα, καίπερ ἀποφατικὰ πάντα. ἐν δὲ τῷ λοιπῷ μόνα τὰ ἐπὶ μέρους. οἰκεῖα δὲ ἐπιστήμης τὰ καθόλου μᾶλλον, ἢ τὰ κατὰ μέρος.

Τὸ δὲ τρίτον ἀποτελεῖται χῆμα, ὅταν ὁ μέσος ὅρος ἀμφοτέροις ὑπόκειται τοῖς ἄκροις. οἷον πᾶς σοφὸς ἐστὶ σπουδαῖος, πᾶς σοφὸς ἐστὶν ἄνθρωπος, ἄρα τις ἄνθρωπος ἐστὶ σπουδαῖος. μέσος δὲ ὅρος ἐνταῦθα τὸ, σοφός.

μεῖζον

μεῖζον δὲ ἄκρον τὸ, παιδαῖος. καὶ ἔλαττον ὁ ἄνθρωπος, οἷς ἀμφοτέροις ὑπόκειται τὸ σοφός.

Ἀπορία.

Παρὰ ταῦτα μὲν οὖν ἕτερον σχῆμα φασίν εἶναι συλλογιστικὸν ἀδύνατον ἔδοξε τῷ τε Ἀριστοτέλει, καὶ τοῖς περὶ αὐτόν. ἀδύνατον γὰρ κατ' ἄλλο τινὰ φασὶν παρὰ τὰς εἰρημένας ἐν τελείοις ὅροις, τὸν μέσον ὅρον πρὸς τοὺς δύο συναχθῆναι τοὺς ἄκρους. Θεόφραστος δὲ καὶ Εὔδημος καί τινας ἑτέρας συζυγίας παρὰ τὰς ἐκτεθείσας τῷ Ἀριστοτέλει προσεθείκασι τῷ πρώτῳ σχήματι, περὶ ὧν ἐν τοῖς μετὰ ταῦτα ἐροῦμεν. ἃς καὶ τέταρτον ἀποτελεῖν σχῆμα τῶν νεωτέρων ᾠήθησάν τινες, ὡς πρὸς πατέρα τιμῶντες δόξαν τὸν Γαληνὸν ἀναφέροντες. Λόγῳ δὲ πρὸς ἐμπέδωσιν τούτου χρῶνται τοιῷδε. εἰ γάρ ἐστι κατ' ἄλλο τινὰ φασὶν πρὸς τὰς εἰρημένας, τὸν μέσον πρὸς τοὺς ἄκρους συναχθῆναι ὅρον, ἔσται καὶ ἄλλο παρὰ τὰ εἰρημένα συλλογιστικὸν σχῆμα. ἀλλὰ τὸ πρῶτον, ἄρα καὶ τὸ δεύτερον. Δείκνυται δὲ ἐλάττων. ἔστι γὰρ τὸν μέσον ὅρον, ἀντιστρόφως τῷ πρώτῳ σχήματι, κατηγορεῖσθαι μὲν τοῦ μείζονος ἄκρου, ὑποκεῖσθαι δὲ τῷ ἐλάττονι, οἷον πᾶς ἄνθρωπος ἐστὶ ζῶον, πᾶν ζῶον ἐστὶν οὐσία, τὶς ἄρα οὐσία ἐστὶν ἄνθρωπος. μεῖζον μὲν γὰρ ἄκρον ὁ ἄνθρωπος, ὅτι ἐν τῷ συμπεράσματι τυγχάνει κατηγορούμενον, ἔλαττον δὲ ἡ οὐσία, ὅτι ἐν τῷ αὐτῷ ἐστὶν ὑποκείμενον. ὧν τοῦ μὲν ἀνθρώπου κατηγορεῖται τὸ ζῶον, ὅπερ ἐστὶ μέσος ὅρος, τῇ δὲ οὐσίᾳ ὑπόκειται, ἔλαττον οὖσα ἄκρον.

Ἀπάντησις.

Ἔχει μέντοι ἀνελλειπῶς τὰ ἐκτεθέντα τῷ Φιλοσόφῳ σχήματα, ὡς καὶ τοῖς γνησίοις αὐτοῦ διασάταις δοκεῖ. εἰ γάρ τις ἐπισαίη τοῖς τῶν ἀντικειμένων λόγοις, οὐ τιὼ διάφορον τοῦ μέσου πρὸς τοὺς ἄκρους σχέσιν διρήσει ποιοῦσαν τιὼ ἐν τοῖς τοιούτοις συλλογισμοῖς διαφοράν, ἀλλὰ τιὼ μετὰ τάξιν τῶν προτάσεων, καὶ τιὼ ἀντεστραμμένιν τοῦ συμπεράσματος σωαγωγιὼ, τὸ ἔλαττον ἄκρον τοῦ μείζονος κατηγοροῦσαν. τὰ γὰρ λοιπὰ οἱ αὐτοὶ εἰσὶ τοῖς ἐν τῷ πρώτῳ σχήματι συλλογισμοῖς.

Τίνα

Τίνα εἰσὶ τὰ κοινῶς ἐπόμβρα τοῖς τρισὶ Σχήμασι.

ΚΑθόλου δὲ ἐπὶ τῆ τριῶν σχημάτων παρατηρητέον, εἰ μέλλει ὑγιῶς ἕξειν ὁ συλλογισμὸς, μήτε ἀμφοτέρας τὰς προτάσεις ἀποφατικὰς εἶναι, μήτε ἀμφοτέρας μερικὰς, ἢ γοῦν ἀπροσδιορίστους. καὶ ὅτι τὸ συμπέρασμα ἐπὶ πάντων τῇ χείρονι τῆ προτάσεων ἕπεται, κατὰ τε τὸ ποσὸν, καὶ ποιὸν, πλὴν τῆ ἐνθετικῶν λεγομένων συλλογισμῶν. οἷον τοῦ Πλάτωνος ἐστὶ τὸ βιβλίον τοῦτο, Πλάτων ἦν σοφὸς, τὸ βιβλίον ἄρα ἐστὶν ἀνδρὸς σοφοῦ.

Ἴδια τοῦ πρώτου Σχήματος.

Ἴδια δὲ ἐπὶ τοῦ πρώτου σχήματος παρατηρητέα, τὸ τὴν μείζονα ἀεὶ καθόλου εἶναι, τὴν δὲ ἐλάττονα ἀεὶ καταφατικὴν, καὶ τὸ συμπέρασμα ἀδιαφόρως ἔχον κατά τε ποσότητα, καὶ ποιότητα. σωώγεται γὰρ ὡς ἔφημεν ἐπ' αὐτοῦ πᾶν εἶδος προβλήματος.

Ἴδια τοῦ δευτέρου Σχήματος.

Ἴδια δὲ τῶ δευτέρου σχήματος, τὸ τὴν μείζονα ἀεὶ καθόλου εἶναι, τὴν δὲ ἐλάττονα ἀδιαφόρως ἔχουσαν κατά τε ποσότητα καὶ ποιότητα, ἀνόμοιον μέντοι ἀεὶ καὶ ποιότητα τῇ μείζονι, καὶ τὸ συμπέρασμα ἀεὶ ἀποφατικόν.

Ἴδια τοῦ τρίτου Σχήματος.

Ἴδια τοῦ τρίτου σχήματος, τὸ τὴν ἐλάττω ἀεὶ καταφατικὴν εἶναι, τὴν δὲ μείζω ἀδιαφόρως ἔχουσαν κατά τε ποσότητα καὶ ποιότητα. Καὶ τὸ συμπέρασμα ἀεὶ μὲν ἐπὶ μέρους, ἀδιάφορον δὲ καὶ ποιότητα.

Τῶν οὖν ἐπὶ τοσοῦτον διωρισμένων, ἐφεξῆς σκεπτέον περὶ τῆ συλλογιστικῶν τρόπων, ἁπόσοι καὶ τίνες εἰσὶν ἐφ' ἑκάστου σχήματος.

Τεττάρων τοιγαροῦν ὄντων τῶν ἐξ ὧν οἱ συλλογισμοὶ προτάσεων, τῆς καθόλου δηλαδὴ καταφατικῆς, καὶ ἀποφατικῆς, καὶ μερικῆς καταφατικῆς, καὶ ἀποφατικῆς, (αἱ γὰρ ἀπροσδιόριστοι, ὡς ἴσα δυνάμεναι ταῖς ἐπὶ μέρους παραιτητέαι.) τέτταρα καὶ τὰ πρὸς ἄλληλα συμπλοκὴν ἑκάστη ποιεῖ-

ποικιλομένη, ἑξκαίδεκα διαφοραὶ ἀναφαίνονται. τῆς γὰρ μείζονος λημθείσης φέρε εἰπεῖν καθόλου καταφατικῆς, ἢ ἐλάττων, ἢ καθόλου καταφατικὴ ἔσαι, ἢ καθόλου ἀποφατικὴ, ἢ μερικὴ καταφακὴ ἢ μερικὴ ἀποφατική. Ὡσαύτως ἂν τῆς μείζονος ἔσης καθόλε ἀποφατικῆς, τεθαχῶς ἡ ἐλάττων ποικίλεται τὸν εἰρημένον τρόπον. καὶ οὕτω τεθαχῶς μὲν τῆς μείζονος μεταπιπτούσης, τοσαυταχῶς δὲ καὶ τῆς ἐλάττονος ἐφ' ἑκάσης μεταβολῆς ποικιλομένης, ἑξκαίδεκα αἱ πᾶσαι τῶν προτάσεων ἀναφαίνονται συζυγίαι ἐφ' ἑκάσου χήματος. ἃς ἐκθετέον ἐφεξῆς ἐπὶ χαραγράμματος, εἰς ξανωτέραν κατάληψιν. Κειθωσαν δὲ ἐπ' αὐτῆ αὐτὶ προτάσεων τὰ στοιχεῖα. τὸ μὲν Α τῶ καθόλου καταφατικῶ σημαῖνον πρότασιν. τὸ δὲ Ε τῶ καθόλου ἀποφατικῶ. τὸ δὲ Ι τῶ ἐπὶ μέρους καταφατικῶ. τὸ δὲ Ο τῶ ἐπὶ μέρους ἀποφατικῶ, οὐ μὴν πᾶσαι εἰσὶ συλλογισικαὶ, ἀλλ' ὅσαι (1) παρὰ τὸ ταυτὸν τοῦ χήματος, καὶ τῶ τοιούτῳ τῶν προτάσεων συμπλοκῶ, (2) ὅμοιον ἀεὶ καὶ ταυτὸν ἔχουσι τὸ συναγόμενον. τοιαῦται δὲ εἰσὶν ἐπὶ μὲν τοῦ πρώτου χήματος τέτταρες. ἡ πρώτη ἐκ δύο καταφατικῶν καθόλου προτάσεων, καθόλου καταφατικὸν συνάγουσα τὸ συμπέρασμα. οἷον.

Τὸ ἔμψυχον κατὰ παντὸς ζώου,	Παῦ ζῶον ἔμψυχόν,
Τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου,	Πᾶς ἄνθρωπος ζῶον,
Καὶ τὸ ἔμψυχον ἄρα κατὰ παντὸς ἀνθρώπου.	Ἄρα πᾶς ἄνθρωπος ἔμψυχος.

Καὶ ἡ τρίτη ἐκ μείζονος καθόλου καταφατικῆς, καὶ τῆς ἐλάττονος μερικῆς καταφατικῆς, ὅμοιον τῆ ἐλάττονι ἔχουσα τὸ συναγόμενον, οἷον.

Τὸ γελασικὸν κατὰ παντὸς ἀνθρώπου,	Πᾶς ἄνθρωπος γελασικός,
Ὁ ἄνθρωπος κατά τινος ζώου,	Τὶ ζῶον ἄνθρωπος.
Καὶ τὸ γελασικὸν ἄρα κατά τινος ζώου.	Ἄρα τὶ ζῶον γελασικόν.

Καὶ ἡ πέμπτη ἐκ μείζονος καθόλου ἀποφατικῆς, καὶ τῆς ἐλάττονος καθόλε καταφατικῆς, καθόλε ἀποφατικὸν ἔχουσα τὸ συναγόμενον, οἷον.

Ὁ λίθος κατ' οὐδενὸς ζώου,	Οὐδὲν ζῶον λίθος,
Τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου,	Πᾶς ἄνθρωπος ζῶον,
Ὁ λίθος ἄρα κατ' οὐδενὸς ἀνθρώπου.	Ἄρα οὐδεὶς ἄνθρωπος λίθος.

Καὶ ἡ ἕβδόμη ἐκ μείζονος καθόλε ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, μερικὸν ἀποφατικὸν συνάγουσα τὸ συμπέρασμα, οἷον.

Τὸ λογικὸν κατ' οὐδενὸς Ὄρνιθος,	Οὐδεὶς Ὄρνις λογικόν,
Ὁ Ὄρνις κατά τινος δίποδος,	Τὶ δίπουν Ὄρνις,
Τὸ λογικὸν ἄρα ἀ κατὰ παντὸς δίποδος.	Ἄρα ἀ πᾶν δίπουν ἐστὶ λογικόν.

Αὗται

(1) Ἀντὶ διά. (2) Τουτέστι κατὰ τοὺς κανόνας τοῦ αὐτοῦ χήματος.

Περὶ τοῦ πρώτου ζῴου ἐν γραφῇ διαλόγου.

" Ἐστὶ δὲ πρώτου σημεῖον, ἡ μέζονι μὲν οὐκ ἔστιν ὡρισμένον, ἐλάττονι δὲ οὐκ ἄφιστον· λαμβάνειν δ' αὐτὴν ἐκ τοῦ ἐλάττονος ἔχει, τὸ μὲν οὐκ ἔστιν ὡρισμένον, τὸ δὲ οὐκ ἄφιστον· ἡ δὲ τῶν ἴσων διαστάσεων μέχρι ἐν τῷ σημείῳ συμπίπτουσιν, ἡ μέζονι μέζον ὡς δεῖ ἐν τῷ διαλείπειν, καθ' ἃ ἔστιν· ἐν δὲ ἐλάττοσιν ἡ ἐν ἴσαις διαστάσεσι παλαφαλικὴ, τὸ δὲ διαστεῖλαι μέν, τὸ μὲν οὐκ ἐφ' ἕνα ἐκ μέζονος, τὸ δὲ οὐκ ἐγγὺς ἐκ τοῦ ἐλάττονος, ἀνάγκη τὸ μὲν πρὸ τοῦ πρώτου ἐν βρίζῃ ἐκεῖ τῶν σκαλαίων ἀφῆναι, ἐφ' ὃ παλαφαλικὸν, τὸ δὲ πρὸ τοῦ πρώτου, ἐν ἐξόδῳ, ἐφ' ὃ ἔστιν ἀσφαλικόν.

Περὶ τοῦ ἐπιπέδου καὶ σφαίρας λόγος.

" Ἡ θέσις τοῦ μέζονος, ἐπιπέδων τῶν ἴσων διαστάσεων σχολαίων, ἐλάττων ἔχει συμπεπτωκυίαν, τὸν αὐχμὸν ἀσύλληπτον ἐπαιδίνησε. ὅθεν τοῦ μέζονος, (ἡ μὲν ἐπὶ μὲν τοῦ πρώτου παθόλου ἐστὶ παλαφαλικὴ, ἐπὶ δὲ τοῦ δευτέρου παθόλου ἀσφαλικὴ, ἐπὶ δὲ τοῦ τρίτου μερικὴ παλαφαλικὴ, ἐπὶ δὲ τοῦ τελάρτου μερικὴ ἔστιν ἀσφαλικὴ· ἡ) τοῦ μέζονος ὡς ὅρος, ἐν ἐπιπέδῳ διαφανείᾳ μελανοσκίας, ἐφ' παθόλου συμπεπτωκυῖα αὐχμία· ἡ ἐπὶ πρώτου διαφανεία παθόλου ἔχουσα τὸν μέζονα παλαφαλικὸν, τὸν ἐλάττονα ἔχει ἐπὶ μὲν τοῦ πρώτου μονάδος, παθόλου ὁσαύτως παλαφαλικὸν, ἐπὶ δὲ τοῦ δευτέρου παθόλου ἀσφαλικὸν, ἐν δὲ τῷ τρίτῳ ἐν μέρει παλαφαλικὸν, ἐν δὲ τῷ τελάρτῳ ἐπὶ μέρους ἀσφαλικὸν· ἡ δὲ δευτέρα, τὸν μέζονα ἔχουσα παθόλου ἀσφαλικὸν, τὸν ἐλάττονα ἔχει ὁσαύτως παθόλου παλαφαλικὸν, ἢ ἀσφαλικὸν, ἢ μερικὸν παλαφα-

ἡμιν, ὡς εὐθεῖα ἐδόθησαν, ἡ μεριστὴν ἀσυμφωνίαν, ὡς εὐθεῖα ὀγδόη. ἡ δ' αὐθις ῥητὴ, ἡ μὲν μήκει μεριστὴν ~~ἡ καθ' ἑν~~ πολυφανῆ, ἡ δ' ἐλάσσονι ὁμοίως καθ' ἑν πολυφανῆ, ἡ καθ' ἑν ἀσυμφωνίαν, ἡ μεριστὴν πολυφανῆ, ἡ μεριστὴν ἀσυμφωνίαν. εὐθεῖα δὲ ἡ ῥητὴ, ἡ μὲν μήκει μεριστὴ ἀσυμφωνίαν, οὐδὲ ἐλάττων ἡ αὐτῆ ταύτης, καθ' ἑν πολυφανῆ, ἡ καθ' ἑν ἀσυμφωνίαν, ἡ μεριστὴ πολυφανῆ ὡς αὐτὴ ὅλη ὅλης σύνθεσις, ἡ μεριστὴ ἀσυμφωνίαν ὡς αὐτὴ ὅλη ὅλης ἔκθεσις.

„ Ἀσυμφανὲς ἄρα ἐκ μέσου, ἔνθεν ἡ τρίτη ἐκ ῥητῆς ἀφῄρηται. „ Δυσὶν γὰρ οὐκ ἔστι τρίτη συμμέτρους τὸν αὐτὸν τρίτην ἐκ ῥητῆς ἀφῃρῆσθαι, ἀσυμφώνους ἀλλήλαις, δεῖ γὰρ ἑκάτεραν καθ' ἑν τῶν τρίτων ἐκ μεριστῆς ὑπάρχειν πολυφανῆ, ἡ δὲ ἑκατέρα τῶν ἐκ ῥητῆς ἀφῃρημένων ἐστὶν ἀσύμμετρος τῇ ὅλῃ· ἡ ἄρα ὅλη ῥητή ἐστιν· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἐκ μέσου ἔστιν ἡ τρίτη ἐκ ῥητῆς ἀφῃρημένη. ἐκ δὴ τούτου φανερὸν, ὅτι ἡ ἐκ δύο μέσων πρώτη οὐκ ἔστιν ἐν τοῖς πρόσθεν. ἐὰν δὲ ἐν τῇ δευτέρᾳ τῶν ὅλων ὄντων ῥητῶν, καὶ ἐὰν καθ' ἑν δύναμιν μόνον συμμέτρους, ἡ ἐκ δύο μέσων πρώτη ἀφαιρεθῇ, ἡ ὅλη ῥητή· ἐὰν δὲ ἐν τῇ τρίτῃ, ἐναντίῳ τῶν ὅλων ὄντων ῥητῶν, καὶ ἐὰν καθ' ἑν δύναμιν μόνον συμμέτρους, καὶ ἐὰν καθ' ἑν δύναμιν μόνον συμμέτρους ἀλλήλοις τε καὶ τῇ ὅλῃ· ἀμφότερα μὲν ἐν ἑκατέρᾳ τῶν δεσθέντων ἀποτελεῖται ἐκ δύο μέσων πρώτη, ὁμώνυμος δὲ ἑκατέρα ἐστὶν ἀποτελοῦσα, διὰ δὲ τὸ ἐν τῇ δευτέρᾳ μὲν ἐστὶ μεριστὸν, τὴν δὲ ὅλην ῥητὴν εἶναι, ὡς δὲ ἐτέρωθεν ἡ ὅλη τῶν ῥητῶν δυνάμει μόνον

ἐκ δύο

ἡ χόρτου λεῖ σταδίων, ἤτις ἐστὶν ἑξήκοντα. ὁ μὲν γὰρ κάθοδος
ἐστὶν μυρίοι, ἐνὸς ἀσσαρίου, σταδίου, μίσθωσις δὲ ὀβολοὶ, ἢ
δυοῖν, ἐὰν ἕλκηται ἡ ναῦς ἀνθ' ὧν ἀποτιμᾶται.

Αὗται μὲν οὖν συλλογισικαὶ ἐπὶ τοῦ πρώτου.

Ὁμοίως αἱ τῶ δευτέρα συλλογισικαὶ τέσσαρες, ἡ δευτέρα ἐκ μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς, καθόλου ἀποφατικὸν συνάγουσα τὸ συμπέρασμα. οἷον.

Τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου,	Πᾶς ἄνθρωπος ζῶον,
Τὸ ζῶον κατ' οὐδενὸς λίθου;	Οὐδεὶς λίθος ζῶον,
Καὶ ὁ ἄνθρωπος ἄρα κατ' οὐδενὸς λίθου;	Ἄρα οὐδεὶς λίθος ἄνθρωπος,

Καὶ ἡ τετάρτη, ἐκ μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς, μερικὸν ἀποφατικὸν συνάγουσα τὸ συμπέρασμα. οἷον.

Τὸ λογικὸν κατὰ παντὸς ἀνθρώπου,	Πᾶς ἄνθρωπος λογικὸν,
Τὸ λογικὸν οὐ κατὰ παντὸς ἵππου,	Οὐ πᾶν ἵππος λογικὸν,
Καὶ ὁ ἄνθρωπος οὐ κατὰ παντὸς ἵππου.	Ἄρ' οὐ πᾶν ἵππος ἄνθρωπος.

Καὶ ἡ πέμπτη ἐκ μείζονος καθόλου ἀποφατικῆς, καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς, καθόλου ἀποφατικὸν ἔχουσα τὸ συναγόμενον. οἷον.

Τὸ γελαστικὸν κατ' οὐδενὸς φυτοῦ,	Οὐδὲν φυτὸν γελαστικὸν,
Τὸ γελαστικὸν κατὰ παντὸς ἀνθρώπου,	Πᾶς ἄνθρωπος γελαστικὸς,
Τὸ φυτὸν ἄρα κατ' οὐδενὸς ἀνθρώπου.	Ἄρα οὐδεὶς ἄνθρωπος φυτὸν.

Ἥτε ἑβδόμη ἐκ μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, μερικὸν ἀποφατικὸν συνάγουσα τὸ συμπέρασμα. οἷον.

Ὁ Ὄρνις κατ' οὐδενὸς γελαστικοῦ,	Οὐδὲν γελαστικὸν Ὄρνις,
Ὁ Ὄρνις κατά τινος δίποδος,	Τὶ δίπουν Ὄρνις,
Τὸ γελαστικὸν ἄρα οὐ πάντως δίπους.	Ἄρα οὐ πᾶν δίπουν γελαστικόν.

Τοῦ τρίτου σχήματος συλλογισικαὶ συζυγίαι.

Τοῦ δὲ τρίτου σχήματος ἓξ εἰσὶ συλλογισικαὶ συζυγίαι, ἡ πρώτη ἐξ ἀμφοτέρων καταφατικῶν, μερικὸν καταφατικὸν συνάγουσα τὸ συμπέρασμα. οἷον.

Τὸ γελαστικὸν καὶ παντὸς ἀνθρώπου,	Πᾶς ἄνθρωπος γελαστικὸς,
Τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου,	Πᾶς ἄνθρωπος ζῶον,
Τὸ γελαστικὸν ἄρα κατά τινος ζώου.	Ἄρα τὶ ζῶον γελαστικόν.

Καὶ ἡ τέτη ἐκ μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, μερικὸν καταφατικὸν, ἴχνος τὸ συναγόμενον, οἷον

Τὸ αἰθητικὸν κατὰ παντὸς ζώου, Πᾶν ζῶον αἰθητικόν,
Τὸ γελαστικὸν κατά τινος ζώου, Τὶ ζῶον γελαστικόν,
Τὸ αἰθητικὸν ἄρα κατά τινος γελαστικοῦ. Ἄρα τὶ γελαστικὸν αἰθητικόν.

Ἡ πέμπτη ἐκ μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς, μερικὸν ἀποφατικὸν συναγούσα, οἷον.

Ὁ Σάπφειρος κατ' οὐδενὸς ἀνού, Οὐδεὶς ἄνος σάπφειρος,
Τὸ γελαστικὸν κατὰ παντὸς ἀνοῦ, Πᾶς ἄνος γελαστικός,
Ὁ Σάπφειρος ἄρα οὐ κατὰ παντὸς γελαστικοῦ. Ἄρα οὐ πᾶν γελαστ. Σάπφειρος.

Ἡ ἑβδόμη ἐκ μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, μερικὸν συναγούσα ἀποφατικὸν τὸ συμπέρασμα, οἷον.

Τὸ λευκὸν κατ' οὐδενὸς αἰθίοπος, Οὐδεὶς αἰθίοψ λευκός,
Τὸ γραμματικὸν κατά τινος αἰθίοπος, Τὶς αἰθίοψ γραμματικός,
Τὸ λευκὸν ἄρα οὐ κατὰ παντὸς γραμματικοῦ. Ἄρα οὐ πᾶν γραμματ. λευκόν.

Ἡ ὀγδόη ἐκ μείζονος μερικῆς καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς, μερικὸν συναγούσα καταφατικὸν τὸ συμπέρασμα, οἷον.

Τὸ σοφὸν κατά τινος ἀνού, Τὶς ἄνος σοφός,
Τὸ γελαστικὸν κατὰ παντὸς ἀνοῦ, Πᾶς ἄνος γελαστικός,
Τὸ σοφὸν ἄρα κατά τινος γελαστικοῦ. Ἄρα τὶ γελαστικὸν σοφόν.

Καὶ ἡ δεκάτη τέτη ἐκ μείζονος μερικῆς ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς, μερικὸν ἀποφατικὸν συναγούσα, οἷον.

Τὸ γραμματικὸν οὐ κατὰ παντὸς ἀνού, Οὐ πᾶς ἄνος γραμματικός,
Τὸ γελαστικὸν κατὰ παντὸς ἀνοῦ, Πᾶς ἄνος γελαστικός,
Τὸ γραμματικὸν ἄρα οὐ κατὰ παντὸς γελαστ. Ἄρα οὐ πᾶν γελαστικὸν γραμμ.

Τοσαῦται μὲν ἐπὶ τῶν τελείων χημάτων συλλογισικαὶ συζυγίαι, αἱ δὲ παρὰ ταύτας ἀσυλλόγιστοί εἰσιν, οὐ κατὰ φύσιν συναγομένων τῶν ὅρων. διάφορον γὰρ αὐτῆς γίνεται τὸ συναγόμενον, συμμεταπίπτον τῇ τῆς ὕλης διαφορᾷ. οἷον ἐπὶ τοῦ πρώτου χήματος, ὧν ἡ ἐλάττων ἐστὶν ἀποφατική. ποτὲ μὲν καταφατικὸν συναγούσαι, ὡς ἡ δευτέρα, ποτὲ δὲ ἀποφατικὸν, ὡς ἐπὶ τῆς αὐτῆς, οἷον.

Πᾶς ἄνος ζῶον, Πᾶς ἄνος ζῶον,
Οὐδεὶς λίθος ἄνος, Οὐδεὶς ἵππος ἄνος.
Ἄρα οὐδεὶς λίθος ζῶον. Ἄρα πᾶς ἵππος ζῶον.

Τοιαῦται δὲ εἰσὶν ἥτε δευτέρα, τετάρτη, ς' ἡ ι' ιβ' ιδ' ις'. Ἀδόκιμοι δὲ,

δὲ, καὶ ὧν ἡ μείζων ἐστὶ μερικὴ, ἀποφατικὸν ὁμοίως καὶ καταφατικὸν σωιάγουσαι κατὰ τὴν τῆς ὕλης διαφοράν, οἷον.

Τὶς ἵππος ἐστὶ λευκός,
Οὐδεὶς Κύκνος ἐστὶν ἵππος,
Ἆρα πᾶς Κύκνος ἐστὶ λευκός. Καὶ ἀποφατικὸν, οἷον.
Τὶς ἵππος ἐστὶ λευκός,
Οὐδεὶς Κόραξ ἐστὶν Ἵππος.
Ἆρα οὐδεὶς Κόραξ ἐστὶ λευκός.

Τοιαῦται εἰσὶν αἱ μετὰ τὴν ὀγδόην πᾶσαι. νῦν δὲ λόγῳ μετὰ τοῦ Φιλοσόφου εἰπεῖν, ὅσαι μὲν τῶν λοιπῶν ὁμοιοσχήμονες εἰσὶ συζυγίαι, εἰς τὸ παντελὲς τυγχάνουσιν ἀσυλλόγιστοι, καὶ ἀδόκιμοι. Καλεῖ δὲ ὁμοιοσχήμονας, ἐπὶ μὲν τοῦ πρώτου σχήματος, ὅσαι ἀμφότεραι μερικαὶ καταφατικαὶ, ἢ ἀποφατικαὶ, καὶ ὅσαι ἀποφατικαὶ ἀμφότεραι καθόλου. ἐπὶ δὲ τῶ β. σχήματος, ὅσαι ~~ἀμφότεραι, ἢ ἐπὶ μέρους εἰσὶν,~~ ἢ καταφατικαὶ, ἢ ἀποφατικαὶ ἀμφότεραι, ἄντε καθόλου ὦσιν, ἄντε ἐπὶ μέρους. Ἀνομοιοσχήμονας δὲ καλεῖ, ὅσαι κατὰ τὸ ποιὸν διαφαίρουσαι, τὴν ἀποφατικὴν πρότασιν καθόλου ἔχουσι. τοιαῦται δὲ εἰσὶν ἐπὶ μὲν τοῦ πρώτου σχήματος, ἡ δευτέρα καὶ ἡ, αἱ αὐταὶ δὲ καὶ ἐπὶ τοῦ τρίτου σχήματος. ἐπὶ δὲ τοῦ δευτέρου ἡ δεκάτη μόνον. τὴν γὰρ δευτέραν παραλλήλως ἐθέμεθα συλλογιστικὴν. Αὗται οὖν αἱ ἀνομοιοσχήμονες, συλλογιστικαὶ γίνονται ἀκαταλλήλοι, τὸ ἔλαττον ἄκρον κατὰ τοῦ μείζονος σωιάγουσαι, οἷον ἐπὶ τοῦ πρώτου σχήματος, ἡ δευτέρα.

Πᾶς ἄνος ἐστὶ ζῶον,
Οὐδὲν ἄλογον ἐστὶν ἄνος,
Ἆρα τὶ ζῶον οὐκ ἔστιν ἄλογον.

Καὶ ἡ ἐκ μείζονος μερικῆς καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς, μερικὴν ἀποφατικὴν σωιάγουσα, οἷον.

Τὶς ἄνος ἐστὶ λευκός,
Οὐδεὶς λίθος ἐστὶν ἄνος,
Ἆρα τὶ λευκὸν οὐκ ἔστι λίθος.

Τρεῖς δὲ ἑτέρας ἐκτίθησιν ὁ Θεόφραστος ἐπὶ τοῦ πρώτου Σχήματος. διαφέρουσι δὲ οὐδὲν τῆς πρώτης καὶ τρίτης, καὶ πέμπτης, πλὴν ὅσον ἀντεστραμμένως σωιάγουσι τὸ ἔλαττον ἄκρον κατὰ τοῦ μείζονος, οἷον ἐπὶ τῆς πρώτης.

Τὸ ἔμψυχον κατὰ παντὸς ζώου.

Τὸ ζῶον κατὰ παντὸς ἀνοῦ,
Καὶ ὁ ἄνος ἄρα κατάτινος ἐμψύχου.

Ὡσαύτως καὶ ἐπὶ τῆς τείτης καὶ πέμπτης συζυγίας. ἐπὶ μὲν τῆς τέτ-της, οἷον.

Τὸ δίπουν κατὰ παντὸς γεωμέτρου,
Τὸ γεωμετρικὸν κατάτινος ἀνοῦ,
Ἄρα καὶ ὁ ἄνος κατάτινος δίποδος.

Ἐπὶ δὲ τῆς πέμπτης, οἷον.

Τὸ γραμματικὸν κατ' οὐδενὸς Ὄρνεος,
Ὁ Ὄρνις κατὰ παντὸς Κόρακος,
Καὶ ὁ Κόραξ κατ' οὐδενὸς γραμματικοῦ.

Τοῦ δευτέρου Σχήματος ἡ δεκάτη, οἷον.

Τί ζῶον ἐστὶ λευκὸν,
Οὐδεὶς Κόραξ ἐστὶ λευκὸς,
Ἄρα τι ζῶον οὐκ ἔστι Κόραξ.

Ἐπὶ δὲ τοῦ τείτου Σχήματος, ἡ μὲν δευτέρα, οἷον.

Πᾶς ἄνος ἐστὶ δίπους,
Οὐδεὶς ἄνος ἐστὶν Ὄρνις,
Ἄρα τι δίπουν οὐκ ἔστιν Ὄρνις.

Ἡ δὲ δεκάτη, οἷον.

Τὶς ἄνος ἐστὶ λευκὸς,
Οὐδεὶς ἄνος ἐστὶ λίθος,
Ἄρα τι λευκὸν οὐκ ἔστι λίθος.

Τοσαῦται μὲν καὶ αἱ ἀκαταλλήλως συλλογισταὶ συζυγίαι ἐπὶ τῶν τειῶν Σχημάτων.

Λέξεις συμβολικαὶ φερόμεναι παρὰ τῷ Φιλοσόφῳ ἐνταῦθα.

Τοῦ ά. χήματος. Γράμματα. Ἔγραψε. Γραφίδι. Τεχνικός.
Τοῦ β. χήματος. Ἔγραψε. Κάτεχε. Μέτειον. Ἄχολον.
Τοῦ γ. χήματος. Ἅπασι. Σθεναρός. Ἰσάκις. Ἀπίδι.
Ὁμαλός. Φέριος.

Περὶ

Περὶ τῶν φωνῶν, δι' ὧν αἱ συζυγίαι δηλοῦνται τῶν συλλογισμῶν ἐφ' ἑκάστου σχήματος.

Δηλοῦνται τοιγαροῦν αἱ τέτταρες κατάλληλοι συλλογιστικαὶ συζυγίαι τοῦ πρώτου σχήματος διὰ τῆδε τοιωνδε φωνῶν, Γράμματα, Σαυίδι, Θέασε, Τεχνικός. αἱ δὲ ἀκατάλληλως συλλογιστικαὶ πέντε ἐπὶ τῷ αὐτῷ σχήματος διὰ τέτων. Γράφαλιν, Τάσεμο, Σάβιτιν, Θέαζεν, Τίνεμο.

Αἱ δὲ τοῦ δευτέρου συλλογιστικαὶ κατάλληλως τέτταρες συζυγίαι, δηλοῦνται διὰ τούτων. Θάμβενεν, Γράφοδο, Θέναζε, Τσνίο. Ἀκατάλληλος δὲ ἐπ' αὐτοῦ ἐστὶ μία δηλουμένη, διὰ τῆς φωνῆς ταύτης. Τίσνμο.

Ἐπὶ τοῦ τρίτου, ἓξ εἰσὶν αἱ συλλογιστικαὶ συζυγίαι. διὰ τῆδε ἑφεξῆς δηλούμεναι φωνῶν. Σάβασι, Σάρενι, Τέπασο, Τέρινθο, Σπινθαμὶν, Γοργάδο.

Ἀκατάλληλος δὲ συλλογιστικαὶ ἐπ' αὐτῷ δύο, δηλέμεναι διὰ τῆδε φωνῶν τούτων, Τάσεμο, Τίνεμο.

Ἑκάστη δὲ συζυγία ἐν ἑκάστῳ Σχήματι καλείσθω ἀπὸ τῆς προκειμένης αὐτῇ λέξεως, ἡ μὲν Γράμματα δηλαδὴ, ἡ δὲ Σαυίδι, καὶ ἑφεξῆς ὁμοίως. διαγεγράφθωσαν δὲ ἑφεξῆς ἐπὶ διαγράμματος, εἰς ῥᾳοτέραν κατάληψιν.

Α'. Σχήματος.

Καπάλληλοι.			Α'καπάλληλοι.
1	α α	Γράμματα.	Γράφαλιν.
2	α ε		Τάσυμο.
3	α ι	Σανίδι.	Σάβιτιν.
4	α ο		
5	ε α	Θέασε.	Θέαζεν.
6	ε ε		
7	ε ι	Τεχνικός.	
8	ε ο		
9	ι α		
10	ι ε		Τίνυμο.
11	ι ι		
12	ι ο		
13	ο α		
14	ο ε		
15	ο ι		
16	ο ο		

Β'. Σχήματος.

Καπάλληλοι.			Α'καπάλληλοι.
1	α α		
2	α ε	Θάμβενε.	
3	α ι		
4	α ο	Γράψοδο.	
5	ε α	Θέναζε.	
6	ε ε		
7	ε ι	Τένιο.	
8	ε ο		
9	ι α		
10	ι ε		Τίσυμο.
11	ι ι		
12	ι ο		
13	ο α		
14	ο ε		
15	ο ι		
16	ο ο		

Γ'. Σχήματος.

Καπάλληλοι.			Α'καπάλληλοι.
1	α α	Σάβασι.	
2	α ε		Τάσεμο.
3	α ι	Σάειν.	
4	α ο		
5	ε α	Τέπισο.	
6	ε ε		
7	ε ι	Γέεινθο.	
8	ε ο		
9	ι α	Σπινθαμίν.	
10	ι ε		Τίνεμο.
11	ι ι		
12	ι ο		
13	ο α	Γοργάδο.	
14	ο ε		
15	ο ι		
16	ο ο		

Παρα-

Παραδείγματα τοῦ πρώτου Σχήματος τῶν καταλλήλων συζυγιῶν.

Γρά Παῦ Ζῶον ἐσὶν αἰσθητικὸν,
μμα Πᾶς ἄνος ἐσὶ Ζῶον,
τα Πᾶς ἄρα ἄνος ἐσὶν αἰσθητικόν.

Παῦ β ἐσὶν ᾱ
Παῦ γ ἐσὶ β
Ἄρα παῦ γ ἐσὶν ᾱ.

Σα Παῦ πτερωτὸν ἵπταται,
νί Τὶς Κόραξ ἐσὶ πτερωτὸν,
δι Ἄρα τὶς Κόραξ ἵπταται.

Κόραξ. Πτερωτόν Ἵπταται. Δίπουν.




Θέ Οὐδὲν τετράπουν ἐσὶ γραμματικόν.
α Πᾶς Ὄνος ἐσὶ τετράπουν,
σε Ἄρα οὐδεὶς Ὄνος ἐσὶ γραμματικός.

Ὄρνις. Δίπουν.

Τε Οὐδὲν Ὄρνεον λογικὸν,
χνι Τὶ δίπουν ἐσὶν Ὄρνεον,
νός Ἄρα τί δίπουν οὐκ ἔσι λογικόν.

Γελασικόν. Λογικόν. Ἄνος.



Γελασικόν. Ἄνος. Λογικόν.

Συζυγίαι ἀκαταλλήλοι ἀπὸ τοῦ αὐτοῦ.

Γρά Πᾶς Ὄρνις πτηνὸν,
φα Πᾶς Κόραξ Ὄρνις,
λιν Ἄρα τί πτηνὸν ἐσὶ Κόραξ.

Τάσ Παῦ φυτὸν ἔμψυχον,
σν Οὐδεὶς Ὄρνις φυτὸν,
μο Ἄρα τὶ ἔμψυχον οὐκ ἔσιν Ὄρνις.

Σά Πᾶς γεωμέτρης δίπουν,
βι Τὶς ἄνος γεωμέτρης,
τιν Ἄρα τί δίπουν ἄνος;

Θέ

Θέ Οὐδεὶς Ὄρνις γραμματικὸς,
α Πᾶς Κόραξ Ὄρνις,
ζσν Ἄρα οὐδεὶς γραμματικὸς Κόραξ.

Τίν Τὶ πετᾶπτοων ἐστὶν Ὄνος,
σν Οὐδεὶς Ὄρνις ἐστὶ πετᾶπτοων,
μο Ἄρα τὶς Ὄνος οὐκ ἔστιν Ὄρνις.

Παραδείγματα τῶν καταλλήλων συζυγιῶν ἐπὶ τοῦ δευτέρου Σχήματος.

Θάμ Πᾶς Ὄρνις δίπτοων,
βσν Οὐδεὶς Ἵππος δίπτοων,
σν Ἄρα οὐδεὶς Ἵππος Ὄρνις:

Γρά Πᾶς Κόραξ δίπτοων,
φο Τὶς Ὄνος οὐ δίπτοων,
δο Ἄρα τὶς Ὄνος οὐκ ἔστι Κόραξ.

Θσὶ Οὐδεὶς Γεωμέτρης πετᾶπτοων,
α Πᾶς Ἵππος πετᾶπτοων,
ζε Ἄρα οὐδεὶς Ἵππος γεωμέτρης.

Τσὶ Οὐδεὶς γραμματικὸς πτηνὸν,
ι Τὶς Κόραξ πτηνὸν,
ρ Ἄρα τὶς Κόραξ οὐκ ἔστι γραμματικός.

Ἀκαταλλήλως δὲ τοῦ αὐτοῦ Σχήματος.

Τί Τὶς Ἄνθρωπος γεωμέτρης,
σν Οὐδεὶς ἀμαθὴς γεωμέτρης,
μο Ἄρα τὶς Ἄνθρωπος οὐκ ἔστιν ἀμαθής.

Συζυγίαι καταλληλοι τοῦ τειτου Σχήματος.

Σά Πᾶς Κύων ὑλακτεῖ,
βα Πᾶς Κύων πέτεται,
σι Ἆρα τὶ πέτεται ὑλακτεῖ.

Σά Πᾶς Ὄρνις ἵπταται,
ει Τὶς Ὄρνις ἐστὶ θαλάσσιος,
νι Ἆρα τὶ θαλάσσιον ἵπταται.

Τέ Οὐδεὶς Ἰχθὺς ᾄδει,
πα Πᾶς Ἰχθὺς ἄπτεται,
σο Ἆρα τὶ ἄπτεται οὐκ ᾄδει.

Τέ Οὐδεὶ ἀναπνευστικὸν σῦφορ,
ειν Τὶ ἀναπνευστικὸν δίπτεται,
θα Ἆρα τί δίπτεται οὐκ ἔστιν σῦφορ.

Σπιν Τὶς Ἰχθὺς σκαίρει,
θα Πᾶς Ἰχθὺς ἄφωνος,
μὶν Ἆρα τὶ ἄφωνον σκαίρει.

Γορ Τί δένδρον οὐκ ἔστι Συκῆ,
γά Παῦ δένδρον ἔμψυχον,
δο Ἆρα τὶ ἔμψυχον οὐκ ἔστι Συκῆ.

Ἀκαταλληλοι ἐπὶ τοῦ αὐτοῦ Σχήματος.

Τά Πᾶσα Συκῆ φυτὸν,
σε Οὐδεμία Συκῆ Ἐλαία,
μο Ἆρα τὶ φυτὸν οὐκ ἔστιν Ἐλαία.

Τί Τὶς γραμματικὸς δίπτεται,
τε Οὐδεὶς γραμματικὸς Ὄρνις,
μο Ἆρα τὶ δίπτεται οὐκ ἔστιν Ὄρνις.

Παρατήρησις περὶ τὰ τῶν συλλογισμῶν Σχήματα.

Καθόλου παρατηρητέον περὶ τὰ ἐκτεθέντα τῆς συλλογισμῶν χήματα, ὅτι ἐκ δύο ἀποφατικῶν, οὐκ ἔστι συλλογίσασθαι, οὔτε ἐκ δύο μεριϰῶν, ἐπισημονιϰῶς, ὅτι ἐξ ἁπλῶν μεριϰῶν μὲν, ἢ ἀπροσδιορίστων, οὐδὲν ἀναγϰαίως ἕπεται διὰ τὸν τοῦ χήματος λόγον. ὡς ἂν εἴτις εἴποι. τὶς ἄνθρωπος ἐστὶ σοφὸς, ὁ Σωϰράτης ἐστὶν ἄνθρωπος, ἆρα ὁ Σωϰράτης ἐστὶ σοφός. Τῷ δὲ λόγῳ τῆς ὕλης ἕπεταί ποτε τὶ ἐξ ἀνάγϰης. ὡς ἂν εἴτις εἴποι. τὶ ζῶον ἐστὶν οὐσία, τὶς ἄνθρωπος ἐστὶ ζῶον, ἆρα τὶς ἄνθρωπος ἐστὶν οὐσία. Οὔτε ἐκ μόνων ἀποφατικῶν, οὐδὲν ἀναγϰαῖον συμαίνεται συμπέρασμα, τῇ τοῦ χήματος λόγῳ. οἷον, οὐδὲν συμβεβηϰὸς ἔχει, οὐδεὶς ἄνθρωπος ἐστὶ συμβεβηϰὸς, ἆρα οὐδεὶς ἄνθρωπος ἔχει. Κατὰ δὲ τὴν ὕλην ἔπεται ἀληθὲς τὸ συμπέρασμα. οἷον, οὐδεὶς Ἄνθρωπος ἐστὶ λίθος, οὐδεὶς Ἵππος ἐστὶν Ἄνθρωπος, ἆρα οὐδεὶς Ἵππος ἐστὶ λίθος.

Περὶ τῆς ἀναγωγῆς τῶν Συλλογισμῶν τοῦ δευτέρου ϰαὶ τείτου Σχήματος ἐπὶ τοὺς τέτταρας τρόπους τοῦ πρώτου Σχήματος ϰαταλλήλως συμπεραίναντας.

Τελειοῦνται ποιγαροῦν οἱ Συλλογισμοὶ τοῦ δευτέρου ϰαὶ τείτου χήματος, ἐπὶ τὸ πρῶτον ἀναγόμενοι Σχῆμα, ἐν ᾧ ἐναργέστερον γίνεται τὸ ἀναγϰαῖον τῆς συναγωγῆς αὐτῇ δυσὶ τρόποις, οἱ μὲν διὰ ἀντιστροφῆς τῆς προτάσεων, οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον δείξεως. Οἱ μὲν οὖν τοῦ δευτέρου Σχήματος συλλογιστιϰοὶ τροποι, ἀνάγονται ἐπὶ τὸ πρῶτον διὰ ἀντιστροφῆς τῆς μείζονος προτάσεως, πλὴν τοῦ Γραψοδο. Οἱ δὲ τοῦ τείτου διὰ ἀντιστροφῆς τῆς ἐλάττονος, πλὴν τοῦ Γορχάδο. Δηλοῦται δὲ ἡμῖν ἀπὸ τῆς ἀρητιϰῶν συμφώνων τῆς ἐν ἑϰάστῃ συζυγίᾳ ϰειμένων λέξεων. ἐπὶ τίνα τῆς ἐν τῷ πρώτῳ χήματα ϰαταλλήλων τρόπον ἀνατέον ἕϰαστον τῆς ἐν τῷ δευτέρῳ ϰαὶ τείτῳ. Ὅσαι γὰρ ἀπὸ τοῦ Γ ἄρχονται ἐπὶ τὴν ἐν τῷ πρώτῳ πρώτην ἀνάγονται συζυγίαν, δηλαδὴ τὰ Γράμματα. ὅσαι δὲ ἀπὸ τοῦ Σ ἐπὶ τὴν Σανίδι. ϰαὶ ὅλως αἱ ἀπὸ τοῦ αὐτοῦ συμφώνου,

ἐπὶ


ἐπὶ τὰς ἐκ τοῦ αὐτοῦ ἀρχομένας συμφώνου πεφύκασι μεταφέρεσθαι. Τῶν δὲ λοιπῶν συμφώνων τῇ ἐν ταῖς αὐταῖς λέξεσι, τὸ μὲν Ν̄ ἢ Σ̄, οὗπερ ἂν πρόσκειται, ἀντιστροφὴ δηλοῦσι τῆς προτάσεων. τὸ μὲν Ν̄ ἁπλῶς ἁπλῆ ἀντιστροφῇ, τοῦ αὐτοῦ δηλαδὴ φυλαττομένου ποιοῦ τε καὶ ποσοῦ μετὰ τοῦ σωζεσθαι. τὸ δὲ Σ̄ τῇ κατὰ συμβεβηκὸς ἁπλῆ ἀντιστροφῇ δηλοῖ. ἐφ' ἧς μεταβαλλομένου τοῦ ποσοῦ, τὸ ποιὸν μένει ταὐτόν. Ἐν αἷς δὲ λέξεσι τὸ Μ̄ ἐνυπάρχει, μεταθέσιν τῆς προτάσεων σημαίνει. Ἐφ' ὧν δὲ τὸ Δ̄ πρόσκειται, τὸν Συλλογισμὸν δηλοῖ, μὴ ἄλλως δείκνυσθαι διὰ τὸ πρώτου Σχήματος, ἢ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. (1) τὰ δὲ παρὰ ταῦτα παρέλκει.

Περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.

ΠΡῶτος τοιγαροῦν τρόπος καθ' ὃν οἱ ἀτελεῖς συλλογισμοὶ ἐμπεδοῦνται διὰ τῆς τελείων τοῦ πρώτου Σχήματος ἐστὶν ὁ ἤδη ἐκτεθείς. δεύτερος δὲ τρόπος αὐτὸ τοῦτο κατεργαζόμενος, δεῖξις ἐστὶν εἰς ἀδύνατόν τι ἀπάγουσα τὸν προσδιαλεγόμενον. ὅθεν καὶ ἀπαγωγὴ εἴρηται εἰς ἀδύνατον. Ἔστι δὲ αὕτη ἡ δεῖξις συλλογισμὸς ἐξ ὑποθέσεως, οὗ τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ ὃ βούλεται δεῖξαι ὑποθέμενος, διὰ τούτου αὐτῷ καὶ ἄλλης τινὸς ὁμολογουμένης προτάσεως, ἀδυνάτόν τι δεικτικῶς συλλογίζεται ἑπόμενον διὰ τὴν ὑπόθεσιν, δι' οὗ ἀναιρεῖται μὲν ἡ ὑπόθεσις, τίθεται δὲ τὸ ἀντικείμενον τῆς ὑποθέσεως, ὅπερ ἐβούλετο δεῖξαι, τῷ δεῖν ἀεὶ τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως ἀληθεύειν. Διὰ ταύτης οὖν τῆς δείξεως καὶ οἱ ἄλλοι μὲν ἐμπεδοῦνται συλλογισμοὶ, ἰδίᾳ δὲ ὁ Γράφοδο ἐν τῷ δευτέρῳ Σχήματι, ὁ δὲ Γοργάδο ἐν τῷ τείτῳ. οὓς οὐδὲ κατὰ τὴν πρώτην μέθοδον ἐνδέχεται ἐπὶ τὸ πρῶτον ἀναχθῆναι Σχῆμα. πλὴν διὰ μόνης τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἀμφότεροι ἐπὶ τὸν Γράμματα ἀνάγονται τοῦ πρώτου σχήματος. οἷον ἐπὶ τοῦ Γράφοδο ἔσω συλλογισμὸς ἐν τῷ δευτέρῳ σχήματι.

Γρά Πᾶν Ζῶον αἰσθητικὸν,
φο Οὐ πᾶν ἔμψυχον αἰσθητικὸν,
δο Οὐ πᾶν ἔμψυχον ἄρα Ζῶον.


Pag. 395.



(1) Ὡς π̄, Τ̄, Ρ̄, καὶ τὰ λοιπά.

Τούτου τοῦ Συλλογισμοῦ εἴτις ὁμολογήσας τὰς προτάσεις, ἀποφήσειε τὸ συναγόμενον, δειχθήσεται δι' ἀπαγωγῆς οὕτω προσλαβόντες τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ συναγομένου, ὅπερ ἐστὶ πᾶν ἔμψυχον ἐστὶ ζῶον, καὶ τῷ προτάσεων τινὶ μείζονα, ἢ ὡμολόγηται τῷ προσδιαλεγομένῳ, συνάξομεν ἐπὶ τοῦ πρώτου σχήματος ἐν τῇ πρώτῃ συζυγίᾳ, πᾶν ἔμψυχον ἐστὶν αἰσθητικόν. ὅπερ ἀντίκειται τῇ ὁμολογηθείσῃ προτάσει. οἷον.


Παῦ Ζῶον αἰσθητικόν,
Παῦ ἔμψυχον Ζῶον,
Πᾶν ἄρα ἔμψυχον αἰσθητικόν.



Pag. 396. fig. 1.

Ἐπεὶ τοιγαροῦν τὸ συναχθὲν ψεῦδος ἐστὶ, ψευδὴς ἡ ἑτέρα πάντως τῶν προτάσεων. ἐκ γὰρ ἀληθῶν οὐ συνάγεται ψεῦδος, ἀλλ' ἢ ἀληθές. ἀλλ' ἡ μὲν μείζων ὡμολόγηται, ψευδὴς ἄρα ἡ ἐλάττων ἣν ὑπεθέμεθα. εἰ δὲ ψευδὴς ἡ ἐλάττων, ἀληθὲς ἄρα τὸ ἀντικείμενον ἐκείνης ἀντιφατικῶς, ὅπερ ἣν συναγόμενον τινὶ ἀρχῇ, διὰ τοῦ Γράφοδο συλλογισμοῦ. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ τείτου Σχήματος ὁ Γοργάδο ἐμπεδοῦται, ἀναγόμενος εἰς τὸν Γράμματα τοῦ πρώτου σχήματος διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. Ἔστω συλλογισμὸς ἐπὶ τοῦ τείτου σχήματος ἐν Γοργάδο.

Γορ Οὐ πᾶς ἄνος λευκός,
γά Πᾶς ἄνος Ζῶον,
δο Ἄρα τί Ζῶον οὐκ ἔστι λευκόν.



Εἴτις οὖν ὁμολογήσας τὰς προτάσεις, ἀποφήσειε τὸ συναγόμενον, μεταληπτέον τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ συναγομένου. ὅπερ ἐστὶ πᾶν ζῶον λευκόν. καὶ τινὶ ἐλάττονα τινὶ ὁμολογηθεῖσαν ἐν τῷ συλλογισμῷ, καὶ οὕτω συλλογιστέον.

Πᾶν ζῶον λευκὸν,
Πᾶς ἄνος ζῶον,
Πᾶς ἄρα ἄνος λευκός.



Pag. 396. fig. 3.

Ὅπερ ἀντίκειται τῇ ὁμολογηθείσῃ προτάσει. εἰ οὖν τὸ πᾶς ἄνθρωπος

11 λέγεται μόνα ἐν ἀναλογίᾳ λέγεται συνδιήκοντος ὄρου, καὶ ἐ-
στιν· οὐδὲ γὰρ μὴ ἐστόμαλα, ἀλλ' ἢ πανδοκιακὰ ἔσται, καὶ δὲ ἐ-
στόμαλα, ἀλλὰ μερικὰ ἔσται, καὶ δ' ἀμφόδερα μόνον· ἢ ἄλλων οὐδὲν,
καὶ μὴ πανδὲ ἀμφόδερα ἔσται, καὶ δὲ πᾶν δόξαν, ἐστόμαλά δὲ
ἐστὶ ἢ ἐστόμαλα ἢ ἀμφόδερα.

„Τῶν δὲ κατὰ μέρος τῆς ὅλης δυνάμεως ἀπαρχαὶ ἦσαν, τοῖς μὲν δυνατοὶ
οἱ κατὰ τὸν φιλόσοφον τὸ σπέρμα ἐν ἑαυτοῖς ἀπόρροιαι,
ἀφ' ὧν τὸ θρῶσον ἡγεμονικὸν ἀναφύμενον ἄχθος, οἱ δὲ τῆς θεοφρά-
στου σκηνῆς, τοῖς εἰλικρινὲς δυνάμει. ἐν οἷς μὲν τὸ φιλόσοφον ἀφ' οὗ τὸ θρῶ-
σον ἀναφύεται, τὸ ἀνθρωπαπάτης ἀνθαπτόμενον τῷ σωματοειδεῖ,
ἀφ' οὗ μὲν τὸ σπέρμα ἀπὸ ἡδονῆς γαμβανόμενον, κατὰ χώραν
ἀποζωγράφησις τῆς ψυχῆς, ἐν δὲ τῷ ἥμισυ, τὸ ἀνθαπτόμενον αὐ-
θις τῷ σωματοειδεῖ, γαμβανόμενον ἀπὸ ψυχῆς, ἐν τῷ
ἥμισυ ἀπὸ τοῦ ἀποζωγράφησις τῆς ἡδονῆς. ἄλλοι μὲν δὴ οἱ
βίῳ πᾶσι δοκήσεων ἐν ἥμισυ ἄχθος, ἀφ' ὧν τὸ θρῶσον ἀναφύ-
μενοι - οἱ δὲ κατὰ θεόφραστον, ἐν οἷς εἰλικρινὲς τὸν θεοφράστου
μεταθέσεως, ἀπὸ τοῦτο κατὰ τὸ θρῶσον ἄχθος ἀναφύμενοι. οἱ
μὲν δὴ σωφρονικοί, τὸ μὲν ἀνθρωπαπάτης ἀνθαπτόμενον τῷ σωματοειδεῖ
ᾗ, γαμβανόμενον ἀπὸ ψυχῆς, ἐκ ψυχῆς δ' ἀπὸ τῆς ἡδονῆς
χώραν ψυχῆς μεταποιοῦσιν. οἱ δὲ σκληροί, οἷς δὴ θέλ-
ξεν ἄχθος, ἀφ' ὧν τὸ ἀπὸ θεόφραστον κατὰ τὸ θρῶσον ἀναφύ-
μενοι, τὸ μὲν ἀνθρωπαπάτης ἀνθαπτόμενον τῷ σωματοειδεῖ
ᾗ τῆς ἡδονῆς ἀνάπαυσιν χώραν σπέρματος, ἀπὸ τοῦ ψυχῆς
ἐν χώραν σπέρματος, ἀπὸ τῆς ἡδονῆς ἐν τῷ ἐκ ψυχῆς
μεταβαλόμενοι.

πος λευκὸς, ψεῦδος ἐστὶ διὰ τὴν ὑπόθεσιν, ἡ ὑπόθεσις ἄρα ἔσαι ψευδὴς, τὸ δὲ ἀντικείμενον ἐκείνης ἀληθὲς, ὅπερ ἦν τὸ τὴν ἀρχὴν σωαχθὲν διὰ τοῦ Γοργάδα.

Ποσαχῶς ἡ εἰς ἀδύνατον ἀπαγωγή.

Ἡ Διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεῖξις, τεταχῶς ἐνδέχεται γίνεσθαι. Πρῶτον λαμβάνουσι τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ συμπεράσματος ἀντὶ μείζονος. τῆς δὲ μείζονος εἰς ἐλάττω μεταθεμένης. ᾧ δὴ τρόπῳ, αἱ τέτταρες ἀκατάλληλοι συζυγίαι τὸ πρώτε χήματος δείκνυνται, πλὴν τῆς Θέαζεν. β΄. Αὕτη (1) δὲ ἡ συζυγία ἀνάγεται ἐπὶ τὸ πρῶτον Σχῆμα, καὶ ἐμπεδοῦται, τῆς μὲν ἐλάττονος μεταθεμένης εἰς μείζονα, τοῦ δὲ ἀντικειμένου τῷ σωαγομένῳ, ἐλάττονος χώραν πληρούντος. Τρίτον τὸ μὲν ἀντικείμενον τοῦ συμπεράσματος ἀντὶ ἐλάττονος λαμβάνουσιν, ὑπομενούσης τῆς μείζονος κατὰ χώραν. ᾧ δὴ τρόπῳ, ἐμπεδοῦνται διὰ τῆς εἰς ἀδύνατον δείξεως, πᾶσαι αἱ (2) κατάλληλοι συζυγίαι τοῦ δευτέρου χήματος. Τέταρτον γίνεται ἀπαγωγὴ καὶ ἐμπέδωσις λαμβάνουσι τὸ ἀντικείμενον τοῦ συμπεράσματος ἀντὶ τῆς μείζονος, ὑπομενούσης τῆς ἐλάττονος κατὰ χώραν, ᾧ δὴ τρόπῳ ἐμπεδοῦνται πᾶσαι αἱ κατάλληλοι συζυγίαι τοῦ τρίτε χήματος, διὰ τῆς εἰς ἀδύνατον δείξεως. Ἵνα δὲ δυκρινέστερον ληφθείη καὶ βεβαιότερον θαμνόνοι τῇ μνήμῃ τὰ εἰρημένα, σημειούθω ἐφεξῆς ἐν τισὶ στίχοις ταῦτα.

Τὸ ō ἀντὶ τοῦ ā καὶ τὸ ā ψεύθω ē.
Τὸ ō ἀντὶ τοῦ ē καὶ τὸ ē ψεύθω ā.
Τὸ ō ἀντὶ τοῦ ē ὑπομενόντος τοῦ ā.
Τὸ ō ἀντὶ τοῦ ā ὑπομενόντος τοῦ ē.

Ὁ πρῶτος στίχος δηλοῖ τὸν τρόπον τῆς ἀναγωγῆς, καθ' ὃν αἱ ἀκατάλληλοι τοῦ πρώτου χήματος τελειοῦνται, πλὴν τῆς Θέαζεν. Ὁ δευτέρος τὸν τρόπον καθ' ὃν ἡ συζυγία τῆς Θέαζεν. Ὁ τρίτος καθ' ὃν ἡ ἐν τῷ δευτέρῳ χήματι, Καὶ ὁ τέταρτος καθ' ὃν ἡ ἐν τῷ τρίτῳ. ἐφ' ὧν τὸ μὲν ō σημαίνει τὴν ληφθεῖσαν ἀντιφατικὴν τοῦ συμπεράσματος, τὸ δὲ ā τὴν μείζονα πρότασιν, τὸ δὲ ē τὴν ἐλάττονα.

Ὅπως

(1) Ἡ Θέαζεν. (2) Ἐξαιρέτως ἡ γράφουσι.

Ὅπως πάντες οἱ Συλλογισμοὶ τελειοῦται διὰ τῶν δύο (1) καθόλου τῶν ἐν τῷ πρώτῳ χήματι.


Τὸν οὖν εἰρημένον ζόπον διὰ τῆς εἰς ἀδύνατον δηλονότι δείξεως, καὶ οἱ λοιποὶ πάντες Συλλογισμοὶ τελειοῦται ἀναγόμενοι ἐπὶ τὸ πρῶτον Σχῆμα. ἐπεὶ δὲ ἤδη ἐν τῷ πρώτῳ Σχήματι τελειότατοι εἰσὶν, οἱ τὰ καθόλου συνάγοντες προβλήματα, ὅ Γράμματα δηλαδὴ, καὶ ὁ Θέασε, τοῦ πρώτου χήματος, διὰ τούτων δείκνυσι πάντας τελειουμένους ὁ Φιλόσοφος. τοῦ μὲν γὰρ δευτέρου χήματος οἱ τὰ καθόλου συνάγοντες προβλήματα, ἐπὶ τὸν Θέασε τοῦ πρώτου Σχήματος προδήλως ἀνάγονται, ἀντιστρεφομένης τῆς ἐν αὐτοῖς καθόλου ἀποφατικῆς προτάσεως. Τῶν δὲ λοιπῶν δύο, διὰ τῆς εἰς ἀδύνατον δείξεως. ὁ μὲν Γράφοδο ἐπὶ τὸν Γράμματα, ὡς ἀνωτέρω δέδεικται. ὁ δὲ Τένιο ἐπὶ τὸν Θέασε, ἀνάγεται, ζόπῳ τοιῷδε. εἰ τὸ συναγόμενον ἀποφήσειέ τις, ὁμολογήσας τὰς προτάσεις τοῦ Τένιο, ἕξει τὸ ἀντικείμενον ἐκείνου μεταλαβεῖν, ἐξ οὗ ἀντὶ ἐλάττονος, καὶ τῆς μείζονος τοῦ αὐτοῦ συλλογισμοῦ, συνάγεται ἐπὶ τοῦ πρώτου χήματος ἀδύνατόν τι, ἔστω συλλογισμὸς ἐπὶ τοῦ Τένιο.

Τέ Οὐδεὶς λίθος ζῶον,
νι Τὶ σῶμα ζῶον,
ο Τὶ σῶμα ἄρα οὐκ ἔστι λίθος.

Μεταφέρεται ἐπὶ τὸν Θέασε τὸν εἰρημένον ζόπον.

Θέ Οὐδεὶς λίθος ζῶον,
α Πᾶν σῶμα λίθος,
σε Οὐδὲν ἄρα σῶμα ζῶον.

Pag. 398.



Οἱ δὲ μερικοὶ δύο τῶ πρώτου Σχήματος, ὁ Σανίδι, καὶ Τεχνικὸς μεταφέρονται διὰ τῆς εἰς ἀδύνατον ἀπαγούσης δείξεως, ἐπὶ τοὺς δύο καθόλου τοῦ δευτέρου χήματος, ὁ μὲν Σανίδι ἐπὶ τὸν Θάμβενεν, οὕτω.

Σα

(1) Ἤτοι χάμματα, Θίασι.

Σα Πᾶς ἄνος λογικὸς,
νί Τί ζῶον ἐστὶν ἄνος;
δι Ἆρα τὶ ζῶον λογικόν.


Θάμ Πᾶς ἄνος λογικὸς,
βαρ Οὐδεὶ ζῶον λογικὸν,
καν Οὐδεὶ ἄρα ζῶον ἄνος.

Ο δὲ Τεχνικὸς ἀνάγεται ἐπὶ τὸν Θέναζε. ἔστω συλλογισμὸς τῶ Τεχνικός.

Τε Οὐδεὶς ἄνος ἄλογον,
χνι Τί ζῶον ἄνος,
κὸς Ἆρα τὶ ζῶον οὐκ ἔστιν ἄλογον.

Θέ Οὐδεὶς ἄνος ἄλογον,
να Παῦ ζῶον ἄλογον,
ζε Οὐδεὶ ἄρα ζῶον ἄνος.

Pag. 399.



Ἐπεὶ οὖν οἱ ἐν τῷ δευτέρῳ Σχήματι ἀνάγονται πάντες εἰς τοὺς ἐν τῷ πρώτῳ Σχήματι καθόλου Συλλογισμοὺς ὡς δέδεικται, οἱ δὲ κατὰ μέρος ἐν τῷ πρώτῳ ἀνάγονται εἰς τοὺς ἐν τῷ δευτέρῳ, καὶ οἱ κατὰ μέρος ἄρα ἐν τῷ πρώτῳ ἀναχθήσονται εἰς τοὺς ἐν τῷ πρώτῳ καθόλου.

Ὅτι δὲ καὶ οἱ τοῦ τρίτου σχήματος ἀνάγονται εἰς τοὺς εἰρημένους δύο τοῦ πρώτου Σχήματος καθόλου συλλογισμοὺς δείκνυται. πάντες γὰρ πλὴν τοῦ Γοργάδο ἐδείχθησαν ἀνωτέρω, ἀναγόμενοι ἐπὶ τοὺς κατὰ μέρος τοῦ πρώτου Σχήματος, τοὺς δὲ κατὰ μέρος τῆς ἐν τῷ πρώτῳ Σχήματι, εἰς τοὺς καθόλου τῆς ἐν τῷ πρώτῳ Σχήματι ἀνάγεσθαι διὰ τῆς (1) ἐν τῷ δευτέρῳ καθόλου ἄρτι δεδειγμένης ἐσμεν, καὶ οἱ τοῦ τρίτου ἄρα Σχήματος ἐπὶ τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου ἀναχθήσονται, πλὴν τοῦ Γοργάδο. ἀλλὰ καὶ αὐτὸν τοῦτον τὸν Γοργάδο ἐπὶ τὸν Γράμματε ἀνάγεσθαι διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς, ἤδη δέδεικται. πάντες ἄρα οἱ συλλογισμοὶ

(1) Θάμβαρο, Θέναζε.

μοὶ τελειοῦνται διὰ τῆς δύο καθόλου τοῦ πρώτου σχήματος εἰς ἐκείνους ἀναγόμενοι. καὶ περὶ τούτων μὲν ἄλις.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Περὶ (1) αἱρέσεως Προτάσεων, ἤτοι τοῦ μέσου Ὅρου.

Τέχνης μὲν (οἷα δήπου καὶ πάσης ὁπωσοῦν ἕξεως) ἴδιον τὸν ἀρχὸν ἀτελῶς παραδίδοσθαι, κατὰ κοινότερον λόγον ποιζομένης, προϊούσης δὲ ἀεὶ ἐπὶ τὸ τελεώτερον ἔρχεσθαι, κατὰ τοὺς εἰδικωτέρους ἑαυτῆς προσλαμβανομένης λόγους. Τεχνίτης δ' ἐστὶν ἄριστος, ὁ μὴ μόνον εἰδὼς ὅπως ἔκαστα χρὴ τὰ τῆς τέχνης διαπράττεσθαι, ἀλλὰ καὶ προχείρως, καὶ ἀμαρτῶς ἀποτελεῖν τὰ αὐτά. ὅτου χάριν ἡμῖν ὁ Φιλόσοφος ἐν (2) τῷ πρώτῳ τῆς εἰς τέλα τοῦ παρόντος βιβλίου τὸν τρόπον εἰσηγησάμενος τῆς τοῦ Συλλογισμοῦ κατασκευῆς, μέθοδον ἤδη ἐν τῷ δευτέρῳ τμήματι παραδοῦναι προβάλλεται, καθ' ἣν ἡμῖν ἀμαρτὴς γένοιτο ἡ (3) τούτου κατασκευή. ἔστι δὲ τοῦθ' ἡμῖν προτάσεων ἀμοιροῦμεν, ἐξ ὧν οἱ Συλλογισμοί. Προτάσεων δὲ ἀπορήσομεν, εἴγε προχείρως, καὶ ἀπταίστως τοῦ μέσου καταντυχάνειν ἐσόμεθα δυνατοί. τριῶν γὰρ ὄντων τῆς Ὅρων, ἐξ ὧν ἕκαστος τῆς Συλλογισμῶν τεχνουργεῖται, τὰ μὲν (4) δύο ἄκρα ἐπὶ τοῦ προβλήματος κεῖται, λοιπὸς δὲ μόνος ὁ μέσος Ὅρος, οὗ τὴν εὕρεσιν ἐπὶ τοῦ παρόντος διδασκόμεθα. οὐχ ἁπλῶς δὲ, ἀλλὰ καθὸ μόνον εἰς κατασκευὴν ἀνήκει τοῦ συλλογισμοῦ γενικῶς. τῆς γὰρ ἀποδείξεως ὅπως χρὴ ἐκλέγεσθαι τὰς προτάσεις, ἰδίᾳ ἐπὶ τῆς ὑστέρων Ἀναλυτικῶν πραγματεύεται ὁ Φιλόσοφος, ὥσπερ καὶ τὰς τοῦ πιθανοῦ Συλλογισμοῦ ἐν τοῖς Τοπικοῖς, καὶ περὶ Σοφιστικῶν Ἐλέγχων ἐν τοῖς μετὰ ταῦτα διδάσκει.

Διαί-

(1) Ἤτοι διπλοείας. (2) Μέρει δηλαδὴ τοῦ πρώτου βιβλίου τῆς προτέρων ἀναλυτικῶν τοῦ εἰς τέλα διαιρεθέντος μέρη. (3) Τοῦ συλλογισμοῦ δηλαδή. εἴρηται γὰρ ἄριστος τεχνίτης ἐστὶν ὁ μὴ μόνον εἰδὼς ὅπως τὰ τῆς τέχνης διαπράττεται, ἀλλὰ καὶ ὁ προχείρως ταῦτα ἀποτελῶν. (4) Τὸ μεῖζον ἄκρον, καὶ τὸ ἔλαττον ἄκρον.

Διαίρεσις τοῦ δευτέρου Τμήματος.

Δῆλοι δ' ἄντις τὸ δεύτερον τουτὶ τμῆμα τῆ ἀρχῆ εἰς δύο, ὧν ἐπὶ μὲν τοῦ πρώτου μέρους κανόνας ἡμῖν προτίθεται, δι' ὧν τὴν αἵρεσιν ἐνδιδάσκει τῆς προτάσεων, ἐν δὲ τῷ δευτέρῳ περὶ διαιρέσεως ἀναλαμβάνει. Τὸ πρῶτον αὖθις εἰς τρία ὑποδιαιρεῖται μέρη, ὧν τὸ μὲν περιέχει ὅσα ἀνήκουσι γονικώτερον ἐπὶ πάντα τὰ προβλήματα. τὸ δὲ ὅσα εἰδικώτερον περιέχει, τὰ εἰς ἕκαστον ἰδίᾳ ἀνήκοντα τῆς προβλημάτων. ἐν δὲ τῷ λοιπῷ πραγματεύεται, ὅσα τοῖς προβλήμασιν ἰδίᾳ ἑκάστης ὀπτικῆς ἁρμόττει, οἷα εἰσὶν οἱ περὶ αἱρέσεως φυσικῶν συλλογισμῶν κανόνες, ἢ γεωμετρικῶν, καὶ τῆς τοιούτων.

Κέχρηται δὲ μεθόδῳ κατὰ φυσικὴν τάξιν τε καὶ διδασκαλίαν. ἀπὸ γὰρ τῆς καθολικωτέρων ἀρχόμενος καὶ κοινῶν, προέρχεται ἐπὶ τὰ μερικώτερά τε καὶ εἰδικώτερα. Πρὸ μέντοι τοῦ ἄρξασθαι τῆς τῶν κανόνων ἐνθέσεως, προαναπρούεταί τινα ἀναγκαίως προληπτέα, οἷον, ὑποθέσεις τε τῆς ῥηθησομένων, καὶ προασφαλήσεις.

Ταῦτα δ' εἰσὶν ὅτι τῶν ὄντων, ὅσα μὲν καθ' ἕκαστα ἢ αἰθητὰ τυγχάνει, ἀυτὰ μὲν κατ' οὐδενὸς πέφυκε κατηγορεῖσθαι, πλὴν ὡς κατὰ συμβεβηκὸς, ἤτοι παρὰ φύσιν, ὡς ὅτε φαμὲν τὸ λευκὸν ἐκεῖνο τὸν Σωκράτην εἶναι, ἢ τὸ προσιὸν Καλλίαν. Τούτων δ' ἄλλα κατηγορεῖται. καὶ γὰρ ἄνθρωπος, καὶ ζῶον (1) ἑκάτερον τούτων ἐστίν. Ὅσα δὲ αὐτὰ γένη εἰσὶν, ἃ καὶ γνωριμώτατα εἴρηται τῷ Πορφυρίῳ, κατ' ἄλλων μὲν κατηγορεῖται (κατὰ γὰρ τῶν ὑφ' αὐτὰ πάντων) κατὰ τούτων δὲ οὐκ ἔστιν ἀποδεῖξαι κατηγορούμενον ἕτερον, πλὴν εἰμὴ κατὰ δόξαν, ὡς παρὰ Πλάτωνι, τὸ ὂν πάντων τῶν γνωριμωτάτων, ὡς γένος τιθέμενον, ἢ τὸ ὄν, ὃ καὶ πολλοῖς τῶν νεῶν ὡς γένος τίθεται τῶν κατηγορειῶν. Ταῦτα τοιγαροῦν κατὰ δόξαν κατηγορηθείη τῶν γνωριμωτάτων, οὐ τῇ ἀληθείᾳ. οὐ γάρ εἰσι γένη, ἀλλ' ὁμώνυμοι μόνον φωναί. Ὅσα δὲ μεταξὺ τούτων τυγχάνει, ἃ καὶ γένη ὑπάλληλα εἴρηται τῷ Πορφυρίῳ, ἀμφοτέρως ἐνδέχεται· καὶ γὰρ αὐτὰ κατ' ἄλλων, καὶ ἄλλα κατὰ τούτων ῥηθήσεται. περὶ (2) ὧν φησιν ὁ Φιλόσοφος τὰς σκέψεις χεδὸν γίνεσθαι πάσας καὶ τοὺς λόγους.

(1) Τούτων τῶν καθ' ἕκαστα ἢ αἰθητῶν, Σωκράτους δηλαδὴ καὶ Καλλίου, ἑκάτερον ἐστὶν ἄνθρωπος καὶ ζῶον. (2) Ὑπαλλήλων.

Μέθοδος τῆς ἀιρέσεως καὶ κανόνες.

Α'. Ἐχόντων δὴ τούτων ὃν εἴρηται (1) τρόπον, πρὸ τῶν ἄλλων οἷόν τινα βάσιν, καὶ πάσης τῆς μεθόδου κριτήρια τοῦ προβλήματος, περὶ ὃ ἡ ζήτησις, ἀμφοτέρους προθετέον τοὺς ὅρους. τὸ διδόμενον ἤτοι τὸ ὑποκείμενον, καὶ τὸ κατηγορούμενον δηλαδὴ τὸ ζητούμενον.

Β'. Τούτων κειμένων, λεπτέον ἐφεξῆς ὁ Φιλόσοφος παραινεῖ πρῶτον πάντε Ἐπόμενα ἑκατέρῳ τῶν ὅρων, καὶ Ἡγούμενα, ὁμοίως καὶ ἀλλότρια. Καλεῖ δὲ ἑπόμενα ὁ Φιλόσοφος τὰ καθολικώτερα, οἷς συναριθμεῖται καὶ τὰ ἴδια ἑκάστου, καὶ οἱ ὁρισμοί. καὶ συνὶ λόγῳ ἑπόμενά τινι ἐννοεῖται, ὅσα κατὰ φύσιν ἐκείνου κατηγορεῖται, ὅτι δηλαδὴ τιθεμένου ἐκείνου, καὶ ταῦτα συνάγεται. Ἐξ ἐναντίας δὲ Ἡγούμενα λέγεται, τὰ ἐπ' ἔλαττον ὄντα, καὶ ὑποκειμένων χώραν πληροῦντα. (2) Τούτων γὰρ (3) τιθεμένων, ἕπεται τὰ καθολικώτερα, ὡς ἐπὶ τῶν ὑποθετικῶν συλλογισμῶν, ἐν τῷ συνημμένῳ γίνεται πρόδηλον. (4) Ἀλλότρια δέ εἰσιν ὅσα μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν, οὗ εἰσὶν ἀλλότρια.

Γ'. Εἰς τελεωτέραν κατάληψιν, διαιρετέον ἡμῖν εἰσηγεῖται, τίνα τῶν ἑπομένων ἐν τῷ τί ὄζι, καὶ ποῖα ὡς ἴδια, ἢ ὡς συμβεβηκότα κατηγορεῖται. Καὶ αὖθις τίνα τούτων δοξαστικῶς, καὶ τίνα κατ' ἀλήθειαν κατηγορεῖται. ἡ μέντοι ἀκριβὴς περὶ τούτων ἐκλογὴ, καὶ διάκρισις τοῖς Τοπικοῖς μᾶλλον οἰκεία.

Δ'. Ἀξιοῖ ὁ Φιλόσοφος ἐκλέγειν ἡμᾶς μὴ τὰ τινὶ ἑπόμενα, ἀλλ' ὅσα ὅλῳ τῷ πράγματι ἕπεται. οἷον μὴ τὰ τινὶ ἀνθρώπῳ ἑπόμενα, Σωκράτει δηλονότι, ἢ Καλλίᾳ, ἀλλ' ὅσα παντὶ ἀνθρώπῳ. ἐκ τούτων γὰρ αἱ καθόλου προτάσεις, ὧν ἄνευ οὐκ ἔστι συλλογίσασθαι. εἰ γὰρ μὴ καὶ ἀμφοτέρας τὰς ἐν τῷ συλλογισμῷ προτάσεις, ἀλλά γε τὴν ἑτέραν πάντως ἀνάγκη καθόλου εἶναι, καὶν τῇ καθόλου προτάσει, ἡ ἐπὶ μέρους περιέχεται, οὐ μὴν ἀνάπαλιν.

Ε'. Ὁμοίως δὲ καὶ τῶν ἡγουμένων ἐκλεκτέον, οἷς αὐτὸ, (ἤτοι τὸ διδόμενον, ἢ ζητούμενον ἐν τῷ προβλήματι) ἕπεται ὅλοις. οἷον τοῖς θηρωμένοις τὰ ἡγούμενα τοῦ ἀνθρώπου, οὐ λεπτέον ὡς ἡγούμενον, καὶ δίπουν εἶναι. οὐ γὰρ παντὶ δίποδι ἕπεται ἄνθρωπον εἶναι, ἀλλὰ παντὶ γεωμέτρῃ, καὶ γραμματικῷ, ἄνθρωπον εἶναι.

Ἐκ-

(1) Τὰ μὲν ἄπομα ὑποκεῖσθαι μόνον δηλαδὴ, τὰ δὲ γενικώτατα κατηγορεῖσθαι μόνον, τὰ δὲ ὑποάλληλα ἐναμφοτερίζειν. (2) Τῶν ἡγεμένων. (3) Οἷον εἰ ἔστιν ἄνθρωπος, ἔστι καὶ ζῶον. (4) Ἀλλότρια τοῦ ζώου, τὸ ἀναίσθητον, τὸ ἄψυχον, καὶ τὰ ὅμοια.

ε'. Ἐκλεκτέον ἔτι τὰ προσεχῆ τῷ ἑπομένων, οὐχ ἅμα τὰ προσεχῆ, καὶ τὰ πόρρω. οἷον, τῷ εἰληφότι ὡς ἑπόμενον τῷ ἀνθρώπῳ τὸ ζῷον, οὐκ ἔτι καὶ τὰ ἑπόμενα τῷ ζώῳ, ὡς τῷ ἀνθρώπῳ ἑπόμενα λητέον. εἰλήφει γὰρ ταῦτα ἐν τῷ τὸ ζῷον λαβεῖν.

ϛ'. Ὁμοίως δὲ καὶ τῶν ἡγουμένων τοῖς τὰ προσεχῆ λαμβάνουσι, πρακτέον ἂν εἴη, καὶ τὰ πορρωτέρω ζητεῖν. τῷ γὰρ εἰληφότι ὅτι ὁ ἄνθρωπος ἡγούμενον ἐστὶ τῷ ζώῳ, οὐδὲν δέον ἔτι προσλαβεῖν τὸ μουσικὸν ἢ γραμματικὸν, ὡς ἡγούμενα τῷ αὐτῷ ζώῳ, οὗ δὴ καὶ τυγχάνει ἡγούμενα.

ζ'. Λητέον δὲ ἐν τοῖς ἑπομένοις, οὐ μόνον τὰ ἀεὶ ἑπόμενα, ἀλλὰ καὶ ὅσα ποτέ. οἷον ὅτι πᾶς ἄνθρωπος πολιοῦται, πᾶς ἀνὴρ γηριάσει, καὶ τὰ ὅμοια.

η'. Οὐ μέντοι τὰ ἀμφοτέροις ἑπόμενα τοῖς ὅροις ἐκλεκτέον ἀεί. οὐ γὰρ ἔσται πᾶς συλλογισμὸς ἐκ τῶν τοιούτων. τὸ γὰρ ἀμφοτέρων κατηγορούμενον τῶν ἐν τῷ προβλήματι ὅρων, μέσος γίνεται ὅρος κατὰ τὸ δεύτερον τῶν συλλογιστικῶν σχημάτων, ἐν ᾧ ἐξ ἀμφοτέρων καταφατικῶν, οὐδὲν συνάγεται πρόβλημα, ὅτι μὴ κατὰ (1) συμβεβηκὸς, ὡς ἀνωτέρω (2) εἴρηται.


Ἴδια ἑφ' ἑκάστου σχήματος.

1 Εἰ μὲν οὖν ἀρεθείη τι ταὐτὸν, τοῦ μὲν ζητουμένου ἡγούμενον, ἑπόμενον δὲ τοῦ διδομένου, μέσος ὅρος γινόμενον δίδωσι συναγαγεῖν ἐπὶ τοῦ πρώτου σχήματος, κατὰ τὴν πρώτην συζυγίαν καθόλου καταφατικὸν πρόβλημα. Γράμματα.

2 Εἰ δέ τι ταὐτὸν εἴη ~~ἐν τοῖς~~ ἡγουμένοις ἀμφοτέρων τῶν ὅρων, μέσος ὅρος γινόμενον κατασκευάσαι δίδωσιν ἡμῖν ἐπὶ μέρους καταφατικὸν πρόβλημα ἐπὶ τοῦ τρίτου σχήματος, καὶ δι' ἀντιστροφῆς τῆς ἐλάττονος ἐπὶ τὸ πρῶτον. Σάββατον. Σανίδι.

(1) Κατὰ συμβεβηκὸς ἤγουν διὰ τὴν ὕλην, ἀλλ' οὐχὶ διὰ τὸ σχῆμα, ὡς ἔχει τὰ χρηματιζόντα ἐνταῦθα. σεσημείωται δὲ ταῦτα ἵνα ἴδῃς ὅτι ἐξ ἀμφοτέρων καταφατικῶν ἐν δευτέρῳ οὐ συνάγεταί τι, ἐπεὶ καὶ τὸ παντὶ καὶ οὐδενί.

(2) Εἴρηται γὰρ ἀνωτέρω ὅτι αἱ ὁμοιοσχήμονες ἀδόκιμοι παντάπασιν εἰσὶ συλλογισμοὶ οὐ κατὰ σάσιν συναγομένων ἐν ἐκείναις τῶν ἄκρων ὅτι μὴ κατὰ συμβεβηκός. ὡς εἰρηται.





3 Εἰδὲ (1) τὸ τύχωμεν τοῦ αὐτοῦ, ἀλλοτρίου μὲν τῷ ζητουμένῳ, ἑπομένου δὲ τῷ διδομένῳ, ἐξέσαι ἡμῖν τοῦτο, μέσον ὅρον τεταχόσι καθόλε
Θέσις ἀποφατικὸν κατασκευάσαι ἐπὶ τοῦ πρώτου σχήματος.

6 Ἐὰν δέ τι ταυτὸν διρεθῇ ἑπόμενον τῷ ζητουμένῳ, καὶ ἡγούμενον τοῦ διδομένου, σωσαχθήσεται ἐν τῇ πρώτῃ συζυγίᾳ τοῦ πρώτου σχήματος τὸ
Γράμματα ἔλαττον ἄκρον κατὰ τοῦ μείζονος, καὶ ἐπὶ μέρους ἐν τῷ τείτῳ σχήματι, τὸ
Σπιθαμίν μεῖζον ἄκρον κατὰ τοῦ ἐλάττονος.

4 Ὁμοίως δὲ καὶ εἴτι ταυτὸν εἴη, τοῦ μὲν διδομένου ἀλλοτρίου, ἑπόμενον δὲ τῷ ζητουμένῳ, σωσαχθήσεται δι' αὐτοῦ ἐπὶ τοῦ δευτέρου σχήματος
Θαμβεισν. καθόλου ἀποφατικὸν πρόβλημα ἐν τῇ θάμβενεν.

5 Ἐπὶ μέρους δὲ ἐξέσαι σωσαγαγεῖν ἀποφατικῶς, εἴτινος τοῦ αὐτοῦ διπορήσωμεν, ἀλλοτρίου μὲν τῷ ζητουμένῳ, ἡγουμένου δὲ τῷ διδομένῳ.
Τέπασο μέσος γὰρ ὅρος γινόμενον ἐπὶ τοῦ τείτου σχήματος σωάζει μεμινὸν ἀπο-
Τεχνικός. φατικὸν πρόβλημα ἐν τῇ τέπασο. ἀντεστραμμένης δὲ τῆς ἐλάττονος, καὶ ἐπὶ τοῦ πρώτου σχήματος.

Σαφήνεια τῶν εἰρημένων ἐν παραδείγμασιν.

Εἰς πληρεστέραν δὲ τῆς εἰρημένων διδασκαλίαν ὁ Φιλόσοφος καὶ τυπικῶς ἡμῖν διὰ παραδειγμάτων ἕκαστα σαφηνίζει. Θετέον τοιγαροῦν πρόβλημα, οὗ διδόμενον μὲν εἶη, ἡ ἡδονή, ζητούμενον δὲ ἐν αὐτῇ τὸ ἀγαθόν. Κείσθωσαν δὲ ἐναντίας ἀλλήλοις οἱ τοῦ προβλήματος ὅροι, τὸ μὲν ζητούμενον ἐφ' οὗ τὸ Α, τὸ δὲ διδόμενον ἐφ' οὗ τὸ Ε. καὶ ἀνωτέρω μὲν τοῦ Α, κείσθωσαν τὰ ἑπόμενα τοῦ ζητουμένου, ἐφεξῆς δὲ ὑπὸ τὸ Α τὰ ἡγούμενα, καὶ ἀλλότρια τοῦ αὐτοῦ, ὁμοίως δὲ καὶ ὑπὲρ τὸ Ε κείσθωσαν τὰ ἑπόμενα τοῦ διδομένου. ἐφεξῆς δὲ ὑπὸ τὸ Ε τὰ ἡγούμενα, καὶ ἀλλότρια τοῦ αὐτοῦ.

Ἔστω δὲ τοῦ ἀγαθοῦ, ἑπόμενα μὲν, ἐφ' ὧν τὸ Β, τὸ ἐφετὸν, τὸ διωκτὸν, τὸ οἰκεῖον, καὶ ὅσα ἄλλα. ἡγούμενα δὲ ἐφ' ὧν τὸ Γ. Κατὰ ἀλήθειαν μὲν εὐδαιμονία, εὐδοξία, εὐεξία, ὑγιεία, τὸ ὠφέλιμον, τὸ αἱρετὸν, τὸ οὗ ἕνεκα, τὸ κατὰ φύσιν, καὶ τὰ ταιαῦτα. Δοξασικῶς δὲ, τὸ κατὰ νόμον, τὸ σεμνὸν, ἀρετὴ, τέλειον, κατ' ἀρετὴν βίος, ὑφ' ἁπάντων μάχεσθαι, ὑπὲρ νόμων, ὑφ' ἀρετῆς, καὶ τὰ τοιαῦτα. Ἀλλότρια δὲ ἐφ' ὧν τὸ Δ. κατὰ μὲν ἀλήθειαν τὸ φαῦλον, τὸ βλαβερὸν, τὸ ἀοίκειον, τὸ ἀσύμ-

(1) Τινός.

ἀσύμφορον, τὸ αἰσχρὸν, λυπηρὸν, ἀτελὲς, καὶ ἔτι τοιοῦτον. Δοξαστικῶς δὲ τὸ παρὰ νόμον, τὸ ἄσεμνον, ἡ κακία, καὶ ὅσα τοιαῦτα.

Τῆς δὲ ἡδονῆς ἑπόμενα μὲν ἔσωσαν ἐφ' ὧν τὸ ζ. Κατ' ἀλήθειαν μὲν τὸ ὀρεκτὸν, τὸ οἰκεῖον, τὸ κατὰ φύσιν, ἡ ἀνεμπόδιστος ζωὴ, τὸ ἀνενόχλητον, καὶ ὅσ' ἄλλα. Δοξαστικῶς δὲ, ἡ κίνησις, τὸ ἀτελές. ἡγούμενα δὲ ἐφ' ὧν τὸ η. κατὰ μὲν ἀλήθειαν, ἡ κατὰ μουσικὴν φέρε εἰπεῖν ἡδονὴ, ἡ ἐν ἀφροδισίοις, καὶ πόμασι, καὶ βρώμασιν, ὑγιεία, εὐδοξία, εὐτεκνία, εὐποεία, ἄπονος ζωὴ, τὸ οὗ ἕνεκα, καὶ τὰ τοιαῦτα. Δοξαστικῶς δὲ ἐπὶ μέρους, τὸ αἰσχρὸν, παράνομον, καὶ τὰ τοιαῦτα. Ἀλλότρια δὲ ὁμοίως τῆς αὐτῆς ἐφ' ὧν τὸ θ. κατὰ μὲν ἀλήθειαν, νόσος, πόνος, ἀπορία, φόβος, τὸ ὀχληρὸν, τὸ παρὰ φύσιν, καὶ ὅλως τὸ λυπηρόν. Δοξαστικῶς δὲ καὶ ἐπὶ μέρους, τὸ ἐφετὸν, τὸ διωκτὸν, καὶ ἔτι ἄλλο. Ἐκκειθωσαν δὲ ταῦτα σαφηνείας ἕνεκα, καὶ ἐφεξῆς ἐπὶ διαγράμματος.

Κατασκευάζειν τοιγαροῦν βουλομένοις καθόλου, σκεπτέον εἴ τι ταυτὸν εἴη ἐπὶ τοῦ γ καὶ τοῦ ζ, ὡς ἐπὶ τῷ ἐκτεθέντων φαίνεται τὸ κατὰ φύσιν, ἡγούμενον μὲν τῷ ἀγαθῷ, τῇ ἡδονῇ ἑπόμενον. οὕτω γὰρ ἐξέσαι μέσον ὅρον τιθεμένοις τοῦτο, συναγαγεῖν καθόλου καταφατικὸν πρόβλημα ἐπὶ τοῦ πρώτου σχήματος, οἷον. τὸ ἀγαθὸν κατὰ παντὸς τοῦ κατὰ φύσιν, τὸ κατὰ φύσιν κατὰ πάσης ἡδονῆς, καὶ τὸ ἀγαθὸν ἄρα κατὰ πάσης ἡδονῆς.


Ἐπὶ δὲ μερικὸν πρόκειται κατασκευάσαι πρόβλημα, βλεπτέον ἐπὶ τοῦ γ καὶ ἢ ἔτι ταυτὸν εἴη, οἷον ἐπὶ τῷ ἐκτεθέντων τὸ οὗ ἕνεκα. ᾧ μέσῳ χρησάμενοι ὅρῳ, κατασκευάσομεν ἐπὶ τοῦ τρίτου σχήματος, ἐν τῇ Σάβασι μερικὸν καταφατικὸν, οἷον. τὸ ἀγαθὸν κατὰ παντὸς τοῦ οὗ ἕνεκα, ἡ ἡδονὴ κατὰ παντὸς τοῦ οὗ ἕνεκα, καὶ τὸ ἀγαθὸν ἄρα κατά τινος ἡδονῆς. Ἀνεστραμμένης δὲ τῆς ἐλάττονος, καὶ ἐπὶ τοῦ πρώτου σχήματος συναχθήσεται ἐν Σανίδι τὸ αὐτό.

Ἀνασκευάσαι δὲ βουλομένοις, τὰ ἀλλότρια σκεπτέον τῷ ζητουμένου, καὶ ἑπόμενα τοῦ διδομένου, οἷον τὸ δ ⊂ ζ. κἄντι (1) κοινὸν εὑρεθείη, οἷον, ἐπὶ τῷ ἐκτεθέντων τὸ ἀτελὲς, ἐξέσαι συλλογιζομένοις ἐπὶ τοῦ πρώτου σχήματος καθόλου συναγαγεῖν ἀποφατικὸν πρόβλημα. οἷον, τὸ ἀγαθὸν κατ' οὐδενὸς ἀτελοῦς, τὸ ἀτελὲς κατὰ πάσης ἡδονῆς, τὸ ἀγαθὸν ἄρα κατ' οὐδεμιᾶς ἡδονῆς. Ὡσαύτως δὲ καὶ ἔτι ταὐτὸν εἴη ἐπὶ τοῦ

θ καὶ

(1) Κοινὸν εἴρηται ἀντὶ τοῦ παντὸν, ὡς ἐν τοῖς ἄλλοις εἴρηται. τὸ αὐτὸ γὰρ ὀφείλει μέσον ὅρον εἶναι, ὡς ἐνταῦθα τὸ ἀτελὲς ἐστὶ κοινὸν τούτε ζητουμένου καὶ διδομένου. εὕρηται γὰρ ὄντε τοῖς ἀλλοτρείοις τοῦ ζητουμένου, καὶ ἑπομένοις τοῦ διδομένου. ἄλλως γὰρ οὐκ ἂν δυναίμεθα συλλογίσασθαι.


Pag. 406.



Τὰ ἐν συζύγει, καὶ ἐν τάξει, γξ. γν. δξ. δδ. δπ. βπ.

Τὰ ἀσυλλόγιστα βξ. γδ. δδ.


Pag. 407.


Β
Ζ
Δ
Θ
Γ
Η
Ἀσύγατος.
Ἀσύγατος.
Ἀσύγατος.
Ἐν δευτέρῳ μὴ πρώτῳ
Μεσουρανοῦ παράτασιν ἐν πρώτῃ ἐν
Καθόλου δυσφορῶ
τιμὴν ἐν πρώτῃ ἐν δευτέρῳ
ἀμιγεῖ.
ἀγαθὴ φύσις ἀπρηξίᾳ
μαθόλου
παράτασιν.
ἡ οὐδετέρα δ' ἀντιτροφῆς.
Ἐν τοῖς τοιούτοις οὐ
πρώτῳ
δ' ἀντιτροφῆς τοῦ συμπεράσματος
ἀγαθὴ ἡδονὴ
ἀπραξία
ἀγαθὴ χαρτὴ ἡδονὴ
Ἐν
τὰς δ' ἀντιτροφῆς
ἀγαθὴ ἡδονὴ
ἄπονος ζωὴ
Μεσουρανοῦ παραφ. ἐν δευτέρῳ δ' ἀντιτροφῆς ἐν α'.


Α κατηγορεῖται δὲ τούτῳ ἕπεται τὸ β, ἡγεῖται τὸ γ, ἀλλότειον ἐστὶ τὸ δ, ὑπόκειται τὸ ε, καὶ τούτῳ ἕπεται τὸ ζ, ἡγεῖται τὸ η, ἀλλότειόν ἐστι τὸ θ. Γ'σέον οὖν ὅτι τύποις τοῖς γράμμασι σημαίνεται τὰ ἡγούμενα, ἑπόμενα, δὲ ἀλλότεια τοῦ διδομένου ἢ ζητουμένου δὲ αὐτὰ τὰ υπα. ἵνα δὲ τὰς φωνηέντας δὲ ἀφωνήτους συζυγίας τάττων, οὐ μόνον ἐν τῷ νῷ, ἀλλὰ καὶ ἐν τοῖς χάλκεσιν δύμαρῶς ἔχητε, δέξεῦρον τὰς φωνὰς ταύτας, τοῖς χαρακτηριστικοῖς γράμμασι συντεθειμένας, πλεῦ τοῦ λήγοντος φωνήεντος, ὃ τοῦ συμπεράσματος τὴν ποιότητα, δὲ ποσότητα δηλοῖ, δὲ πλεῦ τοῦ κ, ὃ τέτακται αὐτὶ τοῦ η, ἵνα φανῇ τὰ γνωριστικὰ τῶν ἡγουμένων ἑπομένων δὲ ἀλλοτείων σύμφωνα ὦσιν.

Ζέγανα, Γάκεει, Δάζενε, Θέβαρε, Κέδακο, Κέβανι, Χρῆσιν ἔχουσιν. ἀσύσκατα δὲ πάντως, Ζέβας, Θέδας, καὶ Θέγας.

Χάριν οὖν παραδείγματος σκέψασθαι ἐν τῷ ζέγανα, ὅτι τὸ ζ ἑπόμενόν ἐστι τοῦ ε, τουτέστι τοῦ διδομένου, τὸ δὲ γ ἡγούμενον τοῦ α, τουτέστι τοῦ κατηγορουμένου. δι' ὧν σημαίνεται τὸ α δηλαδὴ συμπέρασμα καθόλου καταφατικόν. ἵνα δὲ δὲ τοὺς τρόπους εἴδητε, ὅσοι χρησιμεύουσιν ἑκάστῃ συζυγίᾳ, λάβετε ἀπὸ μνήμης δὲ παῦτα. Ζέγανα, Γράμματα, Γάκεει, Σάβασι, καὶ Σανίδι, Δάζενε, Ε'γραψε, Θάμβενε, Κέδακο, Τέπασο, Τεχνικὸς, καὶ Τένιο, Κέβανι δ' ἀκαταλλήλως.




Pag. 409.



δ̄ καὶ β̄, ἀλλότριον μὲν τῷ διδομένῳ, ἑπόμενον δὲ τῷ ζητουμένῳ, οἷον ἐπὶ τῆς ἐπτεθέντων τὸ διωκτὸν, σωαχθήσεται ἐπὶ τοῦ δευτέρου χήματος, ὁμοίως καθόλου ἀποφατικὸν πρόβλημα ἐν τῇ Θάμβεσιν. οἷον, τὸ διωκτὸν κατὰ παντὸς ἀγαθοῦ, τὸ διωκτὸν κατ' οὐδεμιᾶς ἡδονῆς, τὸ ἀγαθὸν ἄρα κατ' οὐδεμιᾶς ἡδονῆς.

Εἰ δὲ ἀναστρέφεται φύσει ἐπί μέρους τινός, ἐπὶ τοῦ δ̄ καὶ ᾱ σκοπεῖν χρή, εἴτι ταυτὸν εἴη, ὡς ἐπὶ τῆς ἐπτεθέντων τὸ παράνομον. τούτῳ γὰρ μέσῳ χρησάμενοι ὅρῳ, σωάξομεν ἐπὶ τοῦ τρίτου χήματος μερικὸν ἀποφατικὸν, ἐν τῇ Τέταρτο. οἷον, τὸ ἀγαθὸν κατ' οὐδενὸς παρανόμου, ἡ ἡδονὴ κατὰ παντὸς παρανόμου, τὸ ἀγαθὸν ἄρα οὐ κατὰ πάσης ἡδονῆς. Ἀντεστραμμένης δὲ τῆς ἐλάττονος, καὶ ἐπὶ τοῦ πρώτου συναχθήσεται χήματος, τὸ αὐτὸ ἐν τῇ τεχνικός. εἰ δ' ἀμφοτέρας ἀντιστρέψῃς τὰς προτάσεις, σωάξεις αὐτὸ τοῦτο καὶ ἐπὶ τοῦ δευτέρου χήματος ἐν τῇ Τρίτο. Εἰδέ τι τῷ ὑπὸ τὸ β̄ καὶ ᾱ εἴη ταυτὸν, σωαχθήσεται καθόλου καταφατικὸν ἐπὶ τὸ πρώτου χήματος, ἀλλ' ἀντεστραμμένως, τὸ ε̄ κατὰ τοῦ ᾱ. τὸ διδόμενον δηλαδὴ κατὰ τοῦ ζητουμένου. τοῦ μὲν γὰρ ᾱ κατὰ παντὸς κατηγορηθήσεται τὸ ε̄, ἅτε δὴ εἶδος ἐκείνου, καὶ ὑπ' ἐκείνῳ ὄντος. Τὸ δὲ ᾱ τοῦτον ὂν, τῷ β̄, ὃ κατὰ παντὸς λέγεται τοῦ ᾱ, οἷα δὴ ἑπόμενον τοῦ αὐτοῦ, κατηγορηθήσεται κατὰ παντὸς τοῦ ᾱ. ἀλλὰ καὶ τὸ ᾱ ἐξέσαι κατά τινος σωαγαγεῖν τοῦ ε̄, διὰ τὸ ἀντιστρέφειν τὴν καθόλου κατηγορίαν, τῇ κατὰ μέρος.

Εἰς σαφεστέραν σύνοιαν ληφθήτω μέσος ὅρος τὸ ὀρεκτὸν, ἢ τὸ οἰκεῖον, καὶ ἐχματίσθω ἐπὶ τοῦ πρώτου χήματος τοῖς κειμένοις δυσὶν ἄκροις, τὸ ἀγαθὸν φημὶ καὶ τὴν ἡδονήν, ὡδί.



Pag. 410.

Ἡ ἡδονὴ κατὰ παντὸς ὀρεκτοῦ,
Τὸ ὀρεκτὸν κατὰ παντὸς ἀγαθοῦ,
Ἡ ἡδονὴ ἄρα καὶ παντὸς ἀγαθοῦ.

Οὕτω μὲν σωάγεται τὸ ἔλαττον ἄκρον κατὰ τοῦ μείζονος, ἀντεστραμμένως. καταλήλως δὲ σωαχθήσεται, ἀντιστραφέντος τοῦ συμπεράσματος. τῷ γὰρ λέγοντι ἡ ἡδονὴ κατὰ παντὸς ἀγαθοῦ, ἐξέσαι δήπου, καὶ τὸ ἀγαθὸν εἰπεῖν κατά τινος ἡδονῆς.

Αὗται μὲν οὖν αἱ συλλογιστικαὶ συζυγίαι, αἱ δὲ παρὰ ταύτας, ἡ β̄ ζ̄, καὶ γ̄ δ̄, καὶ δ̄ δ̄, ἀσυλλόγιστοι ἐς τὸ παντελὲς, καὶ ἀσύστατοι

εἰσί.

εἰσί. τὸ μὲν γὰρ β̄ καὶ ζ̄ εἰ ταὐτὸν εἴη, παχθήσεται μὲν μέσος ὅρος καὶ τὸ δεύτερον σχῆμα, ἀλλὰ καταγορηθήσεται ἀμφοτέρων τῶν ἄκρων, οὔτε α καὶ ε̄, ὡς ἀμφοῖν ἑπόμενα παρὰ τοὺς κανόνας τοῦ δευτέρου σχήματος. εἰ δὲ τὸ γ̄ καὶ δ̄ ταὐτὸν εἴη, παχθήσεται μὲν ἀντὶ μέσου ὅρος κατὰ τὸ πρῶτον σχῆμα, ἀλλ' ἄχρηστος ἔσται ἡ συζυγία, διὰ τὸ τῷ ἐλάττονα ἀποφατικῷ ἔχειν. τὸ γὰρ δ̄ ταὐτὸν ὂν τῷ γ̄, ὑποκείσεται μὲν τῷ α̈ ὡς ἡγούμενον ἐκείνου καὶ εἶδος, ἀπαγορευθήσεται δὲ τοῦ ε̄ ὡς ἀλλότριον τοῦ αὐτοῦ. ὥστε συμβαίνειν τῷ ἐλάττονα ἀποφατικῷ εἶναι, ὅπερ αὐτίκειται τοῖς παραδεδομένοις ἀνωτέρω περὶ τοῦ πρώτου σχήματος κανόσιν.

Ἀλλ' οὐδὲ τὸ δ̄ καὶ δ̄ εἰ τύχῃ ταὐτὸ, συλλογιστικῷ ποιήσει συζυγίαν. ἀλλότριον γὰρ ὂν ἀμφοτέρων τῶν ἄκρων, ἀποφατικὰς ἄμφω τὰς προτάσεις ποιήσει, ἐξ ὧν οὐδὲν συνάγεται.

Ὅτι οὐκ ἔστιν ἑτέρα μέθοδος προτάσεων αἱρετικὴ παρὰ τὴν ἐκτεθεῖσαν.

Ὅτι δὲ οὐκ ἔστιν ἄλλως διπορίσασθαι προτάσεων εἰς συλλογισμοῦ κατασκευὴν, πλὴν διὰ τῆς ἐκτεθείσης μεθόδου, δείκνυσιν ἐφεξῆς ὁ Φιλόσοφος. ὁ γὰρ μέσος ὅρος, (οὗ μόνου τὴν εὕρεσιν θηρᾶσθαι λείπεται) τῶν προτάσεων διορήσοντι, δυοῖν θάτερον, ἢ τοῖς κειμένοις ὅροις οἰκεῖος ἐστὶν ἐξ ἀνάγκης, ἢ τῷ μὲν οἰκεῖος, τῷ δὲ ἀλλότριος, ἀλλαμοῦ ὅσα οἰκεῖα τε καὶ ἀλλότρια ἑκατέρου τῶν ὅρων εἴληπται ἀκριβῶς ἐπὶ τῆς ἐκτεθείσης μεθόδου, Τὰ μὲν οἰκεῖα ἐν τοῖς ἡγουμένοις καὶ ἑπομένοις, ἐν οἷς καὶ τὰ ἀντιστρέφοντα ἐννοεῖται. τὰ δὲ ἀλλότρια ἐν τοῖς ἀλλοτρίοις ἑκατέρου. Τοιγαροῦν οὐκ ἔστιν ἐκτὸς τῶν ληφθέντων ἐπὶ τῆς ἐκτεθείσης μεθόδου, μέσου διορῆσαι ὅρου. ὥστε οὐδὲ προτάσεων εἰς συλλογισμοῦ σχηματισμόν.

ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

Ὅτι ἡ διαίρεσις ἥπερ μετέχει τῆς συλλογιστικῆς δυνάμεως διὰ τὴν ἐκτεθεῖσαν μέθοδον ἀναφέρεται.

Διδασκαλίας ἐστὶν ἐντελοῦς, οὐ μόνον τὸ οἰκεῖον δόγμα κρατυύειν κατὰ τὸ ἐγχωροῦν, ἀλλὰ καὶ τὰ ἀντιπίπτοντα δι' ὅλου ἀνασκευάζεσθαι. ὃ πανταχοῦ ποιῶν ὁ Φιλόσοφος, καὶ ἐπὶ τοῦ παρόντος πεποιηκὼς φαίνεται. Ἱκανῶς γὰρ μέχρι τοῦδε ἀποδεδειχὼς μίαν εἶναι τὴν ἐκτεθεῖσαν μέθοδον, ἧς ἐκτὸς οὐκ ἔστιν ἀπορῆσαι προτάσεων, οὔτε μὴν ὅλως συλλογίσασθαι, ἐπεὶ ἀντιπίπτειν ἐδόκει τοῖς εἰρημένοις τὸ περὶ διαιρετικῆς μεθόδου τῶν παλαιῶν δόγμα, τοῦδ' ἑξῆς ἐπιλύσασθαι προβάλλεται, δεικνὺς εἴ τις ἐστὶ δύναμις, καὶ ταύτην πιστωτικὴν ἐπὶ τὴν συλλογιστικὴν ἀναφέρεσθαι, καὶ ἀπολούθως ἐπὶ τὴν ἐκτεθεῖσαν προσεχῶς τῶν προτάσεων ποριστικήν. Ἦν οὖν τισὶ τῶν ἀρχαιοτέρων δεδογμένον τὴν διαιρετικὴν μέθοδον ὄργανον εἶναι πιστωτικὸν τῆς οὐσίας, τῆς συλλογιστικῆς, καὶ ἀποδεικτικῆς μεθόδου ἐς τὸ παντελὲς κεχωρισμένον. ᾤοντο γὰρ τρεῖς ταύτας μεθόδους τῆς λογικῆς πραγματείας παντάπασιν ἀντιδιῃρημένας ἀλλήλων, τήν τε Διαιρετικὴν, Ὁριστικὴν, καὶ Ἀποδεικτικήν. Καὶ ὥσπερ διὰ τῆς ἀποδείξεως τὰ ἴδια πάθη τῶν θεωρουμένων, οὕτω διὰ τῆς διαιρέσεως τὴν γνῶσιν τῆς οὐσίας θηρᾶσθαι. Ὁ μέντοι Φιλόσοφος οὔτε οὐσίας ἀπόδειξιν, καὶ τοῦ τί ἐστὶν ἀποδέχεται, οὔτε τὴν διαίρεσιν εἰς ἀπόδειξιν, χρήσιμον οἴεται. ἀλλ' οὐδὲ τὰς τρεῖς εἰρημένας μεθόδους, ἀλλήλων παντάπασι κεχωρισμένας λέγειν ἀνέχεται. Τὴν γὰρ διαιρετικὴν καὶ ὁριστικὴν μέθοδον ὑπὸ τὴν ἀποδεικτικὴν ἀναφέρει, ὡς ἐκείνης ὑπηρέτιδας, ἥπερ ἐστὶ τὸ κυριώτατον μέρος ἁπάσης τῆς λογικῆς πραγματείας. Ὑπογράφει τοιγαροῦν ἐπὶ τοῦ παρόντος ὁ Φιλόσοφος τὴν Διαίρεσιν, ὅτι ἐστὶν οἷον ἀσθενὴς συλλογισμός, ὁ μὲν δεῖ δεῖξαι αἰτούμενος, συλλογιζόμενος δ' οὐ δεῖ τὸ ζητούμενον.

Εἰς παράληψιν δὲ τῆς ὑπογραφῆς ἐκεῖνο προληπτέον, ὡς οὐχ ἁπλῶς τὴν Διαίρεσιν τόγε νῦν ἔχον ἐννοεῖ ὁ Φιλόσοφος. ἁπλῶς γὰρ καὶ καθ'

αὐτὴν

αὐτῶν ἡ Διαίρεσις, διανομή ἐστι τοῦ ἔχοντος μέρη εἰς αὐτὰ ταῦτα, ἄνω (1) ὑπαφορᾶς τινὸς, καὶ (2) συναγωγῆς, οἷον εἰπεῖν, τὸ ζῶον διαιρεῖται εἰς πεζὸν, πτηνὸν, καὶ ἔνυδρον. καὶ τὸ πεζὸν εἰς ἄπουτα καὶ ὑπόπουν. τὸ δ' αὖ ὑπόπουν, εἰς δίπουτα καὶ πολύπουν, καὶ καθεξῆς ὁμοίως. Οὐχ οὕτω δὲ ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος, ἀλλ' οἷα δήπου παρὰ τοῖς ἀρχαίοις ἐθεωρεῖτο τοὺς ὁρισμοὺς ἁρμοσίους, καὶ τῷ γνῶσιν τῆς ἐσίας δι' αὐτῆς. οἷον, κείσθω ὁ ἄνθρωπος, οὗ ζητητέος ὁ ὁρισμός. γένος δὲ τούτου ληπτέον τὸ ζῶον. ἐξ οὗ ἀρχόμενοι διαιροῦμεν καθεξῆς τὸ κείμενον γένος, κατὰ τὰς ἀντιθέτους διαφορὰς, τῷ ἑτέραν ἀεὶ προσλαμβάνοντες μέχρι τῆς ἐχάτης. Τελευταῖον δὲ τὸ προσληφθὲν ἅπαν συντάξαντες τῷ τῷ ἀρχῷ ληφθέντι γένει, οἰόμεθα ἔχειν ὃν ἐζητοῦμεν τοῦ ἀνθρώπου ὁρισμόν. Σαφέστερον δ' εἰπεῖν, ἅπαν ζῶον, ἢ θνητὸν ἐστὶν ἢ ἀθάνατον, ὁ ἄνθρωπος ἐστὶ ζῶον, ἄρα ἢ θνητὸν ἢ ἀθάνατον. Ἡ μέσων ἐστὶν ἀληθής. ὑποτίθεται γὰρ τὸ θνητὸν καὶ ἀθάνατον, διαιρετικὰς εἶναι τῶ ζώου διαφορὰς κατ' ἀντίθεσιν, ἤτοι ἀμέσως. Ἢ ἐλάττων ὁμοίως ἀληθὴς διὰ τῶν ὑποθέσιν. ὑπόκειται γὰρ τὸ ζῶον γένος εἶναι τοῦ ἀνθρώπου. Συνάγεται δὲ ἐκ τούτου, οὐχ ὃ ἔδει δεῖξαι, ἀλλά τι τῷ ἄνωθεν καὶ καθολικώτερον, τὸ θνητὸν δηλονότι, ἢ ἀθάνατον εἶναι τὸν ἀνθρωπον. θνητὸν δὲ εἶναι ἀφωρισμένως, ὃ ἔδει συλλογίσασθαι, οὐκ ἀναγκαίως συνάγει τῇ διαιρετικῇ μεθόδῳ ὁ τὸν ὁρισμὸν ἁρμόσων, ἀλλ' αἰτεῖται. ὃ λαβὼν ὑποδιαιρεῖ αὖθις, τὸ θνητὸν ζῶον ἄπουν εἶναι, ἢ ὑπόπουν, λέγων, θνητῷ δὲ ὄντι ζώῳ τῷ ἀνθρώπῳ, διὰ τὸ ληφθὲν ἐπάγει, οὐχ ὃ ἔδει δεῖξαι ὑπόπουν μόνον εἶναι ζῶον τὸν ἄνθρωπον, ἀλλά τι ὁμοίως τῷ ἄνωθεν ἅμα, ὑπόπουν, ἢ ἄπουν. Ὅτι δὲ ὑπόπουν, αἰτεῖται. καὶ τοῦτον δὴ τὸν τρόπον καθεξῆς διαιρουμένοις, συμβαίνει συλλογίζεσθαί τι ἀεὶ τῷ ἄνωθεν, καὶ οὐχ ὃ ἔδει δεῖξαι, ἀλλ' αἰτεῖσθαι τοῦτο. Ὀρθῶς ἄρα εἴρηται ὅτι ἐστὶν ἡ διαίρεσις τὸν εἰρημένον τρόπον λαμβανομένη συλλογισμὸς ἀθετικὸς, ὃ δεῖ δεῖξαι αἰτούμενος, συλλογιζόμενος δὲ ἀεί τι τῷ ἄνωθεν. Οὐχ ἁπλῶς δὲ καλέσαι συλλογισμὸν ἠξίωσε τὴν Διαίρεσιν ὁ Φιλόσοφος, ἀλλ' ἀθετικὸν συλλογισμόν. καὶ ἐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ καθ' ὁμοιότητα, οἷον ἀθετικὸν συλλογισμὸν εἰπὼν διάτε τὰ εἰρημένα, καὶ ὅτι μηδὲ κατὰ σχῆμα συλλογιστικὸν προβάλλεται. Ὁ μὲν γὰρ συλλογισμὸς ἐπὶ τοῦ πρώτου μάλιστα σχήματος (καθ' ὃ τὸν κατὰ διαίρε-

σιν

(1) Πᾶσα τεκτονικὴ ἢ χρυσοχοϊκὴ ἐπωφελής. πᾶσα μαντευτικὴ, ἢ γοητικὴ βλαβὴς. (2) Ἆρα πᾶσα ἐπωφελὴς τέχνη χρήσιμος, ἢ πᾶσα βλαβὴς ἀνωφελής.

σιν συλλογισμὸν χηματίζεσθαι δοκεῖ) βούλεται τὸ μεῖζον ἄκρον φύσει ἀντώτερον εἶναι τοῦ μέσου, ἢ ἀντιστρέφον. Ὁ δὲ κατὰ τὴν διαίρεσιν συλλογισμὸς, αὐτὶ μὲν τοῦ μείζονος ἄκρου λαμβάνει τὰς διαφορὰς, αὐτὶ δὲ τοῦ μέσου ὅρου τὸ γένος, ὃ φύσει τῆς διαφορῶν προεπινοεῖται, καὶ καθόλου ἐκείνων κατηγορεῖται, ὧν οὐδετέρα χωρὶς, ἀντιστρέφει τῷ γένει. κἂν γὰρ ἅμφω ληφθεῖσαι ἀντιστρέφουσιν, ἀλλ' οὐκ ἀμφοτέρας προκειται συνάγειν, ἀλλὰ τὴν ἑτέραν μόνον.

Φανερὸν δὲ ὅτι τὸν εἰρημένον ζόπον ἐκλαμβανομένης τῆς Διαιρέσεως, οὔτε ἀναπαύσασι τὶ τῇ διαιρετικῇ μεθόδῳ ἐνδέχεται, οὔτε συμβεβηκὸς, ἢ ἴδιόν τι συλλογίσασθαι δι' αὐτῆς, ἀλλὰ μόνον πρὸς θήραν καὶ συλλογὴν τοῦ τί ἐστὶ σωτελεῖ, καὶ οὐδὲ πρὸς τοῦτο ἀναγκαίως ὡς δέδεικται. Οὔτ' ἄρα ἐστὶ συλλογισμὸς ἐντελὴς, ἀλλὰ καθόσον τῆς συλλογιστικῆς μεταλαμβάνει δυνάμεως, εἰς τὰ συλλογιστικὰ ἀνάγεται χήματα, καὶ ἀκολούθως τῇ ἐκτεθείσῃ μεθόδῳ.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Περὶ ὑποθετικῶν Συλλογισμῶν.

Ὁ Ὑποθετικὸς Συλλογισμὸς ἅτε δὴ τὸ πιστὸν ἔχων ἐξ ὑποθέσεως, καὶ μὴ ἐντελὴς ὢν καθ' αὑτὸν εἰς ἀπόδειξιν, οὐδαμοῦ φαίνεται λόγου ἀξιωθεὶς προηγουμένως παρὰ τῷ Φιλοσόφῳ, ἀλλ' εἴπου καὶ παρείληπται, εἰς τελεωτέραν γέγονε τοῦ κατηγορικοῦ συλλογισμοῦ διδασκαλίαν. Ἐπὶ μὲν γὰρ τοῦ παρόντος προθέμενος ὁ Φιλόσοφος δεῖξαι μηδένα ἔξω τῆς ἐκτεθείσης τελείων χημάτων συλλογισμὸν γίνεσθαι, καὶ τῆς ὑποθετικῶν μνείαν πεποίηται. ἐν δὲ κεφαλαίῳ κθ'. ἵνα δείξῃ, ἐπὶ πάντας ὁμοίως ἐκτείνεσθαι τὰς Συλλογισμὰς τὴν περὶ διαίρεσεως μέθοδον τῆς προτάσεων ἥψατο μὲν καὶ τῆς ὑποθετικῶν, ἀλλ' ἄκροις ὡς φασι χείλεσιν, ὥσπερ καὶ ἐν τῷ μ'. κεφαλαίῳ, ἐν ᾧ ἐπιμελέστερον εἰπεῖν περὶ αὐτῆς ἐπαγγέλεται, οὐδεν' μέντοι τοιοῦτον αὐτοῦ φέρεται σύγγραμμα. Θεόφραστος δὲ παρ' Ἀλεξάνδρῳ, πλατύτερον φέρεται περὶ αὐτῆς εἰληφὼς, ἀλλ' οὐχ ἥκει καὶ μέχρις ἡμῶν (ὅσα γ' ἐμὲ εἰδέναι) τὸ ἐκείνου περὶ αὐτῆς σωταγμάτιον. Ἡμῖν δ' ἔμπης οὐ σμικρὰ τῆς τούτων θεωρίας χρησιμεύουσης, πειρατέον τὸν ἐνόντα ζόπον δικαιότερον περὶ αὐτῆς ἀναλαβεῖν.

Κοι-

Κοινότερον μὲν οὖν ὀρίσαιτ' ἄντις τὸν ὑποθετικὸν συλλογισμόν, οὗ ἀμφότεραι αἱ προτάσεις, ἢ γοῦν ἡ ἑτέρα τυγχάνει γε οὖσα ὑποθετική. ἀληθέστερον δὲ καὶ σαφεστέρᾳ μᾶλλον τῇ διανοίᾳ τοῦ Φιλοσόφου, ὑποθετικὸς ἂν εἴη συλλογισμὸς, οὗ τὸ συναγόμενον ἐξ ὑποθέσεως δείκνυται. οὕτω γὰρ ἂν καὶ τῷ εἰς ἀδύνατον ἀπάγοντι συλλογισμῷ ἐφαρμόσειεν. Παραδείγμασι δὲ βαθύτερον δηλωθήσεται τὸ λεγόμενον. ἔστω συλλογισμὸς ὑποθετικὸς, οἷον εἰ ἔστιν ἄνθρωπος, ἔστι καὶ ζῶον, ἀλλ' ἔστιν ἄνθρωπος, ἔστιν ἄρα καὶ ζῶον. Τούτου ἡ μὲν πρώτη πρότασις ὑποθετική ἐστι, κατηγορικὴ δὲ ἡ δευτέρα, τὸ δὲ συμπέρασμα ἀεὶ ἕπεται τῇ ἐξ ὑποθέσεως. Καλεῖται δὲ τὸ μὲν εἰ ἔστιν ἄνθρωπος ἡγούμενον, τὸ δὲ ἔστι καὶ ζῶον ἑπόμενον. καὶ τὸ μὲν ἡγούμενον ὑποκειμένῳ ἀναλογεῖ, τὸ δὲ ἑπόμενον τῷ κατηγορουμένῳ. τῷ γὰρ ἡγουμένῳ ὡς ὑποκειμένῳ τὸ ἑπόμενον ἐπιφέρεται. Τὸ δὲ ὅλον τοῦτο εἰ ἔστιν ἄνθρωπος ἔστι καὶ ζῶον, συνημμένον ἤκουσεν, ἐνίοτε δὲ καὶ συνεχὲς λέγεται. Τὸ δὲ ἀλλαμοῦ ἔστιν ἄνθρωπος, (ὅπερ ἐστὶν ἡ κατηγορικὴ πρότασις,) ὁτὲ μὲν μετάληψιν καὶ μεταλαμβανόμενον ὁ Φιλόσοφος καλεῖ, ὁτὲ δὲ πρόσληψις καὶ προσλαμβανόμενον λέγεται. Οὐχ ἁπλῶς δὲ, ἀλλ' ὑπίνα μὲν ἐγκεῖται τῷ συνημμένῳ, τὸ ἐν τῇ κατηγορικῇ προτάσει ὑπάρχον, τινὰ οὖν μετάληψις ἡ κατηγορικὴ καλεῖται πρότασις, καὶ μεταλαμβανόμενον, ὡς ἐπὶ τοῦ ἐκτεθέντος ἔχει ὑποδείγματος. τὸ γὰρ ἄνθρωπος, ὅπερ ἐστὶν ἐπὶ τῆς κατηγορικῆς προτάσεως, ἐνυπάρχει καὶ τῷ συνημμένῳ, καίτοι διαφόρως. ἐν ἐκείνῳ μὲν δὴ ὡς ἐν ὑποθέσει καὶ ἀκολουθίᾳ κεῖται. ἐπὶ ταύτης δὲ ὡς ὑπάρχον, καὶ κατηγορικῶς τίθεται. Ἐφ' ὧν δὲ ἐν τῇ κατηγορικῇ προτάσει λαμβάνεται τις ὅρος ἀεὶ ἐνυπάρχων τῷ συνημμένῳ, ἀλλ' ἔξωθεν προστιθέμενος, πρόσληψις καὶ προσλαμβανόμενον ἡ πρότασις λέγεται. οἷον εἴτι δοξάζει Πλάτων, τοῦτο καὶ ὁ Φιλόσοφος. ἀλλ' ὁ Πλάτων δοξάζει ἀθάνατον τὴν ψυχὴν, ἄρα καὶ ὁ Φιλόσοφος. Ἐνταῦθα οὖν τὸ δοξάζειν ἀθάνατον τὴν ψυχὴν, ὅπερ ἐστὶν ἐν τῇ κατηγορικῇ προτάσει, οὐκ ἐνυπῆρχε τῷ συνημμένῳ, ἀλλ' ἔξωθεν προσείληπται. Ὅθεν πρόσληψις καὶ προσλαμβανόμενον ἡ τοιαύτη πρότασις οὐκ ἀπεικότως ὀνομάζεται.

Διαί-

Διαίρεσις τοῦ ὑποθετικοῦ Συλλογισμοῦ καὶ σύγκρισις τῶν δι' ὅλου καὶ ὑποθετικῶν.

Διαιρεῖται δὲ γενικῶς ὁ Ὑποθετικὸς Συλλογισμὸς εἴς τε τοὺς δι' ὅλου ὑποθετικοὺς, καὶ μικτούς. Καὶ δι' ὅλου μὲν εἰσὶν ὑποθετικοὶ, ὧν ἀμφότεραι αἱ προτάσεις εἰσὶν ὑποθετικαὶ, ὁμοίως καὶ τὸ συμπέρασμα, δεικτικοὶ δὲ εἰσιν οὐδεμιᾶς ὑπάρξεως, ἀλλ' ἀκολουθίας μόνον, ὧν τελευτὴ ποιεῖται τῷ διαίρεσιν ὁ Ἀλέξανδρος κατὰ τὸ τελευτὸν τῶν συλλογισικῶν σχημάτων.

Πρῶτον μὲν τίθησι τρόπον ἀναλογοῦντα τῷ πρώτῳ σχήματι, ἐν ᾧ ἡ δευτέρα πρότασις ἄρχεται, ὅθεν ἡ πρώτη λήγει, οἷον εἰ ἐστὶν ἄνθρωπος. ἐστὶ καὶ ζῶον. εἰ ἐστὶ ζῶον ἐστὶν οὐσία, εἰ ἄρα ἐστὶν ἄνθρωπος, ἐστὶν οὐσία. Ἔξεστι δὲ καὶ ἐπὶ τούτου τοῦ τρόπου καὶ ἀνάπαλιν ληφθῆναι τὸ συμπέρασμα, οὐ μὴν ἁπλῶς, ἀλλὰ συνημμένον. οἷον, εἰ μὴ οὐσία, οὐδὲ ἄνθρωπος.

Δεύτερος ἐστὶ τρόπος τῷ δευτέρῳ σχήματι ἀνάλογος, ἀπὸ διαφόρων ἀρχόμενος ἔχων τὰς προτάσεις, καὶ εἰς ταυτὸν λήγουσας. οἷον, εἰ ἐστὶν ἄνθρωπος, ἐστὶ καὶ ζῶον, εἰ ἐστὶ λίθος, οὐκ ἔστι ζῶον. εἰ ἄρα ἐστὶν ἄνθρωπος, οὐκ ἔστι λίθος. Ἐπὶ τούτου δὲ οὐ συνάγεται καταφατικὸν πρόβλημα, εἰμὴ (1) παρὰ τὴν ὕλην.

Τρίτος τρόπος ἐστὶν ἐν ᾧ ἀμφότεραι αἱ προτάσεις ἀπὸ τοῦ αὐτοῦ ἀρχόμεναι, εἰς διάφορα λήγουσιν. οἷον, εἰ ἄνθρωπος, λογικόν. εἰ μὴ ἄνθρωπος, ἄλογον. εἰμὴ ἄρα ἐστὶ λογικὸν, ἄλογον. οὐ μὴν καὶ ἀνάπαλιν. οὐ γὰρ ἀντιστρέφει ἐπὶ τούτου τὸ συμπέρασμα. οἷον εἰ ἄνθρωπος καὶ λογικόν, εἰ ἄνθρωπος καὶ αἰσθητικόν, εἰ ἄρα λογικὸν, καὶ αἰσθητικόν, οὐκ ἀληθὲς δὲ καὶ ἀντιστρέψαντα εἰπεῖν, εἰ ἄρα αἰσθητικὸν, καὶ λογικόν. Αἴτιον δὲ, ὅτι ἐπὶ τοῦ τρίτου σχήματος, ὅδε συνάγεται καθόλου πρόβλημα. διὸ εἰ μὲν δεῖ ἀληθεύειν τὸ συναγόμενον, ἀνάγκη ἐπὶ μέρους, εἰ ἐστί τι αἰσθητικὸν, (οἷον ἄνθρωπος) ἐστὶ καὶ λογικόν. ἕπεται δὲ καὶ ἐπὶ τούτων ἁπάντων τὸ συναγόμενον, τῇ χειρονι τῶν προτάσεων κατάτε ποσὸν καὶ ποιόν.

Περὶ

(1) Διά.

Περὶ Μικτῶν.

Μικτοὶ δέ εἰσιν ἐξ ὑποθέσεως Συλλογισμοί, ὧν ἡ ἑτέρα πρότασις ἐστὶ κατηγορική, οἳ καὶ ὕπαρξιν κατασκευάζουσιν, οὐ μὴν ἁπλῶς, ἀλλ' ἐξ ὑποθέσεως, οἷον τινὸς ὄντος, ἢ μὴ ὄντος, τί ἐστὶν, ἢ τί οὐκ ἔστιν. Τούτων οἱ μὲν κατὰ συνέχειαν λέγονται, ὧν συνεχὲς εἶναι τῷ ἡγουμένῳ τὸ ἑπόμενον τίθεται. οἷον, εἰ ἐστὶν ἄνθρωπος, ἐστὶ καὶ ζῶον. Οἱ δὲ κατὰ διάζευξιν, οἳ καὶ διαζευκτικοὶ λέγονται, ὧν διεζευγμένον τίθεμεθα τῷ ἡγουμένῳ τὸ ἑπόμενον. οἷον, ἢ ἡμέρα ἐστὶν, ἢ νύξ. Χρῶνται δὲ ὡς τὰ πολλὰ οἱ μὲν κατὰ συνέχειαν τῷ συναπτικῷ μορίῳ, οἱ δὲ κατὰ διάζευξιν τῷ διαζευκτικῷ.

Περὶ τῶν κατὰ συνέχειαν.

Τῶν μὲν οὖν κατὰ συνέχειαν δύο τρόποι εἰσὶν, ὁ μὲν τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζων τὸ ἑπόμενον, οἷον εἰ τρέχει, κινεῖται, ἀλλὰ τρέχει, ἄρα κινεῖται. καὶ οὕτως. εἴθε σοφία, καὶ βουλαὶ ἀγαθαί, Ἀθλύουσιν ἐστὶ σοφία, ἄρα καὶ βουλαὶ ἀγαθαί.

Δεύτερος τρόπος τῷ κατὰ συνέχειαν ἐστὶν, ὁ τῇ ἀναιρέσει τοῦ ἑπομένου συναναιρῶν τὸ ἡγούμενον. οἷον, εἰ τρέχει κινεῖται, ἀλλὰ οὐ κινεῖται, ἄρα οὐ τρέχει. Ἔστι δ' ὅτε καὶ τῇ θέσει τοῦ ἑπομένου συνάγεται τὸ ἡγούμενον, οὐκ ἀεὶ δὲ, ἀλλ' ἐφ' ὧν μόνον ἀντιστρέφουσιν οἱ ὅροι τό,τε ἡγούμενον δηλαδὴ καὶ ἑπόμενον. Ὅθεν οὐδὲ τέλειος ἀποτελεῖται τρόπος, ὅτι παρὰ τὸ ὅλον, καὶ οὐ διὰ τὸν σχηματισμὸν τοῦ λόγου ἔχει τὸ ἀναγκαῖον. ἐπὶ τούτους δὲ ἀνάγονται οἱ ἀπὸ τοῦ μᾶλλον, καὶ ἧττον, καὶ ὁμοίου, καὶ ἐναντίου συλλογισμοὶ, οὓς ὁ Φιλόσοφος κατὰ ποιότητα ἐπάλεσε, διὰ τὸ παρεπόμενα ταῦτα εἶναι τοῦ ποιοῦ. Συλλογιζόμεθα δὲ ἀπὸ μὲν τοῦ μᾶλλον ἀναστευαστικῶς. οἷον, ἐπὶ τοῦ πρώτου τρόπου, εἰ οὐκ ἔξεστι τῷ Βασιλεῖ τρυφᾶν περὶ τὰ ἀλλοτρία, πολλῷ μᾶλλον οὐδὲ τῷ Ἰδιώτῃ, ἀλλὰ τὸ πρῶτον, ἄρα καὶ τὸ δεύτερον. Ἀπὸ δὲ τοῦ ἧττον κατασκευαστικῶς ὧδε. εἰ τῷ Ἰδιώτῃ ἔξεστι τρυφᾶν περὶ τὰ ἴδια, πολλῷ μᾶλλον καὶ τῷ Βασιλεῖ, ἀλλὰ ἐκείνῳ, ἄρα καὶ τούτῳ. Τοῖς δὲ ἀπὸ τοῦ ὁμοίου, καὶ ἐπ' ἀμφότερα χρώμεθα τρόπῳ τε κατασκευῇ καὶ ἀναιρέσει. πρὸς μὲν κατασκευὴν ἐπὶ τοῦ πρώτου τρόπου ὧδε. εἰ ἐπὶ τῆς νηὸς Ἀργοῦς ἐκλέγεται ὁ κυ-

βερνήτης, οὕτω καὶ ἐπὶ τῆς πόλεως ὁ Ἡγεμών, ἀλλ: τὸ πρῶτον, ἄρα καὶ τὸ δεύτερον. καὶ οὕτως ἀναστρεπτικῶς. ὅπερ ἐστὶν ἐπὶ τῆς νηὸς ὁ κυβερνήτης, τοῦτο ἐπὶ τῆς πόλεως ὁ Ἡγεμών, ἀλλὰ μὴν ἐπὶ τῆς νηὸς οὐ Πλουτίνδην ἐκλέγεται ὁ κυβερνήτης, ἄρα οὐδὲ ἐπὶ τῆς πόλεως ὁ Ἡγεμών. ὁ γὰρ καὶ οὕτω σχηματίσας ὁμοίως ὑποτίθεται τὸ, εἰ τῷ ὁμοίως ἐχόντων, θάτερον ἔχει τι, ἢ οὐκ ἔχει, καὶ θάτερον ἔχειν, ἢ μὴ ἔχειν. Τὸν αὐτὸν δὲ τρόπον ἀναγάγοι ἄν τις ἐπὶ τοὺς αὐτοὺς, καὶ τοὺς ἀπὸ τοῦ ἴσου, μείζονος, καὶ ἐλάττονος. Ἀπὸ δὲ τοῦ ἐναντίου συλλογιζόμεθα οὕτως. εἰ τὸ πλῆθος τῶν σοφῶν σωτηρία ἐστὶ τῆς πόλεως, τὸ πλῆθος τῶν ἀμαθῶν φθορὰ ἐστὶν αὐτῆς. ἀλλ: τὸ πρῶτον ἐστὶν ἀληθὲς κατὰ τὸν Σολομῶντα, ἄρα καὶ τὸ δεύτερον. Ἑκάτερος δὲ τῶν εἰρημένων τρόπων, τετραχῶς ποικίλεσθαι ἐγχωρεῖ.

Ποτὲ μὲν γὰρ ἀμφότερα τό,τε ἡγούμενον καὶ ἑπόμενον καταφατικὰ ὑπάρχουσιν, ὡς ἔχει τὰ ἐκτεθέντα ἐν ἀρχῇ ὑποδείγματα.

Ποτὲ δὲ ἀμφότερα ἀποφατικά. οἷον, ἐπὶ τοῦ πρώτου τρόπου, εἰ οὐκ ἔστιν ἄνθρωπος, οὐδὲ γραμματικός. ἀλλ: οὐκ ἔστιν ἄνθρωπος, ἄρα οὐ δὲ γραμματικός. Καὶ ἐπὶ τοῦ δευτέρου τρόπου, οἷον εἰμὴ ἐστὶν ἄνθρωπος οὐ δὲ γραμματικός. ἀλλ: ἐστὶ γραμματικὸς, ἄρα καὶ ἄνθρωπος.

Ἐνίοτε δὲ τὸ μὲν ἡγούμενον ἔχουσι καταφατικὸν, τὸ δὲ ἑπόμενον ἀποφατικόν. ὑπόδειγμα τοῦ πρώτου τρόπου. εἰ τόδε ἐστὶν ἵππος, οὐκ ἔστιν ἄνθρωπος, ἀλλ: ἐστὶν ἵππος, οὐκ ἄρα ἐστὶν ἄνθρωπος. καὶ ἐπὶ τοῦ δευτέρου τρόπου, οἷον, εἰ σὺ ὦ ἄνθρωπος, οὐκ ἄπτοτε ἥλγει. ἀλλ: ἀλγεῖ, οὐκ ἄρα ἐστὶν σύ.

Ἔστι δ' ὅτε καὶ ἀνάπαλιν. ἀποφατικοῦ γὰρ ὄντος τοῦ ἡγουμένου, ἐνδέχεται τὸ ἑπόμενον εἶναι καταφατικόν. Παράδειγμα τοῦ πρώτου τρόπου, εἰ οὐ νοσεῖ ὑγιαίνει, ἀλλ: οὐ νοσεῖ, ἄρα ὑγιαίνει. Καὶ τοῦ δευτέρου τρόπου, εἰ μὴ ὁ ἄνθρωπος ὦ δεκτικὸς ἐπιστήμης, ὦ ἂν ἄλογον, ἀλλ: οὐκ ἔστιν ἄλογον, ἄρα ἐστὶ δεκτικὸς ἐπιστήμης.

Περὶ τῶν κατὰ διάζευξιν.

Τοῖς δὲ διαζευκτικοῖς χρώμεθα ἐπὶ τῶν ἀντικειμένων, ὧν τὰ μὲν εἰσὶν ἄμεσα, τὰ δὲ ἔχοντά τι μέσον, Καὶ τῶν ἐχόντων μέσον, ἐν ἐνίοις μὲν ὡρισμένον ἐστὶ τὸ μεταξὺ, ἐν ἐνίοις δὲ ἀόριστον. Ἐπὶ μὲν οὖν τῶν ἀμέσως ἀντικειμένων, κατὰ διάζευξιν, ὑποθετικῶς συλλογιζόμεθα,

θα, τῇ θατέρου θέσει, ἢ ἀναιρέσει, θάτερον ἀναιροῦντες ἢ συνεισάγοντες. οἷον, ὁ τριαδικὸς ἀριθμὸς, ἢ ἄρτιός ἐστιν, ἢ περιττὸς, ἀλλ: οὐκ ἔστιν ἄρτιος, ἄρα περιττός.

Ἐπὶ δὲ τῶν ἐχόντων μέσον, ὡρισμένον δὲ, ἢ τῇ θέσει τῶν ἄκρων, ἀναιροῦμεν τὰ λοιπὰ, οἷον ὁ τριαδικὸς ἀριθμὸς, τῶ τετραδικῶ, ἢ μείζων ἐστὶν, ἢ ἴσος, ἢ ἐλάττων, ἀλλ: ἐστὶν ἐλάττων, οὐκ ἄρα ἐστὶ μείζων ἢ ἴσος. ἢ τῇ ἀποφάσει τῶν ἄλλων συνεισάγομεν τὸ λειπόμενον. οἷον, ὁ τριαδικὸς ἀριθμὸς τοῦ τετραδικοῦ, ἢ μείζων ἐστὶν, ἢ ἴσος, ἢ ἐλάττων, ἀλλ: οὐκ ἔστι μείζων, οὔτ' ἴσος, ἄρα ἐλάττων.

Ἐπὶ δὲ τῶν ἐμμέσως ἀντικειμένων, καὶ ἀορίστον ἐχόντων τὸ μέσον, τῇ θέσει τοῦ ἄκρου, τὰ λοιπὰ ἀναιροῦμεν, συλλογιζόμενοι ὧδε. ὁ Κύκνος οὐχ ἅμα ἐστὶ λευκὸς καὶ κιρρὸς, ἢ φαιὸς, ἢ ξανθὸς, καὶ τὰ τοιαῦτα, ἀλλ: ἐστὶ λευκὸς, ἄρα οὐδὲν τῶν λοιπῶν ἄλλων. Καὶ ἐπὶ τῶν λοιπῶν δὲ ἀντικειμένων ὁμοίως ἕξει, οἷον ἐπὶ τῶν κατὰ ἀπόφασιν καὶ κατάφασιν, οἷον οὐχ ἅμα ταυτόν ἐστι ποιὸν, καὶ ποσὸν, ἢ πρός τι, ἢ ποῦ, καὶ τὰ τοιαῦτα, ἀλλ: ἐστὶ ποσὸν, οὐδὲν ἄρα τῶν λοιπῶν. Οὐκ ἐγχωρεῖ δὲ ἐπὶ τῶν τοιούτων τῇ ἀναιρέσει τῶν ἄλλων παρὰ τὸ σὺ, εἰσενεγκεῖν τὸ λειπόμενον, οὐ γὰρ ἔστιν ἀπαριθμήσασθαι τὰ μεταξὺ ἀόριστα ὄντα.

Περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.

Εἶδος δὲ (1) τούτων ἐστὶ, καὶ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ, ὡς ἐνταῦθα τίθησιν ὁ Φιλόσοφος. Ὑποθετικοὶ γάρ εἰσι συλλογισμοὶ πάντες, ὡς ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος διδάσκει, οἷς τὸ ἐξ ἀρχῆς ζητούμενον, δι' ὁμολογίας, ἢ τινὸς ἄλλης ὑποθέσεως περαίνεται. τοιαύτη δὲ ἐστὶ καὶ ἡ εἰς ἀδύνατον ἀπαγωγή. ἡ γὰρ δεῖξις καὶ ἐπὶ ταύτης τοῦ τιθὲν ἀρχὴν ζητουμένου, κατὰ διάζευξιν γίνεται. ἢ γὰρ τὸ δ' ἐστὶ τὸ μόριον τῆς ἀντιφάσεως ἀληθὲς ἢ ἐκεῖνο, ἀλλὰ τόδε μὲν μὴ εἶναι, δείκνυται διὰ συλλογισμοῦ τοῦ ἀδυνάτόν τι συμβαίνεσθαι ὑποτεθέντος, λείπεται ἄρα τὸ ἕτερον ἀληθὲς εἶναι. Λέγοιτο μέντοι καὶ κατηγορικὸς συλλογισμὸς, καθὸ προηγουμένως ἀδυνάτόν τι κατηγορικῶς συμβαίνει.

(1) Ὑποθετικῶν

Τίνα τρόπον ὑπὸ τὰ συλλογιστικὰ τεία σχήματα οἱ ὑποθετικοὶ ἀνάγονται Συλλογισμοί.

Ἐπεὶ δὲ τῶν συλλογισμῶν ἕκαστος ὑπότι σχῆμα τελεῖν ἀνάγκη συλλογιστικὸν, ἢ τῶν εἰρημένων τινὶ τριῶν, ἢ παρὰ ταῦτα τινὶ ἑτέρῳ. Ἀλλ' ἕτερον μὲν τῶν τριῶν ἐκτὸς, οὔτε Ἀριστοτέλης ἐδίδαξεν, οὔτε μετ' ἐκεῖνον ἄλλος τὶς θέμενος, εὖ ἔχειν ἀπέδειξεν. Ἐπὶ δὲ τὰ ἐκτεθέντα τεία σχήματα μόνα οἶδεν ἀναγομένους ὁ Φιλόσοφος τοὺς ἀληθεῖς καὶ κυρίως συλλογισμούς, οἷοι εἰσὶν οἱ κατηγορικοί. Τοὺς δὲ ὑποθετικοὺς ἐ δὲ συλλογισμὲς οἴεται καθ' ἑαυτούς, ἀλλ' ὑποθέσεις μόνον, ὃν τρόπον οὐ δὲ σχῆμα ὅλως αὐτοῖς ἀποδίδωσι συλλογιστικόν. ἀνάγκη γὰρ πάντα συλλογισμὸν, ὡς αὐτὸς φησὶν ἢ ὑπάρχειν τι, ἢ μὴ ὑπάρχειν δεικνύναι, καὶ τοῦτο ἢ καθόλου, ἢ κατὰ μέρος. Τῶν δὲ ὑποθετικῶν συλλογισμῶν, οἱ μὲν δι' ὅλου ὑποθετικοὶ εἰς δεῖξιν τοῦ εἶναί τι, ἢ μὴ εἶναι παντάπασιν ἄχρηστοι. οὔτε γὰρ ὑπάρχειν τὶ τινὶ, οὔτε μὴ ὑπάρχειν, ἔτε καθόλε, οὔτε ἐπὶ μέρες δεικνύεσιν, ὅθεν οὐδὲ συλλογισμοὶ ὅλως. οἱ χρείαν συλλογισμῶ μὴ παρέχοντες, ὐδὲ μνήμης ἠξιώθησαν παρὰ τῷ Φιλοσόφῳ. Οἱ δὲ μικτοὶ δεικνύσι μέν τι ἐξ ὑποθέσεως, ἀλλὰ διὰ τῶν κατηγορικῶν, ὧν εἰς δεῖξιν δέονται τὰ ἐξ ἀρχῆς προτεθέντος. δύο δὲ ὁ Φιλόσοφος διὰ τῶν τοιούτων δεικνυθαι συλλογισμῶν διδάσκει, τὸ μὲν ἐξ ὑποθέσεως, τὸ δὲ κατηγορικῶς. καὶ τὸ μὲν κατηγορικῶς προηγουμένως διὰ τοῦ κατηγορικοῦ δείκνυται συλλογισμοῦ, τὸ δὲ λοιπὸν ὅπερ ἐν τὸ ἐξαρχῆς εἰς δεῖξιν προκείμενον, ἤρται μὲν τῆς κατηγορικῆς δείξεως, περαίνεται δὲ δι' ὁμολογίας, ἢ τινὸς ἄλλης ὑποθέσεως. οἷον ἐπὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, θάτερον μὲν ὅπερ ἐστὶν ἀδύνατον, δείκνυται κατηγορικῶς. ὃ δὲ ἐξαρχῆς εἰς δεῖξιν προὔκειτο, οὐ διὰ συλλογισμοῦ δείκνυται, ἀλλ' ἐξ ὑποθέσεως τῷ δεῖν θάτερον μόριον τῆς ἀντιφάσεως ἀληθεύειν. Ἐξέχεται μέντοι ἡ τοιαύτη δεῖξις τοῦ κατηγορικοῦ συλλογισμοῦ, δι' οὗ ἀδύνατόν τι ἐδείκνυτο ἕπεσθαι, εἰ δοθείη τὸ ἕτερον τῆς ἀντιφάσεως μέρος. Ἑνὶ δὲ λόγῳ εἰπεῖν τὸ μὲν τῆς ἀπολουθίας ὅτι ἂν ᾖ ἐξ ὑποθέσεως, ἢ ὁμολογίας ἤρται, τὸ δὲ εἶναι, ἢ μὴ εἶναι τὸ ὑποτιθέμενον, τῷ κατηγορικῷ δείκνυται συλλογισμῷ. Ὡσαύτως δ' ἔχει καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐξ ὑποθέσεως συλλογισμῶν. Τὸ γὰρ ἐξ ἀρχῆς ζητούμενον, καὶ οὗ τῆς δείξεως πρώτως ἐπὶ τῶν τοιούτων σοχαζόμεθα, οὐ διὰ συλ-

ὧν δεῖται ὁ δεικνύς

συλλογισμοῦ, ἀλλ' ἐξ ὑποθέσεως δείκνυται. ἕτερον δέτι συλλογισμῷ δείκνυται, δηλονότι τὸ μεταλαμβανόμενον, οὗ δειχθέντος, τὸ ἐξ ἀρχῆς ζητούμενον σωζέσθαι ἀληθεύειν διὰ τὴν ὑπόθεσιν. Ὅθεν ὁ Φιλόσοφος ἐπὶ πασῶν φησὶ τῶν ὑποθετικῶν πίστεων, ὁ μὲν καταγορικὸς συλλογισμὸς πρὸς τὸ μεταλαμβανόμενον γίνεται δηλαδή, οὐ πρὸς ὃ τὴν ἀρχὴν ἐζητεῖτο, ἀλλὰ πρὸς τὸ μεταληφθέν, ἤτοι τὴν καταγορικὴν πρότασιν, πρὸς ἣν μεταφέροντες τὴν ζήτησιν, καταγορικῷ δείκνυμεν συλλογισμῷ, ἀληθῆ ἧς δειχθείσης ψευδῆς ἀληθὲς εἶναι τὸ τὴν ἀρχὴν ζητούμενον ὑποτιθέμεθα. Τὸ δὲ ἐξ ἀρχῆς ζητούμενον φησὶ, περαίνεται δι' ὁμολογίας, ἢ τινὸς ἄλλης ὑποθέσεως. Πρόδηλον οὖν ὅτι οἱ ὑποθετικοὶ συλλογισμοὶ, οὐδὲν καθ' ἑαυτοὺς δεικνύουσιν, ἀλλὰ διὰ τῶν καταγορικῶν, δι' ὧν καὶ εἰς τὰ ἐκτεθέντα τεῖα ἀνάγονται χήματα ἕκαστος, ὑφ' ὃ ὁ καταγορικὸς περιέχεται. Τοὺς δὲ δι' ὅλου ὑποθετικοὺς ὁ Ἀλέξανδρος ἀνάγει καθ' ἑαυτοὺς εἰς τὰ ἐκτεθέντα τεῖα συλλογιστικὰ χήματα, κατὰ τὴν χέσιν τῶ μέσου πρὸς τὰ ἄκρα. καὶ καταγορικῶς δὲ τὸν μὲν πρῶτον ἐπὶ τὸ πρῶτον, τῆς πρώτης προτάσεως ἐλάττονος γινομένης, τῆς δὲ δευτέρας, μείζονος, Ὁ δὲ δεύτερος καὶ τεῖος ἐπὶ τὸ δεύτερον, καὶ τεῖον, (τῶν ὑποθετικῶν μορίων περιαιρεθέντων) ἀναχθήσονται. οἷον τοῦ πρώτου τρόπου, Εἰ ἄνθρωπος ζῶον, εἰ ζῶον οὐσία, εἰ ἄνθρωπος ἄρα οὐσία, ἀνάγεται εἰς τὸ πρῶτον χῆμα οὕτως. εἴρηται γὰρ ὅτι ἐν τοῖς ὑποθετικοῖς, τὸ μὲν ἡγούμενον ὑποκειμένου χώραν ἔχει, τὸ δὲ ἑπόμενον κατηγορουμένου. ἔστι οὖν μείζων, ἡ οὐσία κατὰ τοῦ ζώου. ἐλάττων, τὸ ζῶον κατὰ ἀνθρώπου. καὶ τὸ συμπέρασμα, ἡ οὐσία ἄρα κατὰ τοῦ ἀνθρώπου. Τοῦ δευτέρου τρόπου. Εἰ ἐστὶν ἄνθρωπος, καὶ ζῶον, εἰ ἐστὶν οὐσία, οὐ πάντως καὶ ζῶον, εἰ ἄρα ἐστὶν οὐσία, οὐ πάντως καὶ ἄνθρωπος. ἀνάγεται ἐπὶ τὸν τέταρτον τοῦ δευτέρου τρόπου τὸν χάφοδο.

Γρά Πᾶς ἄνος ζῶον, Τὸ ζῶον κατὰ παντὸς ἀνου,
φο Οὐ πᾶσα οὐσία ζῶον, Τὸ ζῶον οὐ κατὰ πάσης οὐσίας.
δο Ἄρα οὐ πᾶσα οὐσία ἄνος. Ὁ ἄνος ἄρα οὐ κατὰ πάσης οὐσίας.

Τοῦ δὲ τείτου τρόπου δι' ὅλου ὑποθετικὸς, οἷον εἰ οὐκ ἔστι ζῶον, οὐδὲ ἄνθρωπος, εἰ ἐστὶ ζῶον, ἐστὶν οὐσία, εἰ ἐστὶν ἄρα οὐσία, οὐ πάντως καὶ ἄνθρωπος. ἀναλύονται καὶ οὗτοι καὶ εἰς τὸ πρῶτον χῆμα καταγορικῶς, καὶ εἰς τὸ τείτον. τὴν γὰρ πρώτην καθόλου οὖσαν ἀποφατικὴν, εἰς καθόλου μεταληπτέον καταφατικήν. ταὐτὸν γὰρ δύναται τὸ εἰ οὐκ ἔστι ζῶον οὐδὲ ἄνθρωπος, τῷ, τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. ἡ αὐτὴ γὰρ ἔχει συν-

ἀντι-

ἀντιθέσει ἀντεσραμμένη. προθέντες οὖν ἢ τὴν λοιπὴν ἀντὶ μείζονος, συλλογιζόμεθα ἐν τῷ πρώτῳ χήματι ὧδί. Ἡ οὐσία κατὰ παντὸς ζώου, τὸ ζῶον καὶ παντὸς ἀνθρώπου, καὶ ἡ οὐσία ἄρα κατὰ παντὸς ἀνθρώπου. Εἰ δὲ μεταστραφείη ἡ ἐλάττων μεταθεμένης τῆς προτάσεως, σωάγεται καὶ ἐν τῷ τρίτῳ χήματι μερικὸν καταφατικόν. οἷον.

Ὁ ἄνθρωπος κατάτινος ζώου,
Ἡ οὐσία καὶ παντὸς ζώου,
Ὁ ἄνθρωπος ἄρα κατάτινος οὐσίας.

Τί ζῶον ἄνθρωπος.
Πᾶν ζῶον οὐσία,
Ἄρα τὶς οὐσία ἄνθρωπος.

Τινὲς δὲ καὶ τὰς μικτὰς ἀνάγουσιν εἰς τὰ ἐντεθέντα χήματα. τὰς μὲν κατὰ συναλλαγὴν τοὺς τῇ θέσει τοῦ ἡγουμένου συνεισάγοντας τὸ ἑπόμενον, ἐπὶ τὸ πρῶτον χῆμα. ταυτὸν γὰρ δύναται τὸ, εἰ ἔστιν ἄνθρωπος, ἔστι καὶ ζῶόν, τῷ πᾶς ἄνθρωπος ἔστι ζῶον. τὸ δὲ ἀλλ: ἔστιν ἄνθρωπος, τῷ οὐδὲ ἔστιν ἄνθρωπος, καὶ ὅλως τῇ ἐπὶ μέρους καταφατικῇ συνεπείνεται. ὡς τε συνάγεται ἐν τῇ σανίδι μερικὸν καταφατικὸν, ἄρα οὔτος ἔστι ζῶον. Διὸ καὶ ἐν τῇ ἀναιρέσει τοῦ ἡγουμένου, οὐκ ἔστιν ἀνελεῖν τὸ ἑπόμενον. ἀνάγεται γὰρ ὁ συλλογισμὸς ἐπὶ τὸ πρῶτον χῆμα, τὴν ἐλάττονα ἔχων ἀποφατικὴν. οἷον, Εἰ ἔστιν ἄνθρωπος, ἔστι καὶ ζῶον. ἀλλ: οὐκ ἔστιν ἄνθρωπος, ἄρα οὐ δὲ ζῶον. Πᾶς ἄνθρωπος ἔστι ζῶον, οὔτος οὐκ ἔστιν ἄνθρωπος, ἄρα οὐδὲ ζῶον. Οἱ δὲ διὰ τοῦ ἑπομένου συνεισάγοντες τὸ ἡγούμενον, ἐπὶ τὸ δεύτερον χῆμα ἀνάγονται. Ὅθεν ὁ μὲν τῇ ἀναιρέσει τοῦ ἑπομένου, συναναιρῶν τὸ ἡγούμενον, χρήσιμος. συμπεραίνει γὰρ ἀποφατικὸν πρόβλημα. οἷον, Εἰ ἔστιν ἄνθρωπος, ἔστι καὶ ζῶον, ἀλλ: οὐκ ἔστι ζῶον, ἄρα οὐδὲ ἄνθρωπος. Πᾶς ἄνθρωπος ζῶον, οὗτος οὐκ ἔστι ζῶον, ἄρα οὐδὲ ἄνθρωπος. Ὁ δὲ τῇ θέσει τοῦ ἑπομένου συνεισάγων τὸ ἡγούμενον, ἄχρηστος. συμπεραίνει γὰρ καταφατικῶς ἐν τῷ δευτέρῳ χήματι παρὰ τοὺς κανόνας. οἷον, Εἰ ἔστιν ἄνθρωπος, ἔστι καὶ ζῶον, ἀλλ: ἔστι ζῶον, ἄρα καὶ ἄνθρωπος. Πᾶς ἄνθρωπος ζῶον, οὗτος ἔστι ζῶον, ἄρα καὶ ἄνθρωπος. Ἐνίοτε μέντοι εὔχρηστος γίνεται ὁ λόγος παρὰ τὴν ὕλην, ἡνίκα τῷ ἡγουμένῳ τὸ ἑπόμενον ἀντιστρέφει, ὅτι καὶ ἐπὶ τοῦ δευτέρου χήματος τῷ ὅρων τῆς μείζονος ἀντιστρεφόντων, συνάγεται ἀληθὲς καταφατικὸν πρόβλημα. οἷον, Εἰ ἔστι λογικὸν, ἔστι καὶ γελαστικὸν, ἀλλ: ἔστι γελαστικὸν, ἄρα καὶ λογικόν. Πᾶν λογικὸν γελαστικὸν, οὔτος ἔστι γελαστικὸν, οὔτος ἄρα ἔστι λογικὸν, ἀλλὰ παρὰ κανόνας. Οἱ δὲ διαζευκτικοὶ πάντες εἰς τὸ πρῶτον ἀνάγονται χῆμα.

Οἷον.

Οἷον, Ἡ ἡμέρα ἐστὶν, ἢ νύξ,	Τὸ	Ἡ νίκα ἐστὶν ἡμέρα οὐκ ἔστι νύξ,
Ἀλλ᾽ ἐστὶν ἡμέρα,	χνι	Νῶϖ ἐστὶν ἡμέρα,
Ἄρα οὐκ ἔστι νύξ.	κὸς	Ἄρα οὐκ ἔστι νύξ.

Περὶ τοῦ δευτέρου τῆϛ

ΠΡΟΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ.

Μετὰ τὴν μέθοδον τῆϛ τῶν προτάσεων διαιρέσεως, καὶ ὅπως ἔχομεν τοὺς γεγραμμένους συλλογισμοὺς ἀναλύειν εἰς τὰ προειρημένα σχήματα, ὁ Φιλόσοφος διδάσκει, οἷς τε ἐντυγχάνομεν ἐν τοῖς τῆϛ ἀρχαιοτέρων συγγράμμασι, καὶ οὓς ἂν ἡμῖν προτείνοντες τύχωσιν οἱ προσδιαλεγόμενοι. Ἀλλ᾽ ἡμῖν ταῦτα, καὶ ὅτι μὴ πάνυ δυσξύνετα δοκοῦσι, καὶ πῶς ἐκ τῆϛ εἰρημένων ἐν τῷ πρώτῳ τμήματι δηλούμενα, ἔδοξε παραιτητέα, ὡς ῥᾴδια τοῖς βουλομένοις ποιεῖν ἐκ τῆϛ ἀριστοτελικῆϛ λέξεως ἀναλέξασθαι. Μεταβᾶσι δὲ ἐπὶ τὸ δεύτερον τῆϛ πραγματείας βιβλίον, ὀλίγ᾽ ἅπαξ ἔκτε τοῦ πρώτου καὶ τρίτου μάλιστα κατ᾽ ἐκεῖνο μέρους προσεπιμεξῆναι τοῖς εἰρημένοις ἔδοξε. Τριμερὲς γὰρ κἀκεῖνο, ῥητικώτερον διαιρούμενον, ὡς ἐν ἀρχῇ τῆϛ πραγματείας εἴρηται. ὧν ἐπὶ μὲν τοῦ πρώτου μέρους τὰϛ τοῦ συλλογισμοῦ δυνάμεις πολυπραγμονεῖ ὁ Φιλόσοφος, ἐν δὲ τῷ δευτέρῳ τὰ περὶ αὐτῷ ἐλαττώματα ἐκτίθεται. ἐπὶ δὲ τοῦ τρίτου ὅσα συγγενῆ τοῦ αὐτοῦ διδάσκει.

Περὶ τῆϛ κύκλῳ καὶ διαλλήλου Δείξεως.

Τῶν τοίνυν ἐν τῷ πρώτῳ περιεχομένων μέρει, εἰ καὶ μηδὲν ὑπόβλητον ἢ καὶ θεωρίας ἐκτὸς, ἀλλ᾽ ἡ τῆϛ κύκλῳ καὶ διαλλήλου δείξεως γνῶσις οὐχ ἥκιστα πάντων ἀναγκαία δοκεῖ τοῖς λογικευομένοις. Τὸ μὲν ὅτι πολλοὶ τῶν ἀρχαίων ᾠήθησαν πάντων εἶναι ὅπερ ἡμῖν, ὡς πάντων δεικνυμένων τῇ κύκλῳ καὶ διαλλήλῳ δείξει, ὧν ἀναιρεῖ τὴν δόξαν ὁ Φιλόσοφος ἐν τῷ τρίτῳ Κεφαλαίῳ τοῦ πρώτου τῆϛ ὑστέρων Ἀναλυτικῶν, καὶ ἐν ἄλλοις, ἀλλὰ καὶ ἐν πολλοῖς ἐστὶν ἰδεῖν τοὺς φιλοσοφουμένους κεχρημένους σχήματι δείξεως διαλλήλου.

Φαίνεται δέ που καὶ αὐτὸς ὁ Φιλόσοφος κεχρημμένος πως δείξει τοιαύτῃ, ἐν γὰρ (1) τῷ ογδόῳ τῆϛ περὶ φυσικῆϛ ἀκροάσεως ὑπὸ τῆϛ ἀϊδίου κινή-

(1) Ἤτοι Θ.

κινήσεως, τὸ αἴδιον τοῦ κινουμένου συναγαγὼν, ἐπανακάμπτει αὖθις ἀπὸ τῆς αἰδιότητος τοῦ κινουμένου ἐμπεδούμενος τὸ αἴδιον τῆς κινήσεως.

Τοῖς οὖν βουλομένοις ὑγιῶς, καὶ διακείνειν ἐπὶ τῆς τοιούτων ὀρθῶς, χρήσιμος ἡ ἐνταῦθα παραδιδομένη γνῶσις περὶ τῆς κύκλω δείξεως. Λέγεται δὲ κύκλω ἡ τοιαύτη δεῖξις ἐκ μεταφορᾶς τῆς γεωμετρικῶν σχημάτων. ὥσπερ γὰρ ἐπὶ τῆς τοιούτων ἀπὸ τῆς αὐτῆς ἀρχόμενοι σημείων, ἀνακάμπτομεν ἐπὶ τῆς αὐτῶν, οὕτως καὶ ἐπὶ τῆς εἰρημένης δείξεως, ἀπὸ τῆς προτάσεως προϊόντες ἐπὶ τὸ συναγόμενον, ἀνακάμπτομεν αὖθις ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὰς προτάσεις. Ταύτῃ τοιγαροῦν ὁ Φιλόσοφος τῷ κύκλω δεῖξιν ὑπογράφων ἐπὶ τὸ παρόντος φησὶν, Ὅτι ἐστὶ τὸ διὰ τοῦ συμπεράσματος, καὶ τοῦ ἀνάπαλιν τῇ κατηγορίᾳ, τῷ ἑτέραν λαβόντα πρότασιν, συμπεραίνεσθαι τῷ λοιπῷ, ᾧ ἐλάμβανεν ἐν ἑτέρῳ συλλογισμῷ. τὰ αὐτὰ

Τέτταρα τοιγαροῦν ταῦτα κατὰ τὴν ἐκτεθεῖσαν ὑπογραφὴν ἀναγκαίως ἐπὶ τῆς κύκλω ζητεῖται δείξεως. Πρῶτον τοῦ συμπεράσματος ἡ μετάληψις εἰς πρότασιν. Δεύτερον ἡ πρόσληψις ἑτέρας τῆς προτάσεων. Τέταρτον ἡ ἀντιστροφὴ τῆς προσλαμβανομένης τῆς προτάσεων. Καὶ τέταρτον ἡ συναγωγὴ καὶ ἀπόδειξις τῆς λοιπῆς.

Συμβαίνει δὲ γίνεσθαι τῷ κύκλω Δεῖξιν τειχῶς. τελέωτατα μὲν ἐπὶ τοῦ πρώτου σχήματος, κατὰ τὴν πρώτην συζυγίαν, καθ' ἣν ἀμφοτέρας τὰς προτάσεις ἐνδέχεται δεικνύναι, διὰ τὰ μάλιστα ἀντιστρέφειν οἱ Ὅροι, ἀτελέστερον δὲ ἐπὶ τῆς λοιπῶν, ἐν οἷς ἡ ἑτέρα μόνον τῆς προτάσεων δείκνυται, καὶ μᾶλλον ἔτι ἀτελέστερον, ἐν οἷς οὐδὲ ἡ ἐκτεθεῖσα ἐπὶ τὸ πρώτου συλλογισμὸν δείκνυται, ἀλλ' ἡ ἀντιστρέφουσα ἐκείνῃ, ἔστιν ὅτε καὶ μεταβάλλεται ἡ κατηγορικὴ πρότασις, εἰς ὑποθετικὴν, μὴ ἐξὸν ἄλλως ἀποδείκνυσθαι.

Τοιγαροῦν ἐπὶ τοῦ πρώτου σχήματος ἐν τῷ πρώτῳ τελεώτατα ἡ κύκλω γίνεται Δεῖξις ἰσοσροφούντων τῆς ὅρων. ἀμφότεραι γὰρ αἱ προτάσεις κατηγορικῶς ἀποδείκνυνται. ἐάν ~~ἐν μὲν~~ καὶ τὸ συναγόμενον ἀντεσραμμένως λάβωμεν διὰ τριῶν συλλογισμῶν ἡ κύκλω Δεῖξις περαίνεται.

Πᾶν λογικὸν γελασικὸν,	ι	Λαμβάνοντες τὸ συμπέρασμα τοῦ πρώτου συλλογισμοῦ ἀντὶ μείζονος, καὶ τὰ αὐτὰ
Πᾶς ἄνος λογικὸς,	ο	καὶ τῷ ἐλάττῳ τοῦ αὐτοῦ πρώτου ἀντεσραμμένῳ ἀντὶ ἐλάττονος πάλιν, συναγο-
Πᾶς ἄνος γελασικός.	†	μεν τῷ μείζονα τοῦ α. συλλογισμοῦ.

Πᾶς


Πᾶς ἄνος γελασικὸς, † Κατὰ τὰ αὐτά.
Παῦ λογικὸν ἄνος, ο Ἀνπεπραμμένως.
Παῦ ἄρα λογικὸν γελασικόν. ι

Παῦ γελασικὸν λογικὸν, ι Ἀνπεπραμμένως.
Πᾶς ἄνος γελασικὸς, † Κατὰ τὰ αὐτά.
Πᾶς ἄρα ἄνος λογικός. ο

Καὶ οὕτις λαβόντες τὸ συμπέρασμα τῦ β'. συλλογισμῦ αὐτὶ μείζονος ἀνπεπραμμένου, νως, καὶ τῷ μείζω τῦ αὐτοῦ δευτέρᾳ αὐτὶ ἐλάττονος καὶ τὰ αὐτὰ σωάγομεν τῷ ἐλάττω τῦ πρώτυ συλλογισμοῦ.



Ἦν δὲ μόνῳ τῷ προσλαμβανομένῳ ἐκ τοῦ ἀνωτέρω συλλογισμοῦ πρότασιν ἀντιστρέφοιμεν, ἐξ ἧς εἰκὸς συλλογισμῶν, ὡς ἂν ἀμφοτέρας τὰς προτάσεις τοῦ α. συλλογισμοῦ συμπεραίνωμεν, καὶ τῷ λοιπῶν ὁμοίως.


Πᾶς ἄνθρωπος γελαστικόν,
Πᾶν λογικὸν ἐστὶν ἄνθρωπος,
Πᾶν ἀλογικὸν γελαστικόν.
Πᾶν γελαστικὸν ἐστὶν ἄνθρωπος,
Πᾶν λογικὸν ἐστὶ γελαστικόν.
Πᾶν λογικὸν ἄνθρωπος ἐστὶν ἄλογος.
Πᾶς ἄνθρωπος ἐστὶ λογικός,
Πᾶν γελαστικὸν ἐστὶ λογικόν.
Πᾶν ἀνθρώπου ἐστὶ λογικόν.
Πᾶς ἄνθρωπος λογικός,
Πᾶς ἀνθρωπος γελαστικός.
Πᾶν λογικὸν γελαστικόν,
πᾶν γ ἐστὶν ᾱ.
πᾶν β ἐστὶ γ.
πᾶν β ἐστὶν ᾱ.
πᾶν β ἐστὶν ᾱ.
πᾶν γ ἐστὶ β.
πᾶν γ ἐστὶν ᾱ.
πᾶν ᾱ ἐστὶ γ.
πᾶν β ἐστὶ γ.
πᾶν β ἐστὶν ᾱ.
πᾶν γ ἐστὶν ᾱ.
πᾶν γ ἐστὶ β.
πᾶν ᾱ ἐστὶ γ.
πᾶν ᾱ ἐστὶ β.
πᾶν γ ἐστὶ β.
πᾶν ᾱ ἐστὶ γ.
πᾶν ᾱ ἐστὶ β.
Πᾶς ἄνθρωπος ἐστὶ λογικός,
Πᾶν γελαστικὸν ἐστὶν ἄνθρωπος,
Πᾶν ἀλογικὸν γελαστικόν.
Πᾶν γελαστικὸν ἐστὶ λογικόν.
Πᾶς ἄνθρωπος ἐστὶ λογικός.
Πᾶν ἀλογικὸν ἐστὶν ἄνθρωπος.
Πᾶν γελαστικὸν ἐστὶ λογικόν.
Πᾶς ἄνθρωπος ἐστὶ λογικός.
Πᾶν γελαστικὸν ἐστὶ λογικόν.
Πᾶν ἀλογικὸν ἐστὶν ἄνθρωπος.
Πᾶς ἄνθρωπος ἐστὶ λογικός.
Πᾶν γελαστικὸν ἐστὶ λογικόν.
Πᾶν ἀνθρώπου ἐστὶ λογικόν.
Πᾶς ἄνθρωπος ἐστὶ λογικός.
Πᾶν γελαστικὸν ἐστὶ λογικόν.
Πᾶν ἀλογικὸν ἐστὶν ἄνθρωπος.
Πᾶς ἄνθρωπος ἐστὶ λογικός.
Πᾶν γελαστικὸν ἐστὶ λογικόν.
Πᾶν ἀνθρώπου ἐστὶ λογικόν

77 ἐν δεξιᾷ τοίνυν, ἀφ' οὗ συμπέφυκεν χαβδὸς ὡς ἔπαρμα δὲ σφενδόνης συμπεφυκὸς ἀντὶ μέλους, ἐν δ' ἑκάστῳ μέλει δὲ ἀνδρὸς ἐν ἀντιγεφύρῳ πλατὺ χώραν ἐλάσεις, ἐν δὲ σφενδόνῃ ἀνδίδοι· δεῖμι σινάβαρι μέλους, ὅταν λοιμικὸν ἔτι μεγαστικόν, αὖθις ἐν δὲ ἑρίδι χαβδὸς· ἀφ' οὗ συμπέφυκεν δαλέρᾳ ἀντὶ ἑκάστου· ἀνοῦς πῦλαι αὐτὰ, ἐν δὲ μέλει ἐν ἀντιγεφύρῳ πλατὺ χώραν λιτάνευε, ἐν ἑκάστῳ δὲ ἀνδρὶ δαλέρᾳ σινάβαρι, ὅταν λοιμικὸν ἔτιν ἀνοῦς. ἐν ταῖς ἐνδεκάτῃ, χαβδὸς ἀπαιωρούμενον μὲν ἀφ' οὗ δὲ σφενδόνης ἑρίδι συμπέφυκεν ἀντὶ μέλους, ἐν δ' ἑκάστῃ ἑρίδι ἑκάστου ἐν ἀντιγεφύρῳ πῦλαι χώραν ἀφιέναι, ἐν δὲ ἀνδρὶ ἑρίδι· σινάβαρι μέλους, ὅταν μεγαστικὸν ἔτιν ἀνοῦς. αὖθις δὲ ἐν δεξιᾷ σφενδόνῃ ἀπαιωρούμενος χαβδὸς, ἀφ' οὗ δαλέρᾳ συμπέφυκεν ἀντὶ ἑκάστου, ἀντιγεφυρωμένην δὲ ἐν μέλους πλατὺ χώραν ἐλάσεις, ἐν δὲ ἀνδρὶ· δαλέρᾳ σινάβαρι ἑκάστου, ὅταν μεγαστικὸν ἔτι λοιμικόν. ἑκατέρᾳ ἀνδρὶ, ἀφ' οὗ συμπέφυκεν σφενδόνῃ χαβδὸς ἀντὶ μέλους, ἐν δ' ἑκάστου ἀντιγεφυρωμένην πλατὺ χώραν λιτάνευε, ἐν μέλους δὲ ἀνδρὶ σινάβαρι σφενδόνῃ, ὅταν ἀνοῦς ἔτι λοιμικόν. ἑκατέρᾳ μὲν ἐν δεξιᾷ σφενδόνῃ, δεῖν σινάβαρι συμπεφυκὸς ἀφ' οὗ συμπέφυκεν, μέλους μὲν ἀνδρὸς ἑρίδι, μνήμονα δ' ἑκάστου ἐν ὠδῶν σφετέρων. ἐν δὲ σκοπεύοντι ἐν ἑνὶ τῶν ἀνδρῶν ἀντιγεφυρωμένῃ σκόλοπι, ἀντὶ μὲν δὲ δαλέρᾳ ἑκάστου δὲ σφενδόνῃ,

αὐτὸ δὲ ἡρῷόν ἐστι μᾶλλον ἢ θεῖον. ἡ αὐθις ἀναγκὴ δὲ
δεῖσθαι ἐμφύτου δεῖται, αὐτὸ δὲ τὸ σεμνὸν ἐστι μᾶλλον δὲ ἀπὸ
τύχης, οὐ δὲ ἡ αὐτὴ τέχνη, ἐμφύτου δὲ σεμνόν. ἐνίοτε
γὰρ, ἐξω ἐμφύτου ἐστὶν ἀνθρώπου ἔργον, ἐστὶ δὲ μᾶλλον αὐτὸ
σεμνὸν· αὐτὸ γὰρ ἐστὶ αὐτὸ δὲ παντάπασι οὐ ἐνῦν, ὧν σεμνὸν
ἐστι ἐμφύτου σεμνὸν ἀλλ' ἢ μᾶλλον.

Κοινὴ ἔννοια ἡ ἀληθὴς μᾶλλον, ὅσα φύσει, ἢ ἔθει ἢ
σοφίζεσθαι ἔχει.

» δὲ ἀληθὲς ἐστὶ ἢ ἐπὶ τὸ σοφίζεσθαι, ἢ φύσει ἔχει
ὁ μαθητὴν ἀρέσκει.

Ἐν Νικ 450

Περὶ σωφροσύνης ἐν ἐστὶν ἀρετὴ δὲ αὐτὸ φρόνησις ἢ σωφροσύνη.
,, δὲ αὐτὸ φρόνησις ἢ σωφροσύνη, τελεία μᾶλλον ἐστὶν ἀρετή.

Κατὰ δὲ τὴν συνάγουσαν τὸ καθόλου ἀποφατικὸν πρόβλημα, ἀπελεσέρα ἡ κύκλω γίνεται Δεῖξις. Ἡ μὲν γὰρ ἑτέρα τῷ προτάσεων δείκνυται καταγορικῶς ἡ ἀποφατική, ἡ λοιπὴ δὲ οὐκ ἔτι. οἷον ἐπὶ τὸν Θέασε ἔσω συλλογισμός. Οὐδὲν φθαρτὸν ἀΐδιον, πᾶν γεννητὸν φθαρτὸν, οὐδὲν ἄρα γεννητὸν ἀΐδιον. Τούτου δειχθήσεται μὲν ἡ μείζων καταγορικῶς διὰ τοῦ συμπεράσματος, καὶ τῆς ἐλάττονος ἀντεστραμμένης, οἷον Οὐδὲν γεννητὸν ἀΐδιον, πᾶν φθαρτὸν γεννητὸν, οὐδὲν ἄρα φθαρτὸν ἀΐδιον. Ἡ δὲ ἐλάττων οὐ δείκνυται, διὰ τὸ καταλείπεσθαι ἀμφοτέρας τὰς προτάσεις ἀποφατικὰς, ἐξ ὧν οὐ μόνον ἡ συνάγεται καταφατικὸν πρόβλημα, ἀλλ' οὐδὲ ὅλως ἀποφατικὸν ἀναγκαίως. Δείκνυται μέντοι διὰ προσλήψεως ὑποθετικῶς ὧδε. Οὗ τὸ ἀΐδιον οὐδαμῶς καταγορεῖται, τούτου κατὰ παντὸς τὸ φθαρτὸν καταγορηθήσεται. ἀλλὰ τοῦ γεννητοῦ οὐδαμῶς τὸ ἀΐδιον καταγορεῖται, ἄρα τοῦ γεννητοῦ κατὰ παντὸς τὸ φθαρτὸν καταγορηθήσεται. Οὐκ ἐπὶ πᾶσι μέντοι ἡ διὰ προσλήψεως τοιάδε δεῖξις πέφυκε γίγνεσθαι, ἀλλ' ἐφ' ὧν μόνον οἱ ὅροι ἀμέσως ἀντίκεινται. Ἐν δὲ τῇ Σανίδι συζυγίᾳ, ἡ μὲν ἐλάττων καταγορικῶς δείκνυται, οὐκ ἔτι δὲ καὶ ἡ μείζων. διὰ τὸ ἐκ μερικῶν τῶν προτάσεων ἀμφοτέρων, μὴ ὅτι καθόλου, ἀλλ' οὐ δὲ μερικόν τι συνάγεσθαι. Ἐν δὲ τῇ Τεχνικὸς, οὔτε ἡ μείζων, οὔτε ἡ ἐλάττων κυκλικῶς δείκνυται. ἡ μὲν διὰ τὸ καθόλου, ἐκ μερικῶν ἀμφοτέρων, μὴ συνάγεσθαι. ἡ δὲ ἐλάττων ὅτι ἐξ ἀμφοτέρων ἀποφατικῶν οὐδενὸς ἀναγκαίου συναγομένου, πολλοῦ γε δεῖ καταφατικὸν συναγαγεῖν. Τούτοις κεχρημένοι τοῖς λόγοις, κἀπὶ τῶν λοιπῶν συλλογιστικῶν χημάτων οὐκ ἀποστήξεσθε τῆς μεθόδου.

Διαβέβληται δὲ τοῖς Φιλοσόφοις ἡ κύκλω Δεῖξις, ὅτι τὸ αὐτὸ καὶ ὡς αἴτιον, καὶ ὡς αἰτιατὸν λαμβάνει. καὶ διὰ τῶν ἀσαφῶν ὁμοίως τὰ σαφῆ δείκνυσθαι πειρᾶται. Ἐφ' ὧν μέντοι τὰ αἰτιατὰ, τῶν αἰτίων εἰσὶν ἐνδηλότερα, τότε καὶ διὰ τούτων ἐκεῖνα δείκνυσθαι φιλοῦμεν, τῷ τοῦ ὅτι χρώμενοι συλλογισμῷ. Εἶτα ἀπὸ τῶν αἰτίων ἔσιν ὅτε ἐμπεδοῦμεν αὐθις τὰ καθ' ἕκαστα, καὶ αἰτιατὰ, ᾧ δὴ ξόπτρῳ καὶ Ἀριστοτέλης φαίνεται κεχρημένος ἐν πολλοῖς. Λέγεται δὲ οὐκ ἔτι κύκλω Δεῖξις ἡ τοιαύτη, ἀλλ' Ἐπαναστροφή. Διαφέρει δὲ ἡ κύκλω Δεῖξις τῆς τοιαύτης Ἐπαναστροφῆς, ὅτι ἡ κύκλω Δεῖξις οὐ διὰ τῶν σαφῶν ἀεὶ συνάγει τὰ ἀσαφῆ, ὥσπερ συμβαίνει ἐπὶ τῆς Ἐπαναστροφῆς, ἀλλὰ πάντα ὁμοίως λαμβάνει, σαφῆ τε καὶ ἀσαφῆ.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Διδάξας ἐπὶ τοῦ πρώτου τμήματος ὅσα καὶ οἷα ἐνδέχεται διὰ συλλογισμοῦ σωναχθῆναι παράτε τὴν διαφορὰν τῆς ὕλης τῆς παραλαμβανομένων προτάσεων, σχηματισμόν τε καὶ συζυγίαν τῆς αὐτῆς, ἀπολούθως ἐπὶ τοῦ δευτέρου ἐκτίθεται ὅσα τοῖς παραχρωμένοις συμβαίνει περὶ αὐτῆς πλημμελῆσαι, διὰ τὴν ὕλην. Θεωρητέον δὲ ἡμῖν πρὸ τῆς ἄλλων, τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, ὅπερ παρὰ τοῖς διαλεγομένοις πολὺ φέρεται, ἐφ' ὅσον καὶ συνεχέστερον συμβαίνει, καὶ μᾶλλον λανθάνει ὁ κατ' ἐκεῖνο ἁμαρτάνων. διὸ καὶ τῆς ἄλλων ἀξιολογώτερον ἔδοξε. Μηδεὶς δὲ ὑπολάβῃ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι; αἴτησιν εἶναι τῆς ἀρχῆς. ἀλλ' οὐδὲ τῆς ἐν τῇ ἀρχῇ τινὸς, ὥς τινες παρερμηνεύσασιν, ἀλλ' ἔστιν ἐπὶ τῶ ἐν ἀρχῇ προκειμένου προβλήματος λῆψις ταυτοσημάντων ὅρων. οὗ ὡς γένος ἐκτίθεται ὁ Φιλόσοφος τὸ μὴ ἀποδεικνῦναι τὸ (1) προκείμενον, ὃ πολλαχῶς συμβαίνειν εἴωθε. Καὶ γὰρ εἰ ὅλως μὴ συλλογίζεται, ἁμαρτάνων δηλαδὴ περὶ τὸν σχηματισμὸν τοῦ λόγου, οὐκ ἀποδείκνυσι τὸ προκείμενον. καὶ ἢ ἐκ τῶν ἀσαφεστέρων τὰ σαφέστερα, ἢ ὁμοίως ἐκ τῶν ἀσαφῶν τὰ ἀσαφῆ πειρᾶται δεικνύναι. ἢ ἐκ τῶν ὑστέρων τὰ πρότερα. καὶ ὁμοίως γὰρ οὐ δεῖ οὔτοι τὸ προκείμενον ἀποδεικνύουσι. Τούτου τοιγαροῦν τοῦ γένους ἐστὶ καὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ὅπερ ἀποφαίνων ὁ Φιλόσοφος φησὶν εἶναι, τὰ (2) ἐπιχειρεῖν δεικνύναι δι' ἑαυτοῦ, τὸ μὴ δι' ἑαυτοῦ γνώριμον.

Συμβαίνει δὲ τοῦτο πολλαχῶς. Ἢ γὰρ διὰ τὸ προτεθὲν ἀξιοῦμεν λαμβάνεσθαι ἐπὶ τῆς αὐτῆς ὀνομάτων καὶ λέξεων ἐν ταῖς προτάσεσιν. ἀλλὰ τοῦτο πάντη γελοῖον. Ἢ τὸ αὐτὸ δι' ἑτέρου ὀνόματος, τοῦ αὐτοῦ μέντοι σημαντικοῦ, ὡς ἐν τοῖς πολυωνύμοις. οἷον, Πᾶς βρωτὸς, φθαρτὸς, πᾶς ἄνθρωπος βρωτὸς, πᾶς ἄρα ἄνθρωπος φθαρτός. ᾧ οὖ τὸ σωναγόμενον ταυτὸν ἐστὶ τῇ μείζονι. Ἢ διὰ τοῦ αὐτοῦ, ὡς ἐπὶ τῆς ἰσοστρόφων ὅρων. οἷον, Πᾶν λογικὸν διανοητικὸν, πᾶς ἄνθρωπος λογικὸς, πᾶς ἄρα ἄνθρωπος διανοητικός. καὶ ταῦτα γὰρ τὸ σωναγόμενον ταυτόν ἐστι τῇ μείζονι. Ἢ καὶ ἔτως. Πᾶν μέθυ ποιεῖ μέθυ, πᾶς οἶνος ἐστὶ μέθυ, πᾶς ἄρα οἶνος ποιεῖ μέθυ. ταυτὸν γὰρ μέθυ καὶ οἶνος. Ἢ λαμβάνεται τὸ ἀμφισβητούμενον ἐν τῷ ὁρισμῷ αὐτοῦ. Ἔστω πρόβλημα, Πότερον πᾶς ἄνθρωπος ἐστὶ διανοητικός;

Πᾶν ζῶον λογικὸν θνητὸν ἐστὶ διανοητικὸν,

Πᾶς

(1) Πρόβλημα. (2) Ὁρισμὸς τοῦ ἐν ἀρχῇ αἰτεῖσθαι.

Πᾶς ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητόν,
Πᾶς ἄρα ἄνθρωπος ἐστὶ διανοητικός.

Παρὰ ταῦτα λαμβάνεται τὸ ἀμφισβητούμενον ἐν τῷ οἰκείῳ γένει. Ἔστω πρόβλημα. Ἡ λογικὴ ψυχὴ ἐστὶν ἀθάνατος, ἢ οὔ;

Πᾶσα ζωὴ ἀθάνατος, ἡ λογικὴ ψυχὴ ἐστί τι εἶδος ζωῆς, ἄρα ἡ λογικὴ ψυχὴ ἐστὶν ἀθάνατος. Καὶ οὕτως. Πᾶσα ψυχὴ ἀθάνατος, ἡ τοῦ ἀνθρώπου μορφὴ ἐστὶ ψυχή, ἄρα ἡ τοῦ ἀνθρώπου μορφὴ ἐστὶν ἀθάνατος. συμπεριέλαβε γὰρ ὁ συλλογιζόμενος ἐν τῇ μείζονι τὸ συμπέρασμα. Τὸ γὰρ λημθὲν ἐπὶ τῆς μείζονος ἡ ζωὴ ἁπλῶς ὡς γένος ὑπάρχει τῷ περὶ οὗ ἀμφισβητεῖται, τῇ τοῦ ἀνθρώπου δηλονότι ψυχῇ.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Σκοπὸς ἐπὶ τοῦ τρίτου μέρους τῷ Φιλοσόφῳ τὰ ὁμογενῆ τοῦ συλλογισμοῦ, ἤτοι τοὺς ὁπωσδήποτε πιστωτικοὺς λόγους διδάξαι, καὶ εἰτίς ὅζιν αὐτοῖς ἀνάγκη ἐπὶ τὰ ἐκτεθέντα συλλογιστικὰ σχήματα δεῖξαι ἀναγομένους. Δύο δὲ γένη εἰσὶ τῶν πιστωτικῶν λόγων, ὧν τὸ μὲν τέχνης εἰς (1) πίστωσιν δέεται, τὸ δὲ τέχνης (2) ἀπενδεές. Εἰσὶ δὲ τοῦ τέχνης δεομένου εἴδη τέτταρα, Συλλογισμὸς, Ἐπαγωγὴ Ἐνθύμημα, καὶ Παράδειγμα. ὧν ὁ μὲν Συλλογισμὸς καὶ ἡ Ἐπαγωγὴ τοῖς φιλοσοφοῦσιν οἰκεῖα. τὸ δὲ Ἐνθύμημα καὶ Παράδειγμα ῥήτορσιν ἴδια.

Περὶ Ἐπαγωγῆς.

Ὥρισαι δὲ ἡ Ἐπαγωγὴ ἐν τοῖς Τοπικοῖς ἁπλούστερον ὅτι ἐστὶν ἀπὸ τῶν καθ' ἕκαστα ἐπὶ τὸ καθόλου ἔφοδος. Δείξαντες γὰρ φέρε εἰπεῖν, ἢ ὅπως ἄλλως ὑποθέντες, τό,τε πῦρ, ὕδωρ, καὶ τὰ λοιπὰ στοιχεῖα ἁπλᾶ εἶναι σώματα, σωάγομεν καθόλου, πᾶν ἄρα στοιχεῖον ἁπλοῦν ἐστὶ σῶμα. Ἀκριβέστερον δὲ ἐπὶ τοῦ παρόντος ὑπογράφει ὁ Φιλόσοφος τὴν Ἐπαγωγὴν λέγων. (3) ὅτι ἐστὶ λόγος πιστωτικὸς διὰ τοῦ ἑτέρου, θάτερον


(1) Ὡς συλλογισμός. (2) Ὡς ὅρκοι, μαρτυρίαι. (3) Γρέον ὅτι ὁ μὲν συλλογισμὸς διὰ τοῦ μέσου (ἄχολον) σωάγει τὸ μεῖζον ἄκρον (μακρόβιον) κατὰ τοῦ ἐλάττονος, ἅπερ εἰσὶ τὰ καθ' ἕκασα. οἷον πᾶν ἄχολον μακρόβιον, πᾶσα κορώνη, ἀλλὰ τὰ λοιπὰ εἰσὶν ἄχολα, πᾶσα κορώνη τοίνυν ἀλλὰ τὰ λοιπὰ μακρόβια. Ἡ δὲ ἐπαγωγὴ, διὰ τοῦ ἑτέρου, ἤτοι τῶ ἐλάττονος ἄκρου (τὰ καθ' ἕκασα) σωάπτει τὸ μεῖζον ἄκρον (μακρόβια) τῷ μέσῳ (ἄχολον) φέρε εἰπεῖν, πᾶσα κορώνη, ἀλλὰ τὰ λοιπὰ μακρόβια, πᾶν ἄχολον κορώνη καὶ τὰ λοιπὰ, πᾶν ἄχολον μακρόβιον. ἡ γὰρ καίνπαῦθα τὸ ἔλαττον ἄκρον εἰ ἀ μέσου λόγον ἔχει τῷ σχήματι, ἀλλ' οὐδὲν ἧττον ἔλαττον ὑπάρχουσα, ἅτε δὴ τὰ καθολικώτερα φύσει τῷ ἧττω κατηγορεῖται.

περον ἄκρον καὶ τοῦ μέσου συλλογιζόμενος. Προβαίνει γὰρ ἀντεσταλμένως ἡ Ἐπαγωγὴ τῷ Συλλογισμῷ, ἐφ' ὅσον ἐκεῖνος μὲν διὰ τοῦ μέσου ὅρου τὸ μεῖζον ἄκρον τῷ ἐλάττονι συνάπτει. ἡ δὲ Ἐπαγωγὴ διὰ τοῦ ἐλάττονος ἄκρου βούλεται θάτερον, (ἤτοι τὸ μεῖζον ἄκρον) συλλογίσασθαι καὶ τοῦ μέσου. Μεῖζον δὲ καὶ ἔλαττον καὶ μέσον ἐννοεῖ τὰ ἐν τῷ συλλογισμῷ τοιαῦτα. οὐ γὰρ ἐν τῇ Ἐπαγωγῇ τὸν αὐτὸν ἔχει λόγον. ἀλλ' ὁ ἐν τῷ Συλλογισμῷ μέσος ὅρος, ἐν τῇ Ἐπαγωγῇ ἔλαττον ἄκρον γίνεται, τὸ δὲ ἔλαττον, μέσον. Ἔστι δὲ τὸ συναγόμενον δι' Ἐπαγωγῆς, οὐκ ἀληθὲς ἀκριβῶς, ὅτι συμπεραίνει καθόλου ἐπὶ τοῦ τέλους σχήματος παρὰ τοὺς συλλογιστικοὺς κανόνας. Ὑπάγεται δὲ ἐπὶ τοὺς κανόνας, ἀντιστραφείσης τῆς ἐλάττονος εἰς ἑαυτὴν καὶ ἀναχθέντος τοῦ συλλογισμοῦ ἐπὶ τὸ πρῶτον σχῆμα ἐν τῇ Γραμματι. Ἔστι δὲ ἀντιστρέψαι τινὶ ἐλάττω εἰς ἑαυτὴν καθόλου οὖσαν καταφατικὴν, τῷ ἀντιστρέφοντι τοὺς ὅρους αὐτῆς, εἰ πάντα τὰ καθ' ἕκαστα ἀπαριθμῶνται. Ἐν αἷς δὲ τοῦτο μὴ ἔστι δυνατὸν, ὑποτεθέντων πάντα ὁμοίως ἔχειν, ὡς ἐπὶ παραδείγματος. Ἔστω συλλογισμὸς ἐφ' οὗ συνάπτειν καθόλου, παῦ ἄχολον μακρόβιον. συλλογιστέον ὧδὶ δι' Ἐπαγωγῆς ἐν τῷ τέλει σχήματι.

Πᾶσα Κορώνη, Ἔλαφος, Ἐλέφας, καὶ ὅσα ἄλλα εἰσὶ μακρόβια,
Πᾶσα Κορώνη, Ἔλαφος, Ἐλέφας, καὶ ὅσα ἄλλα εἰσὶν ἄχολα.
Παῦ ἄρα ἄχολον ἐστὶ μακρόβιον.


Ἐφ' οὗ μείζων ὅρος τὸ μακρόβιον, τὸ δὲ ἄχολον ἐλάττων, τὰ δὲ καθ' ἕκαστα μέσον. ἀλλὰ παρὰ κανόνας ἐν τῷ τέλει σχήματι συνήγαγε τὸ καθόλου. Δεῖ οὖν ἀναγαγεῖν αὐτὸν ἐπὶ τὸ πρῶτον σχῆμα, ἀντιστρέψαντες τινὶ ἐλάττω πρότασιν, ὧδί.

Πᾶσα Κορώνη, Ἔλαφος, Ἐλέφας, καὶ ὅσα ἄλλα εἰσὶ μακρόβια,
Παῦ ἄχολον ἐστὶ Κορώνη, Ἔλαφος, Ἐλέφας, καὶ ὅσα ἄλλα,
Παῦ ἄρα ἄχολον ἐστὶ μακρόβιον. Καὶ οὕτω κανονικῶς τὸ καθόλου συνάγεται.



Pag. 430.

Ἦν δὲ τὸ προτεθὲν διὰ τοῦ κυρίως Συλλογισμοῦ σωσαῖμεν βουλόμεθα, ὧδὶ συλλογιστέον. Πᾶν ἄχολον ἐστὶ μακρόβιον. Κορώνη, Ἐλέφας, καὶ τὰ λοιπὰ εἰσὶν ἄχολα, ἄρα Κορώνη, Ἐλέφας, καὶ τὰ λοιπὰ εἰσὶ μακρόβια.



Pag. 431.

Χρήσιμος δὲ ἡ Ἐπαγωγὴ τοῖς φιλοσοφοῦσι μάλιστα ἐπὶ τῶν πρώτων, καὶ αὐτοπίστων (1) ἀρχῶν. οὐ γὰρ ἄλλως ἐκείνας ἐνδέχεται ἐμπεδῶσαι πρὸς τοὺς αἱρουμένους, ἢ δι' ἐπαγωγῆς ἀπὸ τῶν καθ' ἕκαστα. Ἔστι δὲ ἡ μὲν Ἐπαγωγὴ γνωριμωτέρα κατὰ τὴν αἴσθησιν, ἥτοι καθ' ἡμᾶς, καὶ τοῖς πολλοῖς κοινή. ὁ δὲ Συλλογισμὸς βιαιότερος, καὶ τῇ φύσει μᾶλλον γνώριμος, ἥπερ ἡμῖν.

Περὶ Παραδείγματος.


Τὸ Παράδειγμα ἀναλόγως ἔχει τῇ Ἐπαγωγῇ. ὃν γὰρ ἔχει λόγον παρὰ τοῖς Φιλοσόφοις ἡ Ἐπαγωγὴ, τὸν αὐτὸν ἔχει τὸ Παράδειγμα παρὰ τοῖς Ῥήτορσιν, οἷόπου καὶ τὸ Ἐνθύμημα τοῖς Ῥήτορσι γίνεται χρήσιμον, ὡς καὶ τοῖς φιλοσοφοῦσιν ὁ Συλλογισμός. Ὥσπερ γὰρ τὸ Ἐνθύμημα ἀθροισμὸς ἐστὶ συλλογισμὸς, οὕτω καὶ τὸ Παράδειγμα ἀθροισμὸς ἐπαγωγή. Μαρτυρεῖ τοῦτο ἐν τῷ πρώτῳ τῶν ὑστέρων Ἀναλυτικῶν ὁ Φιλόσοφος Κεφαλαίῳ πρώτῳ. Ἦν δὲ καὶ τὸ Παράδειγμα ἁπλούστερον ὑπογράψαι, ὅτι ἐστὶ λόγος πιστικὸς, μεμικοῦτινος καὶ ἀμφισβητουμένου διὰ γνωρίμου τινὸς, ᾧ αὐτοῦ μεμικοῦ. Ἀκριβέστερον μέντοι ὁ Φιλόσοφος καὶ ὁποῖόν ἐστὶ τὸ ἀναγκαῖον τῆς διαφορᾶς αὐτοῦ, ἅμα δηλῶσαι βουλόμενος ὑπογράφει ἐπὶ τοῦ παρόντος, Ὅτι ἐστὶ λόγος καθ' ὃν θάτερον τῶν ἄκρων δείκνυται ὑπάρχειν τῷ μέσῳ, διὰ τοῦ ὁμοίου τῷ τρίτῳ, τουτέστι διάτινος τετάρτου ὅρου, ὁμοίου τῷ ἐλάττονι ἄκρῳ, ὅπερ ἐνταῦθα τρίτον προσηγόρευσεν ὁ Φιλόσοφος.

Ἔοικε

(1) Προτάσεων.

Ἔοικε δὲ κατὰ τὴν ὑπογραφὴν ταύτην μὴ δι' ὅλου ἀπαρτίζεσθαι συλλογισμοῦ τὸ παράδειγμα. τεττάρων γὰρ προσλαμβανομένων ἐπὶ τοῦ παραδείγματος ὅρων, δύο ἀναγκαίως συντεθέον συλλογισμούς, ὧν ὁ μὲν πρῶτος συλλογισμὸς ἐπὶ τοῦ τρίτου σχήματος τὴν μείζονα συνάγει τοῦ δευτέρου συλλογισμοῦ, καὶ ἔστιν οὗτος, οἷον ἐπαγωγὴ ἀτελής, πρὸς ὃν μάλιστα ἀφορᾷ ἡ ἐκτεθεῖσα ὑπογραφή. ἐν τούτῳ γὰρ ἡ τοῦ παραδείγματος εἰδητικὴ συνέστηκε διαφορά. ὁ δὲ λοιπὸς συλλογισμὸς τὸ συναχθὲν ἐπὶ τοῦ πρώτου ἀρχὴν ποιησάμενος, σχηματίζεται κατὰ τὸ πρῶτον σχῆμα. Σαφῆ δὲ ἔσται τὰ εἰρημένα προχειρισαμένοις, ὃ καὶ ὁ Φιλόσοφος κέχρηται παράδειγμα. Ἔστω πρῶτον ὃ καὶ ἄκρον φησὶν ὁ Φιλόσοφος τὸ κακόν. Δεύτερον ὃ καὶ μέσον εἴρηκε, τὸ πρὸς ὁμόρους ἀναιρεῖσθαι πόλεμον. Τρίτον τὸ Ἀθηναίους πρὸς Θηβαίους. Τέταρτον ὅμοιον τῷ τρίτῳ τῷ Θηβαίους πρὸς Φωκεῖς. Πλέκεται οὖν συλλογισμὸς τοιοσδί.

Ἡ μάχη τῶν Θηβαίων πρὸς Φωκεῖς κακόν,
Ἡ μάχη τῶν Θηβαίων πρὸς Φωκεῖς, ἢν μάχη πρὸς ὁμόρους.
Ἄρα ἡ μάχη πρὸς ὁμόρους κακόν.
Ἡ μάχη πρὸς ὁμόρους ἐστὶ κακόν,
Ἡ μάχη τῶν Ἀθηναίων πρὸς Θηβαίους ἐστὶ μάχη πρὸς ὁμόρους.
Ἄρα ἡ μάχη τῶν Ἀθηναίων πρὸς Θηβαίους κακόν.



Μάχη Θηβαίων πρὸς Φωκεῖς. Pag. 432.

Ὅτι μὲν οὖν ἀτελὴς ἐστὶν ἐπαγωγὴ τὸ Παράδειγμα, πρόδηλον. ἐπαγωγὴ μὲν, ὅτι ἐπὶ τοῦ τρίτου σχήματος ὁμοίως ἐκείνῃ σχηματίζεται. ἀτελὴς δὲ, ὅτι τῆς μὲν ἐπαγωγῆς αὐτέστρεφεν ἡ ἐλάττων. διὸ καὶ ὀρθῶς ἀνήγετο ἐπὶ τὸ πρῶτον σχῆμα. τοῦ δὲ παραδείγματος αὐτιστρέφει μὲν ἡ ἐλάττων, οὐ σώζεται δὲ ἐκ τούτου τὸ καθόλου. Ἐπὶ γὰρ τῆς ἐνδεχομένης ὕλης, ἐνδέχεται τὸν ἐπὶ μέρους ἀληθεύειν ψευδομένης τῆς καθόλε. Διὸ ἡ μὲν Ἐπαγωγὴ ἐπειδὰν ἀπὸ πάντων προέλθῃ τῶν κατὰ μέρος, τὸ συναγόμενον πάντως ἀληθεύει. Τὸ δὲ Παράδειγμα πιθανότητα μέν τινα ποιεῖ, οὐ μὴν καὶ ἀνάγκην. Διενήνοχε δὲ καὶ τοῦ συλλογισμοῦ τὸ

Παρά-

παράδειγμα, ὅτι ὁ μὲν ἀπὸ τοῦ ὅλου ἐπὶ τὸ ὅλον, ἢ μέρος προβαίνει, τὸ δὲ ἀπὸ μέρους ἐπὶ μέρος τὴν μετάβασιν ποιεῖται.

Περὶ Ἐνθυμήματος.

Διαφέρονται περὶ Ἐνθυμήματος οἱ Φιλόσοφοι πρὸς Ῥήτορας, καὶ οὐδὲ πρὸς ἀλλήλους εἰσὶ σύμφωνοι. παρὰ μὲν γάρ τισι τῆς Ῥητόρων Ἐνθυμήματα εἴωθε λέγεσθαι τὰ ἐξ ἀντικειμένων ἐπιχειρήματα, οἷον ὃν ἐπαινεῖς τοῦτον κολάζεις; καὶ ἃ χλευάζεις ταῦτα ἐργάζῃ; Καὶ ἄλλως, εἰ ὁ φίλος ἐστὶν εὐεργετικὸς, ὁ ἐχθρὸς κακοποιὸς ἔσαι. Παρὰ δὲ τοῖς φιλοσοφοῦσι τῆς (1) νεωτέρων Ἐνθύμημα εἴωθε λέγεσθαι, συλλογισμὸς ἀτελὴς, οὗ δηλονότι ἡ ἑτέρα ἐλλείπει πρότασις, εἴτε ἡ μείζων, εἴτε ἡ ἐλάττων, ὁποία ποτ' ἂν εἴη. οἷον ὁ δεῖνα νύκτωρ πλανᾶται, κλέπτης ἄρα. ἢ οὕπως (2) ἐπιβλαβὲς Ἀθηναίοις γέγονε Πεισιστράτῳ παραχωρῆσαι σωματοφύλακας, καὶ Θρασυβούλῳ ἄρα παραχωρῆσαι τοὺς αὐτοὺς ἔσαι βλαβερόν. Παρὰ δὲ τῷ Φιλοσόφῳ φέρεται ὁριζόμενον τὸ Ἐνθύμημα, ὅτι ἐστὶ συλλογισμὸς ἐξ εἰκότων ἢ σημείων, τὸ δὲ ἀτελὴς ἐν τοῖς μάλιστα γνησιωτέροις τῆς ἀντιγράφων οὐ κεῖται. ~~καίτοι δοκεῖ πεί~~σακτον εἶναι ἐν οἷς φαίρεται, διὰ πολλά. Πρῶτον ὅτι ἀτελεῖς συλλογισμοὺς ἐν ἀρχῇ τοῦ πρώτου τῆς προτέρων Ἀναλυτικῶν ὁ Φιλόσοφος ὁρίζεται, τοὺς μὴ (3) πρόδηλον ἔχοντας τὸ ἀναγκαῖον τῆς (4) ἐπιφορᾶς, ἀλλὰ διὰ τοῦ πρώτου σχήματος ἐμπεδουμένους. Δεύτερον ὅτι ἐξ εἰκότων ἔφη, ἢ σημείων εἶναι τὸ Ἐνθύμημα ἐπὶ τοῦ παρόντος, οὐκ ἄρα ἐκ μιᾶς προτάσεως. Ἀλλ' ἀντιφέρουσι πρὸς ταῦτα ἐκ τῆς Ἀριστοτέλους ἐν τῷ πρώτῳ τῆς πρὸς Θεοδέκτην ῥητορικῶν κεφαλαίῳ δευτέρῳ λέγοντος, τὸ Ἐνθύμημα ῥητορικὸν εἶναι συλλογισμὸν, ἐξ ὀλίγων τε καὶ πολλάκις (5) ἐλαττόνων, ἢ ἐξ ὧν ὁ πρῶτος συλλογισμός. Τοῦτο δὲ οὐ μᾶλλον πείθει τὸ προκείμενον ἐκείνοις, ἢ τὸ ἀντικείμενον. εἰ γὰρ πολλάκις τοῦτο γίνεται φησὶν, οὐκ ἄρα ἀεί. τὸ δὲ μὴ ἀεὶ πρόσον, οὐκ εἰσέρχεται εἰς τὸν ὁριστικὸν λόγον. Εἶτα εἰ καὶ παραλείπεται πολλάκις ἡ ἑτέρα τῆς προτάσεων ἐπὶ τῆς τοιούτων συλλογισμῶν, ἀλλ' ἐξακούεται ὅμως εἰς ἐκπλήρωσιν τῆς ἐννοίας. οὐδὲν ἄρα διαφέρει κἂν μὴ πρόσκειται ἐνεργείᾳ. Καὶ

(1) Παλαιῶν. (2) Ἢ μείζων παραλείπεται, παντὶ τῆς σωματοφύλακας παραχωρηθέντι ὑπὸ τῆς ἄλλων βλάβη προσέτι ψευδῶν. (3) Τοῦ δευτέρου καὶ τείτου σχήματος. (4) Συμπέρασμα. (5) Ἀπαίτων μειζόνων.

γὰρ αἱ πίστεις, καὶ αἱ ἀποδείξεις, οὐ πρὸς τὸν ἔξω λόγον, ἀλλὰ πρὸς τὸν ἐν τῇ ψυχῇ, ὡς ἐν τῷ πρώτῳ λέγεται τῆς ὑστέρων Ἀναλυτικῶν κεφαλαίῳ ὀγδόῳ, ἀναφέρονται.

Εἰς κατάληψιν δὲ τῆς ὑπογραφῆς τοῦ Ἐνθυμήματος ὁ Φιλόσοφος ἐφεξῆς ὁρίζεται τὸ εἰκὸς καὶ τὸ σημεῖον, καὶ διαιρεῖ καὶ ἀναπτύσσει. Εἰκὸς οὖν φησὶν εἶναι πρότασιν σύνδοξον τῆς ὡς ἐπὶτοπολὺ λεγομένων, ἢ ὄντων, ἢ μὴ ὄντων. οἷον, εἰκὸς ἐστὶ τοὺς μητέρας φιλεῖν τὰ τέκνα, καὶ τοὺς φθονουμένους μισεῖν τοὺς φθονοῦντας. ὡς τὰ πολλὰ γὰρ τοῦτό ἐστιν. ἢ κατὰ φύσιν. οἷον, εἰκὸς ἐστὶ πνίγος γενέσθαι ὑπὸ Κυνὸς καὶ μὴ ὄμβρον, καὶ ἀνωμαλίαν ἀέρος, συμποδιζούσης Σελήνης, οὐ μὴν ἀναγκαίαν. Τὸ δὲ σημεῖον ὁρίζεται τῷ Ἀριστοτέλει, ὅτι ἐστὶ πρότασις ἀποδεικτικὴ, ἢ ἀναγκαία, ἢ σύνδοξος. Εἴτε δὲ ξιμερὲς τὸ σημεῖον. τὸ μὲν γὰρ ὄζειν ἀντίστροφον τῇ αἰτίᾳ, καὶ ἀναγκαῖον. ὃ καὶ καλεῖται τεκμήριον. οἷον, τοῦ ζῶντος τὸ ἀναπνεῖν. Τὸ δὲ ἐπιπλέον. οἷον, τοῦ πυρέττειν τὸ πνευστιᾶν. δυνατὸν γὰρ καὶ ὑπὸ δρόμου καὶ ὑπὸ ἄλλου τινὸς τοῦτο γενέσθαι. Τὸ δὲ ἐπ' ἔλαττον. οἷον, τοῦ πυρὸς ὁ καπνός. δυνατὸν γὰρ καίεσθαι πῦρ μὴ καπνῷ ἀναθρώσκοντος. Καὶ ἀπὸ μὲν τοῦ ἐπιπλέον συλλογιζόμεθα πιθανῶς μὲν, οὐκ ἀναγκαίως δέ. ἀπὸ δὲ τοῦ ἐπ' ἔλαττον συλλογιζόμεθα ἀναγκαίως. Ὁ δὲ Φιλόσοφος ἐπὶ τοῦ παρόντος ἀρκεῖται τὰ σημεῖα κατὰ τὴν διαίρεσιν τῆς συλλογιστικῶν σχημάτων. Ἢ ὃ ἐν τῷ πρώτῳ σχήματι, ὁ ἐκ σημείων συλλογισμὸς, οἷον ἡ ἔχουσα γάλα σεσήλαβεν. ἥδε γυνὴ ἔχει γάλα, ἄρα σεσήλαβεν. Ἢ ἐν τῷ δευτέρῳ, ἡ νύσσα ἐστὶν ὠχρά. ἥδε ἐστὶν ὠχρά, ἄρα νύσσει. Ἢ ἐπὶ τοῦ τρίτου, ὁ Πιττακὸς ἐστὶν ἀγαθὸς, ὁ Πιττακὸς ἐστὶ σοφὸς, οἱ σοφοὶ ἄρα ἀγαθοί. Τὸ μὲν οὖν ἐπὶ τοῦ πρώτου σχήματος (εἰ μὴ κατὰ τὴν ὕλλου ἁμαρτάνει) ὁ Φιλόσοφος βούλεται ἄλυτον εἶναι, ὃ καὶ καλεῖται τεκμήριον. Τὸ δὲ ἐπὶ τοῦ τρίτου σχήματος, λύσιμον, καὶ οὐδὲ τὸ προκείμενον συνάγον. οὐ γὰρ ἐστὶν ἐκ μερικοῦ τινος συναγαγεῖν τι καθόλου. Τὸ δὲ ἐν τῷ δευτέρῳ σχήματι οὐ μόνον λύσιμον, ἀλλὰ καὶ παραλογίζεται. ἁμαρτάνει γὰρ κατὰ τὸ σχῆμα, καταφατικὸν συνάγον τρόβλημα. Εἴρηται δὲ τὸ σημεῖον πρότασις ἀποδεικτικὴ ἀναγκαία, διὰ τὸ τεκμήριον, σύνδοξος δὲ διὰ τὸ σημεῖον. τὸ γὰρ ἀποδεικτικὴ ἐνταῦθα πλατύτερον ἐκλαμβάνει, ἐφ' ὅσον ἐπὶ τὸ ἀναγκαίου καὶ ἐνδόξου ἐκτείνεται.

Διαφέρει δὲ τοῦ σημείου τὸ εἰκὸς, ὅτι τὸ μὲν εἰκὸς καθ' ἑαυτὸ θεωρεῖται, οἷον τοὺς φιλοῦντας εἰκὸς ἐστὶν ἀντιφιλεῖν, τὸ δὲ σημεῖον, πρὸς τὴν πρὸς ὃ ὄζει σημεῖον, οἷον τὸ γάλα ἔχειν σημεῖον ἐστὶ τῆς συλλήψεως, καὶ

τ' ἄλλα

τ' ἄλλα ὁμοίως. Εἶτα τὸ μὲν εἰκὸς οὐδέποτε ἐστὶν ἀναγκαῖον, ἀλλ' ἀεὶ πιθανὸν, ἐνδέχεται γὰρ καὶ τὸ ἀντικείμενον, τὸ δὲ σημεῖον ἔστιν ὅτε τυγχάνει ἀναγκαῖον, οἷον ἐπὶ τὸ τεκμήριον.

ΕΙΣ ΤΑ ΥΣΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ.

ΕΙ καὶ τὸ ἐργῶδες τῆς πραγματείας δυσαντίβλεπτον ἀπεργάζεται τῇ ἑρμηνείαν, καίπου καὶ τὸ τοῦ καιροῦ κατεπεῖγον παραιτητέον τῇ ἐγχείρησιν πείθει, ἀλλ' ἐς τὸ χρήσιμον τῆς θεωρίας, μᾶλλον δὲ τὸ ὑμῖν σωῒζόμενον ἀφορῶντες, ἐκ ἀνεκτὸν ἡγούμεθα, μὴ καίτινα παραδοῦναι γνώσιν, εἰ καὶ μὴ πάνυ, ἀλλὰ γοῦν τῶν ἀναγκαιοτέρων, καὶ ὅλως, καὶ ἐφ' ὅσον ἡμῖν ὁ καιρὸς ἐπιτρέπει. πρὸν δὲ προσελθεῖν τῇ ἀριστοτελικῇ λέξει, ὀλίγα τινὰ τῶν εἰωθότων προλαμβάνεσθαι προθεωρητέον.

Τί τὸ ζητούμενον καὶ ὁ λόγος ἐπὶ τῆς παρούσης πραγματείας.

ΗΠόρηται περὶ τοῦ τί τὸ περὶ οὗ ὁ λόγος ἐν τοῖς προκειμένοις βιβλίοις, καὶ τοῖς πάλαι, καὶ νῦν διαπεφώνηται ὑπομνηματισαῖς περὶ τούτου. Οἱ μὲν βούλονται τὸ περὶ οὗ ὁ λόγος ἐνταῦθα, τῇ ὕλῃ τῆς ἀποδείξεως εἶναι, οὐ μὴν δὲ τῇ ἀποδείξει, ἀλλ' οὐκ ὀρθῶς δοξάζουσιν. ἡ γὰρ ὕλη ἐπὶ τῆς ἀποδείξεως συσατικῆς διαφορᾶς ἔχηκε λόγον. καὶ οὐκ ἔστι ταυτὸν εἰπεῖν περὶ τῆς ἀποδείξεως τῆς ὕλης διαλαμβάνειν, καὶ περὶ αὐτῆς τῆς ἀποδείξεως, ἥπερ ἐστὶν ἀπόδειξις. ὥσπερ οὐδὲ ταὐτὸν ἐστὶν εἰπεῖν περὶ λογικοῦ, καὶ περὶ ἀνθρώπου, ἥπερ ἐστὶ λογικός.

Δεύτερα δόξα.

ΟΙ δὲ ὑποτιθέμενοι ἐν τῷ δευτέρῳ τῆς παρούσης πραγματείας βιβλίῳ διειλῆφθαι τῷ Φιλοσόφῳ περὶ ὁρισμοῦ, καὶ διατοῦτο τῇ ενότητα τῆς πραγματείας διασῶσαι σπουδάζοντες, οὐδέτερον καθ' αὑτὸ εἶναι φασὶ τὸ περὶ οὗ ὁ λόγος ἐνταῦθα, οὔτε τῇ ἀποδείξει, οὔτε μὴν τὸν ὁρισμὸν, ἀλλά τι καθολικώτερον κοινὸν ἀμφοῖν, οἷον φασὶν εἶναι τὸν

ζόπον τοῦ ἐπίστασθαι. δι' ἀμφοτέρων γὰρ ἐπιστάμεθα, τοῦτε ὁρισμοῦ, καὶ τῆς ἀποδείξεως. διὰ μὲν τοῦ ὁρισμοῦ τὴν οὐσίαν τῆς ὄντων, διὰ δὲ τῆς ἀποδείξεως τὰ πάθη τῆς αὐτῆς. Ἀλλ' οὐδὲ τούτων ἡ δόξα παραδεκτέα. ἤρτηται γὰρ ψεύδους ὑποθέσεως παρὰ τὴν διδασκαλίαν τὴν ἐν τῷ δευτέρῳ βιβλίῳ. οἴονται δὲ ἐν ἐκείνῳ τὸν Φιλόσοφον διαλαμβάνειν περὶ τοῦ ὁρισμοῦ καθ' ἑαυτὸν, ἀλλὰ μὴ ὡς ἀναφερόμενον ἐπὶ τὴν ἀπόδειξιν.

Δήλωσις τῆς ἀληθείας.

Ἡμῖν δὲ διαμεμνῆσθαι ἐπὶ τῆς ἀριστοτελικῆς διδασκαλίας, καὶ τῆς κοινῆς τῆς παλαιῶν δόξης. αὐτὸς γὰρ ἐν κεφαλαίῳ ζ΄ τοῦ πρώτου τῆς προτέρων Ἀναλυτικῶν, ἔνθα τὴν παροῦσαν προαναφωνεῖ πραγματείαν, σαφῶς ὁμολογεῖ ταύτην περὶ ἀποδείξεως ἐσομένην. φησὶ „ γὰρ, λέγομεν ἤδη, διὰ τίνων, καὶ πότε, καὶ πῶς γίνεται πᾶς συλλο„ γισμὸς, ὕστερον δὲ λεκτέον περὶ ἀποδείξεως. καὶ συμπεραίνων πάντα „ τὸν περὶ ἀναλύσεως λόγον, ἐν τῷ τέλει τῶν ιζ΄. κεφαλαίου, ἐν τῷ δευτέ„ ρῳ βιβλίῳ τῆς ὑστέρων φησί. περὶ μὲν οὖν Συλλογισμοῦ καὶ Ἀποδεί„ ξεως, τίνε ἑκάτερόν ἐστι, καὶ πῶς γίνεται, φανερόν. ἅμα δὲ καὶ περὶ „ Ἐπιστήμης ἀποδεικτικῆς, ταυτὸν γάρ ἐστιν. οὐδὲ μίαν ποιησάμενος μνήμην τοῦ ὁρισμοῦ φαίνεται, καίτοι μακρότερον περὶ ἐκείνου διειλημφὼς ἐν τῷ αὐτῷ βιβλίῳ. Ἀλλ' ἐπειδὴ μὴ καθ' αὑτὸ ἡ διάληψις ἦν, ἀλλ' ἐφ' ὅσον γίνεται μέσον τῆς ἀποδείξεως, διὰ τοῦτο οὐδὲ ὡς μέρους τῆς Θεωρίας ἐμνήσθη τούτου συμπεραίνων τὴν διάσκεψιν. Κεῖθεν τοιγαροῦν ἐνταῦθα εἶναι ἐν ἀμφοτέροις τοῖς βιβλίοις τὸ περὶ οὗ ὁ λόγος ἡ ἀπόδειξις ἥπερ ἐστὶν ἀπόδειξις.

Περὶ τῆς ἐπιγραφῆς τῶν βιβλίων.

Ἐπιγράφεται δὲ ἡ πραγματεία Ἀναλυτικά. τί δέ ἐστιν ἀνάλυσις, εἴρηται ἐν ἀρχῇ τῆς προτέρων, καὶ ὅτι ἐστὶ διττή. ἡ μὲν ἀναλύουσα ἐπὶ τὰς αἰτίας ἐξ ὧν ἤρτηται ἡ ἐπιφορὰ τοῦ συλλογισμοῦ. ἡ δὲ ἐπὶ τὰς αἰτίας, ἐξ ὧν ἤρτηται τὸ ἀναγκαῖον τοῦ σωναγομένου πράγματος, περὶ ἧς ἐπὶ τοῦ παρόντος, ἥτις εἰκότως καὶ ὕστερα εἴρηται πρὸς τὴν προτέραν ἀναφερομένη. Ἐκείνη γὰρ ἐπὶ τὸ εἶδος ἀναφέρεται τοῦ συλλογισμοῦ, ὅπερ ἐστὶ κοινὸν πᾶσι τοῖς συλλογισμοῖς, καὶ γένους ἔχει λόγον πρὸς

πᾶν

παῦ εἶδος συλλογισμοῦ, ἄυτη δὲ ἰδία θεωρεῖται περὶ τὴν ὕλην τοῦ ἐπιστημονικοῦ συλλογισμοῦ, ἥτις διαφορᾶς τόπον ἐπέχει, καὶ συστατικὴ γίνεται τοῦ ἐπιστημονικοῦ εἴδους τῆς συλλογισμῶν.


Περὶ τῆς τάξεως ἣ κέχρηται ὁ Φιλόσοφος ἐπὶ τῆς προκειμένης πραγματείας.

Ε"Τι δὲ καὶ ἀπὸ τῆς τάξεως, ἣ κέχρηται ὁ Φιλόσοφος, δηλοῦται τὸ αἴτιον τῆς ἐπιγραφῆς τῆς βιβλίων. Ε"σι δὲ ἡ τάξις ἀναλυτικὴ, ἀπὸ τοῦ (1) τέλους ἀρχομένη, καὶ προβαίνουσα ἐπὶ τὴν θεωρίαν (2) τῆς πρὸς τὸ τέλος. Ε'κτέθεικε γὰρ τὸν ὁρισμὸν τῆς ἐπιστήμης, ὅπερ ἐστὶ τέλος τῆς ἀποδείξεως, προσεχῶς ἀποδίδωσι τὸν ὁρισμὸν τῆς ἀποδείξεως, καὶ ἐφεξῆς ἀπαριθμεῖ τὰς συστατικὰς ἰδιότητας τῆς αὐτῆς, ἃς ἅπαντος τὸ πρῶτου, μάλιστα δὲ διὰ πάσης τῆς πραγματείας πολυπραγμονεῖ.

Περὶ διαιρέσεως τῆς πραγματείας.

Ε'Ν τῷ πρώτῳ βιβλίῳ ὁ Φιλόσοφος διαλαμβάνει περὶ τῆς ἀρχῶν τῆς ἀποδείξεως, καὶ ἰδιωμάτων τῆς αὐτῆς, ἀλλὰ δὴ καὶ ἀντικειμένων, καὶ ὅπως ποτε ἄλλως ἀναφερομένων ἐπὶ τὴν ἀπόδειξιν. Ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ περὶ Ο'ρισμοῦ φαίνεται διασκεπτόμενος, ἣ πέφυκε γίνεσθαι μέσον τῆς ἀποδείξεως. ἀλλ' οὐ περὶ τούτου μόνου. ζητεῖται γὰρ ἐπὶ τοῦ αὐτοῦ, καὶ πόσα τὰ (†) ζητούμενα ἐφ' ἑκάστου τῆς ὄντων, καὶ ὅτι ἰσαχῶς τούτοις τὰ γινωσκόμενα συμβαίνει γίγνεσθαι, ὅσαις τε αἰτίαις κέχρηται ἡ ἀπόδειξις, καὶ πολλὰ ἄλλα. ἅπερ ἔξεσιν ἐπ' αὐτοῦ τῷ ἀναγινώσκοντι διαγνῶναι. Ο'θεν ὥσπερ ὁ Α'λέξανδρος περὶ τοῦ δευτέρου τῆς προτέρων ἔλεγε, περὶ τῆς ὑπολοίπων εἶναι τοῦ πρώτου, ὁμοίως κἀνταῦθα εἰπεῖν ἔξεσι, τὸ δεύτερον τῆς ὑστέρων περὶ τῆς ὑπολοίπων διαλαμβάνειν τοῦ πρώτου,

(1) Συμπεράσματος. (2) Προτάσεων.



του, ὅσα δηλαδὴ ἐν τῷ πρώτῳ, ἵνα μὴ διακόπτοιτο ἡ διδασκαλία, ἢ ὅπως ἄλλως, ἔτυχε παραλειπὼν ὁ Φιλόσοφος.

Διαίρεσις τοῦ πρώτου Βιβλίου.

Ἐπὶ δὲ τοῦ πρώτου βιβλίου δέδωκεν ἐν προοιμίῳ ὑποτίθησιν ὁ Φιλόσοφος ἀδιακρίτως καὶ συγκεχυμένως τὴν Ἐπιστήμην καὶ Ἀπόδειξιν. ἐν δὲ τῷ δευτέρῳ κεφαλαίῳ τί ἐστιν Ἐπιστήμη καὶ Ἀπόδειξις παραδεδοκὼς, ἄρχεται τῆς διδασκαλίας τῶν ἀρχῶν τῆς Ἀποδείξεως, ἣν καὶ παρατείνει μέχρι τοῦ τρίτου καὶ τετάρτου κεφαλαίου. Ἐντεῦθεν διαλαμβάνει περὶ τῶν ἀντικειμένων τῆς ἀποδείξεως μέχρι τοῦ ὀγδόου καὶ δεκάτου. ἐφεξῆς δὲ περίτινων ἰδιωμάτων τῆς ἀποδείξεως καὶ συγγενῶν τῆς αὐτῆς, τὴν διάσκεψιν ποιεῖται μέχρι τέλους τοῦ ὅλου βιβλίου.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Πᾶσα (1) διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ, ἐκ (2) προϋπαρχούσης γίνεται γνώσεως.

Ἐπὶ τῷ προτεθέντος ἀξιώματος ὑποτίθησιν ὁ Φιλόσοφος, ὡς εἴρηται, τὴν Ἐπιστήμην, καὶ Ἀπόδειξιν. ἐν γὰρ τῷ ὑποκειμένῳ ὅρῳ τούτου, τῷ τῆς διδασκαλίας καὶ μαθήσεως ὀνόματι ἐννοεῖται ἁπλῶς πᾶσα γνῶσις καὶ μάθησις, ὁποία ποτ' ἂν εἴη διανοητική. τοιαύτη δὲ ἐστὶ καὶ ἡ ἀποδεικτικὴ λεγομένη Ἐπιστήμη. Ἀποκλείεται δὲ τῆς τοιαύτης διδασκαλίας, ἥτε τῶν ἀρχῶν Ἐπιστήμη, καὶ ἡ δι' αἰσθήσεως γνῶσις, αἵπερ οὐκ εἰσὶ διδασκαλίαι διανοητικαί. ἄλλως γὰρ οὐκ ἐπ' ἄπειρον προελθεῖν, ἄλλην πρὸ ἄλλης διδασκαλίαν καὶ γνῶσιν ζητοῦντας. Ἐπὶ δὲ τῷ κατηγορεμένῳ ἐν τῷ προβλήματι, τῷ τῆς προϋπαρχούσης γνώσεως προσρήματι, ἐννοεῖται πᾶς λόγος πιστωτικὸς, δι' οὗ συμβαίνει, ἢ ἐμμέσως σωκράτεσθαί τι, μάλιστα δὲ ἁπλῶς, πᾶσα προϋπάρχουσα γνῶσις ἀμέσως συμβαλλομένη τῷ ὑποχειρουῶτι εἰς γνῶσιν τοῦ δεικνυμένου, ὁποία δήπου ἐστὶ καὶ ἡ γνῶσις τῶν ἀρχῶν, ἐξ ὧν ἡ ἀπόδειξις. Ἀμφότερα τοίνυν καὶ Ἐπιστήμη καὶ Ἀπόδειξις συγκεχυμένως ὑποτίθενται ἐπὶ τοῦ προτεθέντος ἀξιώματος. Εἰ δὲ πᾶν ἀξίωμα, πρότασις ἀναπόδεικτος, καὶ καθ' ἑαυτὴν γνώ-

1 ἢ ἐμμέσως

ειμος.

(1) Ὑποκείμενον. (2) Κατηγορούμενον.

ειμος. Ὁ Φιλόσοφος μέντοι τὸ προπεθὲν ἐμπεδοῦται ἐφεξῆς δι' ἐπαγωγῆς ἀπὸ τῶν καθ' ἕκασα ἐπισημῶν καὶ τεχνῶν, ὅσαι κέχρηνται ὁπωσοῦν λόγῳ πιστικῷ.

Σκεπτέον ἐπὶ τῆς λέξεως.

Ἔστι δὲ διδασκαλία καὶ μάθησις ταυτὸν μὲν τῷ ὑποκειμένῳ, τῇ χέσει δὲ διάφορον. Λέγεται γὰρ Διδασκαλία ἡ γνῶσις, ἣν ἀπὸ τοῦ διδασκάλου λαμβάνομεν. Μάθησις δὲ ἡ αὐτὴ γνῶσις καθὸ ταύτην μανθάνομεν διδασκόμενοι. Προσέτι δὲ καὶ ἐκείνη ἡ γνῶσις σημαίνεται, ἣν καθ' ἡμᾶς αὐτοὺς ἀναπολοῦντες, ἢ ἀναγινώσκοντες ἐκ τῶν βιβλίων ποιεῖζόμεθα. Εἴωθε δὲ ὁ Φιλόσοφος τὰς ἀξιωματικὰς ἀρχὰς σωίσαν τισὶ ζόποις, ἢ τῇ ἀναπτύξει τῶν ὅρων, ἢ ἐκ τῆς κοινῆς ὑπολήψεως, ἢ δι' ἐπαγωγῆς ἀπὸ τῶν καθ' ἕκασα, ὥσπερ ἐνταῦθα.

Περὶ τῶν ζητουμένων ἢ γινωσκομένων περὶ ἑκάςου.

„ Διχῶς δ' ἀναγκαῖον προγινώσκειν.

Παραδίδωσιν ὁ Φιλόσοφος ἐφεξῆς τὴν προϋπάρχουσαν γνῶσιν, ὁποίαν ποτὲ εἶναι δεῖ, καὶ τίνων. Καὶ πρῶτον προβάλλει δύο ζόπους τῆς γινώσκειν, τὸν μὲν, εἰ ἐςὶ, τὸν δὲ τί ἐςὶν. Εἰσὶ δὲ καὶ ἄλλοι δύο ζόποι γνωσικοὶ τῶν ὄντων, οὓς ἀποδίδωσιν ὁ Φιλόσοφος ἐν ἀρχῇ τῆς δευτέρας βιβλίου τῶν ὑςέρων, ὅτι ἐςὶ (δηλαδὴ τὸ ζητούμενον) τοιοῦτον, καὶ διατί ἔζιν. ἀλλ' οἱ προῤῥηθέντες δύο, ἀναγκαίως προϋποτίθενται ἑκάσης ἀποδείξεως. διὸ καὶ ἀρχαὶ προγνωσικαὶ καὶ προγνώσεις προσαγορεύονται. οἱ δὲ λοιποὶ δύο δι' ἀποδείξεως σωάγονται.

Ἐννοοῦνται δὲ αἱ διαληφθεῖσαι προγνώσεις, ἡ μὲν πρώτη εἰ ἐςὶ, εἰ ὅλως ἐςὶ δηλαδὴ τὸ ζητούμενον ἐν τῇ φύσει τῶν ὄντων ὑπάρχον, ἢ γοῦν ἐν δυνάμει φυσικῇ ὂν τοῦ ὑπάρχειν χρόνῳ ὡρισμένῳ. Λέγεται δὲ ζητούμενον μὲν, διὰ ἐςὶν, ὑποτιθέμενον δὲ, διότι ἐςί. Τὴν δὲ δευτέραν πρόγνωσιν διχῶς ἐνδέχεται ἐννοεῖν, ἢ τί ἐςι τουῦαμα, δηλαδὴ τί σημαίνει τουῦομα, οὗ ἡ σημασία, καὶ ὀνοματώδης λέγεται λόγος, ἢ τί ἐςὶ τὸ πρᾶγμα τὸ ζητούμενον. τοῦτο δὲ σημαίνει τὸν ὁρισμὸν τοῦ αὐτοῦ πράγματος.

Περὶ

Περὶ τῶν προγινωσκομένων τῆς ἀποδείξεως.

Ἐκθέμενος ὁ Φιλόσοφος τὰς προγνώσεις, ἐφεξῆς ἔια προβάλλει προγινωσκόμενα πρὸ τοῦ σωαγομένου δι' ἀποδείξεως. ὧν μὴ προγνωσθέντων, οὔτε εἰς Ἐπιστήμην τοῦ σωαγομένου ἐλθεῖν δυνάμεθα, οὔτε δι' ἀποδείξεως τοῦτο προσενεγκεῖν. Τὸ δὲ λεγόμενον, καθ' ἑαυτὸ δῆλον. Τρεῖς γάρ εἰσιν ὅροι ἐξ ὧν ἡ ἀπόδειξις, ἢ ἁπλῶς πᾶς συλλογισμός. δύο μὲν οἱ τοῦ προβλήματος, τὸ διδόμενον ὅπερ ἐστὶ τὸ ὑποκείμενον πρᾶγμα, ἢ τὸ ζητούμενον, ὅπερ ἐστὶ τὸ πάθος τὸ κατὰ τὸ ὑποκειμένου ἀποδεδειχόμενον. Ἵνα δὲ τοῦτο σωαχθῇ, ἀνάγκη ἐστὶ ἢ τρίτον λαβεῖν ὅρον, τὸν μέσον δηλαδὴ, ὅστις πρὸς ἄμφω τὰ ἄκρα σωημμένος, ἢ μοῦ θατέρῳ μὲν σωημμένος, τῷ δὲ λοιπῷ ἀλλότριος ἔτι ἐστὶ, καθ' ὑὸ σωάφειάν τε καὶ ἀλλοτριότητα τὸ μέσου πρὸς τὰ ἄκρα αἱ (1) ἀρχαὶ ἀποτελοῦνται, ἐξ ὧν σωέστηκεν ἡ Ἀπόδειξις, δι' ἧς πορίζομεθα τὴν ἐπιστημονικὴν γνῶσιν τοῦ σωαγομένου. Εἰ οὖν ἀδύνατον ἐξ τὴν γνῶσιν τοῦ συμπεράσματος λαβεῖν πρὸ τοῦ ἐγνωκέναι τὰς προτάσεις ἐξ ὧν ἐπιφέρεται, τὰς δὲ προτάσεις ποιεῖ ἡ σωάφεια τοῦ μέσου πρὸς τὰ ἄκρα, ἀδύνατον δὲ ἐγνωκέναι τὴν τοιαύτην σωάφειαν, μὴ ἐγνωσθέντων τῶν ἄκρων τοῦ προβλήματος, καὶ τοῦ μέσου ὅρου, ἧπερ σωάπτεται, ἢ ἀντίκειται τοῖς ἄκροις, ὅπερ ἐστὶν ἐγνωκέναι τὰς ἀρχὰς, τέλος ἔσονται προγινωσκόμενα πρὸ τοῦ συμπεράσματος, τὸ ζητούμενον, ὅπερ ἐστὶ τὸ κατηγορούμενον τοῦ προβλήματος, καὶ λέγεται πάθος. τὸ διδόμενον, ὅπερ ἐστὶ τὸ ὑποκείμενον τοῦ προβλήματος, καὶ ὁ μέσος ὅρος ἧπερ σωάπτεται τούτοις, ὃν ἕνεκεν αἱ ἀρχαὶ ἀποτελοῦνται.

Ὁ τρόπος καθ' ὃν αἱ ἀρχαὶ προγινώσκονται.

Αἱ ἀρχαὶ προγνωσέαι εἰσὶ κατὰ τὸν πρῶτον τῶν ἐκτεθέντων τῆς προγνώσεως τρόπον, ἔπερ εἰσὶ δηλαδή. Τὸ δὲ ~~εἰσὶν~~ ἐγνωκέναι τὰς ἀρχὰς εἰ εἰσὶν, εἰδέναι ταύτας ἐστὶν ἔπερ εἰσὶν ἀληθεῖς. τὸ γὰρ εἶναι τῶν ἀρχῶν, τὸ, ἀληθεῖς εἶναι ἐστίν. ὅθεν οὐδὲ ἄλλως ἐστὶν ἐγνωκέναι τὰς ἀρχὰς, ἢ ὅτι εἰσίν. ἐπειδὴ γὰρ κατὰ συμπλοκὴν τὴν ἐν τῇ λεπτικῇ συνηθείᾳ τὸ εἶναι ἔχουσι, τὸ τί ἐστιν ἐκείνων, οὐδὲν ἄλλο ἐστὶν, ἧπερ εἰσὶ τοιαῦται, ἢ τὸ εἶναι ἀληθεῖς.

Ὁ τρό-

(1) Προτάσεις.

Ὁ τρόπος τῆς προγνώσεως τοῦ πάθους.

Τὸ Πάθος ἔστιν τὸ ζητούμενον, ὅπερ ἐστὶ τὸ κατηγορούμενον τῶ προβλήματος, ἀπόχρη προεγνῶσθαι τί ἐστὶν, οὐ κατὰ τὸ πρᾶγμα, δηλαδὴ κατὰ τὸν πραγματικὸν ὁρισμὸν, ἀλλὰ μόνον κατὰ τὴν σημασίαν τοῦ ὀνόματος, ἤτοι τὸν ὀνοματικὸν λόγον, ὡς ἐπὶ τοῦδε τῶ προβλήματος. πότερον ὁ ἄνθρωπος γελαστικός; ἀπόχρη εἰδέναι τί σημαίνει ἡ φωνὴ αὕτη, γελαστικὸς, οὐ μέντοι ἐστὶ προγνωστέον περὶ αὐτοῦ, τί ἐστὶ πραγματικῶς, κατὰ τὸν πραγματικὸν λόγον δηλαδὴ τοῦ αὐτοῦ.

Τὸ πρῶτον δείκνυται. μὴ γὰρ προγνωσθέντος ὅ,τί ποτε ἡ φωνὴ σημαίνει, δι' ἧς τὸ πάθος δηλοῦται, οὐκ ἔστι ζητῆσαι τὰς ἀρχὰς καὶ αἰτίας, αἷς δυνάμεθα σωσαγαγεῖν τὸ δηλούμενον πρᾶγμα κατὰ τοῦ ὑποκειμένου.

Δείκνυται ὁμοίως καὶ τὸ δεύτερον. ἐν γὰρ τῷ πραγματικῷ ὁρισμῷ τοῦ πάθους, λαμβάνεται τὸ ὑποκείμενον οὗ ἐστὶ πάθος. ἀλλὰ πρὸ τῆς ἀποδείξεως οὐκ οἴδαμεν εἴπερ ὑπάρχει τῷ ὑποκειμένῳ τὸ τοιοῦτον πάθος. τοῦτο γάρ ἐστι τῷ ἀποδεικνύοντι σκοπὸς σωσαγαγεῖν διὰ τῆς ἀποδείξεως. οὐκ ἄρα πρὸ τῆς ἀποδείξεως ἐστὶ δυνατὸν εἰδέναι τὸν πραγματικὸν λόγον τοῦ πάθους.

Τίνι τρόπῳ προγνωστέον ἐστὶ τὸ Διδόμενον, ἤτοι τὸ ὑποκείμενον τοῦ προβλήματος.

Τὸ Διδόμενον ἤτοι τὸ ὑποκείμενον τοῦ προβλήματος ἀμφοτέρως προγνωστέον ἐστὶ, καὶ εἰ ἐστὶ δηλαδὴ, καὶ τί ἐστιν. εἰ ἐστὶ δηλαδὴ ἐν τοῖς οὖσι πραγματικῶς, ἢ ἐν ὡρισμένῳ χρόνῳ. Τί δέ ἐστι τὸ ὑποκείμενον προγνωστέον ἐστὶν ἀναγκαίως κατὰγε τὸν ὀνοματικὸν λόγον, πρὸ τῆς οἱασοῦν ἀποδείξεως, εἴτε ἐκ τῶν προτέρων, καὶ τοῦ διότι ἡ ἀπόδειξις ἦν, εἴτε ἐκ τῶν ὑστέρων καὶ τοῦ ὅτι. εἴτε δι' αἰτίας ἐνδοξοτέρας· εἴτε δι' ἐξωτερικῆς αἰτίας ἡ ἀπόδειξις σωζέται.

Κατὰ μέντοι τὸ τί ἐστι τοῦ πράγματος, τουτέστι κατὰ τὸν πραγματικὸν λόγον, οὐκ ἀνάγκη ἐστὶν ἀεὶ προεγνῶσθαι τὸ ὑποκείμενον, ὅτι μὴ ἐν ταῖς ἐκ τῶν προτέρων ἀποδείξεσιν, ἀλλ' οὐδὲ ἐν πάσαις ταύταις, ἀλλ' ἢ μόνον ἐν αἷς ἡ σωσαγωγὴ τῶ συμπεράσματος γίνεται δι' αἰτίας ἐσωτερικῆς.

Δείκνυται πρῶτον ὅτι τὸ ὑποκείμενον προγνωστέον ἐστὶν, ὅτι ἐστί. τοῦτο δὲ καὶ αὐτόθεν δῆλον. διὰ τοῦτο γὰρ καὶ δίδομενον λέγεται, ὅτι δίδοται

ὑπὸ τῆς προσδιαλεγομένων, καὶ ὑποτίθεται ἐν τοῖς οὖσιν εἶναι ὑπὸ τῆς ζητούντων τὰ πάθη τοῦ αὐτοῦ. Δείκνυται δεύτερον, ὅτι μὴ ἀεὶ ἐστὶν ὑποθετέον, ἐγνωσμένον κατὰ τὸν οὐσιώδη λόγον. ἐπὶ γὰρ τῆς ἀπὸ τῆς ὑστέρων καὶ αἰτιατῆς ἀποδείξεων, δῆλον ὅτι οὐ ζητεῖται ἡ γνῶσις τοῦ οὐσιώδους λόγου τοῦ διδομένου, ὁμοίως δὲ οὔτε ἐν αἷς ἀποδείξεσι τὸ μέσον ἐστὶν αἰτία ἐξωτερικὴ, ὡς ἡ παρέμπτωσις τῆς γῆς μεταξὺ Ἡλίου καὶ Σελήνης, αἴτιον γίνεται τῆς σεληνιακῆς ἐκλείψεως, καὶ ἐπὶ τῆς ἄλλων τῆς τοιούτων. Ὁμοίως δὲ καὶ ὃ τέλος εἴρηται, γίνεται φανερὸν, ὅτι ἀναγκαίως προγνωστέον ἐστὶ τὸ διδόμενον κατὰ τὸν οὐσιώδη αὐτοῦ λόγον, ἐν ταῖς ἀποδείξεσι ταῖς τοῦ διότι, ὅσαι δι' αἰτίας ἐνδόξους συμπεραίνουσιν. Ἐπὶ τούτων γὰρ ὁ οὐσιώδης λόγος τοῦ διδομένου μέσον γίνεται εἰς ζήτησιν καὶ συναγωγὴν τῆς παθημάτων κατὰ τοῦ αὐτοῦ. Ἡ δὲ γνῶσις τῆς ἀρχῶν ἀναγκαίως ὑποτίθεται πρὸ τοῦ συμπεράσματος, καὶ ὁ ὁρισμὸς ἄρα τοῦ αὐτοῦ διδομένου ἀναγκαίως ὑποθετέος ἐστὶν εἰς ἔρευναν καὶ γνῶσιν τῆς παθημάτων τοῦ αὐτοῦ. Ὁ μέντοι Φιλόσοφος ἐπὶ τοῦ παρόντος κοινότερον περὶ πάσης ἀποδείξεως διδάσκων, εἴρηκεν ἀποχρώντως ἔχειν περὶ τοῦ διδομένου προεγνωκέναι, εἰ ἐστὶ, καὶ τί σημαίνει τοὔνομα.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Ἐπὶ τοῦ προλαβόντος κεφαλαίου ὁ Φιλόσοφος ὑπέθετο ὅτι ἐστὶν Ἀπόδειξις καὶ Ἐπιστήμη ἀποδεικτικὴ ἐν τῷ προβληθέντι ἀξιώματι. διδάξας δὲ ἐφεξῆς τοὺς προγνωστικοὺς (1) τρόπους, οἷς τὰ τελικὰ προγινωσκόμενα προλαμβάνεται, ἀκολούθως νῦν ἄρχεται ἡμῖν παραδιδόναι, τί ἐστιν Ἐπιστήμη, καὶ τί Ἀπόδειξις. Ἐπειδὴ δὲ ἡ Ἐπιστήμη τέλους ἔχηται λόγον πρὸς τὴν Ἀπόδειξιν, ἡ δὲ ἀπόδειξις πρὸς τὴν Ἐπιστήμην μέσον ἐστὶ καὶ ὄργανον δι' οὗ τὴν Ἐπιστήμην ποιούμεθα, τὰ δὲ μέσα ἀπὸ τοῦ τέλους διορίζονται, μεθοδεύονται, καὶ διαγινώσκονται, διάτοι τοῦτο ὁ Φιλόσοφος πρὸ τοῦ παραδοῦναι τὸν ὁρισμὸν τῆς ἀποδείξεως, τῆς Ἐπιστήμης ἡμῖν τὸν λόγον ἀποδίδωσι. Διέλοι δ' ἄν τις τὸ κεφάλαιον τετμερῶς, ὧν ἐν τῷ πρώτῳ ὁ ὁρισμὸς τοῦ ἐπίστασθαι, ἤτοι τῆς Ἐπιστήμης περιέχεται. ἐν δὲ τῷ δευτέρῳ τὸν ὁρισμὸν τῆς Ἀποδείξεως, καὶ τὰ συστατικὰ τῆς κατ' ἐκείνην ἀρχῶν ἐκτίθεται, καὶ ἐν τῷ τρίτῳ τὰ γένη ἀπαριθμεῖται τῆς ἀρχῶν τῆς ἀποδείξεως.

Ἐπὶ-

(1) Εἰ ἐστὶ καὶ τί ἐστί.

„ Ἐπίσασθαι δὲ οἰόμεθα ἕκαστον ἁπλῶς (ἀλλὰ μὴ τὸν σοφιστικὸν τρό-
„ πον τὸν κατὰ συμβεβηκὸς) ὅταν τὴν αἰτίαν οἰόμεθα γινώσκειν, δι'
„ ἣν τὸ πρᾶγμα ἐστὶν, ὅτι ἐκείνου αἰτία ἐστὶ, καὶ μὴ ἐνδέχεται τοῦτο
„ ἄλλως ἔχειν.

Ἐπειδὴ δὲ τὸ ἐπίσασθαι διαφόρως συμβαίνει γίγνεσθαι, καὶ ἡ Ἐπιστήμη λέγεται πλεοναχῶς, ὁ Φιλόσοφος διὰ τοῦτο ἀποκλείει τῆς προκειμένης θεωρίας τὸν σοφιστικὸν τοῦ ἐπίσασθαι τρόπον, ὃν εἰρηκότος τοῦ Φιλοσόφου καὶ συμβεβηκὸς εἶναι, ᾠήθησάν τινες περὶ τῆς κατὰ συμβεβηκὸς σοφισμάτων ἔννοιαν τὸν Φιλόσοφον. ᾧ δὴ τρόπῳ οἱ Σοφισταὶ ἐφ' ὅτε τὰ προσήκοντα τῇ οὐσίᾳ, τοῖς συμβεβηκόσιν ἀπονέμουσιν, οἷον, ὁ ἄνθρωπος ἐστὶν οὐσία, τὸ φαλακρὸν τοῦτο ἐστὶν ἄνθρωπος, τὸ φαλακρὸν τοῦτο ἄρα ἐστὶν οὐσία. καὶ ἀνάπαλιν ὧδὶ, παῦ λευκόν ἐστὶ χρῶμα, τὸ ψιμμίθιον ἐστὶ λευκὸν, τὸ ψιμμίθιον ἄρα ἐστὶ χρῶμα. Ὅτι δὲ τὴν ἔννοιαν παύτῃ οὐκ ἀποδέχεται ἡ λέξις τοῦ Φιλοσόφου, δῆλον ἀυτόθεν. διὸ εἰς ἀνωτέραν δήλωσιν τῆς ἐννοίας τοῦ Φιλοσόφου ἐκεῖνο λεπτέον. ὅτι διχῶς συλλογίζεσθαι εἰώθασιν οἱ σοφιζόμενοι, ἕνα μὲν τρόπον εἰς ἐξαπάτην τῆς ἀληθείας, ἃ τὰ εἴδη ὁ Φιλόσοφος ἐκτίθησιν ἐν τῷ περὶ σοφιστικῶν ἐλέγχων. ἕτερον δὲ τρόπον καθ' ὃν τοὺς (1) ἰδίους διδάσκουσι τὰ οἰκεῖα δόγματα. Κατὰ τοῦτον δὲ τὸν δεύτερον τρόπον ἡ διδασκαλία τούτων, καὶ οἷς ἐκέχρωτο δείξεσιν οὐκ ἀπὸ τῆς οἰκείων τοῦ δεικνυμένου αἰτίων ἐλαμβάνοντο, ἀλλὰ διὰ τῆς (2) συμβεβηκότων, καὶ αἰτίων ἐξωτερικῶν συνεπέραινον. ὃν ὁ Φιλόσοφος λογικὸν καὶ διαλεκτικὸν τὸ εἰδέναι τρόπον προσαγορεύειν εἰώθει, ὡς ἐν τῷ ἢ τῆς φυσικῶν ὁ. ἐδαφίῳ, καὶ ἐν ἄλλοις παραδίδωσι διατάττεται. Τὸν τοιοῦτον τοιγαροῦν τοῦ ἐπίσασθαι τρόπον ἐννοεῖ ὁ Φιλόσοφος σοφιστικὸν, καὶ κατὰ συμβεβηκὸς, ὡς διὰ συμβεβηκότων παραδιδόμενον, ὃν καὶ ἀποκλείει τῆς προειρημένης θεωρίας.

Ὁμοίως δὲ ἀποκλείεται τῆς αὐτῆς θεωρίας καὶ ὁ ῥητορικὸς τοῦ ἐπίσασθαι τρόπος, οἵτινες ἀπὸ τῆς εἰκότων καὶ σημείων ἐπιχειροῦσιν, ἀλλ' οὐκ ἀπὸ τῆς ἀληθῶν ἐξ ἀνάγκης, καὶ οἰκείων τοῦ σωζομένου πράγματος αἰτίων. οἷον, εἰκὸς ἐστὶ τὸν πλανώμενον νυκτὸς κλέπτην εἶναι, ὁ Σωκράτης νυκτὸς πλανᾶται, ἄρα κλέπτης. Ἔστι δὲ καὶ ἕτερος τρόπος τοῦ ἐπίσασθαι ἀπὸ τῆς ἀποτελεσμάτων καὶ αἰτιατῆς, καὶ παρὰ τούτους ἐντελὴς, καὶ κυριώτατος τοῦ ἐπίσασθαι τρόπος, οἷα ἐστὶν ἡ διὰ ὁρισμῶν καὶ ἁπλῶς τῆς

(1) Μαθητάς. (2) Οἷα ὁ Πλάτων βουλόμενος δογματίσαι περὶ ἀθανασίας τῆς ψυχῆς οὐκ ἐπεχείρει ἀπὸ τῆς ἐσωτερικῶν, ἀλλ' ἀπὸ τῆς συμβεβηκότων, οἷον, ἡ ψυχὴ τοιοῦτον ἄρχει.

πρώτων ἀρχῶν γνῶσις, ἥτις καὶ κυρίως Ἐπιστήμη λέγεται τῷ Φιλοσόφῳ, ὡς ἐπὶ τὸ παρόντος, ἐν κεφαλαίῳ τρίτῳ παραδίδωσιν ὁ Φιλόσοφος. Ἀλλ' οὐδὲ οὗτος ἐστὶ τῆς προκειμένης σκέψεως. ἐνταῦθα γὰρ ὁρίζεται μόνον ἡ δι' ἀποδείξεως πορισμένη Ἐπιστήμη, ὡς αὐτὸς ὁ Φιλόσοφος ἐπὶ τῆς λέξεως ἐννοεῖν δίδωσιν.

Ἀνάπτυξις τοῦ ὁρισμοῦ τῆς Ἐπιστήμης.

Τοιγαροῦν τῷ δι' ἀποδείξεως Ἐπιστήμῃ ὁριζόμενος ὁ Φιλόσοφος ἔφη. ἐπίστασθαι δὲ ἐστὶν, ὅταν τὴν αἰτίαν οἰόμεθα εἰδέναι, „ δι' ἣν τὸ πρᾶγμα ἐστὶ, καὶ ὅτι ἐκείνου αἰτία ἐστὶ, καὶ μὴ ἐνδέχεσθαι „ τοῦτο ἄλλως ἔχειν. Ἐπὶ τοῦ ὁρισμοῦ τούτου ὡς γένος μὲν εἴληπται τὸ εἰδέναι, ἤτοι ἡ εἴδησις καὶ γνῶσις, ὅπερ μετὰ τῆς ἄλλων γνώσεων καὶ τῇ ἐπιστημονικῇ γνώσει ὑπάρχει κοινόν, τὰ δὲ ἐφεξῆς προσληφθέντα διαφορᾶς λόγον ἔχει, οἷς διακρίνεται ἡ ἐπιστημονικὴ γνῶσις δι' ἀποδείξεως τῆς ἄλλων, ὅσαι μὴ τοιαῦται γνώσεις. Τρία δὲ τὰ προσληφθέντα εἰσί. Πρῶτον εἰδέναι τὴν αἰτίαν δι' ἣν τὸ πρᾶγμα ἐστίν. οὐ μόνον δηλαδὴ τὸ αἴτιον τῆς γνώσεως, ὃν ἔσπον καὶ τὰ ἀποτελέσματα αἴτια γίνεται τῆς γνώσεως τῆς οἰκείων ἀρχῶν, ἀλλ' ἥτις εἴη αἰτία οἰκεία καὶ προσεχὴς τῆς συναφείας τοῦ πάθους πρὸς τὸ διδόμενον ὑποκείμενον, ὅπερ ἐδήλωσεν ὁ Φιλόσοφος εἰπὼν, (δι' ἣν τὸ πρᾶγμα ἐστί.) Τοῦτο μέντοι οὐκ ἀπόχρη εἰς πορισμὸν Ἐπιστήμης, τὸ αἴτιον δηλαδὴ εἰδέναι τοῦ πράγματος. εἰδότες γὰρ τὴν αἰτίαν, ἀγνοοῦμεν δὲ ὅτι ἐστὶν αἰτία τοῦ ζητουμένου, οὐκ ἔξομεν Ἐπιστήμην. διὸ καὶ προστίθεται δεύτερα διαφορὰ, εἰδέναι δηλαδὴ τοῦτο, ὅτι ἐκείνου, (δηλαδὴ τοῦ ζητουμένου) αἰτία ἐστὶ, τῆς συμφορείας δηπου τοῦ ζητουμένου πάθους πρὸς τὸ ὑποκείμενον. Ἀλλ' οὐδὲ τοῦτο ἐστὶν ἱκανόν. εἰ γάρ τις εἰδὼς τὸ αἴτιον τοῦ ζητουμένου, καὶ προσεπισάμενος ὅτι αἰτία ἐκείνου ἐστὶν, ἀγνοῶν δὲ εἰ οὐκ ἐνδέχεται καὶ ἄλλοτι γίνεσθαι αἴτιον, δι' οὗ τὸ τοιοῦτον πάθος ἀποτελεσθείη, οὗτος οὐκ ἂν ἔχοι ἀμετάπτωτον ὑπόληψιν περὶ τοῦ αὐτοῦ πάθους, οἷα βούλεται εἶναι, ἡ δι' ἀποδείξεως Ἐπιστήμη, διὸ καὶ τρίτον προσέλαβε διαφορὰν, ὁ Φιλόσοφος εἰπών. (καὶ μὴ ἐνδέχεσθαι τοῦτο ἄλλως ἔχειν.) δηλώσας διὰ τούτου δεῖν ἡμᾶς εἰδέναι τὸ τοιοῦτον αἴτιον, οὐ μόνον ὅτι ἀπόχρη εἰς παραγωγὴν τοῦ ζητουμένου ἀποτελέσματος, ἀλλ' ὅτι καὶ ἀναγκαῖον ἐστὶν, ὡς μὴ δυνάσθαι ἄλλως τὸ τοιοῦτον ἀποτέλεσμα προελθεῖν. Γίνεται δὲ σαφὲς τὸ λεγόμε-

γόμενον ἐπὶ παραδείγματος. δοθέντος γὰρ εἰδέναι τινὰ τὴν ἔκλειψιν τοῦ φωτὸς ἐν τῇ Σελήνῃ, μὴ εἰδότα δὲ τὴν αἰτίαν δι' ἣν ἐκλείπει τὸ φῶς τὸ ἐν τῇ Σελήνῃ, οὕτως οὐκ ἂν Ἐπιστήμην φαίη περὶ ἐκλείψεως, κἂν εἰδείη τὴν παρέμπτωσιν τῆς γῆς μεταξὺ Ἡλίου καὶ Σελήνης, ἥτις ἐστὶν οἰκεία καὶ προσεχὴς αἰτία τῆς ἐκλείψεως τοῦ φωτὸς ἐν τῇ Σελήνῃ. Μὴ εἰδὼς δὲ ὡς ἡ τοιαύτη παρέμπτωσις, αἰτίαν ἐστὶ τῆς ἐκλείψεως τοῦ φωτὸς, οὐδ' οὕτως ἕξει Ἐπιστήμην τῆς σεληνιακῆς ἐκλείψεως. Ἀλλ' εἰ καὶ δοίημεν ἔτι εἰδέναι καὶ ὅτι ἡ παρέμπτωσις τῆς γῆς, αἴτιον γίνεται τῆς ἐκλείψεως τοῦ ἐν τῇ Σελήνῃ φωτισμοῦ, οὐκ ἀπέχρησεν αὐτῷ εἰς Ἐπιστήμην τῆς ἐκλείψεως, εἰ μὴ κἀκεῖνο προσεπίσαιτο, ὅτι τοῦτο οὐκ ἐνδέχεται ἄλλως ἔχειν, ἀλλὰ τεθείσης δηλονότι τῆς μεταξὺ παρεμπτώσεως, ἕπεσθαι ἀναγκαίως τὴν ἔκλειψιν τοῦ φωτισμοῦ, καὶ ἀναιρεθείσης τῆς αὐτῆς, ὁμοίως συναναιρεῖσθαι τὴν ἔκλειψιν τοῦ φωτισμοῦ.

Δείκνυσιν ὁ Φιλόσοφος τὸν ἀποδοθέντα τοῦ ἐπίστασθαι λόγον, ἀπὸ τῆς δόξης τῶν εἰδότων καὶ μὴ εἰδότων, ὅς τις ἰδιαίτατος ζόφος τῶν ἀρχῶν ἐμπεδώσεώς ἐστι. σχηματισθεὶς τὸ λεγόμενον ὡδί, εἰς ἐμπέδωσιν τῶν ἀναποδείκτων ἀρχῶν, ἐκεῖνο ἐστὶν ἀναπόδεικτον, ὃ πάντες κοινῇ δοξάζουσιν ἐπισάμενοι καὶ μὴ ἐπισάμενοι. πάντες δὲ ὅσοι ἐπίστανται, καὶ μὴ, τοιοῦτον εἶναι ὑπολαμβάνουσι τὸ ἐπίστασθαι, οἷον ἤδη (1) ἀποδέδοται, ὑγιῶς ἄρα ἔχει ἡ ἀποδοθεῖσα ὑπογραφή.

Παρασημειῶται δὲ ὁ Φιλόσοφος ὅτι ὁ λόγος ἐπὶ τοῦ παρόντος ἐστὶ περὶ τῆς δι' ἀποδείξεως Ἐπιστήμης, καὶ ἅμα δίδωσιν ἐννοεῖν, καὶ ἕτερον ζόπον Ἐπιστήμης, οἷόν ἐστιν ὁ τῶν ἀναποδείκτων ἀρχῶν, περὶ οὗ ἐν τῷ τέλει κεφαλαίῳ ὁ Φιλόσοφος διαλαμβάνει.

Τί ἐστιν Ἀπόδειξις.

ΠΑραδοὺς τὸν λόγον τῆς Ἐπιστήμης, προχειρίζεται ἀκολούθως τὸν λόγον τῆς Ἀποδείξεως ὁ Φιλόσοφος ἀπὸ τοῦ τέλους λαβὼν τοῦτον, ὅπερ ἐστὶν Ἐπιστήμη. τῶν γὰρ πρός τι τέλος ἀναφερομένων συστατικὴ διαφορὰ γίνεται τὸ αὐτὸ τέλος. ὅθεν καὶ λέγεται ἡ Ἀπόδειξις, ὅτι ἐστὶ συλλογισμὸς ἐπιστημονικός. Ἐπὶ ταύτης δὲ τῆς ὑπογραφῆς, ὡς γένος μὲν εἴληπται ὁ συλλογισμὸς, διαφορὰ δὲ καθ' ἣν διακρίνεται ἡ ἀπόδειξις τῶν λοιπῶν συλλογισμῶν, ὑπάρχει τὸ ἐπιστημονικὸν εἶναι, τουτέστι τὸ δι' αὐτοῦ ἐπίστασθαι πορίζεσθαι. Αὕτη δὲ ἡ ὑπογραφὴ αἰτιώδης εἴωθε λέγεσθαι.

Ἀπο-

(1) Ὁρισμός.

Ἀποδίδοται δὲ καὶ ἕτερος λόγος τῶν ἀναφερομένων ἐπί τι τέλος ἀπὸ τῶν οἰκείων καὶ συστατικῶν μερῶν τοῦ ὑπογραφομένου λαμβανόμενος, ὃν καὶ ὑλικὸν ἀποκαλεῖν εἰώθασι λόγον. τοῦτον δὲ ἐπὶ τῆς ἀποδείξεως ὁ Φιλόσοφος σωιάγει ἐπὶ τοῦ παρόντος ἀπὸ τῆς ἀποδοθείσης ἤδη αἰτιώδους ὑπογραφῆς, περὶ αὐτῆς ὅπῳ τοιῶδε. Εἰ ἐστὶ τὸ ἐπίσασθαι, οἷον ἐθέμεθα ὑπογράψαντες, ἀνάγκη ἐστὶ καὶ τῳ ἀποδεικτικῳ Ἐπιστήμῳ, εἴτουν τῳ Ἀπόδειξιν σωιεσάναι ἐκ προτάσεων ἀληθῶν, πρώτων καὶ ἀμέσων, προτέρων καὶ γνωριμωτέρων καὶ αἰτίων τοῦ συμπεράσματος, ἀλλ: τὸ ἐπίσασθαι τοιοῦτον ἐστὶν ὡς δέδεικται διὰ τῆς κοινῆς πάντων σωιαινέσεως, ἄρα ἀνάγκη ἐστὶ τῳ ἀποδείξιν σωιεσάναι ἐκ προτάσεων ἀληθῶν, πρώτων, καὶ ἀμέσων, προτέρων καὶ γνωριμωτέρων, καὶ αἰτίων τοῦ συμπεράσματος. Τοῦτο δὲ τὸ σωιαχθὲν ὑλικὴ λέγεται ὑπογραφὴ τῆς ἀποδείξεως, ληφθεῖσα ἀπὸ τῶν διαφορῶν τῶν ἐκείνης προτάσεων, ἅπερ εἰσὶν ὕλη τῆς αὐτῆς ἀποδείξεως. Ὁρίζεται δὲ καὶ ἐξ ἀμφοῖν ἡ Ἀπόδειξις, ὅτι ἐστὶ συλλογισμὸς ἐπισημονικὸς σωιεσικὼς ἐκ προτάσεων εἴτουν ἀρχῶν, πρώτων, ἀληθῶν, ἀμέσων, γνωριμωτέρων, καὶ προτέρων, καὶ αἰτίων τοῦ συμπεράσματος.

Εἰσὶ δὲ διαφοραὶ ἃς προσέθηκιν ὁ Φιλόσοφος τῶν ἀρχῶν τῆς Ἀποδείξεως πέντε. Πρώτη τὸ ἀληθεῖς εἶναι. Δευτέρα τὸ πρώτας εἶναι καὶ ἀμέσους. αὐτὶ τοῦ αὐτοῦ εἴληπται τὸ πρῶτον καὶ ἄμεσον. πρῶται γὰρ λέγονται τῷ μὴ ἔχειν μέσον ἀπώτερον ἀφ' οὗ δειχθεῖεν. τὸ δ' αὐτὸ βούλεται καὶ τὸ ἀμέσους εἶναι. ὅθεν καὶ ἀναποδείκτους διὰ τὰ αὐτὰ παρακατιὼν ἀποκαλεῖ ὁ Φιλόσοφος. Τρίτη ἐστὶ διαφορὰ τῶν αὐτῶν, τὸ γνωριμωτέρας εἶναι τοῦ συμπεράσματος. Τετάρτη τὸ προτέρας εἶναι τῶν αὐτοῦ. Καὶ πέμπτη ὅτι αἰτίαι εἰσὶ τοῦ αὐτοῦ συμπεράσματος. ἐξ ὧν καὶ ἕκτη ἕπεται, ὅτι αἱ αὐταὶ, καὶ οἰκεῖαι εἰσὶ τοῦ ἀποδεικνυμένου πράγματος, ὡς ὁ Φιλόσοφος δῆθεν ἐπιφέρει. οὐ γὰρ ἂν ἄλλως αἱ ἀρχαὶ τῆς ἀποδείξεως τὰς ἐκτεθείσας ἔιχον διαφορὰς, εἰμὴ καὶ οἰκεῖαι τοῦ συμπεράσματος ἦσαν. μάλισα τοῦτο ἕπεται ἀπὸ τῆς ἑκάτης διαφορᾶς, καθ' ἣν αἰτίαι λέγονται τοῦ συμπεράσματος αἱ ἀρχαί.

Τῶν δὲ προτεθεισῶν διαφορῶν, αἱ μὲν (1) δύο πρῶται καθ' ἑαυτὰς ἀπολύτως προσήκουσι ταῖς ἀρχαῖς τῆς Ἀποδείξεως, αἱ δὲ (2) λοιπαὶ σχέσει τῇ πρὸς τὸ σωιαγόμενον. πάσας μέντοι οὕτως ἀναγκαίως ἡγεῖται εἰς σύσασιν τῶν ἀρχῶν τῆς ἀποδείξεως ὁ Φιλόσοφος, ὡς εἴτις ἀνέλοι τινὰς τού-

(1) Τὸ ἀληθεῖς εἶναι, ἢ πρῶται ἢ ἄμεσοι. (2) Αἱ γνωριμώτεραι, πρότεραι αἰτίαι, καὶ οἰκεῖαι.

τούτων, αἱρεῖσθαι τὴν Ἐπιστήμην, καὶ ἀκολούθως τὴν Ἀπόδειξιν. καὶ οὐ μόνον εἰσὶν ἀναγκαῖαι, ἀλλὰ καὶ ἀποχρῶσαι, ὡς μηδὲ μίαν ἄλλην παρὰ ταύτας ὀφείλεσθαι εἰς σύστασιν Ἀποδείξεως, καὶ Ἐπιστήμης ἀποδεικτικῆς.

Ὅτι ἀληθεῖς.

Δείκνυσιν ὁ Φιλόσοφος ἐφεξῆς ἑκάστην τῶν εἰρημένων διαφορῶν ἰδίᾳ ἀπὸ τοῦ προτεθέντος τέλους, δηλαδὴ τῆς Ἐπιστήμης. καὶ πρῶτον ὅτι δεῖ ἐστὶν, ἀληθεῖς εἶναι τὰς τῆς ἀποδείξεως ἀρχὰς, ἢ προτάσεις, σωζόμεναι τρόπῳ τοιῷδε. Τὰς προτάσεις δι' ὧν Ἐπιστήμη ποιεῖται ἀναγκαῖον ἐπίστασθαι, τὰς μὴ ἀληθεῖς προτάσεις οὐκ ἐπιστάμεθα, διὰ τῆς μὴ ἀληθῶν ἄρα προτάσεων ἃ ποιεῖται Ἐπιστήμη. Ἡ μείζων ἐστὶ πρόδηλος, τὴν ἐλάττω δείκνυσιν ὁ Φιλόσοφος, ἐκ τοῦ μὴ εἶναι Ἐπιστήμην τοῦ μὴ ὄντος, ἥπερ ἐστὶ δηλαδὴ μὴ ὄν. φρόδες ὅτι καὶ ταύτῃ τὸ μὴ ὂν ἐννοεῖται καὶ συμπλοκὴν, ὅπερ ἐστὶ ψεῦδὴς πρότασις.

Ἐκ προτάσεων δὲ ψευδῶν οὐ σωζόμεται Ἐπιστήμη. εἰδ' ἐσθ' ὅτε ἐκ ψευδῶν προτάσεων, σωζόμεται μὲν ἀληθὲς, τοῦτο δὲ οὐ σωζόμεται ἐπιστημονικῶς, ὅτι οὐκ ἐξ οἰκείας αἰτίας, ἀλλὰ μόνον διὰ τὸν σχηματισμὸν συμβαίνει, ὡς εἴτις εἴποι. πᾶν ξύλον ἐστὶν ἄνθρωπος, ὁ Σωκράτης ἐστὶ ξύλον, ἄρα ὁ Σωκράτης ἐστὶν ἄνθρωπος. Τὸ Συναγόμενον τούτου τοῦ συλλογισμοῦ ἐστὶ μὲν ἀληθὲς, οὐκ ἐπιστημονικῶς δὲ, ὅτι οὐκ ἐξ οἰκείας αἰτίας. πάντῃ γὰρ ἀλλότριον τὸ ξύλον τῷ ἀνθρώπῳ, καὶ τῷ Σωκράτει, ἀληθεύει δὲ διὰ μόνον τὸν σχηματισμόν.

Ὅτι εἰσὶ πρῶται εἴτ' οὖν ἄμεσοι.

Δείκνυσιν ὁ Φιλόσοφος τὴν δευτέραν διαφορὰν τῆς ἀρχῶν τῆς Ἀποδείξεως, ὅτι δηλαδὴ ταύτας πρώτας καὶ ἀναποδείκτους εἶναι δεῖ, τιθέσι μὴ δίδοσθαι αἴτιον ἀνώτερον, δι' οὗ ἀποδειχθεῖεν, καὶ ἔτι τούτων αἴτιον ἐστὶν, ἀνάγκη τούτου λαβεῖν ἀπόδειξιν μέχει τῶν πρωτίσων, καὶ ἀναποδείκτων. ἄλλως γὰρ μὴ ἐγνωσμένων τῶν ἀρχῶν ἅπερ εἰσὶν αἰτίαι τοῦ συναγομένου ἐν τῷ συμπεράσματι, οὔτε τοῦ αὐτοῦ συναγομένου ἕξομεν ἐπιστήμην, ἥτις ἐστὶ γνῶσις τοῦ πράγματος διὰ τῆς γνώσεως τῆς αἰτίας τοῦ αὐτοῦ. Διάτοι τοῦτο ἀνάγκη ἐστὶ τὰς ἀρχὰς τῆς ἀποδείξεως, ἢ αὐτὰς καθ' ἑαυτὰς ἐγνωσμένας εἶναι, ἢ γοῦν ἀποδεδειγμένας διὰ τῶν προτέρων μέχει τῶν πρωτίσων καὶ αὐτοπίστων.

Ὅτι

Ὅτι εἰσὶν αἰτίαι τοῦ συναγομένου.

Παραδοὺς ὁ Φιλόσοφος τὰς ἀπολύτους διαφορὰς τῆς προτάσεων τῆς ἀποδείξεως, μεταβαίνει ἐπὶ τὴν δήλωσιν τῶν σχετικῶν. κέχρηται δὲ τάξει ἀντιστρόφῳ ἀπὸ τῶν ὑστέρων ἀρχόμενος, ὧν ἀνωτέρω ἀπεμνήσατο, λῶ δὲ εἰπεῖν, ὅτι αἱ ἀρχαὶ τῆς ἀποδείξεως αἰτίαι εἰσὶ τοῦ συναγομένου, ἥτις ἐστὶ καθ' ἑαυτὴν πρόδηλος. εἴρηται γὰρ τὸ ἐπίστασθαι συμβαίνειν ὅταν τὸ αἴτιον εἰδῶμεν δι' ὃ τὸ πρᾶγμα ἐστίν. Ἐκ δὲ τοῦ εἶναι αἰτίας τοῦ συναγομένου τὰς ἀρχὰς τῆς ἀποδείξεως, ῥᾴδιον ἐστι μετὰ τοῦ Φιλοσόφου συναγαγεῖν, τὸ καὶ προτέρας εἶναι τοῦ αὐτοῦ συμπεράσματος. πᾶς δὲ αἰτίας προτέρας εἶναι τῆς αἰτιατῆς ἐδιδάχθημεν, ἐν τῷ περὶ Προτέρου κεφαλαίῳ.

Ὅτι γνωριμώτεραι.

Ὅτι δὲ καὶ γνωριμώτεραι καὶ προεγνωσμέναι τοῦ συμπεράσματος αἱ αὐταί εἰσι πρόδηλον. τὸ γὰρ γνωριμωτέρας εἶναι, σωζόμενον ἐν τοῦ εἶναι αἰτίας, οὐ μόνον τοῦ συναγομένου πράγματος, ἀλλὰ καὶ τῆς γνώσεως τοῦ αὐτοῦ, ὅθεν καὶ γνωριμώτεραι. Ὅτι δὲ αἱ ἀρχαὶ προγνωσταί εἰσι τῶ συναγομένου, καὶ ἀπὸ τῶν εἰρημένων ἀνωτέρω περὶ τῆς προγνώσεων καὶ προγινωσκομένων προφανὲς ἐστί. κεῖται γὰρ ὅτι τὰς ἀρχὰς προγινώσκειν χρὴ, ἅπερ εἰσὶν ἀληθεῖς. Λέγεται δὲ τὸ πρότερον καὶ γνωριμώτερον διχῶς. ἢ κατὰ φύσιν, ἢ καθ' ἡμᾶς. Πρότερα τῇ φύσει εἰσὶ καὶ γνωριμώτερα τὰ αἴτια, καὶ μάλιστα τὰ πορρωτάτω τῆς αἰσθήσεως. πρότερα δὲ καὶ γνωριμώτερα ἡμῖν εἰσὶ τὰ αἰτιατὰ, καὶ ὅσα μάλιστα ὑπὸ τὴν αἴσθησιν. Ἀμφοτέρως δὲ ἀνάγκη ἐστὶ τὰς ἀρχὰς προτέρας εἶναι καὶ γνωριμωτέρας τοῦ συμπεράσματος. κατὰ φύσιν μὲν, ὅτι αἴτια εἰσὶ τοῦ πράγματος τῶ συναγομένω. καθ' ἡμᾶς δὲ, ὅτι εἰσὶν αἴτια τῆς γνώσεως τῶ συναγομένω πράγματος, οὐχ ὅτω μέντοι, ὡς τὸ αὐτὸ καὶ τὰ αὐτὰ καὶ ἡμῖν καὶ τῇ φύσει πρότερον καὶ γνωριμώτερον εἶναι, ὥστε ἅμα καὶ αἴτιον, καὶ αἰτιατὸν εἶναι τὸ αὐτὸ πρὸς τὸ αὐτό. ἀλλ' ὅπερ ἐστὶ γνωριμώτερον τῇ φύσει, διὰ τὸ εἶναι αἴτιον τοῦ συναγομένου, καὶ ἡμῖν ἐγνωσμένον εἶναι δεῖ, καὶ γνωριμώτερον τοῦ συναγομένου.

Ἀρχὴ

„ Ἀρχὴ δὲ ἐστὶν ἀποδείξεως πρότασις ἄμεσος.

Τοῦτ' ἔστι τρίτον μέρος τοῦ προτεθέντος κεφαλαίου, ἐν ᾧ ὁ Φιλόσοφος τὰς ἀρχὰς τῆς Ἀποδείξεως (περὶ ὧν διασκέψασθαι μέλλει ἐφεξῆς) χρικώτερον ὑπογράφει καὶ διαιρεῖ, εἰς τὰ ὑποπεπτωκότα αὐταῖς εἴδη. Γενικώτατα τοιγαροῦν ὑπογράφων τὴν ἀποδεικτικὴν ἀρχὴν ἔφη, ὅτι ἐστὶ πρότασις ἄμεσος. Ἐπὶ ταύτης δὲ τῆς ὑπογραφῆς, ληφθείσης ὡς γένος τῆς προτάσεως, ἀπέχρησε τῷ Φιλοσόφῳ αὐτὴ διαφορᾶς, μίαν τῶν ἐντεθημένων ἀνωτέρω διαφορῶν ἐπεσπάσασθαι, ὅτι ἐστὶν ἄμεσος. Ὅθεν οὐκ ἀπεικότως ἀμφισβητεῖται ὅτι πολλῶν ὄντων τῶν κατὰ τὰς ἀποδεικτικὰς ἀρχὰς διαφορῶν, ὡς προσεχῶς ἀνωτέρω ἐξέθετο ὁ Φιλόσοφος, τίνος ἕνεκεν, τὰς μὲν ἄλλας παραλιπὼν, μίαν καὶ μόνην παρέλαβεν ἐν τῇ ὑπογραφῇ τῆς ἀποδεικτικῆς ἀρχῆς; Ἢ ὅτι ἐν μιᾷ ταύτῃ τῇ προληφθείσῃ διαφορᾷ πᾶσαι περιέχονται αἱ ἐντεθεῖσαι ἀνωτέρω. ἡ γὰρ ἄμεσος πρότασις αἰτία ἐστὶ τοῦ συμπεράσματος, αἰτία δὲ ὅσα καὶ τὸ εἶναι, καὶ τοῦ γινώσκεσθαι τὸ συναγόμενον, καὶ πρότερα ἐστὶ καὶ γνωριμώτερα τοῦ αὐτοῦ, καὶ προσέτι ἀληθὴς ἐξ ἀνάγκης. ὅσων

Ταύτας μέντοι τὰς διαφορὰς ἰδίᾳ ἑκάστην ἀνωτέρω ἀπεμνημόνευσεν ὁ Φιλόσοφος, ὅτι οὔπω δῆλον ἦν ἐπὶ μιᾶς ταύτης τὰς λοιπὰς περιέχεσθαι, δὸς δ' εἰπεῖν, ὅτι καὶ ἡ νῦν ἐνδοθεῖσα ὑπογραφὴ τῆς ἀποδεικτικῆς ἀρχῆς, κοινότερον περιείληφε πάντα τὰ τῶν ἀρχῶν γένη, αἱ ἀνωτέρω δὲ ἐνδοθεῖσαι διαφοραὶ τῶν ἀρχῶν, μόναις προσήκουσι ταῖς ἐν τῷ αὐτῷ γένει ἀποδείξεσιν.

Ἀποδοὺς δὲ τὴν ὑπογραφὴν τῆς ἀποδεικτικῆς ἀρχῆς ὁ Φιλόσοφος, καὶ ἀναπτύξας ἀμφότερα τὰ μέρη ταύτης, τό,τε ὡς γένος ληφθὲν, ἤτοι τὴν πρότασιν, καὶ τὴν διαφοράν, ἐφεξῆς διαιρεῖ τὴν ἀποδεικτικὴν ἀρχὴν, εἴς τε τὸ ἀξίωμα, καὶ τὴν θέσιν, καὶ αὖθις τὴν θέσιν, εἰς ὑπόθεσιν καὶ ὁρισμόν. Ταῦτα δὲ καὶ εἰς ἄλλα ὑποδιελεῖν ἐστὶν, ἀλλ' ὁ Φιλόσοφος χρικώτερον διαλαμβάνων τῇ χρικῇ διαιρέσει ἐφησυχάσαι ἔγνωκεν.

Τί ἐστὶν Ἀξίωμα.

Τούτων δὴ τῶν ἀποδοθεισῶν τῆς ἀποδείξεως ἀρχῶν, τὸ μὲν ἀξίωμα ὑπογράψαι ἐστὶν, ὅτι ἐστὶν ἀρχὴ ἀποδεικτικὴ, ~~ἢ ἀναπόδεικτος~~, ᾗ

οἰκοθεν ἔχειν ὁ μαθητιῶν ὀφείλει πρὸ τοῦ μετιέναι τὴν Ἐπιστήμην, μήτε δεῖσθαι ἀναπτύξεως ὑπὸ τοῦ διδάσκοντος, ὡς πᾶσι πρόδηλον οὖσαν, καὶ πᾶσιν ἔμφυτον τὴν ἐκείνης ἀλήθειαν ὑπάρχουσαν, οἷον ἐστὶ τὸ κοινὸν ἐκεῖνο, κατὰ μηδενὸς, ἀληθὲς εἶναι, τὸ αὐτὸ φάναι καὶ ἀποφάναι. ἢ καὶ οὕτω περὶ παντὸς φάναι ἢ ἀποφάναι τὸ αὐτὸ οὐκ ἀληθές. ὁμοίως καὶ τὸ ὅλον μεῖζον εἶναι τοῦ οἰκείου μέρους, καὶ ὅσ' ἄλλα αὐτόθεν γίνεται δῆλον, ἃ κοινὰς ἐννοίας εἰώθασιν ἀποκαλεῖν.

Τί ἐστὶ Θέσις.

Θέσις δὲ ἐστὶν ἀρχὴ ἀποδεικτικὴ, ἀναπόδεικτος μὲν ἀπὸ τῆς προτέρων, δεικνυμένη δέ πως ἀπὸ τῆς ὑστέρων, διὸ οὐδὲ ἀναγκαίως οὕτω ὀφείλει ἔχειν ὁ μαθητιῶν οἰκοθεν, ὡς δεομένην τῆς ἀπὸ τοῦ διδάσκοντος ἀναπτύξεως, οἷον ἐστὶ παρὰ τοῖς Φυσικοῖς τὸ ἐκ μηδενὸς μηδὲν γίγνεσθαι. Ϛ παρὰ τοῖς Ἰαμβοῖς τὰ ἐναντία τοῖς ἐναντίοις εἰσὶν ἰάματα.

Τί ἐστὶν Ὑπόθεσις.

Διέλκυσεν ὁ Φιλόσοφος τὴν θέσιν εἰς Ὑπόθεσιν καὶ Ὁρισμόν. Ὑπόθεσις δὲ λέγεται ἰδίᾳ λαμβάνεταί τι, ἢ εἶναι, ἢ μὴ εἶναι ἄνευ ἀποδείξεως, ὅθεν καὶ λῆμμα λέγεται, ὅπερ μὴ εἴη καθ' αὐτὸ προφανὲς, ὥστε ἀληθεύῃ, ὥστε μή. (1) αὕτη δὲ τοῦ γένους ἐνδέχεται εἶναι. ἢ γὰρ ἔχεται λόγου τινὸς, καὶ ῥᾳδίως ἐμπεδοῦται καὶ ἀναπτύσσεται, οἷαί εἰσι καὶ αἱ προσεχῶς ἐκτεθεῖσαι θέσεις, καὶ ὡς ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῆς
„ Φυσικῶν ὑποτίθεται λέγων, ἡμῖν δὲ ~~κείσθω τὰ φύσει ὄντα κινεῖσθαι.~~
„ ~~Ἡμῖν δὲ κείσθω~~ τὰ φύσει, ~~ὄντα~~ πάντα, ἢ ἔνια ~~κινεῖσθαι.~~

Ἕτερον δὲ τρόπον Ὑπόθεσις λέγεται, ἀρχή τις ἰδία τισὶ τῆς φιλοσοφουμένων δοκιμαζομένη, ὡς ἀπόστινος τῆς καταρξάντων τῆς αἱρέσεως παραδεδομένη, ἥτις ἐπ' ὀλίγον καὶ δυσξυνέτως ὅξι, καὶ πολλῶν εἰς σύσα-

(1) Εἴτουν αὕτη ἡ Ὑπόθεσις γενικὴ ἐνδέχεται εἶναι. καὶ γὰρ διαιρεῖται εἰς μερικὰς Ὑποθέσεις, καὶ Ὑπολήψεις παραδόξους καὶ αἰτήματα. Ἔτι δὲ μὲν ἐμπεδοῦται ὥσπερ ἐνταῦθα τῷ Ἀριστοτέλει ϛ ὁμολογηται ἁπλῶς Ὑπόθεσις λεγεται. εἰσὶ δὲ, λήμματα, καὶ Ὑπολείψεις, καὶ αἰτήματα.

σύσασιν δέεται λόγων, ὡς τὸ κενὸν ἐνεῖναι τῇ φύσει τῶν ὄντων, οἱ ἀρχαῖοι ἐτίθεσαν, ἢ τῶν ἀτόμων ἡ θέσις κατὰ Δημόκριτον, καὶ κατὰ ἄλλους ἄλλα. περὶ ἧς ὑποθέσεως ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν Τοπικῶν διαλαμβάνων ἔλεγε, Θέσιν εἶναι ὑπόληψιν παράδοξον τινὸς τῶν γνωρίμων ἐπὶ Φιλοσοφίᾳ ἀναπόδεικτον, οἷον ὅτι οὐκ ἔστιν ἀντιλέγειν, κατὰ Ἀντιφῶντα, ἢ ὅτι τὰ πάντα ἀεὶ κινεῖται, καθ' Ἡράκλειτον.

Τείτον τρόπον Ὑποθέσεις λέγονται τὰ αἰτήματα, οἷα ὁ διδάσκων ἐφ' ὅτε, ἢ ὁ προσδιαλεγόμενος ἀπαιτεῖ πρὸς τῶν ἀκροωμένων ἑαυτῷ δοθῆναι καὶ ὑποθέσθαι ὡς οὕτως ἔχοντα, ἵνα μὴ διακόπτηται ἡ διδασκαλία, εἴτουν ἡ διάλεξις.


Τί ἐστὶν Ὁρισμός.

ὁρίζω

Ὁρισμὸς ἐστὶ θέσις, ἥτις πλείοσιν ὀνόμασιν ἀποδίδωσι τὴν φύσιν τοῦ ὁρισοῦ, ἥτις δι' ἑνὸς ὀνόματος ἰδίου σημαίνεται, καὶ λέγεται θέσις, ὅτι τίθεται παρὰ τοῦ διδάσκοντος, καὶ οὐκ ἀποδείκνυται. Λαμβάνεται δὲ ὁ Ὁρισμὸς διχῶς, ἢ μετὰ τοῦ ὁρισοῦ καὶ ἐστὶ πρότασις, ἢ ἄνευ τοῦ ὁρισοῦ καὶ ἔστιν ἁπλῆ ἀρχή. Διαλύοντες δὲ ὁ Ὁρισμὸς τῆς ὑποθέσεως, ὅτι ὁ Ὁρισμὸς ἀεὶ ἐστὶν ἀληθὴς, καὶ οὐ παντάπασιν ἀσαφής. τῶν δὲ ὑποθέσεων αἱ πλείους εἰσὶ ψευδεῖς τε καὶ ἀσαφεῖς. Καὶ ὁ μὲν Ὁρισμὸς ἁπλῆ ἐστὶν ἀρχὴ ἄνευ τοῦ ὁρισοῦ λαμβανόμενος, ἡ δὲ Ὑπόθεσις ἀεὶ ἐστὶ λόγος κατὰ συμπλοκήν.

Ἀπορεῖται δὲ περὶ τούτε, ἐπειδὴ ἡ ἀποδεικτικὴ ἀρχὴ πρότασις ἐστὶν, ὡς εἴρηται, ὁ δὲ Ὁρισμὸς ἐστὶν εἶδος τῆς ἀποδεικτικῆς ἀρχῆς, πῶς δύναται μὴ εἶναι πρότασιν.

Πρὸς ὃ ῥητέον, ὅτι ὁ Ὁρισμὸς ἐννοεῖται διχῶς, ἢ μετὰ τοῦ ὁρισοῦ, ὃν τρόπον ἐστὶ πρότασις, καὶ ἀνάγεται ὑπὸ τὸ γένος τῆς κατὰ συμπλοκὴν ἀρχῆς. ἢ δίχα τοῦ ὁρισοῦ, καὶ ἔστι θέσις μόνον πλείοσιν ὀνόμασι σωτηκὴ, μιᾶς καὶ τῆς αὐτῆς φύσεως σημαντικὴ, καὶ ἔστιν ἁπλῆ ἀρχή. τῶν γὰρ ἀρχῶν αἱ μὲν κατὰ συμπλοκήν εἰσιν, αἱ δὲ ἄνευ συμπλοκῆς.



„ Ἐπεὶ δὲ δεῖ πιστεύοντα, καὶ εἰδέναι τὸ πρᾶγμα.

Ἐπὶ τοῦ ὑπολοίπου τυδὶ μέρους τοῦ κεφαλαίου, καὶ τοῦ ἐχομένου τέλους, κεφαλαίου σκοπὸς ἐστὶ τῷ Φιλοσόφῳ διδάξαι τὰς ἀρχὰς δεῖν εἶναι μᾶλλον ἐγνωσμένας, καὶ γνωριμωτέρας τοῦ συμπεράσματος, καίτοι καὶ ἀποδείκτους οὔσας. Ἐπειδὴ γὰρ ὁρισάμενος τὴν ἀρχὴν τῆς ἀποδείξεως, ἀποδέδωκεν ἐφεξῆς γνωριμώτερον τὰ ἐκείνης εἴδη, ἐχόμενον ἦν ἀναβεβέρον ἐξετάσαι καὶ παραδοῦναι τὰ ἴδια τῆς αὐτῆς. Πρῶτον δὲ παραδίδωσι τὰ σχετικῶς θεωρούμενα ταύτης ἴδια, ἅπερ ἦν προτέρας τε καὶ γνωριμωτέρας εἶναι τὰς ἀρχὰς τοῦ συμπεράσματος, περὶ ὧν καὶ αὐτοῦ ἐλέγετο διχῶς ἐννοεῖσθαι καπάτε φύσιν, καὶ καθ' ἡμᾶς, τοῦτο νῦν δεικνύσι, χρησάμενος ἀξιώματι τῷδε. Δι' ὃ ἕκαστον τοιοῦτον, ἐκεῖνο μᾶλλον τοιοῦτον, ἐξ οὗ συνάγεται τὸ προκείμενον ἔσπερ τοιῷδε. Δι' ὃ γινώσκομεν τὸ συναγόμενον τῆς ἀποδείξεως, ἐκεῖνο μᾶλλον γινώσκομεν, ἢ τὸ συναγόμενον, ἀλλὰ διὰ τὰς ἀρχὰς γινώσκομεν τὸ συναγόμενον, ἆρα μᾶλλον γινώσκομεν τὰς ἀρχὰς ἢ τὸ συναγόμενον. Ἢ ἐλάττων πρόδηλος. ἢ μείζων ἐστὶ τὸ προκειμένου ἀξίωμα, ὅπερ εἰ μέλλει ἀεὶ ἀληθεύειν, δύο ταῦτα προσεῖναι δεῖν, τὸ μὲν ἵνα τὸ πάθος κοινὸν ἀμφοῖν εἴη, τὸ δὲ ἵνα ἐπιδέχηται τὸ μᾶλλον καὶ τὸ ἧττον. Δι' ἔλλειψιν τοῦ πρώτου οὐκ ἔστιν εἰπεῖν ὅτι διὰ τὸν οἶνον οἱ πίνοντες μεθύουσιν, ἆρα ὁ οἶνος μᾶλλον μεθύει. ὁ γὰρ οἶνος οὐκ ἔστι δεκτικὸς μέθης, ὥστε τὸ πάθος οὐκ ἐνυπάρχει τοσοῦτον καθ' ἑκατέροις. Διὰ τὴν ἔλλειψιν τοῦ δευτέρου οὐχ ὑγιὲς εἰπεῖν ὅτι ὁ υἱὸς ἐστὶ διὰ τὸν πατέρα ἄνθρωπος, ἆρα ὁ πατὴρ μᾶλλον ἄνθρωπος, ἢ ὁ υἱός. ἢ γὰρ τοῦ ἀνθρώπου οὐσίαν καθ' ἣν ἡ σύγκρισις γίνεται οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον.


ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ.

„ Ἐπεὶ δὲ ἀδύνατον ἄλλως ἔχειν οὗ ἐπιστήμη ἁπλῶς.

Διδάξεν ἀνωτέρω ὁ Φιλόσοφος τὰς διαφορὰς τῶν ἀποδεικτικῶν ἀρχῶν καθ' ἑαυτὰς, καὶ τῆς ὕλης ἐκτός. ἐντεῦθεν δὲ ἄρχεται ταύτας μετὰ τῆς ὕλης θεωρῆσαι, καὶ διδάξαι ἡμᾶς τίνα τρόπον ἀναλύοντες ἀπὸ τῶν ἀποτελεσμάτων καὶ παθῶν, ἀναδραμεῖν δυνάμεθα ἐπὶ τὰς τοιαύτας ἀρχὰς, οἵας ἐξέθετο, αἵτινες εἰσὶν ἀληθεῖς, πρῶται, καὶ ἄμεσοι, καὶ τῶν

τοῦ συναγομένου αἰτίαι. Ἄρχεται τοίνυν ἀπὸ τῆς πρώτης, ἥτις ἠξίου δεῖν εἶναι τὰς ἀρχὰς τῆς ἀποδείξεως ἀληθεῖς. Ἐπειδὴ δὲ ἡ ἀλήθεια τῶν ἀρχῶν ἐν τῇ φυσικῇ συναφείᾳ συνέσηκε τῶν κατ' αὐτὰς ὅρων, ἐξετάζει πάλιν ὁ Φιλόσοφος πρῶτον τὴν τῶν ὅρων συναφειαν ἥτις πότ' εἴη, καὶ πόσαχῶς. ~~Ἐπεὶ ἔστι δ'~~ ὅτι ἡ αὐτὴ καὶ ἐνδεχομένη ἐστὶν, ὡς εἶπον συμβαίνει πάντα ἄνθρωπον εἶναι γραμματικὸν, ἢ γεωμέτρην, διὸ ὁ Φιλόσοφος ἵνα τῆς προκειμένης διασκέψεως (1) ἀποποιήσηται, ~~μεταλαμβάνει~~ τὴν φωνὴν τοῦ ἀναγκαίου, ἀντὶ τῆς φωνῆς τοῦ ἀληθοῦς, καὶ δείκνυσι τὰς ἀρχὰς τῆς ἀποδείξεως, οὐ μόνον δεῖν εἶναι ἀληθεῖς, ἀλλὰ & ἀναγκαίας, ἐπιχειρῶν ἀπὸ τοῦ τέλους ὧδί. : ἐστὶν δ'

Τὸ μὴ δυνάμενον ἄλλως ἔχειν ἐστὶν ἀναγκαῖον. ἀλλ' ὃ ἐστὶν ἁπλῶς Ἐπιστήμη (οἷον ἐστὶ τὸ συναγόμενον δι' ἀποδείξεως) ἀδύνατον ἄλλως ἔχειν, ἄρα ἀναγκαῖον. Ἡ ἐλάττων πρότασις ὅτι τὸ συναγόμενον δι' ἀποδείξεως ἀδύνατον ἄλλως ἔχειν, ἐμπεδοῦται ὅτι ἐστὶ γνῶσις δι' αἰτίας μὴ δυναμένης ἄλλως ἔχειν, ὡς ἐν τῷ ὁρισμῷ τοῦ ἐπίστασθαι παραδέδοται. Ἡ μείζων ἐστὶ προφανής. δεδειγμένου δὲ τοῦ συμπεράσματος τῆς ἀποδείξεως ἀναγκαίου, ἐντεῦθεν τάξει ἀναλυτικῇ ἐπιφέρεται, καὶ τὰς ἀρχὰς ἔτι τῆς ἀποδείξεως ἀναγκαίας εἶναι. ὡς γὰρ εἴρηται δι' ὃ ἕκαστον τοιοῦτον, ἐκεῖνο μᾶλλον τοιοῦτον. Ἐπεὶ δὲ τὴν γνῶσιν τῶν συμπερασμάτων προειζόμεθα διὰ τὴν γνῶσιν τῶν ἀρχῶν, μᾶλλον ἀναγκαίας δέον εἶναι τὰς ἀρχὰς, ἐξ ὧν ἡμῖν προσγίνεται ἡ ἀναγκαία τοῦ συμπεράσματος ἀλήθεια.



Κα-

(1) Τὴν ἐνδεχομένην συναφειαν.

„ Καπὶ παντὸς μὲν οὖν τοῦτο λέγω.

Τῆς εἰρημένης τῇ ἀρχῶν ἀναγκαιότητος ζῆς τάξεις ἐκτίθησιν ὁ Φιλόσοφος ἑφεξῆς, κατὰ παντὸς, καθ' αὑτὸ, καὶ καθόλου, ἃς ἐχομένως ἐπάξιον ὑποχράφει τε καὶ ἀναπτύσσει. Καὶ πρῶτον διδάσκει τὸν πρῶτον ζόπον τοῦ ἀναγκαίου, ὅς τις θεωρεῖται ἐπὶ τῆς συμπλοκῆς τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον, ὁπλοῦν κατὰ παντὸς λέγεται, δύο εἰς σύστασιν τούτου συμβέχει, τὸ μὲν ἵνα πᾶσιν ὑπάρχει τοῖς ὑποκειμένοις ἀτόμοις, εἴποιν εἴδεσιν, ὡς τὸ ζῶον οὕτως ἐνυπάρχει τῷ ἀνθρώπῳ, ὡς μηδενὶ κατὰ μέρος ἀνθρώπων εἶναι, ἐν ᾧ μὴ εἴη τὸ ζῶον. τὸ δὲ ἵνα ἀχωρίστον εἴη, τῇ ἐν οἷς ὑπάρχει, κἂν μὴ οὐσιώδες τύχῃ ὂν τὸ τοιοῦτον κατηγορούμενον, ὡς τὸ μέλαν ἐν παντὶ κόρακι, ἢ αἰθίοπι, ἀχωρίστως ὑπάρχει. Διὰ δὲ τοῦ δευτέρου τούτου ἀντιδιαστέλλεται τὸ νυνὶ κατὰ παντὸς λεγόμενον, τοῦ κατὰ παντὸς εἰρημένου ἐν τῷ πρώτῳ τῆς προτέρων Ἀναλυτικῶν. ἐπ' ἐκείνου γὰρ ἀποχρη κατὰ παντὸς λέγεσθαι, εἰ μόνον ἐνυπάρχει πᾶσι τοῖς ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις, κἂν ἐνδεχομένοις κατηγορεῖσθαι, ὡς εἴγε συμβαίη πάντα ἄνθρωπον καθεύδειν, ἢ πάντα Φιλόσοφον περιπατεῖν, τοῦτο κατὰ παντὸς λέγεται, κατὰ τὸν ἐκτεθέντα ζόπον τοῦ κατὰ παντὸς ἐν τοῖς προτέροις Ἀναλυτικοῖς. Ἐνταῦθα δὲ τὸ κατὰ παντὸς, οὐ μόνον τοῦτο σημαίνει δεῖ τὸ πᾶσιν ἐνυπάρχειν τοῖς ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις, ἀλλὰ καὶ ἀχωρίστως ὑπάρχειν τούτοις, καὶ ἀεί. διὸ ἡ τοῦ κατὰ παντὸς ἐνταῦθα τῆς ὅρων συμπλοκὴ καταγορία ἀναγκαία πάντως ἐστὶν, ἐκείνη δὲ οὐχ οὕτω.

„ Καθ' αὑτὸ δὲ καὶ τὰ ἑξῆς.

Εἰπὼν ὁ Φιλόσοφος ὅτι πρὸς τὸ ἀναγκαῖον τῆς ἀποδεικτικῆς ἀρχῆς τὸ κατηγορούμενον κατὰ παντὸς τοῦ ὑποκειμένου, καὶ ἀχωρίστως ἐνυπάρχειν ἐκείνῳ, ἄρχεται τοῦ δευτέρου γένους, τοῦ ἐν ταῖς ἀρχαῖς ἀναγκαίου, ὅπερ ἐστὶ τὸ καθ' αὑτὸ λέγεσθαι. ((1) τοῦτο δὲ προσέθηκε τῷ προσεχῶς εἰρημένῳ κατὰ παντὸς, τὸ καὶ κατὰ φύσιν ἐνυπάρχειν τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ) ὅτι πολλὰ τῶν κοινῶν συμβεβηκότων ἀχωρίστως ἐνυπάρχουσι τῷ ὑποκειμένῳ, ὡς ἡ λαβρότης ἐν Κύκνῳ, οὐ μὴν ἀπὸ τῆς ταυτό-

(1) Ἤτοι τὸ καθ' αὑτό.

ακριβῶς, οἷον, σμιλίης ἐστὶ ῥὶς ποίη, τῆς δὲ πολὺ σμικρὴ ἀφὶ-
ῥηγμένος, οἷον, σμιλίης ἐστὶ ποιητέη ῥὶς ἡ ἐν ῥινί.

Περὶ τῶν αὐλῶν σκοπεῖν τάδε.

„ὁκόσ' ἂν ὄφρυς ᾖ, ἰσοπαχέων ὄντων τῶν αὐλῶν ἀπὸ τοῦ ἑνὸς ἐς τὸν ἕτερον, ἢν δύο ὄφρυς
ὀρθωθῇς, ἢ δύο αὖ διαθλάσαι. ὁκοῖόν μὲν γὰρ τὸν αὐλὸν δεῖ σκοπεῖν λαμβάνειν ὁρισμῷ, ὡς δὲ αὐτὸν ὁρίζεσθαι, θέλω εἰπεῖν, τὸ χαρακτὴρ, τὸ μέ-
γεθος, ἢ τὴν ἅρμογα· ὁκοῖον δὲ τὸν ὁρίζεσθαι, παραλαμβάνειν τὸ ἀνθρω-
πήιον, ὡς τὸ σμικρὸν ἢν ῥῖνα, τὸ στρογγύλον ἢ ὀξὺν τὸν ἀριθμὸν,
ἢν μὲν μέσαμμιν ἢ λιγυὴν ἢ παχυλόην, ἢ ἄλλα τοιαῦτα.

ἐπὶ τῶν ἀρνήσεων ἴσης δυνάμεως ἐστι καὶ αὐτό, ἐπεὶ οὐδὲν ἧττον ὁδὸν ἡδεῖαν ἐκκλίναιμεν. ἐναντίως γὰρ ἔχει θέσεως, ὁ κατηγορούμενον ἢ κατηγορούμενον, δύο ἀρχὰς ἐχούσης, ἐνδοίς δυσὶ δηλοῖς ἀορίστως, ἢ ἀποφατικῶς, αἱ δὲ καθ' αὐτὸ δύο ὅροι καλοῦνται θέσεως. ὁ γὰρ ὁρισμὸς ἧττόν ἐστι ὁρισμὸς φύσεως ἀποφάσεως δηλωτικός, ἀλλὰ τὸ ὄνομα ἀγαθὸν μὲν ἁπλοῦν, ἀλλὰ ὁδοιπορικὸν ἢ νοῦ ἀπαγγελία, ἐφ' ἑκάστου κατηγορεῖ, δηλωτικὸν ὄντως ἀγαθοῦ ὄντος, ἀγαθὸς ἀνθρώπου, ἀλλὰ ἢ ἀναγκαῖον ἐνδοῖ· ἴσων ἀλλήλων ἐν χώραν ἔχειν. ἀναιρεῖ γὰρ ἢ μὲν τῶν δύο τῶν ἐν τοῖς θεωρουμένοις ὄντων, ἀναγκαῖον ἀκολουθεῖ, ὃς δὲ ἐξὸν ἡμῖν ἄλλως ὁδὸς γνῶναι ἄλλην ἐκλελέχθαι λέγομεν. ὅσα οὖν ἀντιφάσεως ἐνδοῖ ἐστὶ ἀποκαλεῖται ὁριζομένῳ ἀκόλουθα, ἀναγκαίως κατὰ αὐτό, ἢ ὅροι θεωρίας ἐστίν, ὡς τὸ γένος, ἢ διαφορά, ἢ τὸ ἴδιον πάντων τῶν ἀνθρώπων, ὁριζομένῳ ἀνθρώπου ὄντος, ἢ ἕτερόν τινος τῶν τοιούτων κατηγορουμένων. ἢ ταῦτα μὲν ἐν τῷ ὁρισμῷ τοῦ ἀποκαλεῖται. τὰ δ' ἐν τῷ τοῦ κατηγορουμένῳ εἶναι τῷ θεωρουμένῳ λόγῳ ἴδια ὄντα, ἢ ἄλλα τοιαῦτα, ἡμῖν ἐστιναῦν ἀναγκαίως ὁρίζει, ὄθεν ἢ φαίνεται, ἢ καθ' αὑτὸ ἐνδοῖ τὸ ἀποκαλούμενον, ὅ ἐστιν ἀφορισμένως, ἢ ἀφωρισμένως, ἐν τῷ τοῦ κατηγορουμένου ὁρισμῷ τοιαῦτα λόγῳ, ἢ τῷ ἀποφατικῷ, ὡς ἡ ὄρις, ἐν τῷ ἡμιθνήτῳ, ἢ γλυκεῖ ὁρισμῷ· ἢ γὰρ, ὡς ἄνθρ' ὅσοι δὴ σοφοί, ἐν μὲν τῷ λόγῳ τοῦ ἀποκαλουμένου γίγνεται τὸ κατηγορούμενον καθ' αὑτό, οὐδὲ τῷ τοῦ κατηγορουμένου, τὸ ἀποκαλούμενον ὃν μὴ καθ' αὑτὸ ἀφω-

τοιούτων πεφύκασι γίνεσθαι αἱ ἀποδεικτικαὶ ἀρχαί. διὸ τὰς ἀποδεικτικὰς ἀρχὰς καθ' αὑτὸ δέον εἶναι. ὥσπερ γὰρ ὁ ὅρος τοῦ κατὰ παντὸς λέγεσθαι, συναπτει τὸ κατηγορούμενον πᾶσι τοῖς ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις, καὶ (1) τοῦτο ἐπὶ παντὸς χρόνου καὶ ἀχωρίστως. τοῦτο αὐτὸ κοινότερον ἔχηκε, καὶ τὸ καθ' αὑτὸ λέγεσθαι. Προσίθησι μέντοι τούτοις καὶ τὴν τοιαύτην συναφειαν, δεῖν εἶναι κατὰ φύσιν καὶ οὐσιώδη. καὶ γὰρ εἴπερ ἐφ' ὅτε τὸ κατηγορούμενον συμβεβηκὸς εἴη τῷ ὑποκειμένου καθ' οὗ κατηγορεῖται, ἡ συναφεια μέντοι τούτων ἀεὶ ἐστὶ κατὰ φύσιν. Τούτοις δὲ τοῦ γένους τὴν καθ' αὑτὸ λεγομένων, πέπαρας ὅρους ἐκτίθησιν ἐφεξῆς ὁ Φιλόσοφος, συνεκτιθέμενος ἅμα καὶ τοὺς ἀντικειμένους αὐτοῖς ὅρους τῶν λεγομένων κατὰ συμβεβηκὸς, ἀλλὰ μὴ καθ' αὑτό. Τὸν δὴ πρῶτον ὅρον τῶν καθ' αὑτὸ λεγομένων ὑπογράφων ἐνταῦθα ὁ Φιλόσοφος φησὶν, ἐκεῖνα λέγεσθαι καθ' αὑτὰ, ὅσα ὑπάρχει ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου.

Ἐν τούτοις δὲ δύο ταῦτα δίδωσιν ἐννοεῖν συστατικὰ τοῦ πρώτου ὅρου τῶν καθ' αὑτό, τὸ μὲν ἵνα τὸ κατηγορέμενον ἐνυπάρχει τῷ ὑποκειμένῳ ἀχωρίστως, καὶ κατὰ φύσιν, οὗ ὅρον τὸ ζῶον, ἢ γοῦν τὸ λογικὸν ἐνυπάρχει τὸ ἀνθρώπῳ ἀχωρίστως, καὶ κατὰ φύσιν αὐτοῦ κατηγορούμενα, οὐ μὴν δὲ καὶ ἀνάπαλιν. ὁ γὰρ ἄνθρωπος οὐκ ἐνυπάρχει τῷ ζῴῳ κατὰ φύσιν ἀχωρίστως, ἀλλ' οὐδὲ τῷ λογικῷ. οὔτε κατὰ φύσιν εἰσὶν, ἔτε καθ' αὑτὸ, ἀλλὰ μᾶλλον κατὰ συμβεβηκός. Δεύτερον δὲ εἰς σύστασιν τοῦ αὐτοῦ πρώτου ὅρου τῶν καθ' αὑτό ἐστιν, ἵνα τὸ κατηγορούμενον ἐν τῷ τί ἐστι κατηγορῆται τοῦ ὑποκειμένου. ὅθεν τὰ τοιαῦτα κατηγορούμενα ἔσονται, ἢ ὁλόκληρος ὁρισμὸς κατὰ τοῦ ὁριστοῦ, ἢ τὰ μέρη τοῦ αὐτοῦ, τὸ γένος δηλαδὴ, ἢ ἡ διαφορὰ, εἴτε προσεχὴς εἴη, εἴτ' οὖν πορρώτερω.

„ Καὶ ἴσοις τῷ (2) ἐνυπαρχόντων αὐτοῖς, αὐτὰ ἐν τῷ (3) λόγῳ ἐ„ νυπάρχουσι τῷ τί ἐστι (4) δηλοῦτι.

ΠΑραδίδωσιν ὁ Φιλόσοφος ἐφεξῆς τὸν δεύτερον ὅρον τῶν καθ' αὑτὸ λεγομένων, καθ' ὃν φησὶ κατηγορεῖσθαι, ὧν (5) ἐν τῷ λόγῳ ἐνυπάρχει τὰ ἐν οἷς αὐτὰ ὑπάρχει. Δύο δὲ καὶν τούτοις δίδωσιν ἐννοεῖν συστατικὰ τοῦ δευτέρου ὅρου τῶν καθ' αὑτὸ, τὸ μὲν ὅτι τὸ κατηγορέμενον

(1) Ἤτοι τὸ συναπτειν. (2) Ὑποκειμένοις τοῖς. (3) Ὁρισμῷ. (4) Τὸν ὁρισμόν. (5) Τουτέστιν ἐκεῖνα κατηγορεῖται κατὰ τὸν δεύτερον ὅρον ὃν λαμβάνεται ἐν τῷ ὁριστικῷ αὐτῷ λόγῳ τὰ ὑποκείμενα ἐν οἷς αὐτὰ ἤτοι τὰ κατηγορούμενα ὑπάρχει.

μενον ὑπάρχειν δεῖν τῷ ὑποκειμένῳ ἀχωρίστως, καὶ κατὰ φύσιν, ὅπερ κοινὸν ὄζει καὶ τῷ προσεχῶς ἐκτεθέντι πρώτῳ τρόπῳ. τὸ δὲ ὅτι τὸ ὑποκείμενον δεῖ προσλαμβάνεσθαι ἐν τῷ λόγῳ τοῦ κατηγορουμένου; οὗ τὸ ἀντικείμενον ἐπὶ τοῦ πρώτου τρόπου ἐλέγετο. ἐν ἐκείνῳ γὰρ τὸ κατηγορούμενον, ἢ ὅλος ~~ὁ~~ ὁλόκληρος ὁρισμὸς, ἢ μέρος τι τῶν προσλαμβανομένων ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου. ἐν δὲ τῷ δευτέρῳ ἀνάπαλιν τὸ ὑποκείμενον λαμβάνεται ἐν τῷ ὁρισμῷ τοῦ κατηγορουμένου. Προτάσεις δὲ κατὰ τὸν δεύτερον τρόπον τῶν καθ' αὐτὸ λεγομένων εἰσὶν ὧν τὸ κατηγορούμενον ἐστὶ πάθος ἴδιον τοῦ ὑποκειμένου. τὰ γὰρ ἴδια πάθη καὶ ἰδιότητες τῶν ὄντων διὰ τοῦ ἰδίου ὑποκειμένου περαίνουσιν ὁρίζεσθαι, ὧν εἰσὶν αὗται. Ἄνθρωπος ἐστὶ γελαστικὸς, ἢ θαυμαστικὸς, ἢ πτηνὸν ὁ Ὄρνις, καὶ νηκτὸν ὁ Ἰχθύς.

„ Ὅσα δὲ μηδ' ἑτέρως, ὑπάρχει συμβεβηκότα.

ΠΑραδοὺς ὁ Φιλόσοφος τοὺς δύο τρόπους τῶν καθ' αὐτὸ λεγομένων, ἐκτίθησιν ἑξομαλίζων τὰ κατὰ συμβεβηκὸς λεγόμενα ὅσα ἀντίκεινται ἀμφοῖν τοῖς ἐκτεθεῖσι τρόποις, ἃ καὶ ὑποχάραξει κοινότερον, τῇ ἀμφοτέρων ἀποφάσει λέγων, ὅσα μηδ' ἕτερος ὑπάρχει, ἐν οἷς δηλαδὴ, οὔτε τὸ κατηγορούμενον προσλαμβάνεται ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου, οὔτε ἀνάπαλιν τὸ ὑποκείμενον ἐν τῷ ὁρισμῷ τοῦ κατηγορουμένου. τὰ δὲ μηδετέρως ἔχοντα, συμβεβηκότα εἰσὶ, καὶ τὴν κατὰ τοῦ ὑποκειμένου κατηγορίαν κατὰ συμβεβηκὸς ἀπεργάζονται, οἷαί εἰσιν αὗται. ὁ λίθος ἐστὶ λευκὸς, ἢ ὁ Ἄνθρωπος μουσικὸς, καὶ ὅσαι ἄλλαι.

„ Ἔτι ὃ μὴ καθ' ὑποκειμένου λέγεταί τινος.

ΕΚτίθησιν ὁ Φιλόσοφος ἑφεξῆς τὸν τρίτον τρόπον τοῦ καθ' αὐτὸ, καθ' ὃν φησὶ καθ' αὐτὸ λέγεσθαι, ὅσα μὴ ὑπάρχοντα ἄλλοις, εἰσὶ (1) τὸ δέ τι. Ἐν τούτοις δὲ ὁ Φιλόσοφος διδάσκει τὰς κατηγορίας ἐν αἷς φαμὲν τὰς οὐσίας εἶναι, εἴτουν ὑπάρχειν, καθ' αὐτὸ λέγεσθαι, κατὰ τὸν δὲ τὸν τρίτον τρόπον. Ἐφ' ὧν δὲ τὰ συμβεβηκότα ~~εἶναι, εἴτουν~~ ὑπάρχειν λέγεται, αὗται αἱ κατηγορίαι εἰσὶ κατὰ συμβεβηκὸς, καὶ ἀντικείμεναι ἐκείναις. Τούτου δὲ ~~τοῦ τρόπου~~ εἰσὶ πᾶσα

(1) Αἱ πρῶται οὐσίαι, τὰ μερικά.

αἱ κατηγορίαι, αἱ ἐξ ὀνόματος καὶ ῥήματος ὑπαρκτικοῦ συγκείμεναι ἐπὶ τῆς οὐσιῶν, οἷον Ἄνθρωπος ἐστὶν, Ἵππος ἐστὶν, ἢ τὸ περιπατοῦν ἐστὶν, ἢ τὸ λευκὸν ἐστὶν, ὁπωσιοῦν τὸ λευκὸν καὶ περιπατοῦν ἐννοεῖται ἡ οὐσία, ἐφ' ἧς τὸ λευκὸν ὑπάρχει.

Ἀπορεῖται δὲ ἐνταῦθα πότερον ἡ τοῦ καθ' αὐτὸ ὑπάρχειν κατηγορία ἐπὶ μόνων τῶν πρώτων οὐσιῶν ἐννοεῖται, ἢ ἁπλῶς ἐπὶ τῶν πρώτων τε καὶ δευτέρων.

Πρὸς ὃ ῥητέον κατὰ τὰ εἰρημένα τῷ Φιλοσόφῳ ἐν ταῖς Κατηγορίαις; ἐν τῷ περὶ Οὐσίας κεφαλαίῳ, ἔνθα πρώτως καὶ κυρίως ἀποδίδοται τῇ πρώτῃ Οὐσίᾳ σημαίνειν τό δέ τι, ταῖς δὲ δευτέραις οὐσίαις, οὐκ ἄλλως ὅτι μὴ διὰ τὸν πρῶτον.

„ Ἔτι δ' ἄλλον τρόπον.

Τέταρτον ἐπιθήσει τρόπον ὁ Φιλόσοφος τοῦ καθ' αὐτὸ, ὃν αὐτίκα διαφέροντα τῶν εἰρημένων τριῶν ἀποδίδωσιν, ἐφ' ὅσον σημαίνει τὴν σωαφειαν τῆς αἰτίας πρὸς τὸ οἰκεῖον ἀποτέλεσμα, ~~ἀλλ' ἐπειδὴ~~ ἐν πάσαις ταῖς ἀποδεικτικαῖς προτάσεσι θεωρεῖται σωαφεια αἰτίας πρὸς τὸ οἰκεῖον ἀποτέλεσμα. δέον γὰρ ἐπὶ πασῶν εἶναι τὸν μέσον ὅρον, αἴτιον τοῦ μείζονος ἄκρου, δηλαδὴ τοῦ πάθους, καὶ τοῦ (1) ἁπλῶς εἶναι, καὶ τοῦ ἐνεῖναι τῷ ὑποκειμένῳ, ἤτοι τῷ ἐλάττονι ἄκρῳ· σημειοῦται ἡ διαφορὰ τούτου πρὸς τοὺς λοιποὺς, ὅτι ἐπὶ τοῦ τετάρτου τούτου τρόπου τῶν καθ' αὐτὸ λεγομένων, ἰδιαίτερον σημαίνεται σωαφεια ἐξωτερικῆς αἰτίας, πρὸς τὸ ἀποτέλεσμα τῆς αὐτῆς, οἵαι εἰσιν ἡ ποιητικὴ καὶ τελικὴ αἰτία. Ὅθεν αὖται αἱ προτάσεις εἰσὶ καθ' αὐτὸ ἐν τῷ τετάρτῳ τρόπῳ, ὁ Ἥλιος ἀνιμᾶται τὰς ἀτμάδας, οἱ ἀτμοὶ ποιοῦσι τὰ νέφη, ἡ πύκνωσις τῶν νεφῶν ποιεῖ τὸν ὑετόν. καὶ ἐν οἷς τὸ αἴτιον κατηγορεῖται κατὰ τοῦ αἰτιατοῦ, οἷον ὁ θυμός ἐστιν ὄρεξις ἀντιλυπήσεως, ἡ ἔκλειψις τοῦ ἐν τῇ Σελήνῃ φωτισμοῦ ἐστὶ παρέμπτωσις τῆς γῆς, καὶ ὁ περίπατος διὰ τὴν ὑγίειαν, καὶ ὁ θάνατος διὰ τὸν σφαγέα.

Ἐφ' ὧν τοιγαροῦν ἡ τοιαύτη σωαφεια τῆς ἐξωτερικῆς αἰτίας πρὸς τὸ οἰκεῖον ἀποτέλεσμα ἀναγκαία ἐστὶ, τοιαύτη ἡ πρότασις ἐστὶ καθ' αὐτό. μὴ οὔσης δὲ οὕτω ἀναγκαίας τῆς σωαφείας, θεωρεῖται δέ τις κατὰ συμβεβηκὸς σχέσις μεταξὺ τοῦ ἀποτελουμένου, καὶ ἑτέρου τινός, ἡ κατηγορία

(1) Καθόλου.

γίνεται κατὰ συμβεβηκὸς ἀντικειμένη τῇ καθ' αὐτὸ κατηγορίᾳ κατὰ τὸν τέταρτον τρόπον τοῦ καθ' αὐτό, ὡς τὸ, περιπατοῦντος Σωκράτους ἤστραψεν. οὐδέτερον γὰρ διὰ θατέρου γέγονε, καίτοι συμπεπτωκότος κατὰ συμβεβηκὸς τῷ λόγῳ τῆς ἐσόπτου τοῦ χρόνου ἐν ᾧ τυγχάνει συμβαίνοντα. Ὁμοίως δὲ ἔσται ἡ κατηγορία κατὰ συμβεβηκός, εἰ φαίημεν τὴν φθορὰν τοῦ ζώου φθείρεσθαι διὰ τὴν σφαγὴν, ἢ τὴν βάδισιν διὰ τὴν ὑγίειαν, πεπτωκότα τῇ ἀληθείᾳ μὴ γίνονται δι' αὐτά. Εἰσὶν οἱ λέγοντες τὸν τέταρτον τρόπον τῷ καθ' αὐτό, οὐ κατηγορίας, ἀλλ' αἰτίας λέγεσθαι τρόπον. καὶ οὕτω διενηνοχέναι τῶν εἰρημένων, ὧν τὸν μὲν πρῶτον τῆς καθ' αὐτὸ κατηγορίας τρόπον φασὶ, τὸν δεύτερον τοῦ καθ' αὐτὸ εἶναι. τὸν τρίτον τοῦ καθ' αὐτὸ ὑφεστηκέναι, εἴτουν τοῦ καθ' αὐτὸ ὑπάρχειν. καὶ τὸν τέταρτον ὡς εἴρηται τῆς καθ' αὐτὸ αἰτίας, ἢ τοῦ καθ' αὐτὸ αἴτιον γίνεσθαι.


„ Καθόλου δὲ λέγω, ὃ ἂν κατὰ παντός τε ὑπάρχει, καὶ καθ' αὐτὸ, „ καὶ ᾗ αὐτό.

Τρεῖς τρόπους ἐξέθετο ὁ Φιλόσοφος τοῦ ἀναγκαίου, τοὺς δύο πρώτους μέχρι τοῦδε παραδοὺς, τόντε κατὰ παντὸς δηλαδὴ, καὶ καθ' αὐτό. τὸν τρίτον καθ' ὃν τὸ μάλιστα ἀναγκαῖον θεωρεῖται ἐν ταῖς ἀρχαῖς (ὅτι ἡ συνάφεια τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον μάλιστα ἀναγκαία ἐστὶ) νυῦν παραδίδωσιν, οὗ τρεῖς ἐκτίθησι διαφοράς. Πρώτη ὅτι κατὰ παντὸς, ὥσπερ ἀνωτέρω εἴρηται τὸ κατὰ παντὸς, καθ' ὃ καὶ ἀναγκαίως καὶ ἀχωρίστως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. Δευτέρα διαφορά ἐστιν, ὅτι καὶ καθ' αὐτὸ δεῖ τὴν κατηγορίαν ταύτην εἶναι. Καὶ τρίτην ἐπενέμει διαφορὰν μάλιστα προσήκουσαν τῷ καθόλου, τὸ καὶ ᾗ αὐτὸ λέγεσθαι. Ἀλλ' αἱ μὲν πρῶται δύο ἐπιχρώντως ἀνωτέρω ἐδηλώθησαν, τὴν τρίτην ἐφεξῆς ὁ Φιλόσοφος διδάσκει. Καὶ πρῶτον μέν φησι τὸ καθ' αὐτὸ, καὶ ᾗ αὐτὸ τὸ αὐτὸ εἶναι, διαφέρει μέντοι τὸ καθ' αὐτὸ ἐπὶ τοῦ καθόλου τοῦ ἀνωτέρω ἐκτεθέντων τρόπων τοῦ καθ' αὐτό. ἐν ἐκείνοις γὰρ διὰ τοῦ καθ' αὐτὸ ἐσημαίνετο τὸ μὴ κατὰ συμβεβηκὸς ὄν. ἐπὶ τοῦ παρόντος δὲ διὰ τοῦ καθ' αὐτὸ ἐννοεῖται τὸ μὴ δι' ἄλλο ὄν, ἀλλὰ πρώτως καὶ καθ' αὐτὸ προσήκειν τῷ ὑποκειμένῳ καθ' οὗ κατηγορεῖται. ὃ δὴ καὶ ἰδιαίτερον δηλοῦται διὰ τοῦ ἐπενεχθέντος μορίου, ᾗ αὐτό. Παραδείγμασιν ὁ Φιλόσοφος διασαφεῖ τὸ λεγόμενον. λαμβάνει γὰρ τὸ ἔχειν δυσὶν ὀρθαῖς ἴσας τὰς ἑαυτοῦ γωνίας ὡς κατηγορούμενον,

ὅπερ

ἅπερ τρισὶν ὑποκειμένοις παρεξετάζει, τῷ σχήματι, τῷ ἰσοσκελεῖ, καὶ τῷ τριγώνῳ, καὶ δείκνυσιν ὅτι μὴ κατηγορεῖται τοῦτο καθόλου ἐπὶ τοῦ σχήματος. τὸ γὰρ σχῆμα, ὅπερ ἐστὶ σχῆμα, οὐκ ἔχει δυσὶν ὀρθαῖς ἴσας τὰς ἑαυτοῦ γωνίας, ἄλλως γὰρ ἂν ἦσαν πάντα τὰ σχήματα τρίγωνα. Ὁμοίως οὔτε κατὰ τοῦ ἰσοσκελοῦς καθόλου κατηγορεῖται τὸ αὐτό. ἐκτείνεται γὰρ τὸ δυσὶν ὀρθαῖς ἴσας καὶ ἐπ' ἄλλων, ἅπερ οὐκ εἰσὶν ἰσοσκελῆ, μόνῳ δὲ τῷ τριγώνῳ καθὸ ἐστὶ τρίγωνον κατηγορεῖσθαι καθόλου φησὶ τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν, οὐχ ὅπως ὅτι ἀντιστρέφει μόνῳ τῷ τριγώνῳ, ἀλλὰ μᾶλλον ὅτι καὶ αἴτιον. Διὸ ὁ κατάτε τοῦ ἰσοσκελοῦς καὶ τῶν ἄλλων εἰδῶν τοῦ τριγώνου, τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν κατηγορεῖται, διὰ ὃ ἐστὶ τὰ τρίγωνα εἶναι.

Pag 459.



Τούτων οὕτω παρὰ τοῦ Φιλοσόφου ἐκτεθέντων, ῥητέον ὅτι τὸ ᾗ αὐτό, τῷ προσεχῆ αἰτίαν τοῦ κατηγορουμένου σημαίνει, ἧς εἰσαγομένης συνάγεται τὸ κατηγορούμενον, καὶ ἀναιρουμένης συναναιρεῖται. οἷον ἐστὶν αἴτιον τὸ λογικὸν τοῦ γελαστικοῦ, καὶ ἔστι καθόλου ἡ κατηγορία τοῦ γελαστικοῦ κατὰ τοῦ λογικοῦ. Ὁμοίως δὲ καὶ τῶν ἄλλων ἰδιωμάτων κατὰ τῆς προσεχοῦς αὐτῶν αἰτίας ἡ κατηγορία γίνεται. τὰ γὰρ ἴδια ἑκάστου πάθη, ἀναφερόμενα μὲν πρὸς ὅλον τὸ ὑποκείμενον οὗ εἰσὶ πάθη, οὐκ ἄλλως ὅτι μὴ κατὰ τὸν δεύτερον τρόπον τοῦ καθ' αὐτὸ λέγεται, ὡς τὸ γελαστικὸν κατὰ μὲν τοῦ ἀνθρώπου κατηγορεῖται ἐν τῷ δευτέρῳ τρόπῳ τοῦ καθ' αὐτό. κατὰ δὲ τοῦ λογικοῦ κατηγορεῖται ᾗ αὐτό, καὶ ἔστιν ἡ κατηγορία καθόλου, ὅτι προσεχὴς αἰτία τοῦ γελαστικοῦ τὸ λογικὸν ἐστίν.

Ἡ δὲ ἐχάτη διαφορὰ (1) οὕπως δοκεῖ καθόλου κατηγορεῖσθαι τοῦ εἴδους ᾧ συμβέβηκεν (2) κατὰ τὸν δεύτερον τρόπον, ὥσπερ οὐδὲ ὁ ὁρισμὸς κατὰ τοῦ ὁριστοῦ. ἀναφέρονται γὰρ πάντα ἐπὶ τὸν πρῶτον τρόπον τοῦ

(1) Κατ' οὐδένα τρόπον. (2) Ὅτι τὸ λογικὸν οὐ κατηγορεῖται κατὰ τὸν δεύτερον τρόπον τοῦ καθ' αὐτὸ, κατὰ τοῦ ὑποκειμένου, ἤτοι ἀνθρώπου, ὥσπερ τὸ γελαστικὸν τοῦ αὐτοῦ ἀνθρώπου. ἀναφέρονται γὰρ ἀμέσως σύτης ἀμφότερα κατὰ τοῦ αὐτοῦ ὑποκειμένου, ἥτε διαφορὰ καὶ ὁ ὁρισμός. διὸ καὶ κατὰ τὸν πρῶτον τρόπον κατηγοροῦνται. ἀλλ' εἰ κάτις φαίη ὅτι τὰ καθολικώτερα τοῦ ὁρισμοῦ μέρη μόνον κατηγορεῖται, καθ' ἡμῶν μὲν οὐδέν.

καθ' αὐτὸ καθ' ὧν κατηγορεῖται, ἡ μὲν διαφορὰ τοῦ οἰκείου εἴδους, ὁ δὲ ὁρισμὸς τοῦ ὁρισοῦ. εἰ μήτις φαίη τὰ κατηγορούμενα κατὰ τὸν πρῶτον τρόπον τοῦ καθ' αὐτὸ εἶναι τὰ μέρη τοῦ ὁρισμοῦ, ὅσα καθολικώτερον κατηγορεῖται τοῦ ὁρισοῦ, οἷον τὸ ζῶον, ἢ τὸ ἔνυπτον κατὰ τοῦ ἀνθρώπου, καὶ ὅσα τοιαῦτα.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ.

„ Δεῖ δὲ μὴ λανθάνειν, ὅτι πολλάκις συμβαίνει διαμαρτάνειν.

ΕΝ τῷ πέμπτῳ κεφαλαίῳ εἰς τελεωτέραν κατάληψιν ὁ Φιλόσοφος τῆς καθόλου κατηγορίας τὰς τρόπους ἐκτίθησι, καθ' οὓς ἐνδέχεται διαμαρτάνειν περὶ αὐτὸ, ἀλλὰ ταῦτα καὶ καθ' ἑαυτὰς ἐπὶ τῆς λέξεως εἴσεσθε.

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ

„ Εἰ ἔν ἐστιν ἡ ἀποδεικτικὴ ἐπιστήμη ἐξ ἀναγκαίων ἀρχῶν, καὶ τὰ ἑξῆς.

ΠΑραδίδωσιν ὁ Φιλόσοφος ἐφεξῆς ἐν τῷ ἕκτῳ κεφαλαίῳ τὸν προσήκοντα τρόπον τοῦ ἀναγκαίου ταῖς ἀποδεικτικαῖς ἀρχαῖς, ὅτι οὐ κατὰ τὸν ἀνάγκην τοῦ κατὰ παντὸς λεγομένου δεῖ ταύτας εἶναι ἀναγκαίας εἶναι. ἐκείνη γὰρ καὶ ἐπὶ τῶν ἀχωρίστων συμβεβηκότων θεωρεῖται. ἀλλὰ κατὰ τὸν ἀνάγκην τῶν καθ' αὐτὸ κατηγορουμένων, ὧν ἡ κατηγορία φύσει ἐστὶν ἀναγκαία, καὶ οὐ κατὰ συμβεβηκός. Σχηματιδεῖν δὲ ὁ λόγος τρόπῳ τοιῷδε. τὰ κατὰ φύσιν ἀναγκαίως ὑπάρχοντά τινι κατηγορεῖται καθ' αὐτὸ, ἐν ταῖς ἀποδεικτικαῖς ἀρχαῖς τὰ κατηγορούμενα φύσει τυγχάνουσιν ἀναγκαῖα τοῖς καθ' ὧν κατηγορεῖται, ἄρα ἐν ταῖς ἀποδεικτικαῖς ἀρχαῖς τὰ κατηγορούμενα ὑπάρχουσι καθ' αὐτὰ τοῖς ὑποκειμένοις.

„ Τῶν δὲ συμβεβηκότων μὴ καθ' αὐτά.

ΕΙς τρανωτέραν δὲ δήλωσιν ὁ Φιλόσοφος τοῦ αὐτοῦ, καὶ ἐκ τοῦ ἐναντίου ἐπιχειρεῖ, δεικνὺς ὅτι οὐκ ἔστιν ἐπιστημονικῶς συλλογίζειν κατὰ τοῦ ὑποκειμένου τὰ κοινὰ συμβεβηκότα.

Ἐπιχειρεῖ δὲ ἀπὸ τοῦ τέλους ὧδε. ἡ Ἐπιστήμη ἐστὶν ἡ τοῦ συμπεράσματος

ματος γνῶσις, ἐφ' οὗ ἀνάγκη τὸ κατηγορούμενον φύσει ὑπάρχειν τῷ ὑποκειμένῳ, ὡς μὴ δυνάσθαι ἄλλως ἔχειν. Τῶν δὲ συμβεβηκότων οὐδὲν ἐστὶν, οὕτω συναγαγεῖν ἀναγκαῖον κατὰ τοῦ ὑποκειμένου. ὥς τε τῷ κοινῶν συμβεβηκότων οὐκ ἔστι λαβεῖν ἐπιστήμιον ἀποδεικτικὸν, ἵνα μήπου ἐπί τι (1) ἴδιον ἀνενέγκῃς ταῦτα ὑποκείμενον.

ΚΕΦΑΛΑΙΟΝ Ε' ΒΔΟΜΟΝ.

„ Οὐκ ἄρα ἐστὶν ἐξ ἄλλου γένους μεταβαίνειν δεῖξαι, καὶ τὰ ἑξῆς.

Ἐπὶ τοῦ παρόντος κεφαλαίου συνάγει ὁ Φιλόσοφος μὴ δεῖν εἶναι τὰς ἀρχὰς ἀλλοτρίας τοῦ ὑποκειμένου ἐπιστητοῦ γένους, ἀλλ' ὁμογενεῖς καὶ οἰκείας τῷ συναγομένῳ διὰ τῆς ἀποδείξεως πράγματι. συμπεραίνει δὲ τοῦτο ῥᾳδίως ἐκ τοῦ καθ' αὑτὸ εἶναι τὰς ἀρχὰς, ὡς που προσεχῶς ἀνωτέρω δέδεικται. εἰ γὰρ ὁ μέσος ὅρος καθ' αὑτὸ ὑπάρχει τῷ ἄκρῳ τῷ ἐλάττονι, καὶ τὸ μεῖζον ἄκρον, ἔσται τὸ πάθος, ὁμοίως ὑπάρχει τῷ μέσῳ ὅρῳ καθ' αὑτὸ, ἀνάγκη ἐστὶ καὶ τὰς ἐξ αὐτῶν ἀποτελουμένας προτάσεις οἰκείας τε εἶναι, καὶ κατὰ φύσιν, καὶ πολλῷ μᾶλλον ὁμοχρεῖς τῷ αὐτῷ ὑποκειμένῳ. τὰ γὰρ καθ' αὐτὸ ὑπάρχοντί τινι, οἰκεῖα τε καὶ κατὰ φύσιν ὑπάρχειν τῷ αὐτῷ ἀνάγκη ἐστί. Διὸ οὐκ ἔξεστιν ἐξ ἑτέρας ἐπιστήμης εἰς ἑτέραν τὰς ἀρχὰς μετενεγκεῖν, καὶ ἔστι σοφιστικὸς τρόπος ἀφ' ἑτέρου γένους, λ 51 ἐφ' ἕτερον μεταβαίνειν δεικνύναι, οἷον ἀπὸ τῆς φυσικῆς τὰ μαθηματικὰ, ἢ καὶ ἀνάπαλιν.

ΚΕΦΑΛΑΙΟΝ Ο' ΓΔΟΟΝ.

„ Φανερὸν δὲ καὶ ἐὰν ὦσιν αἱ προτάσεις καθόλου, ἐξ ὧν ὁ συλ-
„ λογισμός.

Ἐπὶ τοῦ ὀγδόου κεφαλαίου ὁ Φιλόσοφος παραδίδωσι, τῆς ἁπλῶς ἀποδείξεως, δεῖν εἶναι ἀμφοτέρας τὰς προτάσεις καθόλου. ἐφ' ὧν δὲ ἡ ἑτέρα πρότασις ἐπὶ μέρους, ἤτοι τῷ καθ' ἕκαστα τύχῃ οὖσα, αἱ τοιαῦται οὐκ εἰσὶν ἁπλῶς ἀποδείξεις, οὐ δὲ τὸ συναγόμενον ἁπλῶς ἐστὶν Ἐπιστή-

(1) Ὥσπερ τοῦ ἀδαμάντος παῦτα τὰ καθ' ἑαυτὸν συμβεβηκότα, καὶ ἐν πολλοῖς ἄλλοις ὡσαύτως.

πιςήμη, ἀλλ' οἷον κατὰ συμβεβηκός. τὸ γὰρ καθ' ἕκασα ὂν, καθ' οὗ σωάγεται τὸ καθόλου πάθος, κατὰ συμβεβηκός τε τλῶ ἀρχλῶ γέγονε καὶ ἐσί. Τούτου δὲ τὸ αἴτιον ἐπάγει ὁ Φιλόσοφος, ὅτι εἰ μὴ τὸ πάθος τῷ καθόλου ὑποκειμένῳ ἐνυπάρχει καθ' αὑτὸ, οἷον τὸ γελασικὸν ἐν τῷ ἀνθρώπῳ, σωάγεται μέντοι ἐπὶ τῆ εἰρημένων ἀποδείξεων, οὐ καθόλου τοῦ ἀνθρώπου, ἀλλ' ἐπὶ μέρους κατάτινος τῆ ὑπ' ἐκεῖνον ἀτόμων, φέρ' εἰπεῖν τοῦ Σωκράτους, ἐν ᾧ τὸ γελασικὸν ἐσίν, οὔθ' ἁπλῶς, οὔτ' ἀεί. Ἐπειδὴ τοιγαροῦν ἡ Ἐπιςήμη ὑπόληψις ἀμεταπτωτος οὖσα, τῆ ἀεὶ ὡσαύτως ἐχόντων ἐσὶν, ἀλλ' οὐ τῆ φθαρτῶν, σωάγεται τὰς ἀποδείξεις, ὧν τὸ σωαγόμενον ἐσὶ τῆ καθ' ἕκασα, ἅπερ εἰσὶ φθαρτὰ, μὴ ἁπλῶς ἀποδείξεις εἶναι.

„ Ὁμοίως δ' ἔχει καὶ περὶ Ὁρισμούς, καὶ τὰ ἑξῆς.

Τὸ αὐτὸ δὲ ὁμοίως σωάγει ὁ Φιλόσοφος καὶ περὶ Ὁρισμῶν, δεῖν τούτους ἐπὶ τῆ ἀεὶ ὡσαύτως ἐχόντων ἀποδίδοθαι, ὥς τε ἀϊδίως ὑπάρχειν ἀληθεῖς. διὸ οὐδὲ τῆ καθ' ἕκασα ἁπλῶς εἰσὶν Ὁρισμοί. Ὅπερ ὁμοίως σωάγει ἐκ τῆ δεδειγμένων περὶ τῆς ἀποδείξεως προσεχῶς. Εἰ γὰρ αἱ ἀρχαὶ τῆς ἀποδείξεως, καὶ τὸ σωαγόμενον δι' αὐτῆς ἀΐδια εἰσί, καὶ ἄφθαρτα, ὡς περὶ ἀϊδίων, καὶ ἀφθάρτων καὶ πᾶσα ὁλόκληρος ἡ ἀπόδειξις. ὁμοίως καὶ ὁ Ὁρισμὸς ἔσαι ἀΐδιος, ὡς τῆ ἀεὶ ὡσαύτως ἐχόντων, καὶ ἀφθάρτων δηλωτικός. Ὁ γὰρ Ὁρισμὸς, ἢ ἀρχή ἐσὶν ἀποδείξεως, ἢ θέσει μόνον, ὁλοκλήρου τῆς ἀποδείξεως διαφέρει, ἢ γοῦν συμπέρασμα τῆς αὐτῆς, ὡς ἐν κεφαλαίῳ δεκάτῳ τῆς παρούσης πραγματείας ὁ Φιλόσοφος διδάσκει.

ΚΕΦΑΛΑΙΟΝ Ε' ΝΝΑΤΟΝ.

„ Ἐπεὶ δὲ φανερὸν ὅτι ἕκασον ἀποδεῖξαι οὐκ ἔσιν, ἀλλ' ἢ ἐκ τῆ ἑκά„ σου ἀρχῶν, καὶ τὰ ἑξῆς.

Ἀποδεδειχὼς μεταξὺ ὁ Φιλόσοφος ὅτι δεῖ τλῶ ἀποδείξιν εἶναι ἐξ ἀμφοτέρων τῆ προτάσεων καθόλου, καὶ περὶ ἀϊδίων, καὶ ἀφθάρτων, ὥσπερ καὶ τὸν ὁρισμὸν, ἀναλαμβάνει αὖθις ἐν τῷ ἐννάτῳ τὸν περὶ οἰκειότητος τῆ ἀρχῶν λόγον, διδάσκων ὅτι δεῖ πάντας οἰκείας εἶναι τῷ σωαγομέ-

γρ φή: 484

γομένῳ, ἀλλὰ μὴ (1) κοινὰς, περὶ οὗ ἀποχρῆ τὰ δεδειγμένα ἐν τῷ ἑβδόμῳ, ὅτι ταύτας ὁμογενεῖς εἶναι δεῖ, καὶ ἀπολούθως οἰκείας.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ.

„ Λέγω δὲ ἀρχὰς ἐν ἑκάστῳ γένει ταύτας, ὡς ὅτι ἐστὶ μὴ ἐνδέχεται „ δεῖξαι.

ΕΚθέμενος ὁ Φιλόσοφος ἀνωτέρω τὰς διαφορὰς τῆς ἀποδεικτικῶν ἀρχῶν, καὶ ταύτας ἤδη δεδιλωκὼς καθ' ἑαυτὰς, καὶ ἐκτὸς τῆς ὕλης, ἐν τῷ τετάρτῳ κεφαλαίῳ ἤρξατο ταύτας ἐπὶ τῆς ὕλης ἐξετάζειν, ἃς ἐδίδαξεν ὅτι ἀναγκαῖαι, καὶ καθ' αὐτὸ, καὶ καθόλου. ἐξ ὧν οὕτως ἀποδεδειγμένων, σιωπῶν ἐφεξῆς, ὅτι καὶ συγγενεῖς δεῖ εἶναι τῷ δεικνυμένῳ, καὶ μὴ μεταφέρεσθαι ἐκ γένους εἰς γένος. Καὶ παρὰ ταῦτα ὅτι ἀίδιοι, οὐδὲ κοιναὶ πλείοσιν Ἐπιστήμαις αἱ αὐταί. Ταῦτα δὲ πάντα ὁμοίως προσήκοντα λῶ τῷ συμπεράσματι, καὶ ταῖς ἀρχαῖς. Ἐπειδὴ δὲ ἐν τῷ δευτέρῳ κεφαλαίῳ οὐ μόνον ἧπερ πρὸς ἀπόδειξιν σχετικῶς ἀναφέρονται, ἀλλὰ καὶ ὡς ἀρχὰς ἁπλῶς Ἐπιστήμης εἰπεῖν προυβάλλετο. οὐ χρόπον ἔτι καὶ κοινότερον ὡρίσατο ἐπ' ἐκείνου, καὶ διεῖλε συγκεχυμένως εἰς διάφορα γένη, εἴτ' οὖν εἴδη. Τῶν δὴ τοιαύτην τῆς ἀρχῶν σκέψιν, ἐνταῦθα δεύτερον ἀναλαβὼν, βούλεται δικαιότερον παραδοῦναι, καὶ ἔτι καθ' ἑαυτὰς θεωρουμένων, ἀλλ' ἐφ' ἑκάστης Ἐπιστήμης ἰδίᾳ ἐφηρμοσμένων, ὅσαι καὶ οἷαι εἰσὶν ἐφ' ἑκάστης Ἐπιστήμης, καὶ τίνας ἔχουσι διαφοράς.

Τίσι κοινωνοῦσιν ἢ διαφέρουσιν αἱ Ἀρχαὶ, καὶ τὸ Συμπέρασμα.

ΚΟινωνεῖ μὲν ὡς εἴρηται τὸ συμπέρασμα ταῖς ἀρχαῖς, ἐν τοῖς εἰρημένοις ἐς τόδε, ἃ παρὰ ταῦτα περί τε τῆς ἀρχῶν προγινώσκεται τί τοὔνομα σημαίνει, καὶ περὶ τοῦ συμπεράσματος ὁμοίως. Οὐδέποτε γὰρ ἐν ταῖς Ἐπιστήμαις ἀποδείκνυται τὸ τί δηλοῖ τοὔνομα. Διαφέρουσι δὲ ἐν πολλοῖς αἱ Ἀρχαὶ, τοῦ Συμπεράσματος. μάλιστα δὲ ὅτι αἱ μὲν Ἀρχαὶ, αἰτίας ἔχουσι λόγον πρὸς τὸ Συμπέρασμα. τὸ δὲ πρὸς ἐκείνας ἐστὶν ἀποτέλεσμα. Καὶ τοῦτο διχῶς, τῶτε λόγῳ τῆς ἐπιφορᾶς, καὶ πρα-

(1) Καὶ ἄλλων ἀπορημάτων δηλαδή.

προσέτι τοῦ σωναγομένου πράγματος. Δεύτερον ὅτι αἱ Ἀρχαὶ προγνωσέαι εἰσὶν ὅτι ἀληθεῖς. αἱ μὲν ἁπλαῖ ὅτι εἰσὶ δηλαδὴ ἀληθῶς ἐν τοῖς οὖσιν, αἱ δὲ κατὰ συμπλοκὴν, ὅτι εἰσὶ κατὰ συμπλοκὴν, τυτέσιν ἀληθεῖς. τὰ δὲ συμπεράσματα οὐ προγινώσκονται τόνδε τὸν τρόπον, ἀλλ' ἀποδείκνυται.

Ὁρισμὸς καὶ διαίρεσις τῶν Ἀρχῶν.

Παραιτησάμενος τὰ σωναγόμενα, προβάλλεται τὰς ἀρχὰς εἰς διάσκεψιν ὁ Φιλόσοφος. ὡρίζετο δὲ ἐν τῷ εἰρημένῳ δευτέρῳ κεφαλαίῳ τὴν Ἀρχὴν, ὅτι ἐστὶ πρότασις ἄμεσος, ἧς δηλαδὴ οὐκ ἔστι προτέρα, δι' ἧς δειχθείη. Ἐπὶ τοῦ παρόντος δὲ Ἀρχὰς εἶναι λέγει, ἃς οὐκ ἔστι δεικνύναι, ὅτι εἰσὶν, ἐν τῷ αὐτῷ δήπου γένει, καὶ ἐκ προτέρων. Διαφέρει δὲ ἡ νῦν ἀποδοθεῖσα τῆς Ἀρχῆς ὑποχαφὴ, τῆς ἐν τῷ δευτέρῳ κεφαλαίῳ. ὅτι ἐκείνη μόναις προσήκει ταῖς καθ' συμπλοκὴν Ἀρχαῖς, ἐπειδὴ καὶ λέγεται πρότασις ἡ Ἀρχή. ἡ δὲ ἐνταῦθα ἀποδοθεῖσα, καὶ τὰς ἄνευ συμπλοκῆς περιέχει ἀρχὰς, τὰ δὲ λοιπὰ εἰσὶν αἱ αὐταί. Τὸ γὰρ ἄμεσος ῥηθὲν ἐν ἐκείνῃ ἐνταῦθα δηλοῦται διὰ τοῦ μὴ δύνασθαι (1) δεικνύσθαι. Διεῖλε δὲ ἐν ἐκείνῃ τὰς Ἀρχὰς εἰς Ἀξιώματα, καὶ Θέσεις, & ταύτας εἰς Ὑποθέσεις καὶ Ὁρισμούς. ἐνταῦθα δὲ διαιρούμενος τὰς Ἀρχὰς φησὶν, τὰς μὲν ἰδίας εἶναι, τὰς δὲ κοινὰς, ὑποδιαιρῶν ἅμα καὶ ταύτας εἰς ἄλλα ἑφεξῆς. Ὧν εἰς ἀκριβεστέραν κατάληψιν προεκθετέον ὀλίγ' ἄττα μετὰ τοῦ Φιλοσόφου.

Περὶ τῶν προγνωσέων.

Πᾶσα ἀποδεικτικὴ Ἐπιστήμη, περὶ ἕξια ταῦτα ἀναγκαίως καταγίνεται. τὸ Ὑποκείμενον, τὰ Πάθη τοῦ ὑποκειμένου, καὶ τὰς Ἀρχὰς τοῦ αὐτοῦ. Διδάσκει τοῦτο ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος κεφαλαίου, καὶ ἐν κεφαλαίῳ ἑβδόμῳ, καὶ ἐνάτῳ καὶ, ἐν ἄλλοις. Καὶ ὑποκείμενον μέν ἐστι τὸ ὑποτιθέμενον ἐφ' ἑκάστης Ἐπιστήμης, οἷον τὰς βάσεις καὶ κριτὰς τῶν ἄλλων, ὅσα θεωρεῖται ἐπὶ τῆς αὐτῆς Ἐπιστήμης. ὃ καὶ ὑποκείμενον, περὶ ὃ, εἰώθασιν ἀποκαλεῖν. καὶ ὑπὸ τοῦ Φιλοσόφου συνεχῶς λέγεται γένος ἐπιστητόν. ἔστι γὰρ, περὶ ὃ πᾶσα ἡ Ἐπιστήμη καταγίνεται, διὸ καὶ λέγεται ὑποκείμενον ὁλοχερές.

Τὰ

(1) Ἐκ προτέρων.

Τὰ δὲ Πάθη εἰσὶ τὰ ἴδια συμβεβηκότα τῷ ὑποκειμένῳ, ἅπερ ἀποδείκνυται κατὰ τὸ αὐτὸ ἐπὶ τῆς αὐτῆς Ἐπιστήμης. Αἱ δὲ Ἀρχαὶ αἴτια εἰσὶ τῶν εἰρημένων παθῶν, ἢ ἅμα τοῦτε εἶναι καὶ τὸ γινώσκεσθαι τὰ πάθη, ἢ γὲν τὸ γινώσκεσθαι μόνον. δι' ὧν δηλαδὴ τὰ πάθη δείκνυται ἐνυπάρχοντα τῷ ὑποκειμένῳ.

Ὅτι δὲ ὁλοχερὲς ὑποκείμενον ἑκάστης Ἐπιστήμης, οὗτε γένος εἶναι δέον, οὐ φυσικὸν, ἀλλ' ἐπιστητὸν, ἐξ οὗ καὶ τὸ εἶναι μία ἡ Ἐπιστήμη ἔχει, ὁ Φιλόσοφος διδάσκει ἐν κεφαλαίῳ ὀγδόῳ τοῦ παρόντος. Ἡ τοιαύτη δὲ τοῦ ὑποκειμένου φύσις, λαμβάνεται ἀπὸ τῆς φύσεως τῶν οἰκείων ἀρχῶν ἑφ' ἑκάστης Ἐπιστήμης. ὥστε εἰ καὶ πολλὰ τύχωσιν ὄντα τὰ θεωρούμενα φυσικὰ γένη ἑφ' ἑκάστης Ἐπιστήμης, ὁπλώικα ἐπὶ πάντων αἱ αὐταὶ ἀρχαὶ εἰσὶν οἰκεῖαι, καὶ τῷ αὐτῷ τρόπῳ οἱ ὁρισμοὶ ἀποδίδονται ἐν πᾶσιν, οἷος καὶ τοῦ αὐτοῦ γένους ἐπιστητοῦ λέγεται πάντα. Ἡ δὲ διδασκαλία ἐστὶ τοῦ Φιλοσόφου, ἐν τῷ προσεχῶς εἰρημένῳ κεφαλαίῳ ἐν λόγῳ παραδείγματος, ἐπὶ τῆς φυσικῆς Ἐπιστήμης, τὰ οὐράνια σώματα, καὶ τὰ ἁπλᾶ σώματα, καὶ τὰ ἐκ τούτων μικτὰ ἔμψυχά τε, καὶ ἄψυχα, διάφορα κατὰ φύσιν εἰσὶ γένη. ἐπεὶ δὲ πάντων εἰσὶν αἱ αὐταὶ ἀρχαὶ πρῶται, καὶ γὰρ πάντα εἰσὶν ἔχοντα φύσιν, καὶ ἢ τοιαῦται θεωροῦνται ἅμα καὶ ὁείζονται, διότι τοῦτο πάντα τοῦ αὐτοῦ γένους ἐπιστητοῦ τυγχάνουσιν ὄντα. ἐξ οὗ καὶ πᾶσα ἡ περὶ φύσεως θεωρία, μία λέγεται εἶναι Ἐπιστήμη, οὗ καὶ πάθη ἴδια ἀναγκαίως δεῖν εἶναι, καὶ εἴδη εἴπερ ἐστὶ γένος. Εἰ γὰρ καὶ οὐκ ἀεὶ συωνύμως κατηγορεῖται τὸ ἐπιστητὸν γένος κατὰ πάντων τῶν μερῶν αὐτῆς, εἴτεν εἰδῶν, ἀλλ' ὡδὶ ἐστὶ τὸ κωλύον, καὶ ἀναλόγως κατηγορεῖσθαι. ὡς ἐπὶ τοῦ προτεθέντος παραδείγματος κατάτε τῶν αἰθερίων, καὶ τῶν ὑπὸ Σελλήνην σωμάτων τὸ φύσιν ἔχον λέγεται ἀναλόγως, ⁊ οὐχὶ συωνύμως. οὕτω ⁊ τὸ ὂν ἐπὶ τῆς πρώτης φιλοσοφίας ἐπιστητὸν γένος ὑπάρχον. Ἐνίζεται δὲ ὡς καὶ ἀνωτέρω εἴρηται τὰ τοιαῦτα, ἀπὸ τῆς φύσεως τῶν ἀρχῶν καὶ τοῦ τρόπου τῆς θεωρίας κατὰ τὸν αὐτὸν Ἐπιστήμην. Διαφέρει δὲ τὸ ἐπιστητὸν γένος, τοῦ φυσικοῦ, ὅτι τὸ μὲν ἐπιστητὸν γένος, διορίζεται κατὰ τὸν τρόπον τῆς θεωρίας, τὸ δὲ φυσικὸν γένος κατὰ τὴν ὕπαρξιν τῆς φύσεως ἐν τοῖς εἴδεσιν. Ἐπειδὴ δὲ τὸ ἐπιστητὸν προτίθεται εἰς γνῶσιν τῶν ἰδίων αὐτοῦ παθῶν, καὶ κατηγορίαν τοῦ αὐτοῦ, ἀνάγκη φύσει ὑπάρχειν ἐν τοῖς οὖσι τὸ τοιοῦτον γένος, ὑποίμενον, καὶ ἀπεργαζόμενον ὑφ' ἡμῶν, ὡς ὁ Φιλόσοφος ἐν τῷ τέλει τοῦ δευτέρου βιβλίου τῆς παρούσης πραγματείας διδάσκει, οὗθα φησὶ τὰς μὲν Ἐπιστήμας περὶ τὸ ὂν σωίστασθαι, τὰς δὲ Τέχνας περὶ γένεσιν καταγίνεσθαι. καὶ ἐν ἀρχῇ τοῦ Ε. τῶν Μεταφυσικῶν διασέλει τὰς

θεωρητικὰς Ἐπιστήμας, τῆς πρακτικῶν τε καὶ ποιητικῶν. ὅτι τῆς πρακτικῶν ἀρχή ἐστιν ἡ ἐν τῷ πράττοντι προαίρεσις, ἢ ἐνδέχεται γενέσθαι, ἢ μή. διὸ οὐδὲ μία Ἐπιστήμη ἐστὶν ἐν τούτοις. Τῶν δὲ ποιητικῶν, (1) ἡ ἐν τῷ ποιοῦντι διάνοια, ἢ τέχνη, ἢ δυνάμις τις. Τὸ δὲ τοιοῦτον ὑποκείμενον (2) γένος, εἰ καὶ μὴ ἀεὶ ἐν τοῖς οὖσιν ὑπάρχει καὶ πάντα αὐτοῦ τὰ μέρη, ἀλλ' ὁτοῦν μέντοι δυνάμιν φυσικὴν ἔχειν τοῦ ὑπάρχειν, χρόνῳ ὡρισμένῳ, τεθείσης τῆς προσεχοῦς αὐτοῦ φυσικῆς αἰτίας, οἷον ἐστὶν ἐν τοῖς μαθηματικοῖς ἡ ἔκλειψις Σελήνης, ἢ Ἡλίου, καὶ ἐπὶ τῆς φυσικῶν οἱ καρποὶ τῆς Δρύδρων χειμῶνος, καὶ ὅσα ἄλλα.

Τίνι τρόπῳ θεωροῦνται ἑφ' ἑκάστης Ἐπιστήμης τὰ ἐκτεθέντα.

ΤΑ εἰρημένα τρία ἐφ' ἑκάστης Ἐπιστήμης θεωρούμενα, διαφέρουσιν ἔτι καὶ κατὰ τὸν τρόπον τῆς θεωρίας. Θεωροῦνται γὰρ αἱ Ἀρχαὶ, ὡς αἴτια τῶν παθῶν, ἐξ ὧν ἐκεῖνα προέρχονται, καὶ ὡς μέσα δι' ὧν δείκνυται τὰ πάθη κατὰ τοῦ ὑποκειμένου. ἀναφερόμεναι δὲ αἱ Ἀρχαὶ πρὸς τὸ ὑποκείμενον, θεωροῦνται μὲν καὶ ὡς αἴτια τῶν ἐκείνου ἰδίων παθῶν, καὶ ὡς μέρη φυσικὰ τοῦ αὐτοῦ ὑποκειμένου γένους. Τὰ δὲ Πάθη θεωροῦνται ἀναφερόμενα, πρὸς τὸ ὑποκείμενον, ὡς ἐνυπάρχοντα ἐκείνῳ. πρὸς δὲ τὰς Ἀρχὰς θεωροῦνται ἀναφερόμενα τὰ Πάθη, ὡς ἐξ ὧν ἤρται, κατὰ τὸ εἶναι καὶ γινώσκεσθαι.

Τὸ δὲ ὑποκείμενον γένος ὡς εἴρηται, ἀμφοτέρων ἐστὶ βάσις, τῆς τε Ἀρχῶν καὶ Παθῶν. οὗ ἐκεῖνο ἐστὶν ἴδιον τὸ μηδέποτε θεωρεῖσθαι ἐπὶ τῆς Ἐπιστήμης ὡς ἐνυπάρχον ἑτέρῳ. ἀντικειμένως δὲ ἔχει τὰ Πάθη, ὧν τῆς φύσεως ἀλλότριον ἐστί, θεωρεῖσθαι ἐπὶ τῆς Ἐπιστήμης ὡς ὑφεστηκότα καθ' αὑτά. εἰ μήπου λόγον ὑποκειμένης γένους τύχωσιν ἔχοντα. ὡς παρὰ Μαθηματικοῖς τὸ Ποσὸν, καὶ παρὰ Φυσικοῖς ἡ κίνησις ἐφ' ὅτε ὑποτίθεται, περὶ ἧς πολλὰ δείκνυται τοῖς φυσιολογοῦσι.

Περὶ τῶν ἄνω συμπλοκῆς Ἀρχῶν.

ΤΟύτων δὲ οὕτω διωρισμένων, μεταβῶσι λοιπὸν δέον εἰς τὸ ἐπὶ μέρους διάσκεψιν τῆς Ἀρχῶν, ὧν αἱ μὲν ἄνω συμπλοκῆς εἰσιν, αἱ

(1) Ἀρχή ἐστιν. (2) Ἐπιστητόν.

Πέσσα ἀσοδγαλπικὰ δυσχέμες, ἀναγκέως σχρὶ ἰρίκα κελαρινὲ λαῦλα, σχρὶ λὸ ἀσοκολόμον ἑαυλὶς, σχρὶ λὲ σαλθὶ, ἢ λὲ ἀρχαὶ ἰξάυλε. Σιλὶ, ἀμλὶ ἀρχαὶ σεσὶς λὲ σαλθὶ ἢ σεσὶς λὸ ἀσοκολόμον ἀναφεσνὶ, λὲ δὲ σαλθὶ σεσὶς λὸ ἀσοκολόμον ἢ σεσὶ λὲ ἀρχαί. ἢ αὖλαμλὶ ὡς ἰλλα φεωρὲ, ἰχῶ λὲ σαλθὶ σεσχόνὶ, ἢ ὡς μέσα ἰλὲ πελὶ ἰξ ἀσοκολόλε ἰάλνε λαῦλα. σεσὶ ἰξ λὸ ἀσοκολόμον ἀναφεσόλνα, ὡς ἰλὶ ἰλαὶς ἰλὸ ἑαλνε σαδεν, ἢ ὡς μέρα ἰξ ἀλὶ ἀσοκολόλε ἰλλε πελὶ φεωρὲ. Λὲ δὲ σαλθὶ σεσὶ μὶ λὸ ἀσοκολόμον ἀναφεσόλνα, ὡς ἰω σαχόνα φεωρὸλα ἑαλνε, σεσὶ ἰξ λὲ ἀρχαί, ὡς ἰξ ἀλὶν ἰχλὶ: μλα, πελὶ λὸ ἰλὶ ἰξ μνωσεδαν. ἢ λαῦλα μὶ ἰλλ. λὸ ἰξ ἀσοκολό: μλον μλος, ἀμφολέχ ἐχὶ ἑαλὶς ἢ πρησὶς, ἰλὶν ἀρχνὶν ἰξ λὶν σε: φὶν ἀμφνάλι, ἢ ἰξ ἀλχέμχ ἀνλλεχφον. Ζονλλὲ ἐχὶν ἴλλον, μλαν

τινὰ δύναμιν φύσιν, συνωνύμως, ἢ μᾶλλον ὁμωνύμως λαμβανομένην κατὰ τὸ
σωμάτων τὴν κατάληψιν, ὡς δὲ ἀφ' ἑνός, ἢ θεὸς ἐν. γοῦν ὅρου
δύο μέρη, τὸ μὲν ὡς ὕλην, οἷον τὸ σῶμα, τὸ δὲ ὡς εἶδος, οἷον φυσι-
κόν. ἢ δέ ἐστιν ὁ ἐκ τοῦ ὁρισθέντος ἐμπεριεχόμενον, καθ' ὃ τὸ οὗ ἐστι, ἢ τὸ
ἅ ἐστι.

αἱ δὲ μετὰ συμπλοκῆς. Καὶ αἱ μὲν ἄνευ συμπλοκῆς, ἴδιαί τε εἶναι ἥκουσαν τοῦ ὄρισμοῦ γένους, καὶ ἀρχαὶ τοῦ εἶναι, ἤτοι τῆς οὐσίας τοῦ αὐτοῦ. αὗται δὲ ἐσι μὲν ὡς ἓξ εἰσῆσαι, ἐσι δὲ ὡς τέτταρες. Τὸ γὰρ ὑποκείμενον γένος ἑφ' ἑκάσης Ἐπισήμης, ἥπερ ὑποτίθεται εἶναι, καὶ τὴν σημασίαν τοῦ ὀνόματος, μίαν ἀπεργάζεται Ἀρχὴν, ἥτις θέσις, εἴτ' οὖν ὑπόθεσις ἁπλῆ λέγεται, ὡς ἐπὶ τῆς γεωμετρίας τὸ εἶναι τὴν γραμμὴν, καὶ παρὰ τοῖς φυσικοῖς τὴν φύσιν εἶναι. εἴποιμι τὸ φυσικὸν σῶμα.

Καθὸ δὲ τὸ αὐτὸ ὑποκείμενον γένος, γινώσκεται τί ὄρος, σωίσησιν ἑτέραν ἀρχὴν, ἥτις ἐσὶν ὁ ὁρισμὸς τοῦ αὐτοῦ, καὶ λέγεται Θέσις. εἰ γὰρ καὶ ἀρχομένων τῆς Ἐπισημῶν ἐνδέχεται τὸν ὁρισμὸν τοῦ ὑπεσηκοῦ γένους ἀγνοεῖσθαι, καὶ ὑπὸ τῆς ὑστέρων ἀπορεῖσθαι, προκόπτειν μέντοι τὴν Ἐπισήμην ἐπὶ τὸ τελεώτερον, καὶ δικρινέστερον ληφθῆναι, οὐκ ἔστι, μὴ ἐντελῶς ληφθέντος τοῦ ὁρισμοῦ τοῦ ὑπεσηκοῦ γένους. ἐκ τούτου γὰρ ὡς δι' αἰτίας πάντα σωάγεται τὰ ἴδια τοῦ ὁρισοῦ πάθη. οὕτως ἐπὶ τῆς μαθηματικῶν, πρὸ τῆς ἄλλων ἁπάντων ἐκτίθενται οἱ ὁρισμοὶ, Γραμμῆς, Ἐπιφανείας, καὶ τῆς λοιπῶν. καὶ ἐπὶ τῆς φυσικῶν, τῆς φύσεως, Ὕλης, καὶ Εἴδους, & τῆς τοιούτων.

Τρίτη ἐσὶν Ἀρχὴ ἡ τοῦ πάθους πρόγνωσις, ἥπερ ὑποτίθεται προεγνωσμένον κατὰ τὸν ὀνοματώδη λόγον, ὡς ἐπὶ τῆς ἀριθμητικῆς ὑποτίθεται, τί τὸ ἄρτιον καὶ περιττόν. Οὐκ ἔστι μέντοι τὰ πάθη προγνωσθῆναι κατὰ τὸν οὐσιώδη αὐτῆς λόγον. τοῦτο γὰρ διὰ τῆς ἀποδείξεως σωάγεται, ὡς ἀνωτέρω ἐν τῷ πρώτῳ κεφαλαίῳ μετὰ τοῦ Φιλοσόφου εἴρηται. Καὶ παρὰ ταύτας ἡ γνῶσις τῆς ἀρχῶν καὶ αἰτίων τοῦ ὑπεσηκοῦ γένους.

Περὶ τῶν κατὰ συμπλοκὴν Ἀρχῶν.

Αἱ κατὰ συμπλοκὴν ἀρχαὶ, διττοῦ γένους εἰσίν. αἱ μὲν γὰρ κοιναὶ, ὡς πλείοσιν Ἐπισήμαις ὑπηρετῆσαι, αἱ δὲ ἴδιαι ἑφ' ἑκάσης Ἐπισήμης. Καὶ κοιναὶ μέν εἰσιν, ὅσαι καθ' ἑαυτὰς, & ἧ τοιαῦταί εἰσὶ, φύσει πᾶσι τυγχάνουσαι λῆπταὶ, ληφθείσης μόνον τῆς σημασίας τῆς ὅρων, αἴτινες καὶ ἀξιώματα, καὶ κοιναὶ προσαγορεύονται ἔννοιαι. ἃς ἀνάγκη τὸν μαθητιῶντα ἔχειν πρὸ τοῦ φοιτῆσαι τῇ διδασκάλῳ. Τὰς δὴ τοιαύτας, ὅτι μὴ δεῖ προσαγορεύειν ὑποθέσεις, ὁ Ἀριστοτέλης διδάσκει ἐπὶ τοῦ παρόντος δεκάτου κεφαλαίου. καίτοι γὰρ ἐφ' ὅτε συμβαίνει μὴ ἀποδέχεσθαι ταύτας ὑπὸ τῆς ἐρεσικωτέρων, καὶ μάλισα ἰσχυρογνω-

γνωμόνων Σοφιστῶν, οὐ μὴν διὰ τοῦτο ὑποθετέα δεῖ οἴεσθαι τὰ τοιαῦτα ἀξιώματα ὡς ἀσαφῆ, καὶ ἀμφισβητούμενα, ἀλλ' ὡς ἐναργῆ καὶ ἀναντίρρητα ἀεὶ ἐννοουῦνται. καὶ αὐτοὶ γὰρ οἱ ἀναιροῦντες Σοφισταὶ ταῦτα, τῷ λόγῳ μόνῳ ἀποφάσκουσι, τῇ δὲ διανοίᾳ ἐγκρίνουσι, καὶ μὴ βουλόμενοι ταῦτα. Ἡ γὰρ ἀπόδειξις, οὐ περὶ τὰς φωνάς, καὶ τὸν ἔξω λόγον ἐστὶν, ἀλλὰ πρὸς τὸν ἔσω, καὶ τὸν ἐν τῇ ψυχῇ. ὁ δὲ νοῦς ἀναγκάζεται τῷ ἐναργῆ καὶ σαφεστάτῳ ἀληθεῖαν τῶν τοιούτων ἀρχῶν ἐγκρίνειν.

Τῶν δὴ τοιούτων κοινῶν ἀρχῶν, αἱ μὲν εἰσὶ πάσαις Ἐπιστήμαις κοιναὶ, ὡς τὸ κατὰ μηδενὸς τὸ αὐτὸ φάναι καὶ ἀποφάναι ἐστὶν ἀληθές. καὶ τὸ κατὰ παντὸς φάναι, ἢ ἀποφάναι τὸ αὐτὸ ψεῦδές. Αἱ δ' ἧττον εἰσὶ κοιναὶ, αἷς περ αἱ πᾶσαι κέχρηνται Ἐπιστῆμαι, ὡς τὸ εἰ ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἐστὶν ἴσα. καὶ τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ ὅσα ἄλλα, ἅπερ γεωμετρικὰ ὄντα, καὶ ἐπ' ἄλλων Ἐπιστημῶν μεταφέρεται.

Ἕτερον γένος τῶν κατὰ συμπλοκὴν Ἀρχῶν ἐστὶ τῶν ἰδίᾳ ἑκάστῃ προ- σημαίνοντων Ἐπιστήμῃ, ἃς καὶ δίελοι τις κατὰ τὴν ἐκτεθεῖσαν τῷ Φιλοσόφῳ διαίρεσιν ἐπὶ τοῦ δευτέρου κεφαλαίου εἰς θέσιν δηλαδὴ καὶ ὑπόθεσιν κοινότερον ἐννοουμένην. τὴν δὲ ὑπόθεσιν αὖθις εἰς αἰτήματα, εἴτ' οὖν λήμματα, καὶ εἰς τὰς εἰδικώτερον λεγομένας ὑποθέσεις. Τούτων θέσεις μὲν ὁ Φιλόσοφος ἐν τῷ εἰρημένῳ δευτέρῳ κεφαλαίῳ ἔλεγεν εἶναι τοὺς ὁρισμούς. ἐπὶ τοῦ παρόντος δὲ τοῦτο ἀποφῆσι, καὶ εἰκότως. ὁ γὰρ ὁρισμὸς, τῶν ἄνευ συμπλοκῆς Ἀρχῶν ἐστὶν, ὡς ἀνωτέρω εἴρηται. ἐπειδὴ μέντοι ὁ ὁρισμὸς ἐνίοτε μετὰ τοῦ ὁρισθοῦ λαμβανόμενος, ἀρχὴν κατὰ συμπλοκὴν ἀποτελεῖ, οὐ ξόπον ἔτι καὶ ἐπὶ τὰς ἀρχὰς τὰς κατὰ συμπλοκὴν ἀναφέρεται.

Ἡ δὲ Ὑπόθεσις, πρότασις ἐστὶν, οὐκ ἀναπόδεικτος μὲν, ὑποτιθεμένη δὲ ὑπὸ τοῦ διδάσκοντος, ἢ προσδιαλεγομένου ἄνευ ἀποδείξεως, ἵνα μὴ διακόπτηται ἡ διδασκαλία. ἥτις εἰ μὲν ἀληθής τε εἴη, καὶ μὴ πανταπασιν ἀσαφὴς, ἀλλὰ κοινῇ γνώμῃ ὑπὸ πάντων τῶν περὶ τὴν τοιαύτην Ἐπιστήμην ἐγκειμένη, ὑπόθεσις ἁπλῶς λέγεται, οἷαι εἰσὶν αὗται, παρὰ μὲν τοῖς Μαθηματικοῖς, ἐπὶ παντὸς σημείου κύκλον γράφεσθαι· παρὰ δὲ τοῖς Φυσικοῖς, ἐκ τοῦ μηδενὸς, μηδὲν γίγνεσθαι. καὶ ἐπὶ τοῖς Ἠθικοῖς, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, & ὅσα ἄλλα. Ἂν δὲ μόνοις τοῖς ἀπροωμένοις πιθανὴ ἡ πρότασις εἴη, οὐ πᾶσι δὲ ἐγκειμένη τοῖς ἐπαγγελομένοις τὴν Ἐπιστήμην; οὐχ ἁπλῶς ὑπόθεσις λέγεται,

γεται, ἀλλὰ πρὸς μάνους τοὺς ἀκούοντας, ἢ προσδιαλεγομένους. Εἰδὲ μήτε τοῖς ἀκροωμένοις ἢ προσδιαλεγομένοις ἐγκείνεται, ὑποτίθεται μέντοι ἄνευ ἀποδείξεως, αἴτημα, ἐφ' ὅτε δὲ καὶ λῆμμα προσαγορεύεται. αἰτεῖ γὰρ ὁ διδάσκων, ἢ ὁ προσδιαλεγόμενος δοθῆναι αὐτῷ τινὰ τοιαύτην πρότασιν, ἐξ ἧς ἕτερόν τι συναγαγεῖν χρὴ.

Ἀπορία περὶ τὰς Ὑποθέσεις.

Ἠμφισβήτηται δὲ καὶ τοῖς πάλαι φιλοσοφήσασιν ἀμφὶ τὰ εἰρημένα περὶ τῆς Ὑποθέσεως, ὅτι πολλάκις ἐπὶ τῆς Ἐπιστημῶν ψευδεῖς ὑποθέσεις γίνονται. παρὰ μὲν γὰρ τοῖς Γεωμέτραις ὑποτίθεται ποδιαῖα, ἢ μὴ ποδιαία, ἢ ὀρθὴ ἢ μὴ ἔστα ὀρθή. τοῦτο δὲ συμβαίνει πάντως ~~δι' ἐλλειψιν τῆς~~ γραφόντων τὰ διαγράμματα, εἴποιν τὰς γραμμάς. ὅθεν ἡ ἐκ τοιούτων ὑποθέσεων προβαίνουσα ἀπόδειξις ψευδῶς συμπεραίνει, καὶ ψευδὴς ἐγγίνεται ταῖς Ἐπιστήμαις.

λ διάφορι, ς ἢ ἀμελήσων τοῦ

Ταύτῃ τῇ ἀπορίᾳ ὁ Φιλόσοφος ἐν τῷ τέλει τοῦ παρόντος κεφαλαίου ἐπιλύομενος φησὶν, ὡς οὐδὲν ἡ Γεωμετρία συνάγει ἐκ τῶν τοιούτων γραμμῶν, ἢ τυγχάνει γεγραμμένα τοιῶς δε, ἢ τοσαχῶς, ἀλλ' ὃ συνάγει, ~~κατ' αὐτὰ ἐστοῖς τῇ ποδιαίαπε. καὶ ὀρθῇ~~, αἵπερ διὰ τῶν εἰρημένων σημείων δηλοῦνται. εἰ γὰρ καὶ μὴ τοιαῦταί ὦσιν αἱ γεγραμμέναι, ἀλλὰ δηλωτικαὶ τοιούτων εἰσίν. Ὁ δὲ Γεωμέτρης ἐκ τῶν δηλουμένων διδάσκει καὶ ἀποδείκνυσιν, οὐκ ἀπὸ τῶν γεγραμμένων.

- Τῶν ὑποκειμένων ἀρχῶν
  - Τὸ ὅτι ἐστὶ κατὰ τὸν ὀνοματώδη λόγον.
  - Τοῦ ὑποκειμένου γένους. — Ὁρισμὸς οὐσιώδης.
  - Αἱ μὲν ἄνευ συμπλοκῆς, — Τοῦ πάθους. — Ὅρος ὀνοματώδης.
  - Αἱ δὲ μετὰ συμπλοκῆς.
    - Κοιναί.
      - Κοινόπαται.
      - Καὶ ἤπτον κοιναί.
    - Ἴδιαι.
      - Θέσις. ἤτις ἐστὶ πρότασις ἀναπόδεικτος.
      - Ὑπόθεσις ἁπλῶς.
        - Ὑποθέσις ἐπὶ μέρους.
        - Αἰτήματα, εἴτ' οὖν λήμματα.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΠΡΩΤΟΝ.

„ Τὸ μὴ ἐνδέχεσθαι ἅμα φᾶναι καὶ ἀποφᾶναι οὐδὲ μία λαμβάνει ἀ-
„ πόδειξις.

Ἐπὶ τοῦ προτεθέντος δεκάτου πρώτου κεφαλαίου ὁ Φιλόσοφος διδάσκει τὴν χρῆσιν τῶν κοινῶν ἀρχῶν, ὅτι οὐ προσχρώμεθα ταύταις ἐπὶ τῷ καθ' ἕκαστα Ἐπισημῶν ὡς καθόλου, ἀλλὰ σωεσαλμεναις, καὶ προσωκειωμένοις τῷ ἐπιστητῷ γένει ἑκάστης. Εἴρηται γὰρ ἀνωτέρω ἐπὶ τοῦ ἑβδόμου κεφαλαίου καὶ σπάνιον μὴ ἄλλως σωάγεσθαι τὴν Ἐπιστήμην τὴν ἀποδεικτικὴν, ὅτι μὴ δι' ἀρχῶν οἰκείων, καὶ συγγενῶν τῷ σωαγομένῳ. (1) προσεχῶς δὲ μετὰ τοῦ Φιλοσόφου ἐλέγετο, σωτίθεσθαι τὰς ἀποδείξεις, καὶ ἐκ τῶν κοινῶν ἀρχῶν.

Εἰς αἵρεσιν τοιγαροῦν τῆς ἀποείας ταύτης ῥητέον μετὰ τοῦ Φιλοσόφου. Πρῶτον μὲν ὅτι οὐκ ἐπὶ πάσης αὐτῷ τῆς κοινότητος ὁ Φιλόσοφος κέχρηται τοῖς ἀξιώμασιν, ἐφ' ἑκάστης τῶν κατὰ μέρος Ἐπισημῶν, ἀλλὰ σωεσαλμενοις, πρὸς τὸ ἴδιον ἑκάστης ἐπιστὸν γένος. Ὁ γὰρ φυσικὸς οὐκ ἐρεῖ ὡς οὐκ ἔξεστι ἅμα φᾶναι καὶ ἀποφᾶναι τὸ αὐτὸ κατὰ τοῦ αὐτοῦ, ἀλλ' ὅτι ἀδύνατον τὸ αὐτὸ κινεῖσθαι καὶ μὴ κινεῖσθαι, καὶ ἀλλοιοῦσθαι καὶ μὴ ἀλλοιοῦσθαι. Δεύτερον ῥητέον. ὅτι κοινὰς εἶναι λέγοντες τὰς ἀρχὰς, οὐχ οὕτω κοινὰς ἐννοοῦμεν, ὡς σωνώνυμως ἔχειν πρὸς πάσας τὰς Ἐπισήμας. οὐδὲν γὰρ δίδοται κοινὸν σωνώνυμως διαφόροις ὑπηκτοῖς γένεσιν. ἀλλὰ κοινὰς χρὴ τὰς ἀρχὰς ἐννοεῖν, κατὰ ἀναλογίαν, ὡς ἐν τῷ προληφθέντι κεφαλαίῳ ἐδίδαξεν ὁ Φιλόσοφος. Τοῦτο δὲ περὶ μὲν τῶν εἰρημένων δύο πρωτίστων ἀρχῶν, ἀναμφισβήτητόν ἐστιν. ἐπειδὴ γὰρ ἐκεῖναι προσήκουσι τῷ ὄντι ἁπλῶς κατὰ πᾶσαν αὐτοῦ τὴν περίληψιν, τὸ δὲ ὂν ὁμωνύμως κατηγορεῖται κατὰ τῶν ὑποκειμένων γενῶν, ὡς τὰ ἀφ' ἑνὸς, ἢ πρὸς ἕν, καὶ τὰ προσήκοντα τούτῳ ἁπλῶς ἀξιώματα ὁμωνύμως προσήκειν ἑκάστῳ ἐπιστητῷ γένει πρόδηλον. ἀλλὰ καὶ τὰ λοιπὰ ὅσα ἧττον εἰσὶ κοινὰ ἀξιώματα, ὁμοίως προσήκειν τοῖς διαφόροις ἐπιστητοῦ γένεσι φανερόν. τὸ γὰρ μεῖζον εἶναι τὸ ὅλον τῶν οἰκείων μερῶν, κοινόν ἐστιν ἀναλόγως Γεωμετρίᾳ καὶ Ἀριθμητικῇ. ὃν γὰρ ἔχει λόγον τὸ ὅλον μέγεθος πρὸς τὸ οἰκεῖον αὐτοῦ μέρος, τὸν αὐτὸν ἔχει καὶ ὅλος ὁ ἀριθμὸς πρὸς τὸ μέρος.

γρ. ως

ΚΕΦΑ-

(1) Ἀποεία.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝΔΕΥΤΕΡΟΝ.

„ Εἰ δὲ τὸ αὐτὸ ἐστὶν ἐρώτημα συλλογιστικὸν, καὶ τὰ ἑξῆς.

Ἐπὶ τοῦ δευτέρου καὶ δεκάτου κεφαλαίου ὁ Φιλόσοφος, ἵνα μήτις νομίσῃ τῆς διαλεκτικῆς μόνης ἔργον εἶναι ἐρωτήσεις προβάλλειν τοῖς διαλεγομένοις, διδάσκει τοῦτο καὶ ἐπὶ τῶν λοιπῶν Ἐπιστημῶν γίγνεσθαι, καὶ ἅμα τὰς ἐπιστημονικὰς ἐρωτήσεις ἐξηγεῖται, καὶ ὅπως διαλανθάνουσι τῶν διαλεκτικῶν ἐρωτήσεων ἐκτίθεται.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΤΡΙΤΟΝ.

Περὶ τῆς τοῦ Ὅτι ἀποδείξεως.

„ Τὸ δὲ Ὅτι διαφέρει καὶ τὸ Διότι ἐπίσασθαι.

Παραδοὺς ὁ Φιλόσοφος ἐς τόδε τὸν τρόπον τῆς ἀποδεικτικῆς δείξεως, ἢ μᾶλλον εἰπεῖν τὰς διαφορὰς τῆς ἀρχῶν τῆς κυριωτάτης ἀποδείξεως, ἥτις διὰ τὸ προβαίνειν ἐξ αἰτίας, δι' ἣν τὸ δεικνύμενον ἐστὶ, διὰ τοῦτο καὶ ἀπόδειξις τοῦ διότι καλεῖσθαι εἴωθε. διδάσκει νυνὶ ἤδη περὶ τῆς ἀποδείξεως τῆς δευτέρας τάξεως, ἥτις καὶ ἀπόδειξις τοῦ ὅτι κοινότερον λέγεται. Εἴρηται δὲ ἀπόδειξις τὸ Ὅτι, ἡ μὴ δεικνύουσα τὸ συναγόμενον τὸ διατί ὄζιν, ἀλλὰ μόνον τὸ ὅτι ἐστί. Ταύτης δὲ δίτ̀ον εἶδος προβάλλεται ἐπὶ τοῦ παρόντος παρὰ τῷ Φιλοσόφῳ. ἡ μὲν γὰρ κέχρηται τῷ αἰτιατῷ ὡς μέσῳ εἰς δεῖξιν τῆς αἰτίας, ᾗ χρώμεθα ἐφ' ὧν τὸ αἰτιατὸν γνωριμώτερον ἐστὶ τῆς αἰτίας. ἥτις καὶ τεκμηριώδης λέγεται συλλογισμὸς, διότι καὶ τὸ αἰτιατὸν ἀποτέλεσμα ἀντιστρέφει τῇ αἰτίᾳ, ἁρμόζεται αὐτῇ ῥᾳδίως ἐπὶ τὸ τοῦ διότι ἀπόδειξιν, ἀντιστρεφομένης θατέρας τῶν προτάσεων εἰς αὐτό. Παραδείγματα δὲ ταύτης ἐπάγει ὁ Φιλόσοφος ἀπὸ τε τῶν ἀστέρων καὶ Σελήνης, οἷον τὸ ἐγγὺς εἶναι, αἴτιον τοῦ μὴ σίλβειν τοὺς πλανήτας, τὸ δὲ μὴ σίλβειν αἰτιατὸν, ὅπερ ὡς μέσον ληφθὲν, συνάγεται τοὺς πλανήτας ἀστέρας ἐγγὺς εἶναι. χηματτσέον ὧδί. Οἱ μὴ σίλβοντες ἀστέρες ἐγγύς εἰσιν. οἱ πλανήτες οὐ σιλβουσιν. ἄρα ἐγγὺς εἰσί. Ταύτης δὲ τῆς δείξεως, ἥτις ἀντιστρέφει τῷ μείζονα εἰς ἑαυτὸ, μεθαρμόσει

σει ταύτῃ εἰς τὴν ἀπόδειξιν τοῦ διότι. ληφθήσεται γὰρ τῇ ἀκαῦτα τὸ ἐγγὺς εἶναι ὡς μέσον, ὅπερ ἐστὶν αἰτία τοῦ μὴ σίλβειν ὧδί. οἱ ἐγγὺς ὄντες ἀστέρες οὐ σίλβουσιν, οἱ πλάνητες εἰσὶν ἐγγύς, ἄρα οὐ σίλβουσιν. Ἕτερον προσέθηκεν ὁ Φιλόσοφος παράδειγμα, δεικνύων τὸ σφαιροειδὲς τῆς Σελήνης ἀπὸ τῆς διαφόρων φωτισμῶν, ὅπερ ἐπὶ τῆς λέξεως προφανές.

Ἡ δὲ (1) ἑτέρα διαφορὰ τῆς τοῦ Ὅτι ἀποδείξεως ἐστὶν, ἥτις διὰ τῆς πόρρω αἰτίας, καὶ μὴ προσεχοῦς, εἰς δεῖξιν προβαίνει τοῦ αἰτιατοῦ. Κέχρηται δὲ ὁ Φιλόσοφος εἰς δήλωσιν τούτου, παραδείγματι τοιῷδε. Πᾶν τὸ ἀναπνέον ἐστὶ ζῶον. (2) οὐδεὶς τεῖχος ἐστὶ ζῶον. ἄρα οὐδεὶς τεῖχος ἀναπνεῖ. Ἐν τούτῳ εἴληπται τὸ ζῶον, ὡς αἴτιον τοῦ ἀναπνεῖν. Εἰς δήλωσιν δὲ τῆς προσεχοῦς αἰτίας, παραδίδωσιν ἡμῖν ὁ Φιλόσοφος κανόνα τοιοῦτον, ὅτι ἡ τῆς προσεχοῦς αἰτίας ἀναίρεσις, αἴτιον γίνεται τῆς καθάπαξ ἀναιρέσεως τοῦ αἰτιατοῦ. ὥσπερ καὶ ἡ κατάφασις τῆς αἰτίας, αἴτιον ἐστὶ τῆς τοῦ (3) ἀποτελέσματος καταφάσεως. ἀεὶ γὰρ ἡ προσεχὴς αἰτία εἰσαγομένη, συνεισάγει (4) τὸ αἰτιατὸν, καὶ ἀναιρουμένη συναναιρεῖ. Τὸ δὲ ζῶον ~~καίτοι συναναιρεθὲν ἀναιρουμένου~~ τὸ ἀναπνεῖν, ~~εἰσαγόμενον~~ ἀναγ-
γαμὲν, ζωμένου μέντοι, οὐ συνεισάγει (5) τὸ αὐτό. πολλὰ γὰρ εἰσὶ τὰ μὴ ἀναπνέοντα τῇ ζώων. οὐ γὰρ πᾶν ζῶον ἀναπνεῖ, ὅτι μὴ τὰ πνεύμονα ἔχοντα, ὅπερ ἐστὶν αἴτιον προσεχὲς τοῦ ἀναπνεῖν.
ἀναγόμενον,

Τίσι διαφέρει ἡ ἀποδειξις τοῦ Διότι, τῆς ἀποδείξεως τοῦ Ὅτι.

„ Ὅθεν καὶ ὅτι οὐκ ἔστι γένος κοινὸν ἡ ἀπόδειξις κοινότερον ἐννοουμέ-
„ νη, τῆς τοῦ Διότι καὶ Ὅτι ἀποδείξεως σωιάγεται.

Ὅτι δὲ ἡ τοῦ Διότι ἀπόδειξις ἡ κυρίως καὶ τελεωτάτη ἐστὶν ἀπόδειξις, ὁμολογούμενον παρὰ πᾶσιν ἐστίν. ταύτῃ γὰρ πᾶσαι προσήκουσιν αἱ διαφοραὶ, ἃς ὁ Φιλόσοφος ἀναγκαίως προσεῖναι ταῖς ἀποδεικτικαῖς ἀρχαῖς

(1) Δεῖ δὲ εἰδέναι ὅτι ἡ τοῦ ὅτι ἀπόδειξις ἐκ τῆς πόρρω συνάγεται ἀποφατικῶς. (2) Θάμβρων. (3) Οἷον δοθείσης τῆς αἰτιφράξεως, ἀνάγκη ἕπεσθαι τὸν ἔκλειψιν ὡς ἀποτέλεσμα. ἐξ ἄλλου, ὡς αἰτιατὸν, δοθέντος λογικοῦ, ἀνάγκη καὶ γελαστικόν. (4) Αἰτιατὸν ἐξ ἀποτέλεσμα κατὰ διάμετρον διενήνοχε. τὸ μὲν γὰρ ἀποτέλεσμα ἔχει τὸ εἶναι ἀπὸ ἐξωτερικῆς αἰτίας παράγματι διαφερούσης, τὸ δὲ αἰτιατὸν ἐξ ἐνδεχομένου καὶ τῆς αὐτῆς οὐσίας, τῷ λόγῳ μόνον διαφέρον τῆς χρίσεως. (5) Τὸ αἰνιττεσθαι.

ἀρχαῖς, εἰς ἀπόκτησιν τῆς τελεωτάτης Ἐπιστήμης, ἀνωτέρω ἐξέθετο. Αἱ δὲ ἀποδείξεις τοῦ Ὅτι κατ' ἔλλειψιν τινῶν τῶν προσηκόντων τῇ κυρίως ἀποδείξει συνεστήκασι. διὸ οὐδὲ κυρίως ἀποδείξεις λέγονται, ἀλλ' ἐφ' ὅσον (1) τινῶν τῶν προσηκόντων τῇ κυρίως ἀποδείξει μετέχουσιν. Ἦν δὲ ἐν τοῖς προσήκουσι τῇ κυρίως ἀποδείξει, καὶ τὸ γνωριμωτέρας εἶναι τὰς ἀρχὰς ἐκείνης, καὶ προτέρας τῇ φύσει, καὶ αἰτίας τοῦ συναγομένου πράγματος ἐν ταῖς ἀποδείξεσιν, ἀλλ' οὐχὶ μόνον τῆς γνώσεως. Τούτων δὲ ἡ διὰ τοῦ αἰτιατοῦ ἀπόδειξις ἐστέρηται. ἡ γὰρ τῷ αἰτιατῷ χρωμένη ὡς μέσῳ ἀπόδειξις, ἀπὸ τῶν προτέρων καὶ γνωριμωτέρων μόνον καθ' ἡμᾶς προβαίνει, εἰς δήλωσιν τῆς αἰτίας. Ἡ δὲ (2) λοιπὴ τοῦ Ὅτι ἀπόδειξις, ἡ διὰ τῆς μὴ προσεχοῦς ὁρμωμένη αἰτίας, ἐλλειπὴς ἐστὶ τῆς κυρίως ἀποδείξεως, τῷ μὴ ἐξ ἀνάγκης τῶν προτέρων καὶ ἀμέσων συμπεραίνειν. ἡ γὰρ μείζων πρότασις ἐπ' αὐτῆς ἐκ ἀναποδείκτος ἔξιν, ἀλλὰ μέσον (3) ἔχουσα δι' οὗ ἀποδειχθείη. ὃν τρόπον ἀνωτέρω ἐπὶ τοῦ ἐκτεθέντος παραδείγματος καθορᾶται. Δεύτερον ἐλλείπει, τὸ μὴ δι' αἰτίας τῆς τοῦ πράγματος προβαίνειν, οἵα ἐστὶν ἡ προσεχὴς μόνη αἰτία, ἀλλὰ δι' αἰτίας πορρωτέρω, καὶ ὑλικῆς, δι' ἧς σωζόμενος μόνον (4) μὴ ἐνδέχεσθαι τὸ ζητούμενον.

Ὅθεν ἅμα καὶ γίγνεται φανερὸν, τὴν ἀπόδειξιν κοινοτέραν ὑπάρχουσαν μὴ ἄνευ λόγου τῆς τοῦ διότι καὶ ὅτι ἀποδείξεως. οὐ γὰρ ὁμοίως μετέχουσι τῆς (5) συστατικῶν τῆς ἀποδείξεως, ἡ τοῦ ὅτι καὶ τοῦ διότι ἀπόδειξις. διὸ οὐδὲ συνωνύμως ἀμφοῖν κατηγορεῖται ἡ ἀπόδειξις, ἀλλ' ὁμωνύμως, ὡς τὰ ἀφ' ἑνὸς, ἢ πρὸς ἕν. Αἱ γὰρ τοῦ ὅτι ἀποδείξεις ἐπὶ τοσοῦτον τῆς ἐπωνυμίας μετέχουσι τῆς κοινῆς, ἐφ' ὅσον καὶ τῶν συστατικῶν μετέχουσι τῆς ἀποδείξεως, ἐλαττοῦνται γὰρ κατ' οὐσίαν αἱ ἀποδείξεις τοῦ ὅτι, τῶν ἀποδείξεων τοῦ διότι. διὸ οὐσιωδῶς διαφέρουσι, διαφορῶν, γενῶν, καὶ τῶν τοιούτων.

Περὶ τῆς ὑπαλληλίας τῶν ἐπιστημῶν.

„ Ἄλλον δὲ τρόπον διαφέρει τοῦ Διότι τὸ Ὅτι.

Ἐδίδαξεν ἐνταῦθα ὁ Φιλόσοφος τίνα τρόπον ἐπὶ τῆς αὐτῆς Ἐπιστήμης συμβαίνει γίγνεσθαι τὸν τοῦ διότι καὶ ὅτι ἀπόδειξιν. ἐντεῦθεν

ΟΟΟ τοῦ-

(1) Γ' διωμάτων. (2) Ἤτοι ἡ δευτέρα ἡ διὰ τῆς πορρωαιτιατου δεικνύουσα τὸ αἰτιατόν. (3) Ἤτοι πᾶν ζῶον ἀναπνεῖ, ἔχουσα μέσον τὸν πνεύμονα, δι' οὗ ἀποδειχθείη. (4) Ἤτοι ἀποφατικὸν συμπέρασμα. (5) Διαφορῶν.

τοῦτο διδάσκει, ὅπως ἐπὶ τῶν χωρισμένων Ἐπιστημῶν, οὐ μὴν πανταπασιν (1) ἀπεχοινισμένων, ὧν ἡ μὲν ἑτέρα τῶν τοῦ (2) διότι ἔχει ἀπόδειξιν, ἡ δὲ λοιπὴ τῶν τοῦ ὅτι. Τὰς δὲ τοιαύτας ἐπιστήμας ὑπαλλήλους κοινότερον οἱ νεώτεροι προσαγορεύουσιν, ὅτι δηλαδὴ ἡ ἑτέρα ὑφ' ἑτέραν τελεῖ. Εἰς κατάληψιν δὲ τούτου, λεπτέον, ὅτι διχῶς ἐνδέχεται λέγεσθαι ἐπὶ τῶν ἕξεων, θάτερον ὑπὸ θάτερον. Ἢ διὰ τὸ τέλος, ἢ διὰ τὸ ὑποκείμενον γένος, καὶ τὰς ἀρχάς. Ἀλλὰ κατὰ μὲν τὸν πρῶτον τρόπον, οὐδεμία θεωρητικὴ Ἐπιστήμη ὑφ' ἑτέραν Ἐπιστήμην τελεῖ. πᾶσαι γὰρ αἱ θεωρητικαὶ ἕξεις, δι' αὐτὰς ποιοῦνται, καὶ τέλος οἰκεῖον ἐχόντασι καθ' ἑαυτὸ, καὶ οὐδεμιᾶ ἄλλη ὑπηρετοῦσιν ἕξει, (τῶν δὲ ποιητικῶν ἕξεων εἰσὶν, αἱ μὴ δι' ἑαυτὰς εἰσὶν ὠφέλιμοι, ἀλλ' εἰς ὑπηρεσίαν ὑπενόηνται) τῷ λόγῳ δὲ τῶν ὑποκειμένων γενῶν, καὶ τῶν κατ' ἐκείνας ἀρχῶν, εἰσίτινες καὶ ἐν ταῖς θεωρητικαῖς ἕξεσιν, ὧν ἡ ἑτέρα ὑφ' ἑτέραν τελεῖ. καὶ τοῦτο συμβαίνει, ἐφ' ὧν τὸ ὑπεστὸν γένος, ὅπερ ἐπὶ τῆς ἀνωτέρω Ἐπιστήμης θεωρεῖται πάσης κεχωρισμένον ὕλης, ἡ ὑποβεβηκυῖα Ἐπιστήμη θεωρεῖ μετά τινος διαφορᾶς αἰσθητῆς, ὅπερ ἐστὶ μάλιστα προφανὲς ἐπὶ τῶν μαθηματικῶν. ὃν τρόπον ἐνταῦθα ὁ Φιλόσοφος διδάσκει ἔχειν τὴν Μουσικὴν πρὸς Ἀριθμητικὴν, καὶ τὴν Ὀπτικὴν πρὸς Γεωμετρίαν. πρόδηλος καὶ τὴν Μηχανικὴν πρὸς Στερεωμετρίαν. καὶ τὴν περὶ τὰ φαινόμενα Ἀστρολογίαν, πρὸς τὴν μαθηματικὴν Ἀστρολογίαν. τὸν αὐτὸν γὰρ ἀριθμὸν, ὃν ἡ Ἀριθμητικὴ πάσης ἀπηλαγμένον ὕλης θεωρεῖ, καὶ ἡ Μουσικὴ ἐξετάζει οὐ καθ' ἑαυτὸν, ἀλλ' ἐν ταῖς φωναῖς. ἡ δὲ φωνὴ ποιότης ἐστὶν αἰσθητή. Τὸν αὐτὸν τρόπον καὶ ἡ Ὀπτικὴ θεωρεῖ τὰς γραμμὰς, ἅπερ εἰσὶ θεαταὶ, ἃς ἡ Γεωμετρία κεχωρισμένας ἐξετάζει καθ' ἑαυτάς. Ὁμοίως καὶ τῆς Στερεωμετρίας, τὰ σώματα καθ' ἑαυτὰ θεωρούσης, ἡ Μηχανικὴ ἢ βάρος ἔχοντα ἐξετάζει ταῦτα. διδάσκουσα ὅπως τὰ μεγάλα βάρη μεταβαίνειν δύνατον ἀπὸ τόπου εἰς τόπον δυνατόν. Ὁμοίως δὲ ἡ περὶ τὰ φαινόμενα ἐν τοῖς ἄστροις παρατήρησις, διὸ οἱ νεώτεροι Ἀστρολογίαν ναυτικὴν, καὶ ἀγροτικὴν εἰώθασιν ἀποκαλεῖν, ἐξετάζει τὰς ἀποστάσεις δὲ δύσεις τῶν ἀστέρων, καὶ ὅλως τὰς

(1) Κεχωρισμένων. (2) Φέρε εἰπεῖν, ἡ ἀριθμητικὴ θεωρεῖ τὸν ἀριθμὸν καθ' ἑαυτὸν, ὅθεν καὶ τοῦ διότι ἀπόδειξις ἦκουσεν, ὡς ἐξ αἰτίας. ἡ δὲ μουσικὴ καθὸ ἐν τῇ φωνῇ καὶ ἐκ τῆς ὑστέρου, ὅθεν καὶ τοῦ ὅτι εἰκότως ἐστὶν ἀπόδειξις. δοθείσης γὰρ τῆς οὐσίας τοῦ ἀριθμοῦ ἕπεται εἶναι καὶ ἐν φωνῇ. καὶ ὅτι τῆς ἄλλων ὡσαύτως. ὡς καὶ ἡ στερεωμετρία θεωρεῖ τὰ σώματα καθ' ἑαυτὰ, ἡ δὲ μηχανικὴ ἢ βάρος ἔχοντα. διὸ μὴ ὄντος σώματος, οὔτε βάρος, οὐ μὴν δὲ καὶ ἀνάπαλιν. εἰκότως ἄρα ἡ μὲν ἐκ τοῦ διότι, ἡ δὲ ἐκ τοῦ ὅτι ἐπιχειρεῖ.

τὰς ἐν τῷ Οὐρανῷ εἰκόνας ἢ φαίνονται, ἅπερ καθ' ἑαυτὰ ἡ ἐπιστημονικὴ ἀστρολογία θεωρεῖ.

Ἐπειδὴ τοιγαροῦν τὸ ἐπιστητὸν γένος τῆς ὑποβεβηκυίας Ἐπιστήμης εἴληπται ὑπὸ τῆς ἀνωτέρω καὶ ὑπερβεβηκυίας, οὐδὲν θαυμαστὸν, καὶ τὰς ἐν τῇ ὑποβεβηκυίᾳ Ἐπιστήμῃ ἀρχὰς, ἀπὸ τῆς αὐτῆς ὑπερβεβηκυίας εἰλῆφθαι, ὡς ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ παρόντος καὶ ἐννάτῳ παραδέδωκεν ὁ Φιλόσοφος. ὅθεν καὶ τὰ σωμαγόμενα ἐν τῇ ὑποβεβηκυίᾳ Ἐπιστήμῃ, καθ' αὐτὸ προσήκειν τῇ ἀνωτέρῳ Ἐπιστήμῃ διδάσκει, πλὴν εἴτινά εἰσιν ἴδια τῇ ὑποβεβηκυίᾳ, διὰ τὴν προσεθεῖσαν διαφορὰν τῷ ἐπιστητῷ γένει. Ἐπεὶ μέντοι οὐ καθάπαξ ἐστὶ τὸ αὐτὸ ἐπιστητὸν γένος ἀμφοτέραις, ἀλλά ποτον τινὰ τὸ αὐτὸ, ὡς ἐν τῷ ἑβδόμῳ εἴρηται κεφαλαίῳ, διάπερ τοῦτο καὶ ταῦθα καὶ ἀνωτέρῳ ἐν τῷ ἐννάτῳ κεφαλαίῳ ἐλέγετο, ἐπὶ τῆς ὑποβεβηκυίας ἐπιστήμης, ἀποδείκνυσθαι τὸ ὅτι ἐστὶν, ἐπὶ δὲ τῆς ἀνωτέρω τὸ διότι ἐστί. τὰς γὰρ (1) αἰτίας τοῦ σωμαγομένου ἐν τῇ ὑποβεβηκυίᾳ, ἡ ἀνωτέρω ἔχει ἐπιστήμη, ἧς καὶ ἀρχαὶ εἰσὶν οἰκεῖαι.

Ὡς τε ἡ ἀνωτέρω Ἐπιστήμη καὶ ὑποβεβηκυῖα, πῶς μὲν εἰσὶ μία, πῶς δὲ δύο. ἡ γὰρ ἀνωτέρω γένους λόγον φαίνεται ἔχουσα, ἡ δὲ κατωτέρω, εἴδους πρὸς ἐκείνω. ὡς τὸ μὲν ἀνωτέρω πρὸς τὸ κατωτέρω ἔχειν, ὥς περ ἡ περὶ ζῴου φέρε εἰπεῖν Ἐπιστήμη πρὸς τὸ περὶ ἀνθρώπου. Οὐ μέντοι πανταπασιν ὡσαύτως ἔχουσιν. ἡ γὰρ περὶ εἴδους θεωρία, ἐπὶ τῆς αὐτῆς Ἐπιστήμης, προσίθησι τῷ ἐπιστητῷ γένει τῆς γενικωτέρας θεωρίας διαφορὰν οὐσιώδη, καὶ τοῦ αὐτοῦ ἐπιστητοῦ γένους. προσίθησι γὰρ φυσικῷ διαφορὰν, τῷ φυσικῷ ἐπιστητῷ γένει, καὶ γεωμετρικῷ τῷ γεωμετρικῷ. ἐπὶ δὲ τῶν ὑπαλλήλων ἓν ἡ ὑποβεβηκυῖα προσίθησι (2) διαφορὰν τῷ γένει τῆς ἀνωτέρω, ἐστὶ πανταπασι κατὰ συμβεβηκὸς, καὶ ἐκτὸς πάσης τῆς ἐκείνου περιοχῆς.

Διαίρεσις τῶν Ἕξεων κατὰ τὸν Φιλόσοφον, καὶ τῶν μερῶν ἑκάστης ἀνάπτυξις.

Τῶν Ἕξεων ὁ Φιλόσοφος ἐν τῷ ἕκτῳ τῶν Νικομαχείων πλείους ἐκτίθησι διαφοράς. Ὑποθεὶς γὰρ τὴν διαφορὰν ἐκείνων εἰς τὰς ἀλη-

(1) Αἱ γὰρ ὑποβεβηκυῖαι ἐκ τῶν ὑστέρων ὑπειροῦσαι, προχωροῦσιν ἐπὶ τὰς αἰτίας, αἱ δὲ ὑπερβεβηκυῖαι, τὸ ἀνάπαλιν. ὅθεν εἰκότως φησὶν εἶναι τὰς αἰτίας ἐν τῷ σωμαγομένῳ, ἤτοι συμπεράσματι τῶν ὑποβεβηκυιῶν. (2) Οἷα ἡ μουσικὴ τὴν φωνὴν τῇ ἀριθμητικῇ, ἥτις φωνὴ πανταπασιν ἀπόζυγος τοῦ ἀριθμοῦ.

θετικὰς, καὶ μὴ ἀληθευτικάς. τὰς ἀληθευτικὰς Ἕξεις, δι' ὧν θηρώμεθα τ' ἀληθὲς ἐπὶ τῶν πραγμάτων, εἰς πέντε γενικώτερον διανέμει, Νοῦν, Σοφίαν, Ἐπιστήμην, Φρόνησιν, καὶ Τέχνην. Λύται δὲ ὅτι περιέχουσιν ἁπλῶς πάσας τὰς ἐπικτήτους ἀνθρωποπρεπῶς ἕξεις, πρόδηλον. τῷ μὲν γὰρ τῆς Τέχνης ὀνόματι, πᾶσαι αἱ ποιητικαὶ ἕξεις δηλοῦνται, ὥσπερ καὶ τῇ προσηγορίᾳ τῆς Φρονήσεως, πᾶσαι περιέχονται αἱ ἠθικαὶ ἀρεταί. Ἡ δὲ Ἐπιστήμη, καὶ Σοφία τῆς αὐτῆς εἰσὶ κλάσεως. ἀμφότεραι γάρ εἰσι θεωρητικαὶ ἕξεις. ὁ δὲ Νοῦς ἐν ἑαυτῷ μενών, τῆς θεωρητικῆς ἐστὶ τάξεως ἕξις, ἔτοιμος δύναμις. περὶ ὧν ἑκάστου ῥητέον ἐφεξῆς ὡς ἂν συντετμημένως, εἰς κατάληψιν τῆς ἀπ' ἀλλήλων αὐτῶν διακρίσεως.

ΠΕΡΙ ΤΟΥ ΝΟΟΣ.

ΠΑραιτησαμένοις τὰς διαφόρους σημασίας τοῦ νοὸς, παρὰ τοῖς σχολαστικοῖς εἴωθε λέγεσθαι Νοῦς, ἡ τῶν πρώτων ἀρχῶν ἀντιληπτικὴ ἕξις, ἥτις ἀμέσως προσήκει τῷ νοητικῷ τῆς ψυχῆς μορίῳ, καὶ πορίζεται ἀπὸ τῶν καθ' ἕκασα, συνεργείᾳ τῶν αἰσθήσεων, ὡς ἐν τῷ τέλει τοῦ δευτέρου τῆς παρούσης πραγματείας ὁ Φιλόσοφος διδάσκει, οὗ μὴ προϋποκειμένου τὴν ἡμετέραν ψυχὴν, οὐδενὸς δυνάμεθα τῶν ὄντων λαβεῖν Ἐπιστήμην. Καίτοι κατὰ τὸν Φιλόσοφον οὐ πάντη ἐστὶν ὁμολογούμενον, ἕξιν εἶναι τοῦτον ἐπίκτητον, ἀλλὰ μὴ μᾶλλον τινὰ δύναμιν αὐτικὴν τῆς ψυχῆς, καθ' ἣν ὁ ἄνθρωπος πέφυκε νοεῖν. δοκεῖ γὰρ αὕτη ἡ δύναμις καθ' ἑαυτὴν ἀποχρώντως ἔχειν, ἄνευ προθήκης ἕξεως ἐπικτήτου, πρὸς ἀντίληψιν τῶν ἀρχῶν, δεξαμενὴ μόνα διὰ τῶν αἰσθήσεων τὰ φαντάσματα. Ὁπώσποτε μέντοι ἔχει ἡ τοιαύτη δύναμις ἐν ἑαυτῇ μένουσα, ἐν ταῖς θεωρητικαῖς ἕξεσι τακτέα ἐστίν. ἀναφερομένη δὲ πρὸς τὰς μετ' αὐτὴν ἕξεις, διαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικὸν νοῦν, κατὰ τὴν διαίρεσιν τῶν ἀρχῶν, ὧν ἀντιληπτικὴ οὖσα διατελεῖ.

ΠΕΡΙ ΣΟΦΙΑΣ.

ΠΟλλὰ σημαίνεται διὰ τοῦ ὀνόματος τῆς Σοφίας, κυρίως δὲ λεγομένη, ἕξιν σημαίνει τῶν ὄντων, ἢ ὄντα εἰσὶ, θεωρητικὴν, διὰ τῶν ἀρχιγενεστάτων καὶ πρωτίστων αἰτιῶν, τοῦτο δ' εἰπεῖν τοῦ ὄντος, ἢ ὂν ἐστὶ, κατὰ τὴν περιληπτικωτάτην αὐτοῦ σημασίαν.

Ταύ-

Ταύτῃ δὲ ὁ Φιλόσοφος οὐ μόνον τὰ προσεχῶς σωμαγόμενα διὰ τῆ πρότεσων ἀρχῶν, ἀλλὰ καὶ αὐτὰς τὰς ἀρχὰς θεωρεῖν φησί. κυριώτερον δὲ καὶ πρὸ τῆ ἄλλων θεωρεῖ περὶ τῆ πρώτων αἰτιῶν τῶ παντὸς, οἷον ἐστὶν ὁ Θεὸς, τὰ νοερὰ εἴδη, καὶ ὅσα ἄλλα προσεχῶς μετὰ τὸ πρῶτον ὄν.

Ταύτης τὰ ἴδια ἐντίθεται ὁ Φιλόσοφος ἐν κεφαλαίῳ δευτέρῳ τοῦ πρώτου τῆ Μεταφυσικῶν. ὅθα καὶ διαφόροις ἐπωνυμίαις ταύτῃ γεραίρει. οὐ γὰρ μόνον Σοφίαν, ἀλλὰ καὶ μεταφυσικὴν Ἐπιστήμην, & πρώτην φιλοσοφίαν, καὶ θεολογίαν τὴν αὐτὴν προσαγορεύεσθαι ἀξιοῖ.

ΠΕΡΙ ΕΠΙΣΤΗΜΗΣ.

Ὁμοίως δὲ καὶ τῷ τῆς Ἐπιστήμης ὀνόματι ἐπὶ πλειόνων εἰώθασιν Ἕλληνες χρῆσθαι. ἰδιαίτερον δὲ λεχθὲν, ἕξιν σημαίνει τὴν διὰ ἀποδείξεως πορίζομένην. Εἰδικώτερον δ' ἔτι ἐκλαμβάνεται ἡ φωνὴ αὕτη, σημαίνουσα ἕξιν θεωρητικὴν, ἥτις περὶ μέρος τι τοῦ ὄντος καταγίνεται, καὶ οὐ περὶ τὸ ὂν ἁπλῶς ἐννοούμενον. Κατὰ ταύτην δὲ τὴν θεωρίαν καὶ ἡ Μεταφυσικὴ, ἕξις οὖσα διὰ ἀποδείξεως πορίζομένη, ἀντιδιαστέλλεται τῆς Ἐπιστήμης, ὅτι περὶ τὸ ὂν ἁπλῶς καταγίνεται. ἡ δὲ Ἐπιστήμη εἰδικώτερον εἰλημμένη ἀνθῆς, εἰς Γεωμετρίαν, Ἀριθμητικὴν, Ἀστρολογίαν, καὶ ἄλλας.

ΠΕΡΙ ΦΡΟΝΗΣΕΩΣ.

Σημαίνει δὲ καὶ ἡ Φρόνησις πολλὰ, ἰδίως δὲ λεχθεῖσα ἕξιν σημαίνει τὴν διὰ μακρᾶς θεωρίας, καὶ πείρας τῆ πραγμάτων, καὶ διαφόρων συμπτωμάτων ἐν βίῳ πορίζομένην. Σωμάγεται δὲ ταύτης ὁ ὁρισικὸς λόγος ἀπὸ τοῦ Φιλοσόφου ἐν τῷ ἕκτῳ τῆ Νικομαχείων τοιοῦτος. ἡ Φρόνησις ἕξις ἐστὶ μετὰ λόγου ἀληθοῦς, διαπτομένη πράττουσιν, ὅσα ἀνθρώπῳ εἰσὶν ἀγαθά. καὶ σωοπτικώτερον, ὅτι ἐστὶν ἕξις τῆ πρακτέων. Αὕτη δὲ καίτοι μία οὖσα τῷ ὑποκειμένῳ, καὶ ὁλοχερὴς, τῷ λόγῳ μέντοι τειχῇ διαιρεῖται. Ἡ μὲν γὰρ τὰ ἑπάστῳ πρακτέα διορίζεται. Ἡ δὲ τὰ τῷ οἰκοδεσπότῃ, Ἡ γὰν τὰ πάσῃ τῇ πόλει ἀγαθὰ, καὶ τοῖς Ἡγεμόσι πρακτέα. ὅθεν & φρόνησις ἠθικὴ, ἡ οἰκονομικὴ, ἡ γοῦν πολιτικὴ προσαγορεύεσθαι εἴωθε. Περιέχει δὲ ὑφ' ἑαυτὴν συλλαβοῦσα, πάσας τὰς ἠθικὰς ἀρετάς.

Φρό-

Φρόνησις. { Ἡ μὲν γὰρ περὶ τὰ πρακτέα ἑκάστῳ διοικίζεται.
Ἡ δὲ περὶ τὴν οἰκοδεσποτίην.
Ἡ δὲ περὶ τὴν πόλιν καὶ τοῖς Ἡγεμόσι.

Φρόνησις. { Ἠθική.
Οἰκονομική.
Πολιτική.

ΠΕΡΙ ΤΕΧΝΗΣ.

Ὥσπερ τῇ ἀξίᾳ ἐν ταῖς διανοητικαῖς ἕξεσιν ἡ Τέχνη ἐστὶν ἐγγύτατα, οὕτω τῇ ἀναγκαιότητι καὶ εὑρέσει τυγχάνει πρώτη. Αὕτη ἰδίως λαμβανομένη, εἴωθεν ὑπογράφεσθαι, ὅτι ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, πρός τι τέλος εὔχρηστον τῷ ἐν τῷ βίῳ. κατὰ δὲ τὸν Φιλόσοφον εἴποις ἄν, Τέχνη ἐστὶν ἕξις, μετὰ ὀρθοῦ λόγου, κανόνας ἡμῖν παραδιδοῦσα, εἰς ἀπεργασίαν τινὸς ἀσφαλεῖς. Διαιρεῖται δὲ πλεοναχῶς, καὶ πρῶτον εἰς τὰς ἀρχιτεκτονικὰς καὶ ὀργανικὰς, καὶ ἐφεξῆς εἰς ἄλλας, περὶ ὧν οὐκ ἔστι τὰ νῦν μακρηγορεῖν. εἴρηται γὰρ πλατύτερον περὶ τούτων ἐν τοῖς προλεγομένοις, καὶ τῷ βουλομένῳ ἔξεστιν ἀναλέξασθαι περὶ τούτων ἀποράδην ἐν τοῖς λεγομένοις τῷ Φιλοσόφῳ περί τε ἠθικῶν, καὶ ἄλλων.

Τίς ἂν εἴη ἀκριβεστέρα Ἐπιστήμη, καὶ προτέρα.

Τρεῖς τινὰς κανόνας παραδίδωσιν ἡμῖν ὁ Φιλόσοφος ἐν κεφαλαίῳ κγ'. δι' ὧν διαγνῶναι ἔχομεν τὴν ἀκριβεστέραν, καὶ μὴ (1) τοιαύτην Ἐπιστήμην.

Πρῶτος ἐστὶν ὅτι ἡ Ἐπιστήμη ἐφ' ἧς τὸ διότι ἅμα καὶ τὸ ὅτι ἔχομεν, ἀκριβεστέρα ἐστὶν ἐκείνης, ἐν ᾗ μόνον τὸ ὅτι γινώσκεται. Ὁ κανὼν οὗτος χώραν ἔχει ἐν ταῖς ὑπαλλήλοις ἐπιστήμαις, ὡς ἀνωτέρω εἴρηται.

Ὁ δεύτερος κανὼν εἴληπται ἀπὸ τοῦ ἐπιστητοῦ γένους. ὅσῳ γὰρ μᾶλλον

(1) Καὶ μὴ ἀκριβεστέραν δηλαδή.

λον κεχώρισαι τῆς ὕλης τὸ ὀπτικὸν γένος, τοσούτῳ μᾶλλον ἡ περὶ αὐτὸ Ἐπιστήμη ἀκριβεστέρα ἐστί. πᾶσα γὰρ ἀορισία, καὶ ἀσάφεια ἀπὸ τῆς ὕλης προέρχεται. Διαπερ Ἀριθμητικὴ κρείττων καὶ ἀκριβεστέρα ἁρμονικῆς. ἡ μὲν γὰρ αὐτοὺς καθ' αὐτοὺς ἐπισκέπτεται τοὺς λόγους τῶν ἀριθμῶν. Ἡ δὲ τοὺς ἐν ταῖς χορδαῖς. καὶ Γεωμετρία Ὀπτικῆς ἀκριβεστέρα, ὅτι ἡ μὲν, τὰ συμβαίνοντα αὐτοῖς καθ' αὐτοῖς τοῖς σχήμασι καὶ ταῖς γραμμαῖς, ἅπασι πάσης ὕλης ἐπισκοπεῖ, ὀπτικὴ δὲ, τὰ συμβαίνοντα ταῖς ὄψεσι, τοιῶς δε κεκαμπυλωμένοις.

Τέλος προστίθησι κανόνα ὁ Φιλόσοφος δι' οὗ διδάσκει τὸν περὶ τῶν ἁπλουστέρων Ἐπιστήμων, ἀκριβεστέραν εἶναι, τῆς περὶ τῶν συνθετωτέρων, ὡς ἡ Ἀριθμητικὴ τῆς Γεωμετρίας. ὁ μὲν ἀριθμὸς, ἁπλούστερος τοῦ μεγέθους ἐστί. Τὸ δὲ ἀξιολογώτερον, καὶ ἐντιμότερον ταῖς ἐπιστήμαις, ἐρανίζεται ἀπὸ τοῦ ἐπιστητοῦ γένους. ὅθεν ἡ Μεταφυσικὴ περὶ τὰς χωριστὰς, καὶ νοερὰς οὐσίας καταγινομένη, ἀξιολογώτερα ἐστὶ τῶν ἄλλων, καὶ ἐντιμότερα.

ΠΕΡΙ ΔΟΞΗΣ.

Τούτων οὕτως εἰρημένων περὶ τῶν ἀληθευτικῶν ἕξεων, ἑχομένως ῥητέον καὶ περὶ τῶν μὴ παντάπασιν ἀληθευτικῶν ἕξεων. περὶ ὧν ὁ Φιλόσοφος ἐν τῷ τέλει τῆς προκειμένης βίβλου διαλαμβάνει. Τούτου δὲ τοῦ γένους εἰσὶ, Δόξα, Πίστις, καὶ εἴτις ἄλλη. Ὁ δὲ Φιλόσοφος ἔτι καὶ περὶ ἀγχινοίας παραδίδωσι, περὶ ὧν καὶ ἡμῖν ἐφεξῆς ῥητέον, ὡς ἂν διὰ βραχέων. Ἡ τοίνυν Δόξα κυρίως λαμβανομένη, ὑπόληψις ἐστὶ τοῦ δυναμένου καὶ ἄλλως ἔχειν, ἢ δι' αὐτὸ τὸ δοξαζόμενον, ἢ διὰ τὸ μέσον, δι' οὗ ἡ δόξα ἐγγίνεται, ἢ διὰ τὴν ἡμετέραν περὶ τὸ πράγματος σύνοιαν καὶ γνῶσιν. ὥς τε ἡ δόξα ἀναγκαίως ἐστὶν ἐλλειπὴς καὶ ἀτελὴς ἐπιστήμη. Τοιγαροῦν ὥσπερ εἰς γένεσιν τῆς τελειοτάτης ἐπιστήμης, τρία ἐξ ἀνάγκης ζητεῖται, πρῶτον αὐτὸ τοῦτο ὃ ἐπιζάμεθα ἀναγκαῖον εἶναι, τουτέστι τὸ κατηγορούμενον ἀναγκαίως ὑπάρχειν τῷ ὑποκειμένῳ. δεύτερον ἐστὶν εἰδέναι ἡμᾶς τοῦτο διὰ τῆς αὐτῆς αἰτίας. καὶ τρίτον μὴ ἀγνοεῖν ὡς ἡ τοιαύτη αἰτία οἰκεία τούτου ἐστὶ, καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν.

Τὸν αὐτὸν τρόπον ἡ Δόξα, ἥτις ἐστὶν ἐπισφαλὴς Ἐπιστήμη, καὶ ἀτελὴς ἢ κατά τι τούτων, ἢ ἐν πλείοσιν ἐλλείπει. Ἐκ δὲ τῶν εἰρημένων δῆλον γίνεται, ὅτι εἷς καὶ ὁ αὐτὸς ἐπιστήμων, οὐ δυνατὸν ἅμα περὶ τοῦ αὐτοῦ κατὰ τὰ αὐτὰ, καὶ δόξαν ἔχειν καὶ Ἐπιστήμην, πλείους μέντοι ἐνδέχεται,

ται, δι' ἄλλου, ἢ ἄλλου, ἢ τοῦ αὐτοῦ μέσου, Δόξαν ἢ Ἐπιστήμην περὶ τοῦ αὐτοῦ ἔχειν.

Τῆς δὲ Δόξης ἐνδέχεται τὸ μὲν ἀληθῆ εἶναι, τὸ δὲ ψευδῆ, καίτοι γε οὐδὲ ἀληθὴς οὖσα, Ἐπιστήμη ἐστὶ διὰ τὰ εἰρημένα. ἔστι γὰρ ἐξ οἰκείας φύσεως ἡ Δόξα, ὑπόληψις ὡς εἴρηται ἐπισφαλής. Διαιροῦσι τινὲς τὴν Δόξαν, ἢ ἄλλως, εἰς ἐπωφελῆ, ἢ ἐπιβλαβῆ, ἢ οὐδετέρως ἔχουσαν. ἀλλ' ἡ διαίρεσις αὕτη, ἀπὸ τοῦ δοξάζοντος μᾶλλον, ἢ ἀπὸ τῆς δόξης εἴληπται.

ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

ΠΑραλιπόντες τὴν Πίστιν, ἥτις ὑπὲρ φύσιν τοῖς ἐκκλησιαστικοῖς εἶναι λέγεται, ἢ τὴν παρὰ τοῖς ἠθικοῖς σεβάσμιον ἀνδρὸς βεβαιότητα ἃ σφαλοῦς σημαίνουσαν, ἡ ἐνταῦθα θεωρουμένη τῷ Φιλοσόφῳ τῇ δόξῃ συνίπται, ὡς μὴ (1) ἄλλως διενεχθῆναι ἀλλήλων, ἢ μόνῳ τῷ λόγῳ. ὡς γὰρ ἐν τῷ δευτέρῳ τῆς περὶ Ψυχῆς ἐδαφίῳ ρνζ'. λέγεται, τοιαύτη ἀπαιτεῖται τάξις εἰς γένεσιν δόξης καὶ πίστεως. Πρῶτον φησὶ δίδοται λόγος, τούτῳ δὲ ἕπεται πειθώ, τῇ δὲ πεισμονῇ πίστις, τῇ δὲ πίστει δόξα. δοξάζομεν γὰρ ὅτι πιστεύομεν. πιστεύομεν δὲ ὅτι πεπείσμεθα, πειθόμεθα δὲ διὰ τὸν λόγον. Ὁ δὲ τοιοῦτος λόγος, εἰ μὲν πάντα τύχῃ ἔχων τὰ εἰς Ἐπιστήμην ζητούμενα, οὔτε πίστιν ποιεῖ, οὔτε δόξαν, ἀλλ' Ἐπιστήμην. εἰ δὲ ἐλλείπει κατάτι ὡς εἴρηται, τοιαῦτα εἰμήτι ἄλλο κωλύει, πίστιν ἐμποιεῖ, ἢ δόξαν ταῖς ψυχαῖς τῶν ἀκροωμένων.

ΠΕΡΙ ΑΓΧΙΝΟΙΑΣ.

ΗΑγχίνοια καίτοι μὴ ἕξεις οὖσα ἐπίκτητος, ἐπεὶ μέντοι ἀναλόγως πῶς ἔχει πρὸς Ἐπιστήμην, αἰτίας οὖσα γνῶσις ἢ αὐτη, διάτοι τοῦτο ὑπὸ τοῦ Φιλοσόφου ἐκτίθεται ἐνταῦθα, ἃ σωτόμως παραδίδοται. Ἔστι δὲ Ἀγχίνοια, δυνάμις τις, εἴτουν ἐπιτηδειότης ἔμφυτος τοῦ μέσου ἐν ἀσκέπτῳ χρόνῳ σοφαστική. Ὅσοι δὲ ὀξέως οὕτω καὶ προχείρως τοῦ μέσου καταφοχάζονται, ἀγχίνους ἤκουσαν. ὡς εἴτις ἐρωτηθεὶς, διατὶ ἡ Σελήνη τὸ πρὸς Ἥλιον ἀεὶ ἐλαμπομένη φαίνεται μέρος, ἐννοήσῃ ἀσκέπτως, ὅτι ἀπὸ τὸν Ἡλίου τὸ ἔλλαμψιν δέχεται. ἢ τὸ αἴτιον τῶν διαφόρων φωτισμῶν τῆς αὐτῆς ἐρωτώμενος, προχείρως φαίη ὅτι ἐστὶ σφαιροειδής.

Ἡ φραγ-

(1) Πίστις ἐστὶν ὑπόληψις διὰ λόγου πειθὼ ἔχοντος.

Η' πραγματεία τῆς ὑστέρων Ἀναλυτικῶν εἰς βιβλία δύο.

- Πρῶτον, ἐν ᾧ ὁ Φιλόσοφος διδασκαλικῶς περὶ τῆς ἀρχῶν τῆς ἀποδείξεως, καὶ ἰδιωμάτων τῆς αὐτῆς, ἀλλὰ δὴ καὶ ἀντικειμένων, καὶ ὁπως ποτε ἄλλως ἀναφερομένων ἐπὶ τὸ ἀπόδειξιν.
- Δεύτερον, ἐν ᾧ περὶ ὁρισμοῦ σκέπτεται, ἢ πέφυκε γίγνεσθαι μέσον τῆς ἀποδείξεως.

Τρισὶ τρόποις σωίστησι τὰς ἀξιωματικὰς ἀρχὰς ὁ Φιλόσοφος.

- Η' τῇ ἀναπτύξει τῆς ὅρων.
- Η' ἐκ τῆς κοινῆς ὑπολήψεως.
- Η' δι' ἐπαγωγῆς ἀπὸ τῆς καθ' ἕκαστα.

Τρία τὰ προγινωσκόμενα πρὸ τοῦ σωαγομένε δι' ἀποδείξεως.

- Τὸ ζητούμενον, ὅπερ ἐστὶ τὸ κατηγορούμενον τοῦ προβλήματος, ἢ λέγεται πάθος.
- Τὸ διδόμενον, ὅπερ ἐστὶ τὸ ὑποκείμενον τοῦ προβλήματος.
- Καὶ ὁ μέσος ὅρος ἢπερ σωάπτεται τούτοις, ὃν τρόπον αἱ ἀρχαὶ ἀποτελοῦνται.

Τὸ δεύτερον κεφάλαιον τῆς ὑστέρων εἰς τρία.

- Πρῶτον, ἐν ᾧ ὁ ὁρισμὸς τοῦ εἰδέναι, ἤτοι τῆς Ἐπιστήμης περιέχεται.
- Δεύτερον, ἐν ᾧ ὁ ὁρισμὸς τῆς ἀποδείξεως ἢ τὰ συστατικὰ τῆς κατ' ἐκεῖνον ἀρχῶν.
- Τρίτον, ἐν ᾧ τὰ γένη ἀπαριθμεῖται τῆς ἀρχῶν τῆς ἀποδείξεως ὁ Φιλόσοφος.

Διαφοραὶ τῆς ἀρχῶν τῆς ἀποδείξεως, πέντε.

- Τὸ ἀληθεῖς εἶναι.
- Τὸ πρώτας εἶναι.
- Τὸ γνωριμωτέρας εἶναι τοῦ συμπεράσματος.
- Τὸ προτέρας εἶναι τοῦ αὐτοῦ.
- Τὸ αἰτίας εἶναι τοῦ αὐτοῦ καὶ οἰκείας.

Τὸ πρότερον καὶ γνωριμώτερον διχῶς.
- Κατὰ φύσιν,
- Καὶ καθ' ἡμᾶς.

Τῆς ἀποδεικτικῆς ἀρχῆς,
- Τὸ μὲν ἀξίωμα.
- Τὸ δὲ θέσις. ἢ παύτης.
  - Τὸ μὲν ὑπόθεσις,
  - Τὸ δὲ ὁρισμός.

Τὸ κατὰ τὰς ἀρχὰς ἀναγκαῖον διχῶς.
- Κατὰ παντὸς ἢ ἀχωρίστως.
- Καθ' αὐτὸ, ἢ τούτου ἕξοπτοι τέσσαρες.
  - Πρῶτος, καθ' ὃν παραδίδωσιν ὁ Φιλόσοφος ἐκεῖνα λέγεσθαι καθ' αὑτὰ ὅσα ὑπάρχει ἐν τῷ τί ἐστι τῷ ὑποκειμένῳ.
  - Δεύτερος, καθ' ὃν φησὶ κατηγορεῖσθαι, ὧν ἐν τῷ λόγῳ ὑπάρχουσι τὰ ἐν οἷς αὐτὰ ὑπάρχει.
  - Τρίτος, καθ' ὃν φησὶ καθ' αὐτὸ λέγεσθαι, ὅσα μὴ ἐνυπάρχοντα ἄλλοις, εἰσὶ τόδέ τι.
  - Τέταρτος, καθ' ὃν σημαίνεται ἡ σωμαφεια τῆς αἰτίας πρὸς τὸ οἰκεῖον ἀποτέλεσμα.
- Καὶ καθόλου.
  - Κατὰ παντὸς ἢ ἀχωρίστως.
  - Καθ' αὐτό.
  - Καὶ ᾗ αὐτό.

Ἢ τοῦ Ὅτι ἀπόδειξις διχῶς.
- Ἡ μὲν κέχρηται τῇ αἰτιατῇ ὡς μέσον εἰς δεῖξιν τῆς αἰτίας.
- Ἡ δὲ διὰ τῆς πόῤῥω αἰτίας καὶ μὴ προσεχοῦς εἰς δεῖξιν παραβαίνει τοῦ αἰτιατοῦ.

ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ

Τῶν ὑςέρων

ΑΝΑΛΥΤΙΚΩΝ.

ΕΝ τῷ δευτέρῳ τῷ ὑςέρων Ἀναλυτικῶν λόγῳ, ὅτι περὶ τοῦ μέσου τῆς ἀποδείξεως ἡ σκέψις γίνεται τῷ Φιλοσόφῳ, εἴρηται ἐν ἀρχῇ τε πρώτου. τὸ δὲ μέσον τῆς ἀποδείξεως ὡς τὰ πολλὰ ὁ ὁρισμὸς ἐςὶ τὸ ὑποκειμένου. διὸ καὶ περὶ ὁρισμοῦ ἡμῖν ὀλίγ' ἄττα ῥητέον, παραλιπόντες εἴτινὰ ἄλλα ἐν τῷ αὐτῷ λέγεται.

Περὶ Ὁρισμοῦ, τί ἐςὶ, καὶ ὁσαχῶς συμβαίνει γίγνεσθαι.

Ὁ Ὁρισμὸς ἐσθ' ὅτε πλατύτερον λαμβανόμενος, καὶ τὸ ὁρισὸν πεποίηκε, καὶ λέγεται λόγος δηλωτικὸς τῆς τοῦ ὁριζομένου φύσεως. Ἰδιαίτερον μέντοι λαμβανόμενος, καθὸ καὶ τοῦ ὁρισοῦ κεχώρισται, θέσις εἶναι λέγεται, δηλωτικὴ τοῦ ὁρισοῦ πράγματος, ὡς ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ προληφθέντος βιβλίου, καὶ ἐν τῷ δεκάτῳ ὁμοίως τοῦ αὐτοῦ παραδίδωσιν ὁ Φιλόσοφος. Τῶν δὲ ὁρισμῶν, οἱ μὲν τοῦ ὀνόματος εἰσὶν, οἱ καὶ ὀνοματώδεις λέγονται, οἱ δὲ τοῦ πράγματος. Καὶ ὀνοματώδεις μὲν εἰσὶν, οἱ δηλοῦντες τὶ τοὔνομα σημαίνει, οἵπερ καὶ ἐτυμολογίαι λέγονται, ὡς εἰ μεγαλόψυχός τις ῥηθείη, ὁ ἔχων μεγάλην ψυχήν. Τῶν δὲ ὁρισμῶν τὰ πράγματος, οἱ μὲν εἰσὶ τῆς οὐσίας, οἱ δὲ τῷ συμβεβηκότων. καὶ τῆς οὐσίας, ἢ οὐσιώδεις εἰσὶν ὁρισμοὶ, ἢ ἐπουσιώδεις. τούτων, οἱ τοῦ δευτέρου γένους ὑποκρυφὴν ἰδιαίτερον λέγονται, οἵτινες σωζεσθαι εἰώθασιν, ἢ ἐκ γένους προσεχοῦς, καὶ συμβεβηκότος ἰδίου, ἢ ἔκτινος χώραν ἔχοντος γένους, καὶ συμβεβηκότος, ἢ ἰδίου, ἢ σωδρομῆς τῷ κοινῶν συμβεβηκότων. ὡς εἴτις φαίη, ἄνθρωπος ἐςὶ ζῶον, ὀρθοπεριπατητικὸν, καὶ τὰ ἑξῆς.

Ὁ δὲ οὐσιώδης Ὁρισμὸς τῶν οὐσιῶν, διχῶς ἔτι διαιρεῖται. ἢ γὰρ ἐξ ὕλης καὶ εἴδους σωζόμενον, ὡς παρὰ Φυσικοῖς, ἄνθρωπος λέγεται σῶμα ὀργανικὸν λογικῇ ψυχῇ εἰδοποιηθέν. Ἢ ἐκ γένους προσεχοῦς, καὶ διαφορᾶς οὐσιώδους σωζόμενον, ὡς παρὰ τοῖς Λογικοῖς, καὶ μεταφυ-

σικοῖς, ὁ ἄνθρωπος λέγεται, ζῶον, λογικὸν, θνητὸν, νε, καὶ ἐπιστήμης δεκτικόν. Καὶ τῆ συμβεβηκότων δὲ οἱ ὁρισμοὶ οὐχ ἁπλῶς λέγονται. ἢ γὰρ ὑπογραφικοί εἰσιν, οἵτινες σωτίθενται τὸν εἰρημένον τρόπον ἀνωτέρω περὶ τῆς ὑπογραφῆς τῆ οὐσιῶν. ἢ οὐσιώδης ἐστὶ τοῦ συμβεβηκότος ὁ Ὁρισμὸς, ὃς τις καὶ ἐκ γένους προσεχοῦς τὸ συμβεβηκότος, καὶ διαφορᾶς οἰκείας σωέστηκεν, οἷον τὸ λευκὸν ἐστὶ χρῶμα διακριτικὸν ὄψεως. ὁ χυμὸς ἐστὶ ποιότης μεταβλητικὴ τῆς γεύσεως, & τὰ ὅμοια.

Οἱ (1) ποιότητοι τοιγαροῦν Ὁρισμοὶ καὶ ἐν τῷ τί ἐστι τῆ συμβεβηκότων κατηγορεῖσθαι λέγονται. ἐὰν δὲ Ὁρισμὸς τύχῃ ὢν συμβεβηκότος ἰδίου, τειχῶς διαιρέμεται. Ἢ γὰρ αἰτιώδης ἐστὶν, ὃς τυγχάνει δηλωτικὸς τῆς αἰτίας τοῦ ὁριζομένου συμβεβηκότος. οἷον ἡ ἔκλειψις ἐστὶ παρέμπτωσις τῆς γῆς μεταξὺ Ἡλίου καὶ Σελήνης, καὶ ἡ βροντὴ σβέσις πυρὸς ἐν ὕδατι. Ἢ ὑλικὸς ἐστὶν ὁ Ὁρισμὸς τοῦ αὐτοῦ, ὅς τις ἐκ γένους ἰδίου τοῦ συμβεβηκότος, καὶ τοῦ ὑποκειμένου σωίσαται. οἷον θυμὸς ἐστὶ ζέσις τοῦ περικαρδίου αἵματος. ἀπόδειξις ἐστὶ συλλογισμὸς σωεστηκὸς ἐξ ἀληθῶν, πρώτων καὶ ἀμέσων, καὶ τῶν ἐξῆς. Οὗτοι δὲ ἢ κατὰ ἀφαίρεσιν ἀποδίδονται, καὶ τοιαῦτα τίθεται τὸ ὑποκείμενον ἐν πτώσει πλαγίᾳ. οἷον ἡ σιμότης ἐστὶ κοιλότης ῥινὸς, ἢ ἐν ῥινί. Ἢ κατὰ τὸ συγκεκειμένον ἀποδίδοται, οἷόνα τὸ ὑποκείμενον τοῦ συμβεβηκότος τίθεται ἐν ὀρθῇ πτώσει. οἷον τὸ σιμὸν ἐστὶ ῥὶς κοίλη.


Τέλον ὁ Ὁρισμὸς τοῦ συμβεβηκότος σωίσαται ἐξ ἀμφοῖν ἅμα, τοῦτε αἰτιώδους ὁρισμοῦ, καὶ τοῦ ὑλικοῦ. οἷον θυμὸς ἐστὶ ζέσις τοῦ περικαρδίε αἵματος, διʼ ὄρεξιν ἀντιλυπήσεως. καὶ βροντὴ ἐστὶ φόφος πυρὸς σβεννυμένου ἐν ὕδατι. Τὸν τριτὸν τοῦτον τρόπον τοῦ ὁρίζεσθαι παραδίδωσιν ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος, κεφαλαίῳ δεκάτῳ, καὶ φησὶ, τὸν οὐσιώδη Ὁρισμὸν τῆ οὐσιῶν, καὶ τὸν αἰτιώδη τῆ συμβεβηκότων, θέσιν εἶναι ἀναπόδεικτον, τουτέστι δηλωτικὸν τοῦ τί ὅτι τὸ πρᾶγμα. Τὸν δὲ ὑλικὸν Ὁρισμὸν συμπεραίνεσθαι διὰ τῆς ἀποδείξεως. τὸν δὲ τέλον, ὃς ἐξ ἀμφοῖν σωίσαται, συλλογισμὸν εἶναι φησὶ, τὸ τί ὅτι δεικνύοντα, (2) πτώσει μόνῃ τῆς ἀποδείξεως διαφέροντα.

Περὶ

(1) Οἱ οὐσιώδεις ὁρισμοὶ τῆ συμβεβηκότων ἐν οὐσιῶν ἐν τῷ τί ἐστι κατηγορεῖται ὡς δηλωτικοὶ τῆς φύσεως τούτων. Οἱ δὲ ἐπουσιώδεις ἐν τῷ ἐποῖον τί ἐστι ὡς δηλωτικοὶ τῆ περὶ ἐκείνε. (2) Ἤγουν θέσει διαφέροντα. ἐν μὲν γὰρ τῇ ἀποδείξει κεῖται τὸ αἴτιον, εἶτʼ ἐπάγεται τὸ αἰτιατὸν, οἷον ὁ θυμούμενος, ὀρέγεται ἀντιλυπῆσαι, τῷ ὀρεγομένῳ ἀντιλυπῆσαι ζέει τὸ περὶ καρδίαν αἷμα. τῷ θυμουμένῳ ἄρα ζέει τὸ περὶ καρδίαν αἷμα. ἐν δὲ τῷ ὁρισμῷ τοὔμπαλιν, θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος διʼ ὄρεξιν ἀντιλυπήσεως. ἡ γὰρ ὄρεξις τῆς ἀντιλυπήσεως αἴτιον τῆς ζέσεως.

(1) Ἢ τοι τὸ γινόμενον μέσον τῆς ἀναλογίας.

φυσι-
σον ὃ (1) αἴτιον, ἐνδέχεται εἶναι τὸ τετραπλάσιον αἴτιον τοῦ ἡμίσεος τοῦ


Ὁ ὁρισμὸς
Ὀνόματος,
Πράγματος,
Ἢ τῆς οὐσίας,
Ἢ ἐπουσιώδης, ὃς δὲ ὑπογραφικὸς λέγεται.
Ἢ οὐσιώδης,
Ἐξ ὕλης καὶ εἴδους, ὃς καὶ φυσικός.
Ἐκ γένους προσεχοῦς, καὶ διαφορᾶς οὐσιώδους λογικός, δὲ μεταφυσικός.
Ἢ τῷ συμβεβηκότος.
Ἐπουσιώδης οἷος ἐστὶ δὲ ὁ ἐκ τῶν ὁμοίων, ἢ ἐκ τῶν ἐναντίων λαμβανόμενος.
Ἢ οὐσιώδης.
Τοῦ τί ἐστι δηλωτικὸς, ἢ ἐκ γένους καὶ διαφορᾶς λαμβανόμενος.
Ἢ αἰτιώδης, ὃς ἐξ αἰτίας συνέστηκεν.
Ἢ ὑλικὸς ἐκ γένους δὲ ὑποκειμένου
Ἢ ἐξ ἰδίου ὑποκειμένου,
Ἢ ἐξ ἀφαιρέσεως.
Ἢ κατὰ τὸ συγκείμενον.
Ἢ ἐκ μὴ ἰδίου.
Ἢ συνθετος ἐκ τοῦ αἰτιώδους, καὶ ὑλικοῦ, ὃς θέσει μόνῃ τῆς ὑποδείξεως διαφέρει.

ὁς, ὁ μεταφυσικός.

λαμβανόμενος.

ὰς λαμβανόμενος.


Ἢ ἐξ ἀφαιρέσεως.

Ἢ κατὰ τὸ συγκεκειμένον.

ὃς θέσει μόνῃ τῆς ὑπο-

ιτιαπν, οἷον ὁ θυμοῦμενος, ὀρέγεται ἀντιλ-
σαι, τῷ ὀρεγομένῳ ἀντιλυπῆσαι ζέει τὸ περὶ καρδίαν αἷμα· τῷ θυμουμένῳ ἄρα
ζέει τὸ περὶ καρδίαν αἷμα. ἐν δὲ τῷ δεισμῷ τοὔμπαλιν, θυμὸς ἐστι ζέσις τοῦ πε-
ρὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. ἡ γὰρ ὄρεξις τῆς ἀντιλυπήσεως αἴτιον
τῆς ζέσεως.

Pag. 485.



Περὶ τοῦ γινομένου αἰτίου μέσου ἐν ταῖς ἀποδείξεσιν.

Ἐπὶ τῆς κυριωτάτης ἀποδείξεως, φέρει τὸ οἰκεῖον καὶ προσεχὲς αἴτιον τοῦ μείζονος ἄκρου, ἤτοι, ~~τοῦ πάθους, εἴτουν~~ ὁ αἰτιώδης ὁρισμὸς τοῦ ~~αὐτοῦ~~ μέσον γίνεται, εἴτε τῆς οὐσίας τυγχάνει ὢν τοῦ ὑποκειμένου, τουτέστιν ἐνδογενὲς, εἴτ' οὖν ἔξωθεν προσγινόμενον, ὡς ἐπὶ τῆς ἐκλείψεως ἡ παρέμπτωσις τῆς γῆς. τοῦτο δὲ διαπάττεται ὁ Φιλόσοφος, καὶ δείκνυσιν ἐπὶ τοῦ παρόντος, ἐν κεφαλαίῳ δεκάτῳ τετάρτῳ. Τὸ τοιοῦτον δὲ (1) αἴτιον, ἐνδέχεται εἶναι τῶν τεττάρων αἰτιῶν εν. ἐπὶ μὲν τῆς φυσι-

(1) Ἤτοι τὸ γινόμενον μέσον τῆς ἀποδείξεως.

φυσικῶν ἐπὶ πάντα τὰ γένη τῆς αἰτίας ἀναφερόμενον, ὡς τὰ πολλὰ δὲ τὸ ὑλικὸν καὶ εἰδικὸν αἴτιον, γίνεται μέσον ἐν ταῖς ἀποδείξεσιν. ἐπὶ δὲ τῆς μαθηματικῶν μόνον τὸ εἰδικόν. γίνεται δὲ ἐν χρήσει (1) τοιαύτη καὶ τὰ λοιπὰ δύο, ἐφ' ὧν τὰ οἰκεῖα αὐτῆς ἀποτελέσματα ζητεῖται.

Τίνα τρόπον διαιρεῖσθαι πεφύκασιν οἱ Ὁρισμοὶ τῆς οὐσίας.

Διττὴ μέθοδος ἐνταῦθα προτίθεται τῷ Φιλοσόφῳ εἰς ζήτησιν, καὶ λῆψιν τῆς Ὁρισμῶν ἐν κεφαλαίῳ δεκάτῳ τείτῳ. ἡ μὲν διαιρετική, ἡ δὲ συνθετική. καὶ διαιρετικὴ μέν ἐστιν ἡ διαιροῦσα τὸ ἀνώτατον γένος τοῦ ὁριζομένου πράγματος, μέχρι τῆς ἐσχάτης καὶ ἀντιστρόφου διαφορᾶς ἐκείνης, ἢ ἐκ τῆς συλλογῆς πάντων τῆς ἀνωτέρω κατηγορημάτων αὐτοῦ, καὶ τῆς ἐσχάτης καὶ ἀντιστρόφου διαφορᾶς συνιστῶσι τὸν ὁρισμὸν ὅλον. παραδείγματι τὸ λεγόμενον γίνεται προφανές. Κείσθω ζητούμενος ὁ τοῦ ἀνθρώπου Ὁρισμὸς μεθόδῳ διαιρετικῇ. πρὸ δὴ τῆς ἄλλων ληπτέον ἐστὶ τὸ κυριώτατον τοῦ ἀνθρώπου γένος, φέρ' εἰπεῖν ἡ οὐσία, ἢ τὸ σῶμα. καὶ τοῦτο διαιρετέον ταῖς ἀντικειμέναις διαφοραῖς, τῷ ἐμψύχῳ δηλαδὴ, καὶ ἀψύχῳ. ὧν τὸ μὲν οἰκεῖον ἀεὶ προσλαμβάνοντες, τὸ δὲ ἀλλότριον ἀποβάλλοντες, μέχρι τῆς ἐσχάτης διαφορᾶς, τῆς ἀντιστρεφούσης τῷ ἀνθρώπῳ, συνιστάμεθα ἐκ τούτου τὸν Ὁρισμὸν ὅλον τοῦ ἀνθρώπου ὡδί. ὁ ἄνθρωπος ἐστὶ σῶμα ἔμψυχον αἰσθητικὸν λογικόν. Ἐπεὶ δὲ πάντα τὰ ἀνωτέρω περιέχεται ἐν τῷ προσεχεῖ γένει, διὰ τοῦτο ὡς τὰ πολλὰ ἐκ τοῦ προσεχοῦς γένους, καὶ τῆς ἐσχάτης διαφορᾶς, σύγκειται ὁ ὁρισμός. οἷον ὁ ἄνθρωπος ἐστὶ ζῶον λογικόν. Συνθετικὴ δέ ἐστιν ἡ ἐκ τῆς συναγωγῆς τῆς οὐσιωδῶς κατηγορουμένων κατὰ πάντων τῶν ὑπὸ τὸ ὁριζόμενον, ἀποτελοῦσα τὸν ὁρισμὸν ἐκείνου. Εἰς παράδειγμα ταύτης κείσθω ζητούμενον ὁ ὁρισμὸς τοῦ ἵππου. Πρῶτον τοιγαροῦν ληπτέον τὰ τοῖς καθ' ἕκαστα ἵπποις προσήκοντα. οἷον τὸ εἶναι σῶμα ἕκαστον τούτων ἔμψυχον, αἰσθητικὸν, χερσαῖον, τετράπουν. ἅπερ εἰ καὶ ἄλλοις παρὰ τοὺς ἵππους προσήκει, ζητέα ἐστὶ τίς διαφορὰ μόνοις τοῖς ἵπποις προσήκουσα, οἷον τὸ χρεμετιστικὸν, ἐξ ὧν συνάγεται ὁ ὁρισμὸς τοῦ ἵππου. Κἂν τύχῃ ὂν εἶδος ὑπάλληλον τὸ ὁριζόμενον, συναγαγόντες πάντα τὰ προσήκοντα τοῖς ὑπ' ἐκεῖνο εἴδεσιν, ἀποβάλλομεν τὰ ἴδια ἑκάστῳ, καὶ ἐκ τῆς λειπομένων ἅττ' ἐστὶ κοινὰ πᾶσι τοῖς εἴδεσιν, ἀπαρτίζομεν τὸν ὁρισμὸν τῷ ὑπαλλήλῳ εἴδει.

Δεῖ-

(1) Ἤτοι μέσον.

" Τὸ δὲ φιλοσόφου πάσχειν ἄρχει, ἀπ' ἀξίας ἔχον ὁδόν. ἔξεις δὲ δύο ὧν
ἡ διαλεκτικὴ λόγων γένη δέχεται λόγου· ἀποδεικτικοὶ ἢ διαλεκτικοί, ἢ
συλλογιστικοί, ἢ ἐριστικοί. ἀποδεικτικοὶμὲν, οἱ ἐκ τῶν ἀληθῶν ἀρχῶν
ἐπιτήδειοι μαθήσεως, ἢ ἐκ τῶν ἐκ τούτων δεδειγμένων δόξαν παρεμποιοῦντες,
δι' ἣν αἰτίαν ἐπιστήμη γίνεται· διαλεκτικοὶ δέ, οἱ ἐκ τῶν ἐνδόξων ἀρ-
χικαὶ ἀποφάσεως ἀντιφάσεως· συλλογιστικοὶ δέ, οἱ ἐκ τῶν δοκούντων διὰ συλλογι-
σμοῦ, ἢ ἀναγκαίων λόγου τῶν συνεπομένων ἔχοντα ἢ ἀντίστροφον, οὗτος
συνδὲ, ἀντίστροφος συλλογισμός· ἐριστικοὶ δέ, οἱ ἐκ τῶν φαινομένων ἐνδόξων,
μὴ ὄντων δὲ, συλλογιστικοὶ, ἢ φαινόμενοι συλλογιστικοί.

Δεύτερον ἐστὶ λαβεῖν ἐκ τῆς εἰρημένων ὅτι ὁ Ὁρισμὸς, ἐπειδὴ λόγος ἐστὶ δηλωτικὸς τοῦ ὁριζομένου, διὰ τῆς σαφεστέρων πάντως ἀποδοτέος, ἀλλὰ μὴ διὰ τῆς κατὰ μεταφορὰν λεγομένων, ἢ ὁμωνύμως σημαντικῶν, ἀλλ' ἐκ τῆς καθ' αὑτὰ λεγομένων, καὶ συνωνύμως, καὶ σαφεστέρων.

Τρίτον ἐπειδὴ τῆς ὅλης τοῦ ὁριζομένου φύσεως ἐστὶ δηλωτικὸς, περιέχειν πάντα δεῖ τὰ οὐσιωδῶς ἐκείνου κατηγορούμενα, ἀπὸ τοῦ ἀνωτάτου γένους μέχρι τῆς ἐσχάτης διαφορᾶς.

Περιεχομένων δὲ τῆς ἀνωτέρω πάντων ἐν τῷ προσεχεῖ γένει, ἀποχρῆ μόνον τοῦτο λαβεῖν ἐν τῷ ὁρισμῷ μετὰ τῆς ἐσχάτης διαφορᾶς. ὅσα δὲ παρὰ ταῦτα τῷ ὁρισμῷ προσήκοντα εἰσὶν, ἐν ἄλλοις εἴρηται. Ἐκ τῆς εἰρημένων τοιγαροῦν ἀνωτέρω σωίσγεται μὴ δίδοσθαι Ὁρισμὸν τῆς ἀνωτάτω γενῶν, οὔτε μὲν τῆς καθ' ἕκασα. τῆς μὲν ὅτι οὐκ ἔχουσιν ἀνώτερα γένη ἀφ' ὧν ὁρισθεῖεν. τῆς δὲ ὅτι οὐ σωίσταται διαφοραῖς οὐσιώδεσι, καὶ εἰδοποιοῖς.

Ἔκθεσις σωτομος.

ΠΕΡΙ ΣΟΦΙΣΤΙΚΩΝ ΕΛΕΓΧΩΝ.

Τέτταρα γένη εἰσὶ τῆς ἐπιχειρημάτων οἷς ἐν τῷ διαλέγεσθαι χρώμεθα, ὡς ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος διδάσκει. Διδασκαλικὸν, Διαλεκτικὸν, Πειρασικὸν, καὶ Ἐριστικόν. Καὶ διδασκαλικὸν μὲν ἐστὶ λόγος, ὁ μὴ ἐκ τῆς τοῦ ἀποκρινομένου δόξης, ἀλλ' ἐκ τῆς οἰκείων ἀρχῶν ἑκάστου τῆς ζητουμένων συλλογιζόμενος εἰς δεῖξιν τοῦ αὐτοῦ. Διαλεκτικὸν δὲ, λόγος ἐστὶν ὁ ἐκ τῆς ἐνδόξων ἑκάτερα συλλογίσασθαι τὰ ἀντικείμενα δυνάμενος.

Πειρασικοὶ δὲ λόγοι εἰσὶν, οἱ ἐκ τῆς δοκούντων τῷ ἀποκρινομένῳ, ἃ ὧν ἀναγκαῖον εἰδέναι διὰ τὴν Ἐπιστήμην ὧν ἐπαγγέλλεται συλλογιζόμενοι, περὶ ἧς τούτου πειρώμεθα. οὗτοι μέντοι ἐν τοῖς διαλεκτικοῖς λόγοις πλατύτερον λαμβανομένοις περιέχονται.

Τέταρτον εἶδος λόγων ποιοῦσιν οἱ ἐριστικοὶ, οἵτινες ἐκ τῆς φαινομένων μὲν ἐνδόξων, μὴ ὄντων δὲ, γίνονται συλλογιστικοὶ, ἢ μᾶλλον εἰπεῖν δοκοῦσι συλλογιστικοί.

Περὶ τοῦ πρώτου ἐδίδαξεν ὁ Φιλόσοφος ἐν τοῖς Ἀναλυτικοῖς. περὶ δὲ τοῦ δευτέρου, καὶ τρίτου ἐν τοῖς Τοπικοῖς. λείπεται ἄρα εἰπεῖν

ἐπὶ

ἐπὶ τοῦ παρόντος περὶ τοῦ τετάρτου. Ἔστι τοίνυν ὁ λόγος ἐνταῦθα περὶ τοῦ σοφιστικοῦ ζόπου τῆς ἐλέγξεως, ὃς καὶ ἐριστικὸς λέγεται.

Σκοπὸς τῆς γνώσεως τῶν σοφιστικῶν λόγων.

Ἡ Γνῶσις τῆς ἐριστικῶν ἐπιχειρημάτων, εἴπουν τῆς σοφιστικῶν παραλογισμῶν, παραδίδοται ἐπὶ τοῦ παρόντος πρὸς τοῦ Φιλοσόφε, οὐχ ἵνα τούτοις χρησώμεθα ἐν ταῖς Ἐπιστήμαις, ἀλλ' ἵνα εἰδότες τούτους, διαγνῶναι ῥᾳδίως, καὶ ἀποκλίνειν ἔχωμεν ἐν ταῖς (1) συζητήσεσιν. Ἐπιχειρεῖται ἡ πραγματεία περὶ σοφιστικῶν Ἐλέγχων. τοῦτο μὲν, ὅτι πάντες οἱ κατὰ σοφισὰς παραλογισμοὶ, ἐπὶ τὴν ἄγνοιαν ἀναφέρονται τοῦ ἐλέγχου. τοῦτο δὲ, ὅτι τὸ σκοπιμώτατον τέλος τῆς σοφιστῶν ἐστὶ, δόξαν περιποιήσασθαι τὸ δυνασθαι ἐλέγχειν τὸς προσδιαλεγομένους· ὡς που καὶ τοῦτο διδάσκει ὁ αὐτὸς ἐπὶ τοῦ παρόντος κεφαλαίου τρίτου.

Τί τὸ τέλος τῶν σοφιστῶν ἐν τῷ παραλογίζεσθαι.

Ἔστι τοιγαροῦν, οὗ σχάζονται οἱ Σοφισαὶ διαφιλονεικοῦντες, καθόλου μὲν δοκεῖν σοφοὺς εἶναι, μὴ ὄντας τῇ ἀληθείᾳ. τούτῳ ἀποδίδουσιν ἐγκρατεῖς γενέσθαι πάντε τούτοις, Ἐλέγχῳ, Ψεύδει, Παραδόξῳ, Σολοικισμῷ, καὶ (2) Ἀδολεσχίᾳ. μάλισα μὲν προαιροῦνται φαίνεσθαι, ἐλέγχοντες τοὺς προσδιαλεγομένους. τοῦτο δὲ ποιοῦσιν ὁπλοίκα διάτινος παραλογισμοῦ καταναγκάσωσι τούτους, ἀμφότερως διδόναι τὰ τῆς ἀντιφάσεως μέρια. Ἔστι γὰρ Ἔλεγχος, συλλογισμὸς ἀντιφάσεως, δι' οὗ σωζεται τὸ ἀντικείμενον τῆς θέσεως τοῦ ἀποκεινομένου. Ψεύδει δὲ περιποιοῦνται τινὶ τοιαύτῳ δόξαν, ἵνα διαψεύσασθαί τι προφανῶς καταναγκάσωσι τὸν προσδιαλεγόμενον. Παραδόξῳ δὲ, εἰς τὸ παράδοξόντι ἐγκεῖναι τὸν αὐτὸν ἄγοντες. Σολοικισμῷ δὲ, ὅταν ὁ προσδιαλεγόμενος ἀναγκάζηται, διὰ τὸν παραλογισμὸν σολοικίζειν, ἢ πολλάκις τὸ αὐτὸ μάτην ἐπαναλαμβάνειν ἐν τῷ αὐτῷ λόγῳ, ὅπερ ἐστὶν ἡ ταυτολογία. Διαιρεῖται δὲ γενικώτερον ἡ πραγματεία διχῶς. ὧν ἐν μὲν τῷ πρώτῳ μέρει ὁ Φιλόσοφος, τὰ εἴδη τῆς σοφιστικῶν ἐπιχειρημάτων ἐξηγεῖται. ἐν δὲ τῷ λοιπῷ τὰς λύσεις τῆς αὐτῆς παραδίδωσιν. ἡμεῖς δὲ ἐφ' ἑκάσου ζόπου ἐντιθέμενοι, καὶ τὴν λύσιν ἅμα ἐπισκοπῶμεν.

Τί

(1) Εἴτουν διαλέξεσιν. (2) Ἤτοι ταυτολογίᾳ.

Τί ἐςὶ παραλογισμὸς κ᾽ σοφισὰς, κ᾽ ποσαχῶς συμβαίνει γίγνεθαι.

ΠΑραλογισμὸς κατὰ Σοφισὰς, ἐςὶ λόγος ἐκ τῶν δοκούντων ἀληθῶν μὲν, μὴ ὄντων δὲ, φαινόμενος συλλογίζεθαι. Τούτου δὲ διττή ἐςὶ διαφορά. οἱ μὲν γὰρ παρὰ τὴν λέξιν ἐμποιοῦσι τὴν ἀπάτην, οἱ δὲ ἔξω τῆς λέξεως. Γίνονται δὲ παρὰ τὴν λέξιν Παραλογισμοὶ, ὁπλωίκα διὰ τὴν σύνθεσιν τῆς λέξεως, οὗ τι εἶναι καὶ τὰ δηλούμενα ὑπολαμβάνεται. Οἱ δὲ ἔξω τῆς λέξεως, ὁπλωίκα διὰ τὴν ὁμοιότητα ἁπλῶς οὗ τι εἶναι τὰ πράγματα ὑπολαμβάνεται. Τοῦ πρώτε μέρους ἓξ εἰσὶ ξόποι; Ὁμωνυμία, Ἀμφιβολία, Συνθεσις, Διαίρεσις, Προσῳδία, κ᾽ Σχῆμα λέξεως. Τοῦ δευτέρου μέρους, τῆς ἔξω δηλαδὴ τῆς λέξεως παραλογισμῶν, εἴδη εἰσὶν ἑπτά. Πρῶτον τὸ παρὰ τὸ συμβεβηκός. Δεύτερον παρὰ τὸ ἁπλῶς ἢ μὴ ἁπλῶς, ἀλλὰ πῆ, ἢ ποῦ, ἢ ποτὲ, ἢ πρός τι, λέγεθαι. Τρίτον τὸ παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν. Τέταρτον τὸ παρὰ τὸ ἑπόμενον. Πέμπτον τὸ παρὰ τὸ ἐν ἀρχῇ λαμβάνειν. Ἕκτον, τὸ παρὰ τὸ μὴ αἴτιον, ὡς αἴτιον τιθέναι. Ἕβδομον τὸ παρὰ τὰ πλείω ἐρωτήματα οὗ ποιεῖν.

ΠΕΡΙ ΟΜΩΝΥΜΙΑΣ.

ΤΩν παρὰ τὴν λέξιν ἐλέγχων σοφιςικῶν, πρῶτος ἐκτίθεται ὁ παρὰ τὴν ὁμωνυμίαν, (1) ὅςις ἐςὶ παραλογισμὸς προερχόμενος ἐκ τοῦ τὴν αὐτὴν λέξιν διαφόρων πραγμάτων εἶναι δηλωτικὴν, ᾧ κέχρηνται οἱ σοφιζόμενοι ἐπί τι ἄτοπον σωωθούμενοι τὸν προσδιαλεγόμενον. οἷον ὅτι μανθάνουσιν οἱ ἐπιςάμενοι, διὰ τὸ μανθάνειν ῥήματος (ὅπερ σημαίνει τὸ ξωιέναι χρώμενον τῇ Ἐπιςήμῃ, καὶ τὸ λαμβάνειν τὴν Ἐπιςήμην μὴ ἔχοντα) παραλογίζονται οὕτως. οἱ μανθάνοντες λαμβάνουσι τὴν ἐπιςήμην ὧν μανθάνουσιν, οἱ διδάσκοντες τὴν γραμματικὴν μανθάνουσι τὰ ἀποσοματιζόμενα τοῖς παισὶν, οἱ γραμματικοὶ ἄρα λαμβάνουσι τὴν Ἐπιςήμην τῶν ἀποσοματιζομένων τοῖς παισὶ μὴ ἔχοντες ταύτην. Σωωθοῦσι γὰρ διὰ τούτου τὸν προσδιαλεγόμενον εἰς τὸ ὁμολογῆσαι τὸν ἐπιςάμενον μὴ ἔχειν τὴν Ἐπιςήμην, ὧν ἐπίσαται.

(1) Ὁρισμὸς Ὁμωνυμίας.

Ἢ καὶ οὕπως. τὰ δέοντα εἰσὶν ἀγαθὰ, τὰ κακὰ εἰσὶ δέοντα, ἆρα τὰ κακὰ εἰσὶν ἀγαθά. Λύσις.

Ἡ ἀπάτη προέρχεται ἀπὸ τῆς ὁμωνυμίας ὡς εἴρηται. ἀπαντῶμεν δὲ πρὸς ταῦτα, διαιρέσει χρώμενοι τῆς ὁμωνύμου φωνῆς, τὸ μανθάνειν ἐπὶ μὲν τῆς μείζονος ὡς λαμβάνειν τὴν Ἐπιστήμην, ἐννοοῦντες μὴ ἔχοντα, ἐπὶ δὲ τῆς ἐλάττονος ὡς τὸ ξυνιέναι. Ἐπὶ δὲ τοῦ δευτέρου παραδείγματος ἀπαντῶμεν διαιροῦντες τὰ σημαινόμενα τῆς τοῦ δέοντος φωνῆς. τὸ γὰρ δέον δηλοῖ τὸ πρός τι χρήσιμον, δηλαδὴ τὸ προσῆκον, καὶ τὸ ἀναγκαῖον. ἐπὶ μὲν οὖν τῇ ἐλάττονι προτάσει τῇ λεγούσῃ τὰ κακὰ εἰσὶ δέοντα, τὸ δέον ἀντὶ τοῦ χρησίμου παρείληπται. χρημάτων γὰρ ἀφαιρέσεις καὶ καθαίρξεις, καὶ μάσιγες, καὶ τὰ τοιαῦτα, καθ' αὑτὰ ὄντα κακὰ, χρήσιμά ἐσι πρὸς τοὺς δεομένους σωφρονισμοῦ. ἐν δὲ τῇ μείζονι προτάσει τὸ δέον ὡς καθ' αὐτὸ ἀγαθὸν, καὶ οὕπως ἐκ τῆς ὁμωνυμίας χώραν ἔχει ὁ παραλογισμός. Χρὴ τοίνυν ἐπὶ τῆς ὁμωνύμων (1) διασέλλειν τὰ σημαινόμενα, καὶ οὕπω πρὸς τὸν Σοφισὴν ἀποκίνεῖσθαι.

ΠΕΡΙ Ἀ ΜΦΙΒΟΛΙΑΣ.

Μετὰ τὴν ὁμωνυμίαν περὶ ἀμφιβολίας ποιεῖται τὸν λόγον ὁ Φιλόσοφος, ὅτι συγγενεῖς εἰσὶν ἀλλήλαις. ἔσι δὲ ὁ παρὰ τὴν ἀμφιβολίαν παραλογισμὸς, ὁ παρὰ τὴν διάφορον σημασίαν τοῦ λόγου ποιῶν τὴν ἀπάτην, ἢ διὰ τὴν συνταξιν, ἢ τι τοιοῦτον ἕτερον. οἷον τὸ τύπτειν τὸν πατέρα τοὺς παῖδας οὐκ ἀπρεπὲς, ὁ Φιλιππίδης Στρεψιάδου ἐσὶ παῖς, ἆρα οὐκ ἀπρεπὲς τύπτειν αὐτόν. ἢ καὶ οὕπως. τὸ βιβλίον ἐσὶ τοῦ Πλάτωνος. τὸ τινὸς ὂν ἐκείνου ἐσὶ κτῆμα. τὸ βιβλίον ἄρα ἐσὶ τοῦ Πλάτωνος κτῆμα. καὶ οὕτως. ὃ, τὶς ὁρᾷ, τοῦτο ὁρᾷ. ὁρᾷ δὲ τὸν κίονα, ἆρα ὁ κίων ὁρᾷ. Λύσις.

Ἐν τοιούτοις παραλογισμοῖς, ἐπὶ μὲν τοῦ πρώτου ἡ ἀπάτη προέρχεται ἀπὸ τῆς ἀδιαφορίας τοῦ ἀπαρεμφάτου ῥήματος. δυνατὸν γὰρ ἐκλιφθῆναι, ὡς τὸν πατέρα ἐνεργοῦντα, καὶ τύπτοντα τοὺς παῖδας, ἢ καὶ ἀνάπαλιν. Ἐπὶ δὲ τοῦ δευτέρου ἐν μὲν τῇ μείζονι ἡ γενικὴ πτῶσις δεσπότου καὶ κύριον σημαίνει, ἐπὶ δὲ τῆς ἐλάττονος Συγγραφέα. διάφορος ἄρα ἡ σημασία τούτων, ὅθεν ἡ ἀπάτη. Ἐπὶ δὲ τοῦ τρίτου, ἐπὶ μὲν τῶν προτάσεων, εἰ μέλλουσιν ἀληθεύειν, τὸ, ὃ, καὶ τὸ, τοῦτο, αἰτιατικῆς εἰσὶ πτώ-

(1) Χωρίζειν.

πτώσεως, ἐπὶ δὲ τοῦ συμπεράσματος εἰς ὀνομαστικὴν μεταλαμβάνεται πτῶσιν. διάφορον ἄρα ἀποτελοῦσι σημασίαν ἐπὶ τῆς προτάσεων τῆς ἐν τῷ συμπεράσματι, ὅθεν ἡ ἀπάτη. Διαιρετέον τοιγαροῦν πρὸς τοὺς τοιούτους ἀποκεινομένοις κατὰ τὴν διάφορον σημασίαν τοῦ λόγου. καὶ καθ' ἣν μὲν ὀρθῶς ἔχει τὸ λεγόμενον παύτην ἐγκείνουσι, τὴν δὲ λοιπὴν ἀποπαιμένοις. ἴδαι.

Τρεῖς παραδίδωσι τρόπους ὁ Φιλόσοφος τῆς παρὰ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν παραλογισμῶν. ὧν ὁ μὲν ἐστὶν ὅταν ὁ λόγος, ἢ τοῦτο κυρίως σημαίνει πλείω. Δεύτερον ὅταν εἰωθότες ὦμεν οὕτω λέγειν. Καὶ τρίτον ὅταν τὸ συντεθὲν πλείω σημαίνει, ὅπερ κεχωρισμένον οὐ τι σημαίνει. Παραδείγματι τὰ λεγόμενα γίνεται πρόδηλα. Ἐπὶ μὲν τῆς ὁμωνυμίας πρόδηλα τὰ εἰρημένα. ἐπὶ δὲ τῆς ἀμφιβολίας εἴρηται, καὶ νῦν ἔσω τοιοῦτον. τὸ ληφθῆναί με τοὺς πολεμίους τὴν νίκην μοι περιεποίησεν. οἱ Τρῶες εἰλήφθησαν τοῖς πολεμίοις Ἕλλησιν, ἄρα τοῦτο ἐκείνοις τὴν νίκην περιεποίησεν. Ὁ δεύτερος τρόπος ἐπὶ τῆς κατὰ μεταφορὰν λεγομένων σωΐζεται. φαμὲν γὰρ μεταφέροντες πόδας κλίνης, καὶ ὄρους πόδας, καθὰ ὁ παραλογισμὸς συμβαίνει οὕτως. τὰ πόδας ἔχον βαδίζει. ἡ κλίνη, ἢ τὸ ὄρος ἔχει πόδας, ἄρα βαδίζει. Ἢ καὶ οὕτως. ἡ Ἑκάβη γλωὴ Πριάμου ἐστί. ἡ πρώτη τῆς τραγῳδιῶν Εὐριπίδου ἐστὶν Ἑκάβη, ἄρα ἡ πρώτη τῆς τραγῳδιῶν Εὐριπίδου γλωὴ Πριάμου. Τοῦ τρίτου ἐστὶ παράδειγμα τὰ ἐκτεθέντα ἐν ἀρχῇ, μάλιστα τὸ πρῶτον. ἀλλὰ καὶ ἔτι. τὰ γράμματα καθ' ἑαυτὰ δεδόσθω οὐτι σημαίνειν, ὡς καὶ τὸ ἐπίστασθαι, συντεθέντα δὲ διττὴν ποιεῖ σημασίαν. οἷον λέγεται Σωκράτην γράμματα ἐπίστασθαι. ἔστι γὰρ εἰπεῖν Σωκράτης ἐπίσταται γράμματα, ἢ τὰ γράμματα ἐπίσταται τὸν Σωκράτην.

Διενηόχε δὲ ὁ παρὰ τὴν ὁμωνυμίαν τοῦ τρόπου τοῦ παρὰ τὴν ἀμφιβολίαν, ὅτι ὁ μὲν παρὰ τὴν ὁμωνυμίαν ἐξ αὐτοῦ τοῦ ὀνόματος διάφορα σημαίνοντος τὴν ἀπάτην εἰσάγει. ὁ δὲ παρὰ τὴν ἀμφιβολίαν ἐκ τοῦ λόγου ποιεῖται τὴν πλάνην, δηλοῦντος οὐχ οὗ, ἀλλὰ πλείω. ἐκληπτέον δὲ λόγον ἐνταῦθα τὴν τῆς λέξεων σύνταξιν, ὄνομα δὲ τὴν λέξιν ἁπλῶς.

Περὶ τῶν κατὰ συνθεσιν Παραλογισμῶν.

Η Συνθεσις παραλογισμός ἐστι, προερχόμενος ἐκ τοῦ συνθεῖναι τῇ λόγῳ, ἅπερ ἐπὶ τῆς πραγμάτων ἀντιδιαιρέλεται. ἔστιν ἄρα Συνθεσις ἐπὶ τοῦ παρόντος δύο ἀντικειμένων ἐννοιῶν ἐν τῇ αὐτῇ ἕνωσις. οἷον δυνατόν ὁ καθήμενος βαδίζειν, ὁ Σωκράτης κάθηται, ἄρα ὁ Σωκράτης καθήμενος δυνατόν βαδίζειν. οὕτω καὶ ὁ γράφων, μὴ γράφειν, καὶ ὁ λέγων, μὴ λέγειν.

Ἐπὶ τῆς τοιούτων τοιγαροῦν παραλογισμῶν, εἰ μὲν ἐννοεῖται τὸ καθήμενον, δυνάμιν ἔχειν τοῦ περιπατεῖν, καὶ τὸ γράφον τοῦ μὴ γράφειν, καὶ ἐπὶ τῆς ἄλλων ὁμοίως, οὐδὲν ἄτοπον ἕπεται. ἅμα γὰρ ἐνεῖναι τῇ αὐτῇ, τοῦ μὲν ἑτέρου τῇ αὐτικειμένων τὴν ἐντελέχειαν, τοῦ δὲ λοιποῦ τὴν δύναμιν μόνην, κατὰ φύσιν ἐστὶν ἐπὶ τῆς ἐνύλων καὶ φυσικῆς. ἐὰν δὲ ἐννοεῖται τὸν καθήμενον δυνατὸν ἅμα εἶναι καὶ περιπατεῖν, ὡς ἅμα ἐνεῖναι τὰς δύο αὐτικειμένας ἐντελεχείας τῇ αὐτῇ, κάθησιν δηλαδὴ καὶ βάδισιν, ἀπάτη καὶ παραλογισμὸς γίνεται σοφιστικός. πρὸς ὃν ἅπαντα δεῖ, διαιροῦντας τὸν εἰρημένον τρόπον τὰς ἐντελεχείας, καὶ διδόντας μὲν σωημμένην τὴν θατέρου ἐντέλεχειαν τῇ θατέρου δυνάμει, αἱροῦντας δὲ τὴν σωάφειαν τῆς ἑκατέρων ἐντελεχειῶν. Παραδείγματα τοῦ κατὰ σύνθεσιν παραλογισμοῦ ὁ Ἀριστοτέλης πλείω συντίθεται. ἡμῖν δὲ ἀρκέσει δεύτερον τουτί. Ὁ δυνάμενος κομίσαι ὅσα ἵππος κομίζει, ἰσχύει ὅσα ἵππος. ὁ παῖς δύναται κομίζειν ὅσα ὁ ἵππος κομίζει, ἄρα ὁ παῖς ἰσχύει ὅσα ὁ ἵππος. Ἐπὶ τῆς μείζονος τῷ παραλογισμοῦ τούτου ἀληθεύει ἐννοούμενον, ὡς ὁ παῖς παρὰ μέρος καὶ κατὰ μικρὸν δύναται κομίσαι ὅσα ὁ ἵππος. ὁ δὲ σοφιστὴς ἐπὶ τῆς ἐλάττονος συνάπτει εἰς σὺ τὸ τοῦ ἵππου φορτίον, κομιζόμενον δηθεν ὑπὸ τοῦ παιδός, ὅπερ οὐκ ἀληθές.

ΠΕΡΙ ΔΙΑΙΡΕΣΕΩΣ.

Διαίρεσις ἐστὶ παραλογισμὸς ἀντικείμενος τῷ παρὰ τὴν συνθεσιν, προερχόμενος ὑπὸ τοῦ διαιρεῖν ἐπὶ τῆς λέξεως ἃ συντιθέναι δεῖ, οἷον τὰ δύο καὶ τρία εἰσὶ περιττὰ καὶ ἄρτια, τὰ πέντε εἰσὶ δύο καὶ τρία. ἄρα τὰ πέντε εἰσὶ περιττὰ καὶ ἄρτια. Η ἀπάτη ἐστὶν ἐν τούτοις ὅτι τὰ

δύο

ἐν ταυτῷ ἀποφάσεις ἢ ζώνου περὶ δὲ ὁρίσθ' ἀνθρ: λαμβάνῃ περὶ τὸ ὄφις καὶ τὸ ἀνθρώπου ἢ μὴ ἀνθρώπου φαμὲν εἶναι. τὸ αὐτὸ ἐστιν ἢ ἐστὶ ἕτερον ἀπ ἀνθρώπου τὸ δὲ ἐστὶ μεμίχθαι ἐφεξῆς λέγεται. ἐνεργείᾳ, ὡς ὁ περιπατῶν, καθ' ἕξιν ὁ πεπαιδευμένον ἢν ἐνεργείᾳ. ἆρ' ἔστι καὶ ἀδύνατα ἢ ὁ δύνατα ἀναγκαῖον (ὁ ἀναγκαῖος ἀναιρεῖται καὶ τὸ καθόλου) οὐδὲ ἱερός; δόξα ἀληθὴς ἀληθὲς ἀεὶ ἀφαίρουσι ἀφαιρεῖ ἢ καὶ τὸ ἐργαστικὸν ἀεὶ ἢ δυνάμεως ἢ καθ' ἑαυτά. ἢ ἀεὶ ἐργω: συμβεβηκὸς δαιμονῶ, ὡς ἢ ἡ ἀληθὴς ἐπιστήμη ὁ ἀναγκαῖον καθ' ἑαυτὸ ἀεὶ ἀφαιρεῖ. ὅς τὸ ἀναγκαῖον, ἀναγκαῖον καὶ περὶ ἀεὶ ἐνδέχεται. τὸ ἐναντίον ἐστὶν ὄντων, μαρτυρεῖ: τὸ ἐγκαλεῖν ἄνθρωπον τὸ σοφὸν εἶναι ἀνθρώποις ἀποφάσεις, ἀλλ' ἢ εἶναι ἐστὶ. ὁ ὀρθῶς μὴ ἄνθρωπον, ἢ εἶναι ἐστὶ. ἢ οὐκ ἀνθρώπου ὁ μὴ ἄνθρωπον ὡς ἄνθρωπον. ἀναγκαῖον ἢ περὶ τὸν ἀληθεύοντα, καθὸ ἀληθεύει ἐνδέχεται ἀναγκαῖον τὸ καθόλου: ὁ δ: ἢ ὁδὶ οὐκ ἱερός, οὐδὲ ἀναγκαῖον, οἱ ἱεροὶ ἄρα οὐκ ἀναγκαῖον. ὀνειδίσιος ἐναντία περὶ ἓν εἶναι. ὀνειδίσιος ἐν σοφὸς, ἄρα οἱ σοφοὶ ἀναγκαῖον περὶ ἓν εἶναι. ἢ τὸ ἐπιστάμενον ἐν ἢ τὸ πεπιστευμένον σοφόν. ἢ τὸ καθόλου ἐν τὸ ἐπιστάμενον σοφόν. καὶ ἐλεγόμενα ὅλων ἀ σοφ: ἐπὶ ἀναιρέσεων ἀφαιρεῖσθαι ἢ καὶ ἐπιστήμη. ἀεὶ ἐν ἐνδέχεται καὶ σοφόν. ἀεὶ ἐστὶ καὶ ἄλλα. ἢ ἀμφοτέρως διῃρημένοις. ἢ σωφρονικὸν ἐστὶ ἢ περιφορέσεως.

,, ζωαζου τῶν ὄντων σοφία ἐγκ κατηγορί. τοῦτο ἀστρ ἐστὶν ἢ τόδε ὄστρ ἐστὶν ἢ ὅλοι πᾶν τὸν ἐαυτὸ κόσμον, ἢ ἀνορία ἔλη δὲ ἥλιον σαῦρ κρὶς σοφὸς ἢ ὁ σωμ: ὁμόνοις, ἢ μὴ ὁμόνοις. ὁ δὲ φιλ: ὁσαῦν ἢ μὴ σαῦν. ὁ ἐστιν ἢ: ἥλιος ὁ ὄστρ μὺ ἐστὶν ἡμέρα. ἢ ὁ ἐστιν ἡμέρα ἐστὶν ἥλιος. ὁ ἥλιος ἀν: ἥλιον, ἢ ἡμέρα ἀληθὲς ἢ σαρκασμὸς ἥλιον ἢ ἀνάγκης ἀληθοῦ. ἀρνᾶ ὡς μὴ νοῦ σοφίας χάριν
μόσος θεωτὸς ἢ ἀστρονοτ ἢ ἀνθρωπὸ ὁ μορί ὀρθαλμῶν μορί. νὰ ἐσοβγραφῆς, ἐσὺ ἢ σωκράτης.
κοιχίλα οἱ σοφισταὶ. ἢ ἀ θεμροφὴ ἀρνᾶ φύσα, ἀλλ' ἢ σωκράτης ἢ σωφροσύνη. ἀρ' ὅδρ νὰ ἐσοβγραφῆς, ὡς ὁ ἥλιον ἢ ἀληθοῦ, ἢ νὲ ἡθικῶν ὄντων. νὰ ἄρα μόνοις ὁμοίς σοφὸς. ἐσὺ ἢ ὁμὸς ὁ ἄρης ὁμοίς νὰ σοφὸς, ὡς ὁ σωκ ἐσοβγραφῆς ὁμοίς ἡθικῶν, ἔδω ἢ ὁ ἡδὺς ὁμὸν σωφρονῆς ὁμοίς ὅμως σοφὸς ἄλλος ἢ ἀληθὲς ἥλιον ὁμόνοιαν ἢ σωκράτης ὁ ἀληθοῦ μὴ ἄλλος ἢ ὁ ἄλλος. ἢ βουλὴ ἢ σωκράτης ἀστρονομῶ, ἔδω ἢ ἀστρονοτ ὁμὸν βουλήν.

" ἀπὸ ἐφ᾽ ὧν ἀπέστησε, ἀλλ᾽ ὅλη τὴν ἀνθηφαρβάνεσ᾽ ὧν ἐξωθεν ἀναφθόνος.
" ἐπιτηδεῖον ὧν ἄλλων τὰ δὲ ὄφρα σπαίρει ἀλλ᾽ ἄλλα ἄλλων σαλῆς πεδίνη
ἀναπολήσιν.

" πεδίνη σιγμὴν ἐπάρσεως . μονὰς ἀφελὴ ἀριθμοῦ.

" ἀν᾽ ἐμπλέκων ὄφιν σεσὶ ὀνομαστικὴν, ἐπὶ ὧν σεσὶ ἢ σεσὶ γαμβοειδῆ φέρε
ἢ σκαφοειδῆ μὲν σέφε σεσὶ ὄφιν, δὲ σπόγγε σεσὶ φρίον ἢς λεπ:
φαγὲ σεσὶ ἥσον. ἀπὸ δὲ ἂν ἐπεπλάνησε ἢ ἔμπαλον. ἀπὸ δὲ δὰ σέφε
σπέμπε ἢ μᾶλλον. ἔνθα ἂν μὴ πάσιφο ὄνομα, δὰ ὀνομαλοσαιόν, ὡς
ἀπὸ ἰὼν ἐκμηκὼν ὀργάν. ἀ μὲ ἄκλινα μεταμπέσεφε. ὄθεν ἀπὸ ἄθλων ἀ:
ναμπὼν ἢ ὀνομαλοσαιόν, ἐξαὶ ἀπὸ σκαλῶν. ἐ μόνον ἀπὸ ἰὼν μὴ ἐ:
χούλων, ἀλλὰ ἐ ἀπὸ ἰὼν ἐχούλων ἐμὲ ἢ ἀνθεσφὲ, μὴ μπορὲν ὁ πᾶ
ἢς ἀναδόσεως. " ὄμπαμεν ἐ ἐπὶς ἐπέφορὸν πεδὸ ἰὼν μὴ σεσὶ μπ:
πὼν ἰὼ δὲ σεσὶ δολπὸν, πεδὶ ἀπὸ ἢ μπι ὄφιν ἀφίπαν ἢ ἔπαυξὴ ἀλδὸν ἢ
ἀπέφε, ὁ μὲ ἀπὸ ἐπεπλάνησε ἀπέφεν σπαίρει ἰὼ σεσὶ. ἀδὲ ἐπὶ ἐπὶ ἄνα
σπαίρὸ ἐπέφεν. ἢ ἀνθεσφὲ ἐπεμπὸ ἢν ἀναδόσεν / ὀκμόμενος πεπάσε
ἢν ἐπερφὴν ἔμπαλ ἐπάνω. ἐδόμαφ δὲ ἄσπὸ ἀπάνθην ἀπὸ σπέμπε:
σπέφε σπέφε. ἀπὸ μπὶ ἰὸ ἔμπον ἀπέσπὶ, πεφεμπὸν ἰὸ ἔμπον πεφεμπέν.
πεπὸ μπέσε σπαπὶν σεσὶ ὄμπον ἀπάσον ἰὸ ἀπέσπὶ ἰὸ σπάπεμπον, πεπὸν
ἀπὶ φέσπ ἰὸ ἀφέσπ. ÷


» Τὸ καλὸν καὶ τὸ ἀγαθὸν καὶ ἀφέλιμον ἐστὶ τῷ ἀνδρὶ· τὸ δὲ καλὸν καὶ τὸ φρόνιμον, καὶ ἀφέλιμον τὸ δοῦλόν ἐστιν ἀγαθόν. καὶ τὸ μὴ μεμφόμενος ὁμοίως δίκαιόν ἐστιν. τὸ καλὸν μεμφόμενος ἅμα τὸ δοῦλὸ φρόνιμον καὶ ἀφέλιμον, ἐστὶν ἀγαθόν· μὴ μεμφόμενος ἅμα τὸ δοῦλὸ φρόνιμον, καὶ ἀφέλιμον, ἐστίν δίκαιον. οὐκ τὸ μὲν ἀναγκαῖον τῆς καλοκαγαθίας ἔργόν ἐστιν, τὸ δὲ τῆς καλοκαγαθίας δικαίωμα.

» Ὑπὸ δὲ τῶν ἐναντίων φύσει καὶ τὰ ἐξ ἀνάγκης φαινόμενα ἐναντία ἀποδείκνυται· ὥστε τὰ μὲν ἀναγκαῖα ὑπάρχειν ἀναγκαῖον, τὰ δὲ φαινόμενα ἐναντία ἀδύνατον· οἷς καὶ ἀπόδοσις, ἅμα καὶ παραδόξως καὶ λύσις ὁ ἐμπεδοκλέους χρῆται περὶ τῆς ἀναλήψεως τῶν ὄντων, ἀσαφῶς ἐστὶ λεγόμενος. τάδε μὲν ὧν λέγω, ὅμοι σοὶ πάντων ἀκούσαντος.

ἐκ καλὸν ἀναφέρεται, καλὸν ἄνεται ἀναφορᾶς.

» ἀνάγκαιον ἅμα μὴν καὶ ἀναγκαῖον καινὸν μὴν καὶ ἀναγκαῖον,

ου ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, τὸ δὲ φῶς τοῦτο ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν, ἦ ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγεν λέγων· οὗτος ἦν ὃν εἶπον· ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος· ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. θεὸν οὐδεὶς ἑώρακεν πώποτε· μονογενὴς θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο. καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας ἵνα ἐρωτήσωσιν αὐτόν· σὺ τίς εἶ; καὶ ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι· ἐγὼ οὐκ εἰμὶ ὁ χριστός. καὶ ἠρώτησαν αὐτόν· τί οὖν; σὺ Ἠλίας εἶ; καὶ λέγει· οὐκ εἰμί. ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη· οὔ. εἶπον οὖν αὐτῷ· τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ; ἔφη· ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης. καὶ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων· καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπαν αὐτῷ· τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προφήτης; ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, ὁ ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν ὁ Ἰωάννης βαπτίζων. τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός ἐστιν ὑπὲρ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν· κἀγὼ οὐκ ἤδειν αὐτόν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων. καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων· τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ καὶ ἔμεινεν ἐπ' αὐτόν· κἀγὼ οὐκ ἤδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ. καὶ ἤκουσαν οἱ δύο μαθηταὶ αὐτοῦ λαλοῦντος καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας λέγει αὐτοῖς· τί ζητεῖτε; οἱ δὲ εἶπαν αὐτῷ· ῥαββί, ὃ λέγεται μεθερμηνευόμενον διδάσκαλε, ποῦ μένεις; λέγει αὐτοῖς· ἔρχεσθε καὶ ὄψεσθε. ἦλθαν οὖν καὶ εἶδαν ποῦ μένει καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα ἦν ὡς δεκάτη. ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ· εὑρίσκει οὗτος πρῶτον τὸν ἴδιον ἀδελφὸν Σίμωνα καὶ λέγει αὐτῷ· εὑρήκαμεν τὸν μεσσίαν, ὅ ἐστιν μεθερμηνευόμενον χριστός. ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς εἶπεν· σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀκολούθει μοι. ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· ὃν ἔγραψεν Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται εὑρήκαμεν, Ἰησοῦν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. καὶ εἶπεν αὐτῷ Ναθαναήλ· ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; λέγει αὐτῷ Φίλιππος· ἔρχου καὶ ἴδε. εἶδεν Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει περὶ αὐτοῦ· ἴδε ἀληθῶς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστιν. λέγει αὐτῷ Ναθαναήλ· πόθεν με γινώσκεις; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. ἀπεκρίθη Ναθαναὴλ καὶ λέγει αὐτῷ· ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ὅτι εἶπόν σοι ὅτι εἶδόν σε ὑποκάτω τῆς συκῆς πιστεύεις; μείζω τούτων ὄψῃ. καὶ λέγει αὐτῷ· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.



ισμὸς ἐπὶ
α, ὅτι μὴ
τερον εἶδος,
τὰ δύο καὶ
τοσοῦτον ὅ-
αττον, καὶ
ταῦ (1) κ


τῆς διαφό-
γινομένης.
ἃ δύο ἦσαν
τὸν ἕτερον
ωδίαν. καὶ
σα δημω-
ὑπερείδων
τοιού-
ίας. οἱ δὲ


γισμοῦ.


λήκτοις, ἢ
εἰδὸν ἐπειδὴ
εἰ τὸ ποιεῖν
τούτων οὐ
σημασίαν


Ο' κα-
τὸ ἴσον. τὸ
ἐννοῆσαι φῶς
άβωμεν, φῶς
ημμένως λαμ-
τὸ ἴσον μεῖ-
ἐννοεῖ τὸ ἴσον

ποφ
Εὐκ
Προ
Ε'ρα
Λιτι


Γένος Πρῶτ. συμπλοκῆς.
Καθ' ὁμωνυμίαν, τὸ ὅμοιον ὁμοίῳ ὅμοιον.
Καθ' ὑπεροχὴν καὶ ἔλλειψιν.
Πολὺ ἢ ὀλίγον.
Μέγα ἢ μικρόν.
Μεῖζον ἢ ἔλαττον.
Κατὰ τὸ ἄρχον ἢ ἀρχόμενον. δεσπότης, ἢ δοῦλος.
Τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν.
Γεῦσις γευστῆ γεῦσις.
Ὄρασις ὁρατῆ ὅρασις.
Ἀκοὴ ἀκουστῆ ἀκοή.
Ὄσφρησις, ὀσφραντῆ ὄσφρησις.
Ἁφὴ ἁπτοῦ ἁφή.
Κατὰ τὸ κεῖνον ἢ κεινόμενον.
- - - - - - ἐπιστήμη.
Καθ' ἑτερωνυμίαν.
Κατὰ τὸ μετέχον ἢ μετεχόμενον. ὡς ὁ ὑπστήμων τῷ μετέχειν ὑπστήμης λέγεται ὑπστήμων.
Κατὰ τὸ αἴτιον ἢ αἰτιατόν.
Φύσει, πατὴρ υἱοῦ πατήρ.
Οὐ φύσει, ποιητὴς ποιήματος.
Κατὰ τὸ ποιεῖν ἢ πάσχον, ὁ τύπτων τυπτόμενον τύπτει.
Κατὰ τὴν ἐν τόπῳ διαφορὰν, δεξιὸς ἀριστερᾶ δεξιόν.


Γένος Δεύτ. συμπλοκῆς.
Ἐνεστὼς, νυῦν, ἀμερές.
Παραλληλυθός.
Παρατατικόν.
Παρακείμενον.
Ὑπερσυντέλικον.
Ἀόριστον.
Μέλλον.
Μετ' ὀλίγον μέλλων.
Ἁπλῶς μέλλων.
Γένος Πᾶ χρυσικώτατον.
Ἄνω.
Κάτω.
Δεξιόν.
Ἀριστερόν.
Ὄπισθεν.
Ἔμπροσθεν.


Γένος Πᾶ συμπλοκῆς.
Ἁπλανῆ.
Οὐράνιον.
Πλανώμενα.
Κρόνος.
Ζεὺς.
Ἄρης.
Ἥλιος.
Ἑρμῆς.
Ἀφροδίτη.
Σελήνη.
Ἐπίγειον.
Καταχθόνιον.
Ποιεῖν.
Πρὸς ἑαυτὸ, καθ' ἣ ψυχὴ γινώσκει ἑαυτήν.
Ἢ πρὸς ἕτερον, καθ' ὃ φαμὲν ὅτι τὸ πῦρ θερμαίνει.
Ἢ ἄλλως Ποιεῖν.
Καθ' ὁρμήν.
Λογικὴ ὡς ὑπὸ τῆς ψυχῆς.
Ἄλογος, ὡς ὑπὸ τῶν κωφῶν ὑλακῆς.
Καὶ κατὰ φύσιν.


Πάσχειν.
Τὸ εἰς φθορὰν, ὡς τὰ ξύλα καιόμενα.
Τὸ εἰς τελειότητα, ὡς τὰς αἰσθήσεις ὑπὸ τῶν ἰδίων αἰσθητῶν.
Πάσχειν
Φθαρτικόν.
Κατὰ σῶμα, ὡς τὸ σῶμα καιόμενον.
Κατὰ ψυχὴν, ὡς ὑπὲρ τῆς ἀγνοίας.
Τελειωτικόν.
Κατὰ σῶμα, ὡς τὸ ὁρᾶν.
Κατὰ ψυχὴν, ὡς τὸ μανθάνειν.

Ὡς ὅλον ἐν ὅλῳ, ὡς ὁ χιτὼν.

Ὡς ὅλον ἐν μέρει, ὡς τὰ σανδάλια.

Ὡς ὅλον ἐν μορίῳ, ὡς ὁ δακτύλιος.

νεται τοῦ ὁρισμοῦ τοῦ ὑποκειμένου
ς.

ὁρισμῷ τὸ ὑποκείμενον παρα-
ιν.

ά.

ἄμεσα, ὡς πρωτὸν, ἢ ἄρτιον.

ἔμ-
ῶν,


Τὰ μὲν ἀμφότερα τῷ ὑποκειμένῳ ἀπεῖναι δυνατόν.


Τὰ δὲ ἀνάγκη τὸ ἕτερον φύσει παρεῖναι τῷ ὑποκειμένῳ ἀφωρισμένως.


Καὶ τούτων


Τὰ μὲν ἔχει τὰ μέσα ὠνομασμένα.

Τὰ δὲ οὐκ ἔχει τὰ μέσα ὠνομασμένα, ἀλλὰ τῇ τῶν ἄκρων ὑποφάσει διωρισμένα.


Γένος Ποσὸν ἐσι γραμμικώτατον.
Ἀμερές.
Στιγμή.
Νεῦ.
Κίνημα.
Μεριστόν.
Συνεχές.
Γραμμή.
Ἐπιφάνεια.
Σῶμα.
Τόπος.
Χρόνος.
Διωρισμένον.
Λόγος.
Κλιτικός.
Εὐκτικός
Προσακτ
Ἐρωτημα
Ἀποφαντικ
Καὶ ἀριθμός.
Ἄρ
Πεῖον ἐπειδὴ


Γένος Ποσὸν γραμμικώτατον.
Ἀμερές.
Γραμμή.
Ἐπιφάνεια.
Σῶμα.
Τόπος.
Θέσιν ἔχον.
Μεριστόν.
Λόγος.
Ἀποφ
Εὐκ
Προ
Ἐρ
Κλιτι


Γένος Ποσόν ἐϛι γεωμώπτον.
Ἀμερές.
Στιγμή.
Νῶ.
Κίνημα.
Συνεχές.
Γραμμή.
Ἐπιφάνεια.
Σῶμα.
Τόπος.
Χρόνος.
Μεριϛόν.
Διωρισμένον.
Λόγος.
Κλιτικός.
Εὐκτικός.
Προϛακτικός.
Ἐρωτηματικός.
Ἀποφαντικός.
Καὶ ἀριθμός.
Ἄρτιον, δύο.
Περιττὸν, τρία.


Γένος Ποσὸν ῥητικώπτατον.
Ἀμερές.
Θέσιν ἔχον.
Γραμμή.
Ἐπιφάνεια.
Σῶμα.
Τόπος.
Μεριϛόν.
Θέσιν οὐκ ἔχον.
Λόγος.
Ἀποφαντικός.
Εὐκτικός.
Προϛακτικός.
Ἐρωτηματικός.
Κλιτικός.
Ἀριθμός.
Ἄρτιον.
Περιττόν.
Χρόνος.

...ικός.

...ικός.

...ικός.

δύο καὶ τρία οὐκ εἰσὶ πέντε, ὅτι μὴ σύνθετα, ὁ δὲ παραλογισμὸς ἐπὶ τῆς μείζονος διαιρεῖ ταῦτα. οὐ γὰρ εἰσὶ περιττὰ ἅμα καὶ ἄρτια, ὅτι μὴ διῃρημένα. τὰ γὰρ δύο ἐστὶν ἕτερον εἶδος, καὶ τὰ τρία ὁμοίως ἕτερον εἶδος, ταῦτα δὲ συναπτόμενα γίνεται οὐ εἶδος πενταδικόν. εἰσὶ γὰρ τὰ δύο καὶ τρία ὑλικῶς οὕ, οὐχὶ εἰδικῶς. Ἢ καὶ οὕτως. τὸ μεῖζον ἐστὶ τοσοῦτον ὅσον τὸ ἔλαττον καὶ ἔτι πρός. τὸ ἴσον ἐστὶ τοσοῦτον ὅσον τὸ ἔλαττον, καὶ ἔτι πρὸς, ἄρα τὸ ἴσον ἐστὶ μεῖζον. δέον δὲ πρὸς τούτους ἅπαντᾶν (1) καὶ τὸ σωτημένως καὶ διῃρημένως.


ΠΕΡΙ ΠΡΟΣΩΔΙΑΣ.

Ὁ παρὰ τὴν προσῳδίαν παραλογισμὸς προέρχεται ἀπὸ τῆς διαφόρου σημασίας τῆς παρὰ τὴν προσῳδίαν τῆς λέξεων ἐγγινομένης. ὡς ὁ εἰπὼν ἐπὶ διαθήκης ἐγγράφε, ἐχέτω τὰ μὰ πάντα λέων. ἦσαν γὰρ, Λέων, καὶ Πανταλέων. ὧν ἑκάτερος ἀποκρύειν ἐπειρᾶτο τὸν ἕτερον διὰ τὴν διάφορον σημασίαν τῆς λεγομένων, παρὰ τὴν προσῳδίαν. καὶ τὸ, τοῦ νόμου προσάσοντος, πόρνη ληφθεῖσα χρυσία φέρουσα δημοσία ἔσω. εἰ βούλει δὲ καὶ ἄπως. ὁ ἐπὶ γῆς κύων ζῶον ἐστὶν, ὁ ὑπερῴδων τὴν σέλλιον κίων ἐστὶν, ἄρα ἐστὶ ζῶον. Εἰς ἐπίλυσιν τοιγαροῦν τῆς τοιούτων διαιρετέον κατὰ τὴν διαφορὰν τῆς προσῳδίας καὶ ὀρθογραφίας. οἱ γὰρ ἀρχαῖοι οὐκ ἐχρῶντο σημείοις δηλωτικοῖς τῆς προσῳδίας.

Περὶ τοῦ παρὰ τὸ σχῆμα τῆς λέξεως παραλογισμοῦ.

Ὁ δὲ παρὰ τὸ σχῆμα τῆς λέξεως ἀπάτη ἐν τοῖς ὁμοιοπαραλήκτοις, ἢ ἄλλως πως ὁμοιοσχήμοις συμβαίνει γίνεσθαι λέξεσιν. οἷον ἐπειδὴ ὁ Καλλίας ἐστὶν ἄρρεν, ἐστὶν εἰπεῖν καὶ θηλίας εἶναι ἄρρεν, καὶ εἰ τὸ ποιεῖν ἐστὶν ἐνεργεῖν, καὶ τὸ παθεῖν ἔσαι ὁμοίως ἐνεργεῖν. Ἀλλ' ἐπὶ τούτων οὐ παύλανθάνει ὁ ἀπατῶν. διαιρετέον δὲ καὶ ταῦτα κατὰ τὴν σημασίαν τῆς λέξεων.

(1) Τὸ σωτημένως καὶ διῃρημένως διχῶς ἑκάτερον ἅμα ἐννοεῖται ἀμφὶ τὸ ἴσον. τὸ γὰρ ἴσον εἰ μὲν σωτημένως τῷ οὗ ἐστιν ἴσον λάβωμεν, ἔστι διῃρημένως ἐννοῆσαι πρὸς τὸ ἔλαττον. ἐξ ἄυθις ἀῶ μὲν τὸ ἴσον πρὸς τὸ οὗ ἐστὶν ἴσον διῃρημένως λάβωμεν, πρὸς τὸ ἔλαττον σωτημένως ἔνι λαβεῖν, ἐ μὴν ἐξ ἀνάπαλιν. ὅταν τὸ ἴσον σωτημένως λαμβανόμενον τῷ ἐλάττονι ἀληθῶς ἐστι μεῖζον, καὶ τότε οὐκ ἔστι τὸ ἴσον καθὸ ἴσον μεῖζον, ἀλλὰ καθὸ ὑπερέχει τοῦ ἐλάττονος λέγεται μεῖζον. ὁ δὲ σοφιστὴς ἐννοεῖ τὸ ἴσον κατὰ τὸν πρῶτον τρόπον, ὅπερ ἄτοπον.



Περὶ τῶν ἐκτὸς τῆς λέξεως παραλογισμῶν.

Τῶν ἔξω τῆς λέξεως παραλογισμῶν πρῶτος ἐκτίθεται ὁ παρὰ τὸ συμβεβηκὸς λεγόμενος. πάντες δὲ οὗτοι τὴν ἀπάτην ποιοῦσιν οὐ παρὰ τὴν σημασίαν τῆς λέξεως ἢ ἁπλῶς οὔσης, ἢ συμπλεκομένης μεθ' ἑτέρων, ἀλλ' ἐν τῇ διαφορᾷ συμπλοκῇ τῶν πραγμάτων. συμβαίνει δὲ οὕτως, ἵνα οἰόμεθα τὸ ὑπάρχον τινὶ ὑποκειμένῳ, καὶ πᾶσι τοῖς ἐκείνου συμβεβηκόσιν ὑπάρχειν. οἷον ὁ Σωκράτης διαλέγεται, ὁ Σωκράτης ἐστὶ λευκὸς, ἆρα τὸ λευκὸν διαλέγεται. ἢ ὅταν οἰόμεθα τὸ προσῆκον τινὶ ἀτόμῳ, καὶ παντὶ τῷ εἴδει προσήκειν. ὡς ἐπὶ τούτου τοῦ παραδείγματος. ὁ Πλάτων ἐστὶν ἕτερος τοῦ Σωκράτους. ὁ Σωκράτης ἐστὶν ἄνθρωπος, ἆρα ὁ Πλάτων οὐκ ἔστιν ἄνθρωπος. Ὅπερ εἰμὶ ἐγὼ, σὺ οὐκ εἶ. ἐγὼ εἰμὶ ἄνθρωπος, σὺ ἆρα οὐκ εἶ ἄνθρωπος. Καὶ οὕτως, ὅ,τι ἐστὶν ἐν Ζακυνθῳ, οὐκ ἔστιν ἐν Ἰθάκῃ. ἀλλὰ μὴν ἐν Ζακυνθῳ εἰσὶν ἄνθρωποι, ἆρα οὐκ εἰσὶν ἐν Ἰθάκῃ.

Ἐπιλυόμεθα δὲ τοὺς τοιούτους παραλογισμοὺς διαιρέσει χρώμενοι τῆς διαφορᾶς καθ' ἣν λέγεταί τι προσήκειν, ἢ μὴ προσήκειν, καὶ εἶναι, ἢ μὴ

μὴ εἶναι. συμβέβηκε γὰρ τῷ Πλάτωνι ἕτερον εἶναι Σωκράτους, οὐχὶ δὲ καὶ ἕτερον ἀνθρώπου. ὁ δὲ σοφιστὴς διὰ τὸ συμβεβηκὸς καὶ τῆς οὐσίας ἀποστερεῖ.

Ἔστι καὶ τοὺς τοιούτους παραλογισμοὺς ἐπὶ τὸν ἐχόμενον τρόπον ἀναγαγεῖν. ἴδιον γὰρ τούτου τὸ παρὰ τὸ συμβεβηκὸς ποιεῖν τινὶ ἀπάτην. οἷον τὸ ξανθὸν ἐστὶ χρῶμα, τὸ μέλι ἐστὶ ξανθὸν, ἆρα τὸ μέλι ἐστὶ χρῶμα. Ἢ καὶ ἐν δευτέρῳ σχήματι. τὸ μέλι ἐπίτασιν καὶ ἄνεσιν οὐκ ἐπιδέχεται. τὸ γλυκὺ ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεται, ἆρα τὸ μέλι οὐκ ἔστι γλυκύ. καὶ τὰ τοιαῦτα, ἅπερ παρὰ τὸ συμβεβηκὸς τινὶ ἀπάτην ποιοῦσι. τὸ γὰρ γλυκὺ οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον ἀτιωδῶς, ἀλλὰ κατὰ συμβεβηκὸς διά τινα μίξιαν.

Περὶ τοῦ κατάτι, καὶ ἁπλῶς παραλογισμοῦ.

Ὁ δὲ παρὰ τὸ κατάτι καὶ ἁπλῶς ἔλεγχος, παραλογισμός ἐστι συμβαίνων ἐν οἷς τὸ κατάτι ἀληθεῦον, ὡς ἁπλῶς ἀληθεῦον λαμβάνεται. Ἁπλῶς δὲ λέγεται τὸ ἄνευ προσθήκης λεγόμενον. οἷον σοφὸς ἀνήρ. Τὸ δὲ κατάτι, τὸ μετατίνος προσθήκης λεγόμενον, ὡς τὸ κατὰ μέρος εἰπεῖν, ἢ καταχρηστικῶς, ἢ ὁπωσοῦν ἄλλως. οἷον σοφὸς τοῦ κλέπτειν, ἢ λευκὸς τοὺς ὀδόντας. Ἔξεστι τοιγαροῦν ἀπὸ τοῦ ἁπλῶς ἐπὶ τὸ κατάτι ἐπιχειρεῖν, ὡς ἐπὶ τῶν σωμάτων. οἷον ὁ Κόραξ ἐστὶ μέλας ἁπλῶς, καὶ ὁ Κόραξ ἐστὶ μέλας τὸ ῥύγχος. ἐπὶ δὲ τῶν ἕξεων οὐκ ἀληθεύει. οἷον ὁ Σωκράτης ἐστὶ σοφὸς, ὁ Σωκράτης ἄρα ἐστὶ σοφὸς τινὶ σκυτοτομικῇ. Ἀπὸ δὲ τοῦ κατάτι ἐπὶ τὸ ἁπλῶς ἐπιχειρεῖν ἀληθεύει, ὁπλοίκα τὸ προσιθέμενον οὐδεμίαν ἐλάττωσιν σημαίνει τοῦ ᾧ προσίθεται. οἷον ὁ Σωκράτης ὀρθῶς διαλέγεται, ὁ Σωκράτης ἄρα καὶ ἁπλῶς διαλέγεται. Ὁπηνίκα δὲ ἡ προσθήκη ἐλάττωσιν σημαίνει τοῦ ᾧ προσίθεται, οἷον ὁ Σωκράτης ἐστὶν ἄνθρωπος πεθηνικῶς, ἆρα ἐστὶν ἄνθρωπος ἁπλῶς εἰπεῖν οὐκ ἀληθεύει. καὶ ὁ αἰθίοψ ἐστὶ λευκὸς κατὰ τοὺς ὀδόντας, ἆρα ἐστὶ λευκὸς ἁπλῶς φαναι οὐκ ἀληθές. Καὶ οὕτως πᾶς ποιητὴς ἐστὶν ἄνθρωπος, ὁ Ὅμηρος ἐστὶ ποιητὴς, ἆρα ὁ Ὅμηρος ἐστὶν ἄνθρωπος. ἄνθρωπος δὲ ὢν καὶ ἐσθίει, καὶ διαλέγεται. λανθάνει γὰρ ἐν τούτοις ὁ σοφιστὴς παρὰ τὸ ποτέ. νῦν γάρ ποτε ὁ Ὅμηρος ἄνθρωπος, νυνὶ δὲ οὐκ ἔστι. Καὶ οὕτως. οἱ σοφοὶ εἰσὶ σεπτοὶ, οἱ τινὶ κλεπτικῇ ἄρισοι εἰσὶ σοφοὶ τινὶ κλεπτικῇ. ἆρα οἱ τινὶ κλεπτικῇ ἄρισοι, εἰσὶ σεπτοί. Καὶ οὕτως. πᾶν τὸ ὑπόπουν βαδίζει κινούμενον ὑφ' ἑαυτοῦ. οἱ πλέοντες ἐπὶ τῆς θαλάσσης

Ταῦροι

Ταῦροι εἰσὶν ὑποπόδες κινούμενοι καθ' ἑαυτούς, ἄρα βαδίζουσιν ἐπὶ τῆς θαλάσσης. Ἐπιλυόμεθα τοιγαροῦν τοὺς τοιούτους παραλογισμοὺς διαιροῦντες τὸ ἁπλῶς, καὶ κατάτι, καὶ πού, καὶ ποτὲ, καὶ νυνὶ, καὶ τὰ τοιαῦτα.

Περὶ τοῦ παρὰ τὴν ἄγνοιαν ἐλέγχου.

Ὁ Παρὰ τὴν ἄγνοιαν τοῦ ἐλέγχου παραλογισμὸς ἀπάτη ἐστὶ συμβαίνουσα διὰ τὴν ἄγνοιαν τῆς ἀντιφάσεως. ὁ γὰρ ἔλεγχος συλλογισμός ἐστιν ἀντιφάσεως, ὡς εἴρηται. ὅς τις λυσίκα φαίνεται συναγαγὼν τὴν ἀντίφασιν, μὴ συνάγων τῇ ἀληθείᾳ, λέγεται σοφιστικὸς ἔλεγχος. οἷον ὁ τριαδικὸς ἀριθμὸς ὑπερέχει τὸν δυαδικὸν, καὶ οὐχ ὑπερέχει τὸν τετραδικόν. ἄρα ὁ αὐτὸς καὶ ὑπερέχει τὸν ἀριθμὸν, καὶ οὐχ ὑπερέχει τὸν ἀριθμὸν, ὅπερ ἐστὶν ἀντίφασις. Ἡ ἀπάτη συμβαίνει ὅτι τὸ ὑπερέχειν καὶ μὴ ὑπερέχειν οὐ πρὸς τὸ αὐτὸ λέγεται, ὅπερ ζητεῖται ἀναγκαίως ἐπὶ τῆς ἀληθοῦς ἀντιφάσεως. Καὶ οὕτως. τὰ δύο τοῦ μὲν ἑνὸς διπλάσια, τῆς δὲ τριῶν οὐ διπλάσια. τὰ δύο ἄρα διπλάσια καὶ οὐ διπλάσια. καὶ τὸ αὐτὸ πρὸς τὸ αὐτὸ ὡδί. ἡ Ἐγχέλυς διπλασία κατὰ μῆκος (1) λεθρίου, καὶ οὐ διπλασία κατὰ πάχος. τὸ αὐτὸ ἄρα διπλάσιον τοῦ αὐτοῦ, καὶ οὐ διπλάσιον. Τοῦ αὐτοῦ δὲ πρὸς τὸ αὐτὸ, καὶ κατὰ τὸ αὐτὸ τοιοῦτον, καὶ μὴ τοιοῦτον, ἔστω παράδειγμα. εἰ ὁ αὐτὸς γεγονώς ποτε τινὸς μαθητὴς, ὕστερον γέγονε διδάσκαλος τοῦ αὐτοῦ, ὁ αὐτὸς ἔσται διδάσκαλος τοῦ αὐτοῦ καὶ οὐ διδάσκαλος. ἀλλὰ μὴν τὸ πρῶτον, ἄρα καὶ τὸ δεύτερον.

Ἐπὶ τοῦ πρώτου παραδείγματος ἡ ἀπάτη συμβαίνει διὰ τὴν ἔλλειψιν τοῦ πρὸς τὸ αὐτό. ἐπὶ δὲ τοῦ δευτέρου διὰ τὴν ἔλλειψιν τοῦ κατὰ τὸ αὐτό. ἐν τῷ τρίτῳ δὲ διὰ τὴν ἔλλειψιν τοῦ ἅμα. εἴρηται δὲ ὁ προκείμενος τρόπος παρὰ τὴν ἄγνοιαν τοῦ ἐλέγχου ἰδίᾳ παραλογίζεσθαι, οὐχ ὅτι μὴ πάντες οἱ τρόποι τῆς σοφιστικῶν παραλογισμῶν ἀπατῶσι παρὰ τὴν ἄγνοιαν τοῦ ἀληθοῦς ἐλέγχου, (πάντες γὰρ δι' ἔλλειψιν τινὸς τῆς προσηκόντων τῇ ἀληθεῖ ἐλέγχῳ τὴν ἀπάτην ποιοῦσιν) ἀλλ' ὅτι ἐπὶ τούτου μὲν προφανὴς ἡ ἔλλειψις γίνεται τοῦ ἐλέγχου, ἐπὶ δὲ τῆς ἄλλων ἐστὶ καὶ ἄλλα αἴτια τῆς γινομένης ἐν ἑκάστῳ ἀπάτης, ὡς που δεδήλωται.

Περὶ

(1) Εἶδος ἰχθύος.

ὀρθῶ, διὰ βραχέων γραμμῶν
εὐθειῶν, ἢ ὁμοίων γραμμῶν·
καὶ ἑνὸς δεῖ σχημάτων
ἢ ὁμοίων γραμμῶν 497

Περὶ τοῦ παραλογισμοῦ τὸ ζητούμενον ὡς ὁμολογούμενον λαμβάνειν.

Ὁ παρὰ τὸ ἐν ἀρχῇ λαμβάνειν παραλογισμὸς συμβαίνει, ὁπόταν τὸ ἀμφισβητούμενον ἢ ζητούμενον λαμβάνεται ἐπί τινος τῶν προτάσεων. Συμβαίνει δὲ τοῦτο πολλαχῶς. ἢ γὰρ τὸ αὐτὸ ἐν διαφόροις ὀνόμασι λαμβάνεται ὡς ἀμφισβητούμενον. εἰ ὁ Σωκράτης διαλέγεται, φαίητις, ὁ Σωφρονίσκου υἱὸς διαλέγεται. ὁ Σωκράτης ἐστὶ Σωφρονίσκου υἱὸς, ἆρα ὁ Σωκράτης διαλέγεται. Ἢ ὅτε ἐν τῷ ὁρισμῷ τοῦ ἀμφισβητουμένου λαμβάνεται τὸ αὐτὸ, ὡς εἴτινος ἀμφισβητοῦντος, εἰ ὁ ἄνθρωπος ἐστὶ γεωμέτρης, τὸ ζῶον λογικὸν θνητὸν ἐστὶ γεωμέτρης, ἀλλ᾽ ὁ ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν, ἆρα ὁ ἄνθρωπος ἐστὶ γεωμέτρης. Ἐπιλυόμεθα δὲ τοὺς τοιούτους παραλογισμοὺς ἀναιροῦντες τὴν πρότασιν ἐφ᾽ ἧς τὸ ἀμφισβητούμενον λαμβάνεται, ὡς ὁμολογούμενον.

Περὶ τοῦ παρὰ τὸ ἑπόμενον τοῦ ἐλέγχου.

Ὁ παρὰ τὸ ἑπόμενον παραλογισμὸς συμβαίνει, ὁπόταν οἰόμεθα ἀντιστρέφειν τὸ ἑπόμενον τῷ ἡγουμένῳ, μὴ ἀντιστρέφον τῇ ἀληθείᾳ. οἷον, τὸ νύκτωρ πλανᾶσθαι ἕπεται τοῖς κλέπταις, καίτοι μὴ μόνοις. ὁ δὲ σοφιστὴς παραλογίζεται οὕτως. ὁ νύκτωρ πλανώμενος, κλέπτης. οἱ φρουροὶ νύκτωρ πλανῶνται, ἆρα κλέπται. ἢ ὁ καλλωπιζόμενος ἐστὶ μοιχός. ὁ Σωκράτης καλλωπίζεται, ἆρα μοιχός. Καὶ ἔτως. ὁ χυμὸς ὁ τὸ χρῶμα πυῤῥὸς ἐστὶ μέλι. ἡ χολὴ χυμός ἐστὶ τὸ χρῶμα πυῤῥὸς, ἆρα ἡ χολὴ ἐστὶ μέλι. Καὶ ὑποθετικῶς, εἰ ἐστὶ γεωμέτρης, ἐστὶ καὶ ἄνθρωπος, ἀλλὰ μὴν ἐστὶν ἄνθρωπος, ἆρα καὶ γεωμέτρης. Τοὺς τοιούτους παραλογισμοὺς ἐπιλυόμεθα, μὴ ὑποδεχόμενοι τὸ ἑπόμενον ἀντιστρέφον, ἀλλ᾽ ἀναιροῦντες τὴν πρότασιν.

Περὶ τοῦ τὸ μὴ αἴτιον ὡς αἴτιον λαμβάνοντος παραλογισμοῦ.

Ὁ παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον λαμβάνων παραλογισμὸς συμβαίνει ὁπηνίκα λαμβάνεται ὡς αἴτιόν τινος, τὸ δοκοῦν μὲν εἶναι αἴτιον,

τιον, μὴ ὂν δὲ τῇ ἀληθείᾳ. οὗ πολλὴ χρῆσις ἐστὶ παρὰ τοῖς χυδαίοις, καὶ μὴ πεπαιδευμένοις ἀνθρώποις. οἷον ὁ Νεόφιλος ὧν σοφὸς, οὗτος ἥμαρτε περὶ τὴν πίστιν, ἆρα οἱ σοφοὶ ἁμαρτάνουσι περὶ τὴν πίστιν, καὶ ἡ σοφία ἐστὶν ἀποβλητος. Καὶ οὕτως. ὀδὶ, κἀκεῖνος ὁ ἱερεὺς ἀναγωγοι καὶ αἰσχρῶς βιοῦσι. Καὶ οὕτω. τοῖς προεστῶσι καὶ ἡγουμένοις ἀνδράσι πειστέον κατὰ πάντα. οἱ ἐπίσκοποι καὶ μοναχοὶ εἰσὶ προεστῶτες καὶ ἡγούμενοι ἐν τῇ Ἐκκλησίᾳ, ἆρα τοῖς ἐπισκόποις καὶ μοναχοῖς πειστέον κατὰ πάντα. Ἐπιλυόμεθα δὲ & τοὺς τοιούτους παραλογισμοὺς, αἱρουῦτες τὴν πρότασιν, ἐν ᾗ τίθεται τὸ μὴ αἴτιον ὡς αἴτιον. ἐν δὲ τοῖς μὴ ὀρθῶς ἐσχηματισμένοις, αἱρετέα ἐστὶν ἡ ἐπιφορὰ, καὶ ἀποδοτέον τῆς ἁμαρτίας τὸ αἴτιον, ὅτι ἐστὶν ἡ ἀμαθία περὶ ἐκεῖνο ἐν ᾧ σφάλουσι, καὶ τῆς ἀναγωγῆς καὶ αἰσχρότητος τὸ τῆς προαιρέσεως διάστροφον, οὐχὶ ἡ ἱερωσύνη.

Περὶ τοῦ τὰ πολλὰ ἐρωτήματα ἓν ποιεῖν παραλογισμοῦ.

Ὁ Παρὰ τὸ τὰ πολλὰ ἐρωτήματα ἓν ποιεῖν παραλογισμὸς, ἀπάτη ἐστὶ προερχομένη ἀπὸ τοῦ μιᾷ ἀποκρίσει πρὸς πολλὰ ἐρωτήματα ἅπαντᾶν. ὡς εἴτις φαίη, πότερον ἡ γῆ, ὁ ἄνθρωπος, θάλασσα ἐστί; πρὸς ὃ μιᾷ ἀποκρίσει ἅπαντᾶν ἀξιώσοι, διὰ τὸ κοινὸν ἀξίωμα, ὅτι περὶ παντὸς ἐστὶν ἀληθὲς καταφᾶναι, ἢ ἀποφᾶναι. Ἢ οὕτως. πότερον Σωκράτης ἐστὶ κομήτης, φαλακρὸς, ἢ ἔ; καὶ ὁ ἄνθρωπος ζῶον ἐστὶ λογικὸν ἄλογον, ἢ οὔ; εἰ γὰρ ἁπλῶς πρὸς τοῦτο ἅπαντᾶν ἀξιώσειεν ὁ σοφιστὴς, ψεῦδος ἔπεται. διὸ ἐν τοῖς τοιούτοις διδιλαβητέον, ἵνα μὴ ἁπλῶς ἀπαντῶμεν πρὸς πολλὰς ἐρωτήσεις, ἀλλὰ διαιροῦντες, καὶ τὸ μὲν, διδόντες, ὅπερ ἀληθεύει, τὸ δὲ, αἱροῦντες, ἢ καὶ ἀμφότερα. Καὶ ταῦτα μὲν περὶ τῶν σοφιστικῶν ἀποχρήσει ἐλέγχων. πλείω δὲ περὶ τούτων ἐπιμεξῆναι οὐκ ἀναγκαῖον. ἔστι γὰρ ἐντυχεῖν εἰς πλάτος τοῖς τοιούτοις παρὰ τοῖς σχολαστικοῖς τῶν ἀριστοτελικῶν συγγραμμάτων. διὸ πέρας ἀποδετέον τῇ λογικῇ πραγματείᾳ. περὶ ἧς πλειρέστερον μὲν τὸ καταρχὰς, ἐπιτομώτερον δὲ περὶ ποῦ τὸ τέλος ἐχρησάμεθα τῇ διδασκαλίᾳ, τῇ βραχύτητί τε τοῦ χρόνου ἐπειγόμενοι, καὶ ταῖς ἄλλαις ταῖς ἀπὸ τοῦ καιροῦ περισάσεσιν. ἀποχρόντως μέντοι περὶ τῶν ἀναγκαίων, μάλισα μὲν τῆς ἀποδεικτικῆς μεθόδου, τῆς τε ἀποδόσεως τῶν ὁρισμῶν, καὶ τῆς διαιρέσεως τῶν ὅλων, καὶ νὴ δία πάσης τῆς συλλογισικῆς μεθόδου, εἰρήκαμεν, ἅπερ εἰσὶν ἔργα τῆς λογικῆς τέχνης, ἀναγκαῖα εἰς ζήτησιν καὶ διάγνωσιν τῆς ἀ-


λη-

λη θείας, καὶ τῷ ἐπισημῶν ἀπόκτησιν, εἰ βούλει δὲ καὶ γνῶσιν ἡμῶν αὐτῷ, καὶ τοῦ πρώτου τῷ ὅλων αἰτίου, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. Ἔρρωσθε τοιγαροῦν, συνεχῶς τοῖς λεχθεῖσιν ἐνδιατρίβοντες, τῇ συνετισικῇ φωτὶ ὁδηγούμενοι τῆς ἐνυποστάτου καὶ πηγαίας Σοφίας. ἐξ ἧς πηγάζει πᾶσα εἰς ἀνθρώπους τελειότης τε, καὶ ζωή. ᾗ δόξα παρέπει εἰς ἀπεράντους αἰῶνας. Ἀμήν.

ΤΕΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000075981

Δίκαιον, ἄδικον, μέσον ἔχον ἀδίκου, οἷον μηδὲ δίκαιον ὄν, μηδὲ ἄδικον. ὡς ἂν εἰ τὶς ἔλεγε μηδὲ δικαιοσύνην ἔχων μηδὲ ἀδικίαν. δεκαδικόν, ὡς ἂν εἰ τὶς ἔλεγε τὸν ἀριθμὸν δεκάδα μὴ ἔχοντα, ἢ ἀδέκαδον. μὴ δεκαδικόν, ὡς ἔστιν εἰπεῖν τὸν ἀριθμὸν ἕνα, ἢ τὸν οἷον ἑπτὰ, ἢ ἐννέα, ὃς ἐγγύς ἐστι δεκάδος.



ἐσθ' ἕκαστον ἀμφοῖν. ἐσθ' ἑκάτερον ἀμφοῖν. ἐσθ' ἑκάτερον ἀμφοῖν. ἐσθ' ἕκαστον ἀμφοῖν.

ἀδικαδικόν. ἄνισος. ἄνισος. ἄνισος.

ζῷον. ζῷον. ζῷον. ζῷον.